



ACTA

ET

DIPLOMATA

GRAECA MEDII AEVI

SACRA ET PROFANA

COLLECTA EDIDERUNT

FRANCISCUS MIKLOSICH ET IOSEPHUS MÜLLER

VOLUMEN QUINTUM.

VINDOBONAE
CAROLUS GEROLD
MDCCCLXXXVII.

ACTA

ET

DIPLOMATA

MONASTERIORUM ET ECCLESIARUM ORIENTIS

SUMTUS PRAEBENTE CAESAREA SCIENTIARUM ACADEMIA VINDOBONENSI

COLLECTA EDIDERUNT

FR. MIKLOSICH
PROF. UNIVERSIT. VINDOBONENSIS

ET

IOS. MÜLLER
PROF. UNIVERSIT. TAURINENSIS

TOMUS SECUNDUS.

VINDOBONAE
CAROLUS GEROLD
MDCCCLXXXVII.



Hujus voluminis exscripta sunt exemplaria trecenta.

Typis ADOLPHI HOLZHAUSEN typothetae vindobonensis.

I.

Diplomata monasterii S. Mariae, dicti Neamone, in insula Chio.

I. (6553—1045) mense februario ind. XIII.

Imperator Constantinus Monomachus donat monasterio S. Mariae, dicto Neamone, septuaginta duos nummos aureos annuos.

Πιττάκιον τοῦ μακαρίτου βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Μονομάχου.

Ἴσον τοῦ καταπεμφθέν[τος] θείου καὶ εὐσεβοῦς βασιλικοῦ πιττακίου πρὸς Εὐστάθιον βεστάρχην, ἐπὶ τοῦ κοιτῶνος καὶ εἰδικὸν [διὰ τ]ὴν ἐν τῇ Χίῳ συστᾶσαν εὐαγῆ Νέαν Μονὴν παρὰ τῶν εὐλαβεστάτων μοναχῶν Νικήτα καὶ Ἰωάννου [τὴν] καὶ ἐπ' ὀνόματι [τιμωμένην] τῆς ἀειπαρθένου καὶ θεομήτορος.

† Ἐτύπωσεν ἡ βασιλεία μου λαμβάνειν [τὴν ἐν τῇ Χίῳ παρὰ τῶν εὐλαβεστάτων μοναχῶν Νικήτα καὶ Ἰωάννου συστᾶσαν εὐαγῆ Νέαν Μονήν, τὴν καὶ ἐπ' ὀνόματι τιμωμένην τῆς ἀειπαρθένου καὶ θεομήτορος] ἐτησίως ἀπὸ τῆς συγκλήτου λόγῳ ῥόγας νομίσματα ἑβδομήκοντα δύο καὶ κελεύει σοι καταστρῶσαι τὴν ὀνομασίαν αὐτῶν[1]) ἐν τοῖς χαρτίοις τοῦ ὑπὸ [σὲ][2]) σεκρέτου, ἔνθα αἱ ὀνομασίαι διέρχονται τῶν πρωτοσπαθαρίων, μεταγράψαι δὲ καὶ τὸ παρὸν πιττάκιον καὶ τούτου ἰσότυπον ὑπογραφὲν παρὰ σοῦ τε καὶ τῶν ὑπὸ σὲ σεκρετικῶν [καὶ] ἐπιδοῦναι τοῖς τῆς μονῆς ἀδελφοῖς εἰς οἰκείαν ἀσφάλειαν. μηνὶ φεβρουαρίῳ ἰνδ. ιγ' †.

† Εὐστάθιος βεστάρχης, ἐπὶ τοῦ κοιτῶνος καὶ εἰδικός †.

† Λέων πατρίκιος καὶ πρωτονοτάριος τοῦ σεκρέτου τοῦ σακελλαρίου †.

† Μιχαὴλ πρωτοσπαθάριος, ἐπὶ τοῦ χρυσοτρικλίνου, βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου, κριτὴς τοῦ βήλου, ἐπὶ τοῦ κοιτῶνος καὶ ἐπὶ τῆς καταστάσεως †.

† Βασίλειος πρωτοσπαθάριος, ἐπὶ τοῦ χρυσοτρικλίνου, κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου, βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου καὶ μυστογράφος †.

---

1) αὐτοῖς Sak.; apogr. αὐτούς. 2) Supplevit Sak.

† Ἰωάννης πρωτοσπαθάριος καὶ βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου, ὁ Σπανόπουλος †.

† Ῥωμανὸς πρωτοσπαθάριος καὶ βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου, ὁ υἱὸς Ἀγαλλιανοῦ ἀνθυπάτου, πατρικίου, βέστου καὶ κριτοῦ τοῦ βήλου †.

† Μιχαὴλ, βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου, ὁ Σπανόπουλος †.

† Ἰωάννης πρωτοσπαθάριος, ἐπὶ τοῦ χρυσοτρικλίνου, βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου, κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου καὶ δήμαρχος τῶν πράσεων †.

† Βασίλειος πρωτοσπαθάριος, ἐπὶ τοῦ χρυσοτρικλίνου, βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου, κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου ὁ Τζιρίθων †.

† Ἰωάννης πρωτοσπαθάριος, κριτὴς τοῦ ἱπποδρόμου καὶ βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου ὁ Καματηρός †.

II. (6553—1045) mense iunio ind. XIII.

Imperator Constantinus Monomachus eximit monasterium a iudicibus ordinariis.

Χρυσόβουλλον τοῦ αὐτοῦ μακαρίτου βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Μονομάχου περὶ τοῦ παρὰ μόνης τῆς βασιλικῆς μεγαλειότητος κρίνεσθαι τὴν μονήν.

† Ἀλλὰ τίνων ἄλλων τοσοῦτον, ὅσον τῶν τὸν μονάδα βίον προελομένων καὶ γῆν ἐπίσης βδελυξαμένων καὶ ὅσα γήϊνα μέλει θεῷ; ἐπεὶ κἀκεῖνοι, μέλον θεῷ, τοῦτο πρὸ τῶν ἄλλων σπουδάζουσι, θεραπεύειν θεὸν καὶ ὑπὸ τοῖς ἐκείνου ζῆν ὀφθαλμοῖς καὶ τὰ ἐκείνου τηρεῖν κρίματα, ὧν ἡ ἐπιθυμία, κατὰ τὸν θεῖον φάναι Δαβίδ, χρυσίου καὶ λίθων τιμίων ἐπέκεινα καὶ γλυκυτέρα κηρίου καὶ μέλιτος. τῶν δὴ οὖν τοιούτων καὶ προνοητέον, ὅσον εἰκός, τὸν φιλάρετον ἢ φιλόθεον, ἑαυτῷ διὰ τούτων τὴν θείαν προμήθειαν προχαλούμενον, καὶ πᾶσι τρόποις περιποιητέον αὐτοῖς τὴν ἡσύχιον ἄσκησιν, ἵν' ἀπερισπάστως τῷ θεῷ συγγιγνόμενοι[1]) θερμοτέρας τὰς ὑπὲρ τοῦ κοινοῦ καὶ τῆς βασιλείας αὐτῆς ἐντεύξεις προσάγοιεν. ταύτῃ τοι καὶ ἡ θεοστεφὴς ἡμῶν γαληνότης τῶν ἐν τῇ μονῇ τῆς Θεομήτορος, ἣ κατὰ

[1]) Sic legendum proponit Sak. pro συγγενόμενοι.

τὴν νῆσον Χίον διακειμένη Νέα προσονομάζεται, διασκουμένων εὐλαβῶν μοναστῶν, οἷς ὁ κατὰ θεὸν ἐμπολιτεύεται βίος καὶ ἀγγελικὴ κατὰ δύναμιν ὑποτυποῦται διαγωγὴ καὶ κατάστασις, ἔθετο μὲν καὶ ἄλλως πρόνοιαν, μεταδοῦσα τῶν ἑαυτῆς χαρίτων καὶ χαρίσασα[1]) καὶ τούτοις τὴν ἄφθονον δεξιάν· ἐπεὶ δὲ καί τινων εὐπορήσασα[2]) αὐτῆς ὑπὸ τὴν μονὴν κτημάτων τε καὶ παροίκων ἀπό τε δωρημάτων τοῦ κράτους ἡμῶν καὶ συναλλαγμάτων οἰκείων, διενέξεσί τε καὶ πραγμάτων ἐπιφοραῖς περιπείρεσθαι μετὰ τῶν ὁμοῦ ἢ καὶ πλησίον χωρούντων πάντων ἐπάναγκές ἐστι· τούτοις γὰρ ἂν κἀκεῖνα συναναμέμικται καὶ οἷον συνέζευκται καὶ διὰ ταῦτα φόβος αὐτοὺς ὑπέτρεχεν ἀκαταλόγιστος καὶ κατέσειε, μήποτε πᾶσι [τοῖς][3]) δικάζουσι πρὸς ἐπαγωγὰς καὶ μετακλήσεις καὶ βιαίους ἑλκυσμοὺς προσκείμενος, θήρα πρὸς ἄγραν ὑπάρχωσιν ἕτοιμοι, κἀντεῦθεν ἐπισκάπτοιντο μὲν τὴν πρὸς τὸ καλὸν ἕξιν τῆς συντρόφου διαγωγῆς ἀποσπώμενοι, κατάγοιντο δὲ τῆς πρὸς ὕψος ἀναγούσης θεωρίας διὰ [τὸ] τῶν πραγμάτων θορυβῶδες καὶ συγχυτικὸν κατέχον ἢ κατασῦρον εἰς ἔδαφος. ἡ βασιλεία ἡμῶν καὶ ταύτην αὐτοῖς ἵστησι τὴν ἀγωνίαν καὶ λύει τὸ δέος καὶ βραχείαις συλλαβαῖς τὸ ἀπερικτύπητον τούτοις χαρίζεται, ἵνα καὶ ἀνεπιθολώτους τὰς ὑπὲρ αὐτῆς ἱκετείαις πρὸς θεὸν ἀναφέροιεν· ἀπελαύνουσα γὰρ πόρρωθεν τούτων τὸ ταραχῶδές τε καὶ πολύοχλον, ἵνα ὡς ἐν ἀδύτοις τισὶ μυσταγωγούμενοι τὸ ἠρεμαῖόν τε καὶ γαλήνιον πάντοθεν ἔχοιεν, θεσπίζει διὰ τοῦ παρόντος αὐτῆς εὐσεβοῦς χρυσοβούλλου λόγου, ὥστε ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους μή τινα δικαστὴν εἰς τὴν δηλωθεῖσαν μονὴν παριέναι δίκης οἱασδήτινος ἕνεκεν, μήτε τι σύμβολον ἀρχικῆς δυναστείας κατ' αὐτῆς καὶ τῶν ἐν αὐτῇ τε καὶ ὑπ' αὐτὴν ἐπιδείκνυσθαι. ἀλλ' εἴ ποτε διαφοραὶ καὶ διαμάχαι τινές, εἰ μὲν τοῖς τῆς μονῆς πρός τινας ἑτέρους ἐπιγένοιντο καὶ βούλοιντο ταύτας οὗτοι κατὰ τῶν ἀντιφερομένων ἐγγυμνάζειν, ἀκωλύτως κινεῖν καὶ τὸν νόμον εὑρίσκειν διαιτητὴν τοῦ καλῶς ἔχοντος. εἰ δ' αὖ ἕτεροι κατ' αὐτῶν κινηθεῖεν καὶ διστάζοιεν πρὸς ἀλλήλους ἐπί τισι δίκαις ἢ περὶ τόπων ἀφαιρέσεως ἢ μεταθέσεως ὅρων τῶν ὑπ' αὐτοὺς πάντων κτημάτων ἢ καινοτομίας ἑτέρας τινὸς καὶ ἀμφιβολίας, μήτε θεματικὸν ἢ πολιτικόν, ὡς εἴρηται, δικαστήν, μήτε τινὰ τῶν ἄλλων ἀρχόντων ἢ βῆμα δικαστικὸν τοῖς ἐνάγουσιν ἀναπτύσσειν καὶ τὰς περὶ τούτων ἀγωγὰς ἐγγυμνάζειν ἢ ψηφίζεσθαι ἢ ὅλως ἀγώγιμόν τινα τῶν ἐν τῇ μονῇ ποιεῖν καὶ καθέλκειν εἰς δικαστήριον, ἀλλὰ τὰ κατὰ τούτων κινούμενα τῷ μείζονι τῶν ἄλλων ἐφιέναι δικαστηρίων καὶ μόνον ἀκροᾶσθαι τούτων τὸν τὴν αὐτοκράτορα λαχόντα διέπειν ἀρχήν, ἀρρεπεῖ τε καὶ ἀδεκάστῳ κρίσει ἢ διαλύειν τὰς αναμέσον τούτων ἀμφισβητήσεις

---

[1]) **Sakellion** γνωρίσασα. [2]) **Sak. emendavit pro** εὐπορίσασα. **Locus corruptus.**
[3]) **Addit Sak.**

ἢ τὸ δεδογμένον μὲν ἀποφαίνεσθαι, τὸν δὲ κριτὴν δεχόμενον κατὰ τὰς βασιλικὰς ἀποφάσεις πληροῦν καὶ οἷον ἐκβιβαστὴν τῶν ἤδη κεκριμένων γίνεσθαι· μόνης γὰρ ἐξηρτῆσθαι βασιλικῆς ἀκροάσεως τὰ κατὰ τούτων λεγόμενα βουλόμεθα καὶ ψήφοις αὐτοκρατορικαῖς τὰς ἐπὶ τὰς δίκας καταδίκας, ἡνίκα [γένωνται], αὐτοὺς ἀποφέρεσθαι· εἰ δ' ἴσως ἀγωγὰς αὐτοὶ κατά τι γυμνάζειν αἱροῖντο παρὰ δικαστῇ, μὴ προσίστασθαι τούτοις τὸν παρόντα χρυσόβουλλον λόγον, ἵνα μὴ τὸ ὑπὲρ αὐτῶν εἰσενεχθὲν ἐξ ἀποτελέσματος κατ' αὐτῶν ἀναφανῇ. διὸ [καὶ] παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατοριῶν, εἰδικῶν, γηροτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ Φύλακος, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθερίου καὶ τῶν Μαγγάνων, οἰκιστικῶν καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων, λογαριαστῶν, χαρτουλλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων, ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς, ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων, πρωτοκεντάρχων, προελευσιμαίων καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων, πρὸς τούτοις δρουγγαρίων τῆς βίγλης, κριτῶν πολιτικῶν καὶ θεματικῶν, ἐποπτῶν, στρατευτῶν, βασιλικῶν [ἀνθρώπων] εἴς τινας τοῦ δημοσίου δουλείας ἀποστελλομένων, πρωτονοταρίων, νοταρίων, συνωναρίων, τοποτηρητῶν, παραφυλάκων καὶ παντὸς ἑτέρου δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐπ' ἀδείας ἔχειν, μήτε τῶν ἐν ὑπεροχαῖς ἀρχόντων, μήτε πολιτικὸν ἢ θεματικὸν δικαστὴν καθέλκειν συνόλως εἰς δικαστήριον τοὺς ἐν τῇ δηλωθείσῃ μονῇ θεοφιλεῖς μοναστὰς δίκης οἱασδήποτε χάριν τῶν ὑπ' αὐτὴν κτημάτων καὶ τῶν ἐν αὐτοῖς· μόνον γὰρ τὸ θειότατον καὶ βασιλικὸν βῆμα ταῖς κατὰ τούτων ἤδη δίκαις ἀνέῳγε καὶ ᾧ ἂν ὁ κρατῶν μετὰ τὴν τῆς κροτουμένης ἀγωγῆς ἀκρόασιν ἐπιτρέψειε τὴν διάγνωσιν ἢ ἐκβίβασιν, τοῖς δὲ ἄλλοις θύρας ἐπέθηκεν ἡ τοῦ κράτους ἡμῶν αὕτη διάταξις· τοῖς δέ γε μοναστaῖς βουλομένοις καθ' ἑτέρων κινεῖν οὐκ ἀπείργεται. ὅθεν ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου λόγου γεγενημένου κατὰ τὸν ἰούνιον μῆνα τῆς δωδεκάτης[1]) ἰνδικτιῶνος ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ πεντηκοστῷ τρίτῳ, τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ἐν αὐτῷ ὑπεσημήνατο κράτος †.

---

¹) Corrige τρισκαιδεκάτης.

† Κωνσταντῖνος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Μονομάχος †.

III. (6554—1046) mense maio ind. XIV.

Imperator Constantinus Monomachus concedit monachis, ut Constantinopoli deversentur in hospitio regio monachis Olympitis assignato donatque monasterio quotannis frumentum et pecuniam.

Χρυσόβουλλον τοῦ αὐτοῦ περὶ τοῦ ἀπληκεύειν τοὺς μοναχοὺς ἐν τῷ βασιλικῷ οἴκῳ, ἔνθα καὶ οἱ Ὀλυμπῖται ἀπληκεύονται.

† Ἅμα μὲν καὶ ἀρετὴν ὁσίων καὶ φιλοθέων ἀνδρῶν τιμῶσα ἡ βασιλεία ἡμῶν, ἅμα δὲ καὶ τὸ θεῖον ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλογεῖν βουλομένη, καὶ τὰ δύο ταῦτα χρηστὰ καὶ τῷ ὄντι βασιλικὰ διαπραττομένη δεῖν ᾠήθη κἀν τῇ ἐν Χίῳ τῆς ὑπεραγίας θεοτόκου Νέᾳ Μονῇ τὰ τῆς εὐεργεσίας ἐνδείξασθαι, ὡς ἂν μὴ μόνον ἐν ἠπείροις τε καὶ θαλάσσαις, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς νήσοις τὸ ταύτης ἐφαπλῶται φιλότιμον· πολὺν[1]) γὰρ οἱ ἐκεῖσε μοναχοὶ τοῦ κατὰ θεὸν βίου ποιησάμενοι λόγον καὶ ἀρετῆς, εἴπερ τινὸς ἑτέρου φροντίσαντες, ἀναλόγως τῷ βίῳ καὶ τὸν παρὰ τῆς βασιλείας ἡμῶν ἐπεσπάσαντο ἔλεον. ἔνθεν τοι καὶ τῷ περὶ τὴν ὑπεραγίαν δέσποιναν ἡμῶν θεοτόκον διαπύρῳ πόθῳ τὴν περὶ τοὺς φιλαρέτους τούτους ἄνδρας προσθέντες στοργὴν καὶ ἀγαθὸν ἀγαθῷ παραζεύξαντες, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον ἐξεθέμεθα διορισάμενοι ἐν τῷ ἀφορισθέντι τοῖς Ὀλυμπίταις μοναχοῖς ξενοδοχείῳ παρὰ τῆς βασιλείας ἡμῶν καὶ αὐτοὺς καταλύειν, ἔχειν τε εἰς καταγωγὴν ἀνωγεωκάτωγον τὸ περὶ τῶν τοιούτων ξενοδοχεῖον καὶ ἐν αὐτῷ καταμένειν, ὁπηνίκα χρεία τις αὐτοὺς ὡς τὰ ἐνταῦθα τοῦ μοναστηρίου ἀπάγοι,[2]) λαμβάνειν δ' ἐτησίως καὶ λόγῳ σιτηρεσίου σίτου μοδίους τριάκοντα καὶ νουμμίων μιλιαρίσια τριάκοντα, κατὰ τὸν καιρὸν δηλονότι, καθ' ὃν καὶ οἱ ἀπὸ τοῦ Ὀλύμπου μοναχοὶ [τὰ][3]) τυπωθέντα λαμβάνουσι σιτηρέσια, ὑστερεῖν δὲ αὐτοῖς τὸ τοιοῦτον ἐτήσιον σιτηρέσιον οὐδέποτε βουλόμεθα, οὔτε μὴν τῆς ἐν τῷ ἀνωγεωκατωγείῳ καταμονῆς τοὺς τοιούτους ἐκπίπτειν, καθὼς καὶ τὸ πρὸς τὸ σέκρετον τοῦ μεγάλου οἰκονομείου τοῦ ἁγίου Γεωργίου τοῦ Τροπαιοφόρου καταπεμφθὲν πιττάκιον τῆς βασιλείας μου διαλαμβάνει, ἀλήθεσθαί γε μὴν καὶ τοὺς καθ' ἕκαστον χρόνον παρεχομένους τοῖς μοναχοῖς τριάκοντα σίτου μοδίους καὶ ζυμοῦσθαι καὶ εἰς ἄρτον ἀποκαθίστασθαι

1) πλὴν Sak. 2) ἀπάγοιεν Sak. 3) Addit Sak.

τέλειον παρὰ τῶν τῆς μονῆς τοῦ Τροπαιοφόρου διακελευόμεθα, ἵνα μηδ' ἐντεῦθεν οἱ τῆς ἐν Χίῳ μονῆς πράγματα ἔχοιεν φυράμασι καὶ ζύμῃ προσανέχοντες καὶ περὶ τὴν ἀρτοποιΐαν ἀσχολούμενοι, ἀλλὰ τέλεον καὶ ἐν τούτῳ ἀφροντιστοῦντες θερμότατα τῆς βασιλείας ἡμῶν ὑπερεύχωνται· ὡς ἂν δὲ τὸ ἀσφαλὲς τοῖς μοναχοῖς καὶ εἰς τὸ ἑξῆς ᾖ ἐπί τε τῷ φιλοτιμηθέντι παρὰ τῆς βασιλείας μου σιτηρεσίῳ, τοῖς τριάκοντα τοῦ σίτου μοδίοις καὶ τοῖς τριάκοντα τῶν νουμμίων μιλιαρισίοις καὶ ἐπ' αὐτοῖς τοῖς οἰκήμασι, τῷ ἀνωγέῳ δηλαδὴ καὶ κατωγέῳ, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον διὰ κινναβάρεως σημειωθὲν καὶ χρυσῇ βούλλῃ τῆς βασιλείας μου πιστωθὲν ἐπεδόθη μηνὶ μαΐῳ, ἰνδ. ιδ' †.

IV. (6556—1048) mense iunio ind. I.

Imperator Constantinus Monomachus dat monasterio domum in praedio Anguriis confirmatque donationem frumenti.

Ἐπικυρωτικὸν χρυσόβουλλον τοῦ αὐτοῦ περὶ τοῦ μετοχίου Ἀγγούριον.

† Ἐπεὶ ἡ ἐν τῇ Χίῳ Νέα Μονὴ τῆς ὑπεραγίας θεοτόκου εἰς ἐπίδοσιν καὶ αὔξησιν ἐλθοῦσα, τοῦτο μὲν καὶ διὰ τῶν ἁγίων δεσποινῶν τῶν πορφυρογεννήτων, τοῦτο δὲ καὶ δι' αὐτῆς τῆς βασιλείας μου, ὅσον ἐφικτὸν σπουδασάσης τὰ εἰς σύστασιν αὐτῆς, ἐδεῖτο καὶ ἐν τῇ θεοφυλάκτῳ ταύτῃ πόλει ἀπλήπτου καὶ ἠξίωσαν περὶ τούτου ὅ τε καθηγούμενος Νικήτας τῆς τοιαύτης μονῆς καὶ ὁ συνάδελφος αὐτοῦ Ἰωάννης καὶ οἱ λοποὶ μοναχοί, ἀναγκαῖον καὶ ἀπαραίτητον αὐτοῖς τὸ τοιοῦτον ἡγησαμένη ἡ βασιλεία μου, οὐ παρεῖδε τὴν τούτων ἀξίωσιν, ἀλλὰ προθύμως καὶ εὐμενῶς ἐπήκουσεν αὐτῶν καὶ διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου σιγιλλίου, ὥςτε ἀπὸ οἰκιακῶν τῆς μονῆς τοῦ Τροπαρίου ἔχειν αὐτοὺς τὸ ἀνωγεωκάτωγον οἴκημα τὸ ὂν ὑπὸ τὴν τοποθεσίαν τῶν Ἀγγουρίων πλησίον τοῦ ἁγίου Νικολάου μετὰ τοῦ περιαυλίου αὐτοῦ καὶ τοῦ προστῴου ἡλιακοῦ καὶ τοῦ σταύλου εἰς ἀπλῆκτον, καὶ καταμένειν ἐν αὐτῷ τοὺς ἀποστελλομένους παρ' αὐτῶν μοναχοὺς ἀπερικόπως καὶ λαμβάνειν καὶ τὰ προτετυπωμένα αὐτοῖς σιτηρέσια ἀπὸ τῆς μονῆς τοῦ Τροπαιοφόρου ἀνυστερήτως, ἀνοικοδομεῖσθαι δὲ καὶ ἀνακεραμοῦσθαι τὸ τοιοῦτον οἴκημα παρὰ τοῦ σεκρέτου τοῦ Τροπαιοφόρου καὶ αὐτοὺς ἀκαινοτομήτους διατηρεῖσθαι καὶ ὑπερεύχεσθαι τῆς βασιλείας μου καὶ ἐκτελεῖν καὶ τὴν τυπωθεῖσαν αὐτοῖς ἱκετήριον εὐχὴν ἀδιαλείπτως. διὰ τοῦτο γὰρ καὶ τὸ ἀπλῆκτον αὐτοῖς εἰς τὸ διηνεκὲς δέδωκεν ἡ βασιλεία μου, ἵνα καὶ αὐτοὶ ἀπερισπάστως ἐκτελῶσι τὴν τοιαύτην εὐχὴν καὶ παράκλησιν, μὴ ἔχοντος ἐπ' ἀδείας τινός, εἴτε τοῦ κατὰ τὴν ἡμέραν οἰκονόμου τοῦ Τροπαιοφόρου, εἴτε τοῦ καθηγουμένου, εἴτε τινὸς τῶν λοιπῶν

σεκρετικῶν μετακινεῖν αὐτοὺς ἢ μεθιστᾶν ἀπὸ τοῦ τυπωθέντος ἀπλήκτου. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον διὰ κινναβάρεως ὑποσημανθὲν καὶ χρυσῇ βούλλῃ πιστωθὲν ἐπεδόθη αὐτοῖς μηνὶ ἰουνίῳ ἰνδ. πρώτης †.

V. (6560—1051) mense decembri ind. IV.

Imperator Constantinus Monomachus donat monasterio viginti quattuor inquilinos.

Σιγίλλιον τοῦ αὐτοῦ ἐν τύπῳ καὶ κατ' ὄνομα[1]) περὶ τῶν εἰκοσιτεσσάρων παροίκων.

† Ἐπεὶ καὶ ἡ βασιλεία μου ἐπικυρῶσα[2]) πρῴην διὰ χρυσοβούλλου σιγιλλίου αὐτῆς τὴν δεσποτείαν τοῦ κτήματος τῶν Καλοθηκίων τοῦ τῇ ἐν Χίῳ Νέᾳ Μονῇ τῆς ὑπεραγίας θεοτόκου διαφέροντος ἐδωρήσατο αὐτῇ καὶ ἑτέρους παροίκους εἰκοσιτέσσαρας τὸν ἀριθμόν, καθὼς ὁ περὶ αὐτῶν χρυσόβουλλος λόγος τρανώτερον διασαφεῖ, ἠδυνήθησαν δὲ οἱ μοναχοὶ τῆς δηλωθείσης μονῆς ἐφευρεῖν τοσούτους παροίκους ἀτελεῖς καὶ ἀπηλλαγμένους ὄντας παντὸς βάρους καὶ στρατιωτικοῦ λειτουργήματος, δεῖν ἐλογίσατο ἡ βασιλεία μου τῷ παρόντι σιγιλλίῳ τὰς ὀνομασίας αὐτῶν ἐγγραφῆναι καὶ τὸ ἀσφαλὲς τῇ μονῇ διὰ τοῦτο ἐπιβραβευθῆναι. οἱ δὲ τοιοῦτοι πάροικοι καὶ τῷ κτήματι τῶν Καλοθηκίων προσμενοῦσι καὶ ἐλευθερίας πάσης καὶ ἐξκουσσείας εἰς τὸ διηνεκὲς ἀπολαύσουσι καὶ οὐδεμίαν ὄχλησιν καὶ καινοτομίαν ὑπό τινος ὑποστήσονται καὶ ἐκεῖθεν μεταστήσονται, εἰ μή που τυχὸν εὑρεθείη τις δημοσιακοῖς τισιν ὑποκείμενος λειτουργήμασιν· ὁ γὰρ οὕτως ἔχειν διαγινωσκόμενος οὐδεμίαν ἄνεσιν ἢ βοήθειαν ἕξει ἀπὸ τοῦδε τοῦ σιγιλλίου, ἀλλὰ πρὸς τὰ οἰκεῖα βάρη ἐπαναχληθήσεται· κατὰ δὲ τὸν καιρὸν τῆς ἀναγραφῆς, ἐμφανιζομένου τοῦ παρόντος σιγιλλίου τῆς βασιλείας μου . . . καὶ κατ' ὄνομα τούτων διὰ τοῦ ἀναγραφέως τῇ μονῇ προσεπιδοθήσεται εἰς οἰκείαν ἀσφάλειαν.

Τὸ δὲ τῶν τοιούτων παροίκων πρὸς ὄνομα[3]) τῶν ἐν τῷ ῥηθέντι προσκαθεζομένων κτήματι τῶν Καλοθηκίων ἔστιν οὕτως· Εὐστάθιος ὁ Βουρκανός, Νικόλαος ὁ Παργιανός, Ἰωάννης ὁ Ξυλοσελᾶς, Λέων ὁ Καμιλαϊλᾶς, Νικόλαος Ἀσπρομμάτης, Ἰωάννης πρεσβύτερος ὁ Στροῦλος, Γεώργιος ὁ Καλαφάτης, Μόσχος ὁ γαμβρὸς αὐτοῦ, ὁ Λιβανὸς τοῦ Ἀνηφαντάρη, Ἰωάννης ὁ Κολάτος, Γεώργιος ὁ Παντοχρατορινός, Γεώργιος ὁ Λοῦλος, Γεώργιος ὁ Ψωριανός, ὁ Μαζάγρελος, Νικόλαος ὁ Σαρακηνόπουλος, Πασχάλιος ὁ Κάνταλος, Μηνᾶς ὁ Σεληνιακός, Γεώργιος ὁ Μακρός, ὁ Πολυπέτζης, Βασίλειος ὁ Θεοχάριστος, Ἰωάννης ὁ Κρατηρός, Θεόδωρος ὁ Γλαυ-

[1]) Emendavit Sak. ex: κατ' ὀνόματος. [2]) ἐπικυροῦσα Sak. [3]) Locus suspectus.

κιώτης, Χρυσάφης ὁ Τσικαλᾶς καὶ ὁ Κατωπτελείτης. καὶ ἵνα ἔχοιεν ἐπὶ τούτοις οἱ μοναχοὶ τὸ ἀσφαλὲς καὶ ἀμέριμνον, τὸ παρὸν [χρυσόβουλλον σιγίλλιον] διὰ κινναβάρεως σημανθὲν καὶ τῷ βουλλωτηρίῳ τῆς βασιλείας μου πιστωθὲν ἐπεδόθη αὐτοῖς μηνὶ δεκεμβρίῳ ἰνδ. δ'.

VI. (6587—1079) mense iunio ind. II.

Imperator Nicephorus Botaniata confirmat privilegia monasterii.

Τὸ ἐπικυρωτικὸν χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου.

† Εἰ [παρὰ][1]) τῶν προηγησαμένων ἀοιδίμων βασιλέων πολλῶν καὶ μεγαλοπρεπῶν ἔτυχον δωρεῶν καὶ χαρίτων καὶ διαφόρων εὐεργεσιῶν οἱ ἐν τῇ νήσῳ Χίῳ ἀσκούμενοι ἀμφὶ τὸ ἱερὸν φροντιστήριον, ὃ Νέα Μονὴ ἐπικέκληται, ἐπ' εὐσεβείᾳ δὲ καὶ πίστει τιμᾶται πολλῇ, ὀνόματι τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ὥσπερ ἀπό τινος ἐράνου τῶν φιλοτίμων ἐκείνων ψυχῶν καὶ τῷ ὄντι βασιλικωτάτων τὰς χάριτας διεδέξαντο, πολλῷ πλέον καὶ παρὰ τοῦ κράτους ἡμῶν ἄξιοι γένοιντ' ἂν δαψιλεστέρων τυχεῖν ἀγαθῶν καὶ ἀφθονωτέρας ἐπικουρίας μετασχεῖν· ἐφ' ὅσον γὰρ πάντοθεν τούτοις προσεγένετο τὸ ἀπερικλόνητον καὶ ἀμέριμνον, ἐπί τε τῇ αὐτοδεσπότῳ συστάσει τῆς κατ' αὐτοὺς σεβασμίας μονῆς καὶ τῇ ἀπολήψει τοῦ σολεμνίου, τῶν τυπωθεισῶν αὐτοῖς δίδοσθαι δύο λιτρῶν κατὰ τὸ ἐτήσιον ἐκ τῆς ῥόγας τοῦ τῶν πρωτοσπαθαράτων τάγματος καὶ ἐξκουσσεία πλείων κεχάρισται καὶ πεντεκαίδεκα Ἰουδαίων φαμελιῶν κεφαλητίων καὶ [παντὸς] βάρους [καὶ][2]) παντοίας ἐπηρείας ἄνεσις καὶ ἄλλα τὰ διαφόρως τοῖς ὁσίοις ἀνδράσι λυσιτελοῦντα, οὐχ ἧττον δὲ καὶ τῇ σεβασμίᾳ τούτων μονῇ ἐπὶ τοσοῦτον ὁ χρόνος τὰς εἰς αὐτοὺς ἐναπέσβεσε χάριτας καὶ οἷον εἰπεῖν εἰς[3]) ζόφον βαθὺν συνεκάλυψεν· ἔτι γὰρ ἡ μνήμη τούτων τῷ τῆς λήθης ἐναπερρίφη βυθῷ καὶ πτῶσιν πάντα εἰλήφη καὶ σύγχυσιν καὶ οὐδητισοῦν ἡ ὠφέλεια. ἐντεῦθεν ὀδύναι καὶ [λῦπαι][4]) συνεῖχον καὶ στεναγμοὶ τοὺς οὕτω κατὰ θεὸν ζῶντας ἀσκητὰς ὁσίους καὶ πολιτείαν διαβιοῦντας θεάρεστον, ὅτι τε πάντοθεν τὰ ἐναντία προσέρρει αὐτοῖς καὶ ἡ κατὰ θεὸν σπουδὴ ταῖς βιωτικαῖς τρικυμίαις προσανεκόπτετο καὶ ἄνεσις ἢ στάσις τῶν κακώσεων οὐκ ἐξῆν, ἀλλ' ἀπιδόντες πρὸς τὴν τοῦ κράτους ἡμῶν εὐμένειαν ταχεῖαν ἀπαλλαγὴν εὑρίσκουσι τοῦ ἀλγήματος· ἃ γὰρ ἐξαμαράνθη τούτοις τῷ χρόνῳ καὶ οἷον ἀπεσβέσθη χαρίσματα, ᾐτήσαντο [παρὰ][5]) τοῦ κράτους ἡμῶν καινισθῆναι ταῦτα αὐτοῖς καὶ ὥσπερ ἀπό τινος βλάστης τῆς

[1]) Apogr. οἱ τῶν. [2]) Supplevit Sak. [3]) Supplevit Sak. [4]) Supplevit Sak. [5]) Supplevit Sak.

ἡμετέρας προστάξεως ἀναδοθῆναι τούτοις διὰ τῆς παρούσης χρυσοβούλλου γραφῆς δαψιλῆ καὶ πολύφορα τὰ καλά. καὶ δῆτα τοιαύτην αὐτοῖς ἡ βασιλεία μου τὴν χάριν χαρίζεται· πρωτοτύπως καὶ γὰρ ἐπώρθωσεν αὐτοῖς τὸ τῶν δύο λιτρῶν σολέμνιον διὰ πιττακίου αὐτῆς εἰς τὸ τοῦ μεγάλου σακελλαρίου καταπεμφθέντος σέκρετον διοριζομένου, ἵνα καθὼς πρῴην ἐν τῷ πράγματι τῶν πρωτοσπαθαράτων αὐτὸ ἐλάμβανον, λαμβάνωσι τοῦτο καὶ καθεξῆς. εἶθ' οὕτως εἰς ἀνακαινισμὸν τῶν ἤδη τῷ χρόνῳ σβεσθέντων [1]) χρυσοβούλλων αὐτῶν ἀνανεοῖ ταῦτα ἡ βασιλεία μου καὶ ἐπικυροῖ καὶ τὰς περιλήψεις αὐτῶν πάσας καὶ διατάξεις [καὶ][2]) διατρανοῖ τὰ ἤδη προγεγενημένα χρυσόβουλλα σιγίλλια παρά τε τῶν μακαριτίδων δεσποινῶν καὶ τῶν ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμων βασιλέων, τοῦ τε κυροῦ Κωνσταντίνου τοῦ Μονομάχου, τοῦ κυροῦ Ἰσαακίου τοῦ Κομνηνοῦ, [τοῦ] κυροῦ Διογένους τοῦ Ῥωμανοῦ [καὶ τοῦ] κυροῦ Μιχαὴλ τοῦ Δούκα, θεσπίζουσα τὸ ἐνδύναμον ἔχειν κατὰ πάντα καὶ ἐνεργεῖν τὰ τοιαῦτα καὶ ὡς παρ' αὐτῆς τῆς βασιλείας μου ἐκφωνηθέντα τε καὶ ὁρισθέντα οὕτως ἰσχύειν καὶ τὸ ἐνδύναμον ἀποφέρεσθαι. διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων καὶ τῶν βασιλικῶν κουρατωριῶν, εἰδικῶν, γηροτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ Φύλακος, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθερίου καὶ τῶν Μαγγάνων, οἰκιστικῶν καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων, χαρτουλαρίων καὶ βασιλικῶν νοταρίων, ἔτι δὲ δομεστίκων τῶν σχολῶν, κατεπάνω, στρατηγῶν τῆς Χίου καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κούρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων, πρωτοκεντάρχων βασιλικῶν τῶν κάστρων, καστροφυλάκων, καστροκτιστῶν, βεστιαριτῶν, μανδατόρων πρέσβεις ἀγόντων ἢ ἐξορίστους ἢ ἐθνικοὺς ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, προελευσιμαίων βασιλικῶν καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων, πρὸς τούτοις κριτῶν, ἐποπτῶν, ἀναγραφέων, στρατευτῶν, βασιλικῶν [ἀνθρώπων][3]) εἴς τινας δουλείας ἀποστελλομένων, πρωτονοταρίων, νοταρίων, συνωναρίων, ὡρειαρίων, τοποτηρητῶν, παραφυλάκων καὶ παντὸς ἑτέρου δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐξ οἱασδήτινος προφάσεως ἐπ' ἀδείας ἔχειν ἀθετεῖν τι τῶν παρὰ τῆς βασιλείας μου διωρισμένων καὶ ἀναγεγραμμένων ἐνταῦθα ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου σιγιλλίου, γενομένου

---

[1]) σεβασθέντων **Sak.** [2]) καὶ **proposuit Sak.** [3]) ἀνθρώπων **supplevit Sak.**

κατὰ τὸν ἰούνιον μῆνα τῆς β′ ἰνδ., ἐν ἔτει ϛφπζ′, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Νικηφόρος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Βοτανειάτης †.

VII. (6767—1259) mense aprili ind. II.

Imperator Michaël Palaeologus confirmat monasterio omnes possessiones.

Μιχαὴλ Παλαιολόγου χρυσόβουλλον περὶ πάντων τῶν μετοχίων τῆς μονῆς.

† Τὸν ζῆλον ἐκ τῶν παραδειγμάτων φασὶν ἔχειν τὴν κίνησιν· προηγεῖται δὲ ταύτης ἐπαινετὴ διάθεσις τῆς ψυχῆς, ἐπιτήδειον ἔχουσα προσὸν τὴν κίνησιν [1]· συμπέφυκε γὰρ τοῖς ἔξωθεν τὰ ἐντὸς καὶ τὴν σύνοικον κατάστασιν διεμφαίνει [2]) ἡ πρὸς τὰ ἔξω ῥοπή, εἴ τι δὲ τούτων οὐ συνέλθη [3]), βλάπτει τὴν τελειότητα, ὡς τῆς συνδρομῆς τῶν ὅλων συντελεστικῆς οὔσης τῆς καταστάσεως [4]). ἀλλ' εἰς τί ταῦτα τῇ βασιλείᾳ μου λέλεκται; ὁ τιμιώτατος καθηγούμενος τῆς κατὰ τὴν νῆσον Χίον διακειμένης περιωνύμου μονῆς τῆς ὑπεραγίας θεοτόκου τῆς οὕτω πως ἐπονομαζομένης Νέας, ζῆλον ἐζήλωσε τῇ τε πολιούχῳ τῆς κατ' αὐτὸν μονῆς πανυπεράγνῳ δεσποίνῃ ἡμῶν καὶ θεομήτορι καὶ δι' αὐτῆς τῷ ταύτης υἱῷ καὶ θεῷ, ᾧ τὰ κατὰ μέρος ἀνάγεται [5]) ἀγαθά, ἐζήλωσε δέ, ἀπὸ μὲν τῶν ἐκτὸς παραδειγμάτων ἡγμένος καὶ κινηθείς, ὅσα πολλὰ διὰ τῆς χάριτος τοῦ ὁδηγήσαντος [6]) αὐτὴν Χριστοῦ ἡ βασιλεία μου τετελείωκεν, ἀπὸ δὲ τῶν ἐντὸς ὑπὸ τῆς ἀγαθῆς ἐλπίδος ὁρμηθεὶς καὶ τῆς χρηστῆς εὐνοίας αὐτοῦ. διὰ δὴ ταῦτα [7]) καὶ κατ' ἐπίγνωσιν ὁ ζῆλος αὐτοῦ καὶ ἡ μίμησις τούτων [8]) κατ' εὔνοιαν καὶ εὐγνωμοσύνην καὶ [ζῆλον] [9]) ἐνδιάθετον. ἐπεὶ οὖν ἡ βασιλεία μου ἐπὶ τῷ θεμελίῳ τῆς θείας ἐλπίδος ἑδραζομένη καὶ ἕνεκεν τῆς ἀληθείας καὶ τῆς πρᾳότητος, εἴτ' οὖν τῆς ἀγαθωσύνης καὶ τῆς δικαιοσύνης καὶ ἐντείνεσθαι καὶ κατευοδοῦσθαι καὶ βασιλεύειν πιστεύσασα καὶ ἐκ [10]) τοῦ θεοῦ δίκαιον κρίνουσα τῆς ἀποκαταστάσεως ἄρξασθαι ταῖς ἑκασταχοῦ μοναῖς χρυσοβούλλους λόγους αὐτῆς ἐπεβράβευσε, τοῖς γεγονόσι παραδείγμασι κεχρημένος καὶ [11]) πεπεισμένος τῇ ἔνδον εὐνοίᾳ, ὡς οὕτως ἔσται αὐτῷ, ἐξ ἀμφοτέρων τούτων εἰς

---

[1]) **Cod. Gerasimi archiepiscopi:** ἐπιτηδείως ἔχουσα πρὸς τὴν κίνησιν [2]) διεκφαίνει **Sak.** [3]) τοῦτο οὐ συνέλθει **Sak.** [4]) ἐκβάσεως **cod. Ger.** καταβάσεως **Sak.** [5]) ἀνάγονται **Sak.** [6]) **Sakellion et cod. Ger.** βασιλεύσαντος [7]) **Sic pro** πάντα **legendum proponit Sakellion.** δι' ἃ δὴ **cod. Ger.** [8]) τούτῳ **Sak. et cod. Ger.** [9]) κατ' εὐνοΐχὴν εὐγνωμοσύνην καὶ ἐνδιάθετον **cod. Ger.** [10]) κὰκ **cod. Ger.** [11]) ἢ **Sak.**

τὸν ζῆλον κατέστη καὶ ζηλώσας τῆς βασιλείας μου ἐδεήθη τῶν ἴσων τοῖς ἄλλοις τυχεῖν, ὥστε δηλαδὴ διὰ χρυσοβούλλου τῆς βασιλείας μου ἐπικυρωθῆναι τῇ κατ' αὐτὸν μονῇ πάντα τὰ προσόντα αὐτῇ [1]) δίκαια, ὡς [ἂν] ἀνενοχλήτως ταῦτα κατέχῃ καὶ παντὸς ἀνώτερα διασεισμοῦ. ἡ βασιλεία μου τοίνυν τὸ ἄξιον ποιοῦσα καὶ τῷ ζήλῳ καὶ τῇ τούτου εὐνοίᾳ καὶ τῇ πανυπεράγνῳ θεομήτορι καὶ δι' ἁπάντων [2]) τούτων τῷ θεῷ ἀφοσιοῦσα τὰ καθήκοντα, τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῷ ἐπιχορηγεῖ, δι' οὗ καὶ διορίζεται, κατέχειν τὴν ῥηθεῖσαν Νέαν Μονὴν τῆς πανυπεράγνου θεομήτορος καὶ δεσπόζειν κατὰ κυριότητα καὶ αὐθεντίαν τὰ προσαρμόσαντα αὐτῇ δίκαια ὁθενδήποτε καὶ ὁπωσδήποτε καὶ παρ' ὁποιουδήτινος [3]) προσώπου προσκυρωθέντα καὶ παρ' αὐτῆς [4]) δεσποζόμενα καὶ κατεχόμενα· ἐπικυροῖ γὰρ ἡ βασιλεία μου τῇ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς [τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ] πάντα τὰ προσόντα [αὐτῇ] παλαιγενῆ καὶ πρόσφατα δικαιώματα, ἐφ' οἷς κέκτηται ἅπασι καὶ διὰ τούτων τῶν κτημάτων αὐτῆς καὶ τῶν πραγμάτων κυρίαν καὶ ἀπαρασάλευτον αὐτῇ περιποιεῖται τὴν δεσποτείαν, ἃ καὶ ῥητῶς τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου ἐγκαταγράφονται· οἰκήματα ἐντὸς τοῦ κάστρου, περιβόλια, ἐρειποτόπια, λοετρὰ δύο, καὶ ἐκκλησία ἡ οὕτω πως ὀνομαζομένη τὸ Πολιτικόν. ἑτέρα ἐκκλησία ἡ Παντοδύναμος μετὰ τῆς περιοχῆς αὐτῆς. ἑτέρα ἐκκλησία ὁ Ἅγιος Νικόλαος μετὰ τῆς περιοχῆς αὐτῆς. [5]) αἱ ἀποθῆκαι αἱ πλησίον οὖσαι τῆς θαλάσσης καὶ οἱ δύο δουλευτοπάροικοι οἱ ἐν τῷ Ἐμπορίῳ προσκαθήμενοι, ὅ τε Νικόλαος ὁ Εὐρυπιώτης καὶ Γεώργιος ὁ Κάμαρος. μετόχιον εἰς τὸν Κάμπον τὸ εἰς τὰ Νεώνητα διακείμενον μετὰ τῆς ὑπ' αὐτὸ ἀροσίμου γῆς τῆς ὁπουδήποτε διακειμένης καὶ τῶν ὀπωροφόρων δένδρων ἐλαιῶν τε καὶ ἀλλοίων. κῆπος ὁ λεγόμενος Πλατάνιον μετὰ τῆς ὑπ' αὐτὸν ὑπέργου γῆς καὶ νομαδιαίας καὶ τῶν κλημματοφόρων δένδρων καὶ τῶν ἀπὸ τοῦ Κοδράτου ἐξωνηθέντων [6]) παρὰ τῆς μονῆς καὶ τῶν ἐκεῖσε προσκαθημένων δουλευτοπαροίκων τεσσάρων, οὓς ἔχει καὶ διὰ πρακτικοῦ ἡ μονή. ἕτερον μετόχιον οἱ Ἅγιοι Τεσσαράκοντα μετὰ τῆς περιοχῆς αὐτοῦ πάσης καὶ τῶν περιελθόντων αὐτῇ ἀπὸ τῶν Χειλάδων. τὰ πέριξ τῆς μονῆς ἀγρίδια ἤγουν τὰ [7]) Ἀκρίτα μετὰ πάσης τῆς ἀρχῆθεν αὐτοῦ περιοχῆς καὶ διακρατήσεως. ἕτερον μετόχιον ἡ Ἁγία Τριὰς μετὰ τῶν ὑπ' αὐτὸ πάντων. ἕτερον μετόχιον τὸ κατὰ τὸ [8]) Γεροντεῖον μετὰ πάσης τῆς περιοχῆς αὐτοῦ καὶ διακρατήσεως καὶ μέχρι τῶν Κωμάρων διικνουμένης. ἕτερον ἀγρίδιον ἡ Πλάτανος μετὰ τῆς αὐτοῦ ὑπέργου γῆς

---

[1]) τὰ κατὰ τὴν μονὴν πάντα τὰ προσόντα αὐτῇ δ. et κατέχοι, ἀνωτέρου Sakellion; lectio nostra est codicis cod. Ger. [2]) διὰ πάντων cod. Ger. [3]) Quae sequuntur, desunt in cod. Ger. [4]) emendavit Sak. ex αὐτοῖς [5]) αὐτοῦ Sak. [6]) ἐξωνισθέντων Sak. [7]) τ' Sak. [8]) Addit Sak.

καὶ μέχρι τοῦ Ὑδροποσίου καὶ τοῦ Κοχλίου περιοριζομένης. τόπος νομαδιαῖος μετὰ τῶν σπηλαίων καὶ τῆς Φιλαντρίας. μετόχιον τὸ εἰς τὴν Χαλαζουσίαν διακείμενον μετὰ τῶν ἐν αὐτῷ δύο ἐκκλησιῶν [τὴν] τοῦ ἁγίου μεγαλομάρτυρος Ἰσιδώρου καὶ τὴν τῆς ὑπεράγνου θεοτόκου τῆς Πλουμαριώτισσας καὶ τῶν ὑπ' αὐτὰ χωραφίων καὶ τόπων ὁπουδήποτε διακειμένων, δένδρων ὀπωροφόρων καὶ σχίνων. χωράφια τὰ εἰς τὰ Δότια, οἷα καὶ ὅσα εἰσί. μετόχιον τὸ Συχέου μετὰ τῆς ὑπ' αὐτὸ ἀροσίμου γῆς καὶ νομαδιαίας καὶ πάσης τῆς ἀρχῆθεν αὐτοῦ περιοχῆς καὶ διακρατήσεως. εὐκτήριον ἡ ἁγία Ἀναστασία μετὰ τῶν ὑπ' αὐτὴν παροίκων δύο. οἱ προσκαθήμενοι εἰς τὴν Χαλαζουσίαν μετὰ τῶν παίδων αὐτῶν. χωράφια τῶν Κολοφούντων μετὰ τῶν ἐλαϊκῶν δένδρων. μετόχιον τῶν Σιδερούντων μετὰ τῶν ὑπ' αὐτὸ ἐλαϊκῶν δένδρων καὶ ὀπωροφόρων καὶ πάσης τῆς ἔξω περιοχῆς καὶ διακρατήσεως. χωράφια περιελθόντα τῇ μονῇ ἀπὸ τοῦ Πολυχρασᾶ. πάροικοι οἱ προσκαθήμενοι εἰς τὸ μετόχιον τῶν Σιδερούντων, ὧν ὁ μὲν εἷς Ἰωάννης ὁ Εὐπραγιώτης μετὰ τῶν παίδων αὐτοῦ ἐνυπόστατος καὶ οἱ ἕτεροι δύο ἀνυπόστατοι. μετόχιον ὁ Ἅγιος Γεώργιος τὸ ἐν τῇ περιοχῇ τοῦ Ἀγγέλου διακείμενον μετὰ τῶν ἀνηκόντων αὐτῷ πάντων καὶ τῶν περιελθόντων αὐτῷ ἀπὸ δωρεᾶς καὶ ἐξ ἀγορασίας καὶ τοῦ ὑπ' αὐτὸ μυλῶνος. ἕτερον μετόχιον τὸ Καρδαμύλιον μετὰ τῆς ὑπ' αὐτὸ ἀροσίμου γῆς καὶ νομαδιαίας, τῆς βρύσεως καὶ πάντων τῶν περὶ αὐτὸ σὺν τοῖς οἰκήμασι τοῦ πύργου καὶ τῷ μυλῶνι. μετόχιον τὸ ἐξαλειφθὲν ὑπὸ τῶν κουρσάρων τὸ οὕτω πως ἐπιλεγόμενον Τευθὶν μετὰ τῆς ἐξ ἀρχῆθεν αὐτοῦ περιοχῆς καὶ διακρατήσεως. τὰ χωράφια τῶν Παρπάντων[1]) τὰ διακείμενα εἰς τοῦ Ἀρογεύτου καὶ εἰς τὸ χωρίον τὸ Πιτυοῦς. μετόχιον εἰς τὸ Πέραμα, ὁ Ἅγιος Εὐστράτιος, τὸ ἐπιλεγόμενον Ἀναχωρίας, ὃ περιῆλθε τῇ μονῇ ἀπὸ προσενέξεως τοῦ Εὐδαιμονίτζη ἐκείνου μετὰ τῆς ὑπ' αὐτὸ ἀροσίμου γῆς καὶ νομαδιαίας καὶ τῶν περιελθόντων αὐτῇ χωραφίων ἀπό τε προσενέξεως καὶ ἐξ ἀγορασίας τῆς μονῆς σὺν τῷ εὐκτηρίῳ τοῦ τιμίου Προδρόμου, τῷ περιελθόντι τῇ μονῇ ἀπὸ τοῦ Βογδάνου μετὰ τῶν ἐν αὐτῷ συκομορεῶν.[2]) μετόχιον ὁ Ἅγιος Γεώργιος εἰς τὰ Κανάλια τὸ εἰς τὸ θέμα τοῦ Ἁλμυροῦ καὶ εἰς τὴν κουρατορίαν τοῦ Βελεστίνου διακείμενον μετὰ τῶν ὑπ' αὐτὸ ἀμπελίων, χωραφίων, ὀσπητίων, ὀπορωφόρων δένδρων, γῆς τε ὑπέργου καὶ νομαδιαίας καὶ τῶν ἐν αὐτῷ προσκαθημένων παροίκων. ἀμπέλια καὶ ὀσπήτια τὰ ἐν τῷ Ἁλμυρῷ καὶ τὰ ἀπὸ τοῦ Ὑαλέα περιελθόντα τῇ μονῇ καὶ τὰ σανδάλια ταύτης, ἅπερ ἔχει ἐξκουσσευόμενα ἀπὸ πάσης ἐπηρείας καὶ ὀχλήσεως, ἤγουν κουμερκίου, ἀγγαρείας[3]) καὶ παντοίας [δόσεως] καὶ τῶν λοιπῶν ζητημάτων. τὰ δηλωθέντα τοίνυν κτήματα, μετόχια,

[1]) τῶν Παρπάντων χωράφια τὰ δ. **Sak.** [2]) συκομωρεῶν **Sak.** [3]) ἀγγαρίας **Sak.** **etiam infra.**

προάστεια, ἀγρίδια καὶ τοὺς ἐν αὐτοῖς προσκαθημένους παροίκους ἔσται κατέχουσα ἡ τοιαύτη μονὴ τῆς ὑπεράγνου θεομήτορος κατὰ ἀναφαίρετον δεσποτείαν καὶ κυριότητα αὐτοδέσποτον καὶ ἐφ' ἅπασιν ἀδιάσειστον καὶ ἐπὶ τοῖς γινωσκομένοις ἀκαταζήτητον καὶ ἐπὶ τοῖς γνωσθησομένοις ἀνεπίγνωστον· ἀναιρεῖ γὰρ ἡ βασιλεία μου πᾶσαν προφάσεως παρείσδυσιν[1]) τοῖς ὁπωσδήποτε ἐπηρεάζουσι καὶ πονηρὰ ἢ ἐνεργοῦσι ἢ βουλεύουσι[2]) ἢ δι' ἑαυτῶν ἢ δι' ἑτέρων ἢ τὰ νῦν ἢ τὰ ὕστερον. εἴ τι γὰρ εὑρημένον ἐστὶ τοῖς κακουργοῦσιν ἢ εὑρεθήσεται, εἴτε ἀγγαρείας ἐπινόημα ἢ παραγγαρείας ἢ ζημίας ἢ ψωμοζημίας ἢ καστροκτισίας ἢ κατεργοκτισίας ἢ σιταρκίας ἢ πλωίμων ἢ κονταράτων ἢ συνδοσίας ἢ ἐξελάσεως ἢ τοῦ τυχόντος κεφαλαίου ὀνομαζομένου ἢ ὀνομασθησομένου, ταῦτα πάντα περιαιρεῖ ἡ βασιλεία μου ἀπὸ τῆς τοιαύτης μονῆς, ὡς καὶ τὰ ἐπικείμενα αὐτῇ τρία νομίσματα[3]) ὑπὲρ τοῦ κεφαλαίου τῆς σιταρκίας χάριν τῶν ἐξ ἀγορασίας περιελθόντων τῇ τοιαύτῃ μονῇ χωραφίων ἐν τῷ μετοχίῳ τοῦ ἁγίου Εὐστρατίου ἐκκοψάσης τῆς βασιλείας μου. ὅθεν καὶ τοῦ μέλλοντος ἀσφαλιζομένου, οἷς ἡ βασιλεία μου τῷ παρόντι χρυσοβούλλῳ λόγῳ αὐτῆς κατοχυροῖ, πρὸς τὴν ἀσφάλειαν τῶν ῥητῶς ἐμπεριειλημμένων ἐν αὐτῷ καὶ τὰ μὴ ῥητῶς περιωρισμένα, ὡς ἄγνωστα ἢ ἀνονόμαστα ἢ ἀνεφεύρετα προσαναιρεῖ καὶ ἀνατρέπει καὶ μὴ ἐπιγνωσθέντα ἡ βασιλεία μου, ὡς ἂν κἀκ τῆς περιποιήσεως τῆς παντελοῦς ἀνενοχλησίας τοῖς μοναχοῖς μισθοῦ δόσις ἔρχηται τῇ βασιλείᾳ μου, ὡς ἐρρωμένου καὶ ἀρραγοῦς καὶ ἀπαρεγχειρήτου διαμένειν ὀφείλοντος τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου εἰς τὸν αἰῶνα τὸν ἅπαντα τῇ χάριτι τοῦ Χριστοῦ. τοῦ ἐπιχειρήσοντος κατά τι παρασαλεῦσαι τὰ διωρισμένα παρὰ τῆς βασιλείας μου ἢ ὁπωσδήποτε διασεῖσαι ὑφορωμένου μετὰ τῆς θείας ἀγανακτήσεως καὶ τὴν ἀπὸ τῆς βασιλείας μου ὀργὴν καὶ ἀποστροφὴν ἐπὶ τούτῳ [ἐκφωνεῖ. παρακελεύεται δὲ][4]) καὶ οὕτως ἀπερίτρεπτον ὡς εἴρηται διαμένειν τὸν παρόντα χρυσόβουλλον λόγον τῆς βασιλείας μου, γεγενημένον κατὰ μῆνα ἀπρίλιον τῆς δευτέρας[5]) ἰνδ. τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑξηκοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Μιχαὴλ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Edidit Sakellion ex apographo in Ephemeride, cui nomen: Πανδώρα, ***Athenis 1867, tom. XVII., p. 553—561. Pars acti VII. exstat etiam in cod. archiepiscopi Gerasimi, qui asservatur in bibliotheca cl. v. Rhallis Athenis. Apographum huius fragmenti debemus humanitati eruditissimi viri Zachariae a Lingenthal.***

---

1) **Corr. Sak.** pro παρείδησιν. 2) βούλονται **Sak.** 3) τῶν τριῶν ἐπικειμένων νομισμάτων **Sak.** 4) **Sak. indicat lacunam.** 5) **Sic Sak. pro** ἑβδόμης.

II.

Acta insularum ionicarum.

I. 6736—1228, mense iunio ind. I.

Theodorus Angelus, imperator Epiri, metropolitae Georgio Bardani confirmat privilegia et possessiones ecclesiae Corcyrensis.

† Ὁ πανιερώτατος μητροπολίτης Κερκύρας καὶ τῇ βασιλείᾳ μου τιμώμενος διὰ τὴν αὐτοῦ ἀρετήν, | ὁ κύριος Γεώργιος, προσελθὼν τῇ βασιλείᾳ μου ἐνεφάνισεν αὐτῇ τὰ τῇ ἐκκλησίᾳ | αὐτοῦ ἀποτεθημένα ἔγγραφα διάφορα δικαιώματα, ἤγουν βα|σιλικὰ χρυσόβουλλα καὶ λοιπά. ἐλιπάρησε γοῦν τὴν βασι|λείαν μου, ἵνα τὸ κῦρος δέξωνται ταῦτα παρὰ τῆς βασιλείας μου καὶ βε|βαιωθῶσι στερεμνιωτέρως. προσεδέχθη γοῦν ἡ τούτου παρά[κλησις],[1]) ὅτι καὶ δικαία· καὶ | γὰρ τὰ δηλωθέντα δικαιώματα παρ' εὐσεβῶν βασιλέων, μᾶλλον δὲ καὶ προγό|νων τῆς βασιλείας μου συνετέθησαν καὶ τὸν χρόνον ἔχουσι συνεργὸν καὶ συνήγορον· | πολυετία γὰρ ἐξότου μακρὰ τῇ τῆς Κερκύρας ἐκκλησίᾳ ἐχορηγήθησαν τὰ τοιαῦτα | δικαιώματα, διὸ καὶ πρέπον ἐστίν, ἵνα εὐσεβῶν βασιλέων θεοφιλέσι πράξεσι | θεοφιλὴς ἐπικουρῇ βασιλεύς. ἂν γὰρ ἀνηβάσκωσι τὰ καλά, ἂν ἐκκαλῶνται | πρὸς ἀναθήλησιν, ἀθανασία τούτοις μηχανηθήσεται τ[ε]χνητή, καὶ ἀειζωΐα χρό|νῳ μὴ δαπανωμένη τῷ πανδαμάτορι. ὅσα τοίνυν οἱ μακαριστοὶ βασι|λεῖς τῶν Ῥωμαίων ἐκεῖνοι τῇ Κερκυραίᾳ ἐφιλοτιμήσαντο ἐκκλησίᾳ διὰ | χρυσοβούλλων προσταγμάτων αὐτῶν, οἰκειοῦται ἡ [βα]σιλεία μου καὶ ὡς δωρή|ματα ἑαυτῆς εἰσοικίζεταί τε καὶ ἀποδέχεται καὶ διορίζεται, ἵνα τὸ βέβαιον καὶ ἀ|μετακίνητον ἀποφέρωνται[2]) τὰ τοιαῦτα κατὰ πάσας τὰς δυνάμεις καὶ περιλήψεις | αὐτῶν καὶ ὡς παρ' αὐτῆς τῆς βασιλείας μου ἀποτεθημένα[3]) σεβάζωνται[4]) παρὰ τῶν κατὰ και|ροὺς ἐνεργούντων τὴν Κέρκυραν νῆσον καὶ τὸ τῆς Βαγενετίας θέμα· τῷ γὰρ παραβά|τῃ κατ' ἴχνος[5]) ἐφέψεται ἡ τῆς βασιλείας μου ἐπιτεταμένη ὀργή.

Ἔχουσι δὲ τὰ δηλωθέντα δικαιώματα | οὕτως· χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως καὶ προπάππου τῆς βασιλείας μου, κυροῦ Ἀλεξίου | τοῦ Κομνηνοῦ ἐπιβραβεῦον καθολικῶς πᾶσαν καὶ παντοίαν ἐλευθερίαν καὶ τὸ μηδα|μῶς ἐπηρεάζεσθαί τι τῶν τῆς μητροπόλεως, οὔτε πάροικον, οὔτε κληρικόν, οὔτε δουλευτήν, μη|δὲ εἰς

[1]) Guidi supplet: παραίτησιν. Male. [2]) ἀποφέρονται Guidi [3]) ἐκτεθημένα Guidi [4]) σεβάζονται Guidi [5]) Guidi: καθ' ἦχον.

ὁπανδήτινα δουλίαν ἢ δόσιν καθέλκεσθαι. ἕτερον χρυσόβουλλον τ[οῦ] ἀειμνήστου | βασιλέως καὶ θείου τῆς βασιλείας μου κυροῦ Μανουήλ, ἐν ᾧ διαλαμβάνεται δωρεὰ παρ|οίκων ὀγδοήκοντα καὶ οἰκίαι κληρικῶν τεσσαράκοντα. ἑτέρα δωρεὰ ἁγιοδούλων | τριάκοντα. ὁμοία[1]) δωρεὰ ἑτέρα ἁγιοδούλων[2]) τριάκοντα, ἐν ᾗ μνήμη καὶ προγενεστέρας[3]) δωρεᾶς ἑκατὸν εἴ|κοσι παροίκων κατὰ διαφόρους καιροὺς δωρηθέντων τῇ ἐκκλησίᾳ· δωρεὰ ἔτι ἑτέρα εἴκοσι τεσσάρων οἰκιῶν ἐξ|κουσσατεύτων ἐντὸς τοῦ κάστρου καὶ ἐκτὸς πεντήκοντα. σιγίλλιον τοῦ αὐτοῦ ἀοιδίμου βασιλέως κυροῦ Μανουὴλ διδὸν παροίκους ἐλευθέρους καὶ ἀτελεῖς εἴκοσι ὡς εἶναι ὁμοῦ ὅλας παροικικὰς οἰκίας καὶ τῶν λεγομένων δουλευτῶν[4]) οἰ|κίας τεσσαράκοντα τεσσάρας, καθὼς ἀπὸ τῶν δηλωθέντων χρυσοβούλλων ἀναφαίνεται . . . | . . . | . . . [ἕτερα] ὀκτὼ | προστάγματα τοῦ κυροῦ Ἰσαακίου καὶ τοῦ κυροῦ Ἀλεξίου τῶν βασιλέων καὶ αὐτοκρατόρων, τῆς δὲ βασιλείας μου πρωτ|εξαδέλφων, διοριζόμενα στέργεσθαι τὰ ἀνωτέρω δηλωθέντα χρυσόβουλλα καὶ εἴ τι πρόσε|στι τῇ μητροπόλει ἕτερον δικαίωμα περὶ τῶν διαφερόντων αὐτῇ καὶ περὶ τοῦ μὴ ἀνακρίνεσθαί[5]) τινα τῶν ὑποκειμένων | τῇ ἐκκλησίᾳ παρὰ τῷ δημοσίῳ, ἐάν τινες ἐνάγωσι κατ' αὐτῶν. ἐγράφη ταῦτα καὶ τῇ διὰ κινναβάρεως [βασιλικῇ] | ὑπογραφῇ τοῦ εὐσεβοῦς καὶ θεοπροβλήτου κράτους ἡμῶν ὑποσημανθέντα καὶ τῇ χρυσῇ[6]) βούλλῃ | αὐτοῦ κατασφαλισθέντα ἐπεδόθη τῇ τῶν Κερκυραίων ἐκκλησίᾳ εἰς ἀσφάλειαν αἰωνίζουσαν, | μηνὶ ἰουνίῳ ἡμέρᾳ πρώτῃ ἔτει ͵ςψλς΄ †.

† Θεόδωρος ἐν Χριστῷ τῷ θεῷ πισ|τὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Κομνηνὸς ὁ Δούκας †.

Tabula marmorea olim in museo Naniano, nunc in Capitolino primus edidit Clemens **Biagi** *in libro, cui titulus: Monumenta graeca et latina ex museo cl. equitis et senatoris Jacobi Nanii Veneti illustrata. Romae MDCCLXXXVII. cum tabula aere expressa. Iterum* **Mustoxydi**, *Delle cose Corciresi, p. LVI—LVII. Tabula repetita est in libro: Collezione di tutte le antichità che si conservano nel Museo Naniano. Venezia 1815 Nr. 378. Postremo edid. Joh.* **Guidi** *et C. E.* **Zachariae a Lingenthal** *in Bulletino della Commissione archeologica comunale, anno IX. serie seconda (1881), p. 189—196 (cum tabula photographica, quae autem legi non potest) et anno XI. serie seconda (1883), p. 3—4). De marmore et editione Guidius scribit: L' iscrizione greca (quem Zachariae invenit Romae in antiquarii cuiusdem taberna, ut ipse nobis in epistula testatur) venne acquistata nel 1880 dalla Commissione archeologica comunale per i Musei Capitolini. Essa già fece*

---

1) ὁμοίως Zach. 2) ἀλοδούλων Guidi 3) Sic supplevit Zachariae a Lingenthal, cuius lectionem sequimur inde a l. 27. Pro inusitato προγενεστέρας legendum videtur προγεγενημένης aut προγεγονυίας. 4) δούλων in tab. Biag. 5) ἀποκρίνεσθαι Zach. 6) χρυσείᾳ Z.

parte del celebre museo Nani e ne fu pubblicato un facsimile dal Biagi, il quale trascrisse altresì l' epigrafe e ne diede una traduzione ed un commento. A giudicare dal nominato facsimile pare che la lapide fosse un poco meglio conservata ai giorni del Biagi che non è adesso, ond' è tanto più da dolere, che questo letterato dia ciò non ostante nella sua tavola una riproduzione assai inesatta ed una trascrizione anco peggiore per gravi errori e lacune. . . . La lapide alta m. 1, 12 e larga 0, 60 è in marmo greco e contiene 40 linee. La prima metà è abbastanza bene incisa con caratteri chiari ed occupa più di mezza lapide; ma in seguito le linee si fanno sempre più strette e le lettere più minute e meno profonde, mentre si moltiplicano assai i nessi e le abbreviature. Evidentemente lo scalpelino fu costretto ad adoperare così, per timore che la pietra non sarebbe altrimenti bastata a contenere tutta l' iscrizione, se avesse seguitato a scolpirla coi medesimi caratteri; ma disgraziatamente ciò accresce di molto la difficoltà di decifrare l' epigrafe in questo punto, ov' essa è singolarmente guasta. A lungo ne abbiamo esaminato questa parte, il mio amico dottore Dressel ed io, ma la scrittura è in alcune parti sparita, in altri tulmente logora ed incerta, che non mi è stato possibile darne il testo complete . . . La parte più logora e difficile a leggere è quela che contiene le linee 27—38; ma ora di tutta questa parte ha fatto studio accurato il prof. Zachariae von Lingenthal e la lettura che egli ne da, ha mandato al prof. Henzen. . . Solamente la fine della linea 31 e la 32 della difficile iscrizione restano ancora a decifrare per intiero. In fine autem lin. 32 ante ὀκτώ *legitur adhuc* ἕτερα, *ut asserit cl. vir Lod. Cantarellius, cui maximas gratias debemus, quod iterum magna cum diligentia contulit lapidem cum editionibus. In tabula aere expressa a Biagio linea 31—32 nobis videtur post* ἀναφαίνεται *ita esse legendum:* πρόσεστι τῇ ἐκκλησίᾳ | [καὶ] χρυσόβουλλον ἐπικυρωτικὸν τοῦ βασιλέως [Μανουὴλ] [περιέχον] τὰ κτήματα, ἐπὶ λέξεως δὲ καὶ τὰ [προχορηγηθέντα δικαιώματα] ὁμοῦ καὶ τὰς διατάξεις. *Confer etiam, quae de lapide dicit Albertus Martin in Mélanges de l'École française de Rome. Paris 1883, p. 379.*

II. 6772—1262. 12. mensis iulii ind VII.

Comes Palatinus Ricardus Orsini dominus Cephaloniae, Zacynthi' et Ithacae confirmat possessiones ecclesiae Zacynthi ad instantia episcopi Henrici.

Πρακτικὸν τῆς ἁγιωτάτης ἐπισκοπῆς Κεφαληνίας ἐκτεθὲν καὶ πληρωθὲν ἐπὶ ἄρχοντος μὲν κόντε Ῥεκιάρδου, ἀρχιερατεύοντος δὲ Ἐνρίκου τινὸς τὸ ὄνομα ἀπὸ κτίσεως κόσμου ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ἑβδομηκοστῷ δευτέρῳ ἰνδικτιῶνι ἑβδόμῃ δωδεκάτῃ ἱσταμένου ἰουλίου μηνός.

Ἡ ἀναγραφὴ τῆς ἁγιωτάτης ἐπισκοπῆς Κεφαληνίας ἄρξεται ἀπὸ τὸ μέρος Παλικῆς . . . πλησίον χωραφίου τοῦ Ἀβαστάγου καὶ τοῦ Βαρυπράτη μοδίων δ' ς".

ἕτερον εἰς τὴν αὐτὴν τοποθεσίαν τὸ λεγόμενον τοῦ Κάμπου πλησίον τῆς ἁγίας Παρασκευῆς, καθὼς ἐστι περιωρισμένον πλησίον χωραφίου τοῦ Χοϊδιᾶ καὶ τοῦ Κοκκινίλη μοδίων β'. ἕτερον εἰς τὸν αὐτὸν τόπον τὸ πλησίον χωραφίου τοῦ Βουτζιάνου, καθὼς ἐστι περιωρισμένον μετὰ τῶν ... μοδίων ... ἀρ ... α'ϛ''. ἕτερον τοῦ ῥύακος τὸ πλησίον τῆς διερχομένης ὁδοῦ μέχρι τοῦ Φλεβοτόμου καὶ τοῦ Καϊάνου, ᾧ κατέρχεται ἔξωθεν τούτου ὁ χείμαρρος πλησίον τοῦ ἁγίου Δημητρίου σὺν τοῦ κάτωθεν αὐτοῦ ναοῦ μοδίων α' ϛ''. ἕτερον κάτωθεν τοῦ ἀμπελοχωραφίου τὸ πλησίον χωραφίου τοῦ ... ἕτερον χωράφιον τοῦ Χαλικίου τὸ πλησίον χωραφίου τοῦ Ἀντιθωμᾶ μοδίων δ'. ἕτερον τὸ καλούμενον τοῦ Δωροθέου. ἕτερον χωράφιον πλησίον τοῦ Χορολερίου τὸ πλησίον χωραφίου τοῦ Ἀθηναίου σὺν τοῦ προσκεφαλιδίου τοῦ κατὰ δυσμὰς κειμένου σὺν τοῦ ἁγίου Γεωργίου μοδίων δ' ϛ''. ἕτερον τὸ ἀποκάτωθεν τῆς οἰκείας τοῦ Ἀντιθωμᾶ ὡς εἰς τὸ χωράφιον ἀποκάτω ἀπὸ τοῦ Μανδρακίου μοδίου α'. ἕτερον χωράφιον τοῦ Σταλοῦ τὸ πλησίον χωραφίου τοῦ Ζουμᾶ καὶ τοῦ Μανδρακίου μοδίων α' ϛ''. ἕτερον [χωράφιον] τὸ πλησίον χωραφίου τοῦ Μανδρακίου μοδίων α' ϛ''. ἕτερον τῆς Ἀπεγγάνης πλησίον χωραφίου τοῦ Δρόσου καὶ τοῦ ... εχον. ἕτερον λαχίδια τῆς Σκεπαρνίας τὸ πλησίον χωραφίου τοῦ Ἀθηναίου μοδίου ϛ''. χωράφιον τοῦ ἁγίου Αἰμιλιανοῦ ..., ἐν ᾧ καὶ ὁ ναὸς ἵσταται μοδίων α' ϛ''. χωράφιον τοῦ Ὑπομαλίου τὸ ἐπιλεγόμενον τῆς ... πλησίον χωραφίου τῆς Σκορδιάρι μοδίων β' ϛ''. ἕτερον χωράφιον εἰς τὴν αὐτὴν τοποθεσίαν τὸ πλησίον χωραφίου τοῦ Στρόγγα μοδίων β'. καὶ ἕτερον χωράφιον εἰς τὴν αὐτὴν τοποθεσίαν πλησίον τοῦ Μονοκήθου καὶ τοῦ Δηλασυνητοῦ τοῦ Φαγρὶ μοδίων α' ϛ''. χωράφιον τῆς Φοραδομάνδρας. ἕτερον χωράφιον πλησίον τοῦ Κοντολούμπου μοδίου α'. ἕτερον χωράφιον τοῦ Θηρογάνου μοδίου α'· χωράφιον τῶν Βουνῶν σὺν τῶν δύο χωραφίων τοῦ Πρινέως τῶν κλεισμάτων τὸ πλησίον χωραφίου τοῦ ἁγίου Λέων καὶ τοῦ Κουρουμέλις μοδίων γ'. ἕτερον εἰς τὸν αὐτὸν τόπον τὸ πλησίον χωραφίου τοῦ Ἀβαστάγου μοδίου ϛ''. χωράφιον τοῦ Σχίνου, καθὼς ἐστι περιωρισμένον, μοδίων γ'. ἕτερον χωράφιον λεγόμενον τοῦ Θαλαίου περιβάλλον ἀπὸ τὸν ποταμὸν καὶ μέχρι θαλάσσης τὸ ἐκ τοῦ Ἀρκέως λεγόμενον. ἕτερον χωράφιον πλησίον τοῦ ναοῦ τοῦ ἁγίου Γεωργίου καὶ τῶν Χαλοπέδων, ὅσα καὶ οἷά εἰσιν. χωράφιον τῆς Μηλαπιδέας τὸ πλησίον τοῦ Ἀβαστάγου μοδίου α'. ἕτερον τῆς Κολώνης τὸ πλησίον χωραφίου τοῦ Ἀλτιθηνοῦ μοδίου α'. ἕτερον χωράφιον ἐν τῇ περιοχῇ τὸ λεγόμενον τοῦ Παλαιοῦ Πόρου τὸ πλησίον χωραφίου τοῦ Μανδρακ[ίου] μοδίου α'. ἐξάμπελον τῶν Βατζῶν τὸ πλησίον ἐξαμπέλων τοῦ ἁγίου Λέοντος, καθὼς ἐστιν ἀπὸ τὸν ποταμὸν μέχρι τοῦ στενοῦ καὶ ἀναβαίνει μέχρι τοῦ ἐξαμπέλου τοῦ ἁγίου Νικολάου, ἐν ᾧ καὶ ὁ ναὸς ἵσταται, τὸ σύνεγγυς τοῦ ποταμοῦ μέχρι θαλάσσης, ὅσον καὶ οἷόν ἐστιν.

ἐξάμπελα τὸ ἀποπέρα τοῦ ποταμοῦ κατενάντης τοῦ ἐξαμπέλου τοῦ ἁγίου Λέοντος τὸ κατὰ ἀνατολὰς κείμενον τοῦ διερχομένου τράφου, ὅσα καὶ οἷά εἰσιν, σὺν τῶν ἀγρίων καὶ ἡμέρων [δένδρων]. ἐξάμπελον τὸ λεγόμενον ἡ Μοριάκονα (?) τὸ πλησίον ἐξάμπελον Πόθου τοῦ Βαρδάνη τὸ κείμενον μέσον τῶν δύο ποταμῶν, ὅσον καὶ οἷόν ἐστιν. ἕτερον χωράφιον τοῦ Σταυροῦ πλησίον χωραφίου τοῦ Μονοκήθου, μοδίων ϛ'. χωράφιον τὸ ἄνωθεν τοῦ ἁγίου Νικολάου τὸ ἐπιλεγόμενον τῶν Μάνδρων σὺν τῶν λακκωμάτων, ὅσα καὶ οἷά εἰσιν. ἕτερον χωράφιον τοῦ Κλάδου μοδίου α'. χωράφιον τοῦ Δρυμῶνος τὸ πλησίον καὶ κατὰ ἀνατολὰς χωραφίου τοῦ Ἀθηναίου μοδίου ϛ''. χωράφιον τῆς Χαμεκέλλας τὸ πλησίον τῆς ὁδοῦ μοδίου ϛ''. κῆπος τῆς Βουστάστης πλησίον χωραφίου τοῦ Δρόγγου καὶ τοῦ Σμαριδιάρι μοδίου ϛ''. λαχίδηον ἕτερον πλησίον τοῦ κήπου τοῦ Ἐρυθραίου ἕτερον ἕν· ἵσταται ἐν αὐτῷ συκομορέα μία καὶ αὖθις ἐν τῇ περιοχῇ τοῦ Βάτζων χωράφιον τῶν Λαγκαδίων τὸ κάτωθεν τοῦ ἁγίου Παύλου μοδίου α'· ἕτερον χωράφιον τοῦ ἁγίου Παύλου τὸ κείμενον πλησίον χωραφίου τοῦ Κανάβου καὶ τοῦ Γουλολέσου μοδίου α'. χωράφιον τῆς Μεσαρίας τὸ λεγόμενον τὸ Τζαπποριάτο σὺν τοῦ κάτωθεν χωραφίου τοῦ καὶ πλησίον τοῦ παπᾶ Μανουὴλ μέχρι τοῦ ποταμοῦ μοδίων γ'. χωράφια τοῦ Κούρτουχα δύο πλησίον χωραφίου τοῦ Βαρυπρώτη μοδίου ϛ''. ἕτερον τοῦ ἁγίου Ἰωάννου τὸ πλησίον χωραφίου τοῦ παπᾶ Μανουὴλ μοδίου ϛ''. ἕτερον τοῦ Λαρν[άκη]. ἕτερον εἰς τὸν αὐτὸν τόπον χωράφιον τοῦ παπᾶ Μανουὴλ μοδίου ϛ''. χωράφιον τοῦ Βαρυπλοῦ τὸ κάτωθεν χωραφίου τοῦ παπᾶ Μανουὴλ καὶ πλησίον χωραφίου τοῦ αὐτοῦ παπᾶ καὶ μέχρι τοῦ διερχομένου [χειμάρρου] μοδίων δ'. ἕτερον χωράφιον τὸ κάτωθεν καὶ σύνεγγυς τοῦ χωραφίου τοῦ Ἀβαστάγου μέχρι τοῦ διερχομένου χειμάρρου μοδίων ϛ'. χωράφιον τοῦ Σταυροῦ τὸ κάτωθεν χωραφίου τοῦ Ἰσαβέρη καὶ πλησίον χωραφίου τοῦ Ματράγκα, ὅσα καὶ οἷά εἰσι, παρεικάζοντα γράμμα τὸ Γ, μοδίων ϛ'. ἕτερον τὸ πλησίον χωραφίου τοῦ Στρογκυλοῦ μοδίου α'. ἕτερον τῆς Πέτρας τὸ Κύλισμα τὸ πλησίον χωραφίου Δρόσου τοῦ Ἀνατολότη μοδίου ϛ''. χωράφιον τοῦ ἁγίου Ἀνδρέου τὸ ἐπιλεγόμενον τῆς Παλαιᾶς, καθὼς ἀναβαίνει ἀπὸ τοῦ χωραφίου τοῦ Δρόσου καὶ πλησίον χωραφίου τοῦ Κώνωπος καὶ πλησίον χωραφίου τοῦ Τιμοθέου, καθὼς ἀναβαίνει τὴν Παλαιάν. ἕτερον χωράφιον μέχρι τοῦ Λαγκαδήου καὶ πλησίον χωραφίου τοῦ ἁγίου Ἐσδρᾶς, ὅσα καὶ οἷά εἰσι, σὺν τῶν Λαγκαδήων μοδίων γ'. ἕτερον εἰς τὸν αὐτὸν τόπον τὸν ἄνωθεν τοῦ αὐτοῦ χωραφίου πλησίον χωραφίου τοῦ Μανδρ[ακίου] σὺν τοῦ διερχομένου χειμάρρου μοδίων δ'. ἕτερον τοῦ ἁγίου Ἀνδρέου πλησίον χωραφίου τοῦ Χριστοῦ μοδίου α'. ἕτερον τὸ ἄνωθεν τοῦ Χηνοῦ μοδίου ϛ''. ἕτερον εἰς τὸν αὐτὸν τόπον τὸ τεμ(ν)όμενον παρὰ τῆς διερχομένης ὁδοῦ ἔξωθεν τῆς λιθέας καὶ πλησίον χωραφίου τοῦ Χοιδᾶ μοδίων β'. χωράφιον τῆς Μελίσυας καὶ πλησίον χωραφίου τοῦ Ἀβαστάγου μοδίου α'.

Αὐλῶνος.

Ἐν τῇ περιοχῇ τοῦ Αὐλῶνος χωράφιον τὸ πλησίον τοῦ Κολυάνδρου μοδίων δ' ς''. ἕτερον εἰς τὸν αὐτὸν τόπον τὸ πλησίον ἀμπελίου τοῦ Τζατζέρου μοδίου ς''. ἕτερον δύσηθλον τῶν Μανδρακίων τὸ ἄνωθεν δυσήθλων τοῦ Τιμοθέου μοδίου ς''. ἑτερά εἰσι χωράφια τὰ πλησίον χωραφίων τοῦ κῦρ Ἠλία καὶ τοῦ Ῥαζῆ μοδίου α'. χωράφιον τῆς Χοιροσφάκζου τῶν ταφέων τὸ λεγόμενον τῆς Σκωρέας, ὅσον καὶ οἷόν ἐστι, μοδίων ς'. χωράφιον τῆς Ξυλοκερατέας τὸ πλησίον χωραφίου τοῦ Καματεροῦ καὶ τοῦ Πετρίτζη μοδίων β'. ἕτερον χωράφιον εἰς τὴν Πλαγίαν τὸ ἄνωθεν τῆς οἰκείας τοῦ Ἀληθινοῦ μοδίου α'. χωράφιον τῶν Καρέων τὸ πλησίον καὶ σύνεγγυς χωραφίου τοῦ Φλεβοτόμου μοδίων β'. ἕτερον τὸ ἄνωθεν τὸ λεγόμενον τῆς Ἐλάτης μοδίου ς''. ὁμοίως ἐν τῇ περιοχῇ τῆς Ἀμπελοβούλου χωράφιον τοῦ Παλαιοῦ Ἀλωνίου καθὼς κρατοῦν τὸ ὕψωμα σὺν τῶν ἀγρῶν μέχρι τῆς ὁδοῦ πρὸς τῆς Καρέας τὸ μέρος, καὶ καταβαίνει μέχρι τοῦ προσκεφαλαδήου λαχιδήου τοῦ Χοϊδιᾶ καὶ ἀπέρχεται τὴν ποδείαν, ποῦ ἀναβαίνει καὶ καταβαίνει μέχρι ἀμπελίου τοῦ Προεδράτου, ὅσα καὶ οἷά εἰσιν. ἕτερον τοῦ Παλαιοῦ Ἀλωνίου, καθὼς καταβαίνει μέχρι τῶν οἰκημάτων τοῦ Ἀβαστάγου, μοδίων β'. ἕτερον τὸ κάτωθεν τούτου καὶ πλησίον χωραφίου τοῦ Χοϊδιᾶ καὶ πλησίον τοῦ τράφου μοδίου α'· ἕτερον ἁρμάκιον τὸ ἔξωθεν τοῦ τράφου τὸ πλησίον χωραφίου τῆς μοναχῆς Μαστραγγέλαινας. ἕτερον ἀ . . . χωράφιον τοῦ Πεντινέως τὸ κατὰ δυσμὰς κείμενον τῶν ἐξαμπέλων τὸ πλησίον χωραφίου τοῦ Κοῦκα (?) μοδίου ς''. ἕτερον τὸ κάτωθεν τούτου· τὸ καὶ πλησίον χωραφίου τοῦ Γρηγορίου καὶ τῶν ἀμπελίων, ὅσον καὶ οἷόν ἐστι. χωράφια εἰς τὴν αὐτὴν τοποθεσίαν ἀπὸ ταῖς Ἀλωπότρουπαις ἀπὸ τὸ ἀμπέλι τοῦ Ἀβαστάγου, καὶ ὑπερορίζει αὐτὰ ὁ χείμαρρος καὶ ἀπέρχεται μέχρι [τοῦ] ἁρμακίου κυρίου Ἀρταβάστου τοῦ Μανδ[ακίου], περιτέμνει δὴ αὐτὰ ὁ ἔμβολος τοῦ Πηγαδήου τὰ ἄνω καὶ τὰ κάτω ἀπερίκοπα, καὶ ἀνέρχονται ἀπὸ τὸν ναὸν τοῦ ἁγίου Βλασίου καὶ ἀπέρχεται ἀπὸ τὸ ἀλῶνιν τοῦ Χοϊδιᾶ καὶ κατέρχεται ὑπὸ τὴν ἁγίαν Θεοδούλην καὶ γυρίζει ἀπὸ τὸν δόμον τοῦ ἀμπελίου καὶ κατέρχεται ἀπὸ τὰ πηγαδήτζια σύνεγγυς χωραφίου τοῦ καλουμένου Γέροντος, καὶ περιγυρίζει ὁ τοιοῦτος περιορισμὸς ἀπὸ τὴν διερχομένην δημοσίαν ὁδὸν καὶ ἀνέρχεται ἕως τῆς οἰκείας τοῦ Ἀβαστάγου καὶ τοῦ Χοϊδιᾶ[1]), καὶ ἀποδήδει ἕως τοῦ τράφου. μέσον δὲ τούτων κεῖνται δύο λαχίδια τοῦ Χοϊδιᾶ, χωράφιον τὸ ἐπιλεγόμενον τοῦ Περάτη τὸ πλησίον χωραφίου τοῦ Ἀβαστάγου μοδίου α'. ἕτερον εἰς τὸν αὐτὸν τόπον καὶ αὐτὸ πλησίον τοῦ Ἀβαστάγου μοδίου α'.

---

1) Apographum Χωϊδιᾶ saepius.

ἕτερον τὸ ἄνωθεν τοῦ Τζαλαμμόδια τὰ συναρμάκια καὶ πλησίον χωραφίου τοῦ Ἀβαστάγου μοδίων β'. ἕτερον κάτωθεν τούτου πλησίον καὶ αὐτὸ τοῦ Ἀβαστάγου μοδίου α'. ἕτερον χωράφιον τῆς Ποπλύστρας τὸ πλησίον χωραφίου τοῦ Βαρυπράδη μοδίου α'. ἕτερον τὸ κάτωθεν τούτου μοδίων β'. χωράφιον τῆς Πετρός, τὸ πλησίον χωραφίου τοῦ Μιχαΐλου καὶ τοῦ Χοϊδιᾶ μοδίων β'. ἕτερον τοῦ Πολοκαγίου τὸ πλησίον χωραφίου τοῦ Βαρυπράδη μοδίου ϛ''. ἕτερον κάτωθεν τούτου καὶ αὐτὸ πλησίον χωραφίου τῆς Βαρυπράδη μοδίων α' ϛ''. καὶ αὐτὸ τοῦ Πολοκαγίου πλησίον χωραφίου τοῦ Κοντζοπούλου (?) μοδίου α'· χωράφιον τῆς ἁγίας Ἀναστασίας τὸ πλησίον χωραφίου τῆς Βαρυπράδη καὶ [τοῦ] ἀλωνίου τοῦ Ἀθηναίου μοδίων β'. χωράφιον τῶν Ἁλμυρίδων τὸ πλησίον τοῦ ποταμοῦ καὶ πλησίον χωραφίου τοῦ Μανδακίου, καθὼς γυρίζει ὁ ποταμός, μοδίων δ'. ἕτερον χωράφιον τὸ ἀπόπερα τοῦ τράφου μέχρι τοῦ χωραφίου τοῦ Ἄνου . . .[1]) καὶ ἀποδήδει μέχρι τοῦ παταμοῦ τοῦ διερχομένου ἀπὸ Κελλαδίων σὺν καὶ τοῦ χωραφίου τοῦ Σταυροῦ τὸ ἀποκάτωθεν ἁρμακίου τοῦ Μανδακίου, ὅσα καὶ οἷά εἰσιν, σὺν τῶν ἐκεῖσε ἀγρῶν καὶ χωραφίων τοῦ Λογαρᾶ, καθώς ἐστιν ἀπὸ τοῦ ποταμοῦ τῶν Κελλαδίων μέχρι τῆς ἁγίας Κυριακῆς σὺν τῶν ἁρμακίων τῶν τοῦ αὐτοῦ ναοῦ καὶ τῶν χωραφίων τοῦ Τραχηλοῦ μέχρι τοῦ τράφου καὶ τοῦ χωραφίου τῆς Λανανίδης ἕως τοῦ χωραφίου τοῦ ἁγίου Λέοντος. καὶ ἕτερον ἕως τοῦ χωραφίου Νικήτα τοῦ χαρτοφύλακος, ὅσα καὶ οἷά εἰσιν, σὺν τῶν ἀγρῶν. ἕτερον τὸ μέσον κείμενον χωραφίων τοῦ αὐτοῦ Νικήτα μοδίου α'. χωράφιον τοῦ Λιάκες τὸ πλησίον χωραφίου τοῦ ἁγίου Λέοντος καὶ τοῦ Δρόσου μοδίων β'. ἕτερον χωράφιον τῶν Ἀγραμπέλων σὺν τῶν ἀγρῶν τοῦ καλουμένου Εὐστράτη, καθὼς γυρίζει ὁ τράφος μέχρι χωραφίου τοῦ Ἀβαστάγου, ὅσα καὶ οἷά εἰσιν, σὺν τῶν ἀγρῶν. ἕτερον χωράφιον τὸ ἀποπέρα χωραφίου τοῦ Εὐστράτη ἐν τοῖς δεξιοῖς μέρεσι κείμενον, καθώς ἐστι μέχρι τοῦ ποταμοῦ καὶ τοῦ στομίου, σὺν τῶν ἀγρῶν, ὅσον καὶ οἷόν ἐστιν. χωράφιον τῶν Κουρουπάδων τοῦ κλείσματος τῆς Ἐλαίας μοδίων α' ϛ''. ἕτερα τὰ γύροθεν τῶν τοιούτων τοῦ Ἀμπελιανοῦ, καθὰ γυρίζουν μέχρι τῶν οἰκημάτων τοῦ Μιχαλίτζη, σὺν τοῦ ἀλωνίου καὶ μέχρι τῶν Μερσινέων, καὶ γυρίζει αὐτὰ ὁ τράφος μέχρι χωραφίου τοῦ Κρασᾶ, ὅσα καὶ οἷά εἰσιν. ἕτερα χωράφια τῆς Κομπόδ[ης] ἕως τοῦ χωραφίου τοῦ ἁγίου Λέοντος σὺν τοῦ Κουβαλέα καὶ κατέρχεται ἕως τοῦ ποταμοῦ, μοδίων β'. χωράφιον τοῦ Καλοποσίου τὸ πλησίον χωραφίου τοῦ Γρηγορίου, ὅσον καὶ οἷόν ἐστιν, ὁμοῦ ἐν τῇ περιοχῇ τῶν Τρώτων χωράφιον τὸ πλησίον χωραφίου τῆς Ἀρκολύκανας μοδίου α'. τὸ ἁρμάκιον τοῦ ἁγίου Σώζοντος τὸ κάτωθεν τῆς δημοσίας ὁδοῦ τὸ πλησίον χωραφίου

---

[1]) Compendium Ἀνου: forsitan legendum Ἀνθρώπου.

ἐκ πόλεως Ἀχρηδῶνος ἀκόμι καὶ μὲ δύο ἄλλους μοναχούς, διὰ νὰ ζητίσουν ἐλεημοσύνην διὰ τὸ ἀσκηταρίο ἤγου[ν] διὰ τὸ μοναστήριον τοῦ Παντοκράτορος Σωτῆρος Χριστοῦ τὸ ἐπονομαζόμενον Ἀσκυταρίῳ, καὶ εἶδεν ἡ ταπηνότης ἡμῶν καὶ ἐξέταξεν, πῶς ἐξ ἀρχῆθεν ἦτε ἀπὸ παλέωθεν νὰ ἦτο ἐλευθερομένο τὸ αὐτὸ θαυματουργὸ καὶ ἅγιον κελή, διὰ τούτω θέλωμεν εἰς τὸν μέλωντα, ὅτι τὸ αὐτὸ μοναστήριον νὰ εἶναι ἐλεύθερον εἰς ἐώνα τὸν ἅπαντα ὁμοῦ καὶ μὲ τὰ ψυχικά, ὁποῦ ἔχει, ἀμπέλια, χωράφια καὶ ἐλαϊκὰ δένδρη, καρπούσημα καὶ ἄκαρπα, ξύλα καὶ ζῶα. ὁμοίως ἡ ἡμετέρα ταπηνώτης ἀφιερώνη καὶ χαρίζη εἰς τὸ ἄνωθεν μοναστήριον τοῦ Παντοκράτορος καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ τὸν μύλον, ὁποῦ εἶναι ἀπὸ κάτω ἀπὸ τὸ χορίον τῶν Λεφῶν [1]) πλησίον τὴν στράτα, ὁποῦ ὑπάγη εἰς τὴν Ἁγία Παρασκευὴ ὁμοῦ, καὶ μὲ τὸ διάφορον αὐτοῦ καὶ διὰ κανένως τρόπου εἶναι ἐγκισμένη ἡ αὐτὴ ἐκκλησία τοῦ Σωτῆρος Χριστοῦ εἰς κερὸν κανένα ἐμποδησμένη οὔτε πηρασμένει ὑπό τινος μηδὲν ὑπὸ τῆς ἡμετέρας ταπηνότητος οὔτε ἀπὸ ἐκείνους, ὁποῦ εἴθελαν ἐξουσιάζουν εἰς τὸν θρόνον τῆς ἁγιωτάτης μητροπόλεως μας τῆς νισοῦ Κερκύρας, ἀμὴ πλέον γλυγορήτερα νὰ ἔχουν μὲ τὴν αὐτὴν χάριτα καὶ ἐλευθερία τὴν ἐκκλησίαν τοῦ Σωτῆρος Χριστοῦ ἀμετατρέπτος στέραιον καὶ βέβαιον καὶ ἀνεφάνιστον εἰς πᾶσα κερὸν καὶ εἰς τὸν αἰῶνα τὸν ἅπαντα. ἐγραύθη καὶ ἐδώθη τὸ παρὸν ἐπισφράγισμα προνομικὸν ἀπὸ τὴν ἡμετέρα ταπηνότητα καὶ ἐπισφραγιζόμενον μὲ τὴν ἡμετέρα σφραγῖδα καὶ ἀπογραφὴν διὰ χάριν τῆς ἄνωθεν ἐκκλησίας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἄνωθεν ἱερομονάχου Μεθοδίου καὶ τὸν μοναχῶν, ὁποῦ εἴθελαν ἠβρήσκοντας εἰς τὸν ἐῶνα μέλωντας ἅπαντας καὶ τὸ αὐτὸ μοναστήριον.

Καὶ διὰ πλέον πηστικὸν ἐγὼ ὁ νοτάριος Σίμβαστος Δημήτριος Μαλάκκης προστασσόμενος παρὰ τοῦ ἄνωθεν τιμιωτάτου καὶ πανιερωτάτου μητροπολήτου τῆς ἁγίας ἐκκλησίας Κοριφῶν καὶ ὅλης τῆς νίσσου καὶ βασσιλειχὸς προτοσύμβουλος κύριος Καστελίνος Ῥομανόπουλος ἔγραψα τὸ παρὸν ἐλευθερομένο, ἐσφραγίστη ὑπὸ τῆς ἐμοῦ χειρὸς ὃς ἐν ἐκεινός, ὁποῦ ἔχω διὰ τῆς βασιλικῆς ἐξουσίας τὸ ὀφήκιον, ὅτι νὰ εἶμε νοτάριος τῆς πόλεος Κοριφῶν.

Ἰνδικτιῶνος θ' μηνὶ ὀκτωβρίῳ ιβ', ἔτη ἀπὸ Χριστοῦ γενήσσεως ͵ατοα' εὐδοκῆντα ἕν.

Συμβαστὸς Μαλακκὸς Δημήτριος.

E chartis familiae Pozazo Zacynthi.

---

[1]) Lege Νυμφῶν.

IV. 6969—1461, 13 mensis aprilis, ind. IX. Zacynthi.

Franciscus D'Ariano, capitaneus insulae Zacynthi, confirmat donationes factas ecclesiae Sancti Salvatoris Zacynthi a Johanna, conjuge domini Nucii Sicuri.

Κατὰ τὸν μῆνα ἀπριλλίον τῇ τρεῖς καὶ δέκα αὐτοῦ, τῆς ἰνδ. θ', καθιζόμενος ὁ εὐγενέστατος καβαλάριος μισὺρ Φραγγίσχος Δαριάνω, καπιτάνιος νήσου καὶ χωρίου Ζακύνθου, μετὰ τῶν τιούτων εὐγενῶν ἀρχόντων, κῦρ Ἰωάννην δὲ Τράνι, περκουράτορ τῆς κούρτης, κῦρ Νικόλαον Δαγκόνα, κῦρ Ῥουμπάνω δὲ Σὰντ-Ἀλῶε, ἐμφανίζει [ὁ] κῦρ Μανόλης Μόσχος ἀπὸ μέρος τῆς ἀρχοντίσης κυρὰ Ἰωάννης τῆς συμβίου τοῦ ποτὲ ἄρχοντος κῦρ Νούτζου Συγούρου, αἰτῶν καὶ παρακλητεύων αὐτοῖς λέγων οὕτως· τὸ πῶς ἡ ῥιθεῖσα ἀρχόντισα ἐδίδει διὰ ταφικὸν ἤγουν διὰ τὸν τάφον τοῦ υἱοῦ αὐτῆς κῦρ Τζουάννη Συγούρου εἰς τὸν ἅγιον καὶ πάνσεπτον ναὸν τοῦ Σωτῆρος, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς ἐπισκοπῆς νήσου καὶ χωρίου Ζακύνθου τὰ χωράφια τὰ λεγόμενα τῶν Δατίων, καθοῦ εὐεργετέθησαν αὐτὰ παρὰ τοῦ ἀοιδίμου αὐθεντός μου, αὐθεντὸς Καρόλου, ἥμερα καὶ ἄγρια, ὅσα εἰσὶν κατὰ τὴν δήλοσιν τοῦ ὁρισμοῦ, ὁποῦ ἔχει εἰς αὐτὰ καὶ αὐτὸ καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς αἰῶνας τὰ αὐτὰ χωράφια ὅλα μετὰ πάσοις νομῆς καὶ συμφόρου αὐτῶν εἰς ἁγία ἐπισκοπῆ, ὡς εἴρηται, μὴ παρά τινος τὸν ἁπάντον ἐνοχλούμενα ἢ ἐμποδιζόμενα μήτε ἀπὸ ἐμοῦ, μήτε παρὰ τὸν ἡμετέρων κληρονόμων ἢ συγκληρονόμων ποτὲ καιροῦ ἀπὸ τοῦ νῦν καὶ ἔμπροσθεν, καὶ ὁ τούτω βουλιθῇ ποιῆσαι, νὰ μηδὲ ὅλος εἰσακουέτω, ἀλλὰ γενέτω κατερχ . . . νὰ ἔνι ἀφορισμὸν καὶ κατηραμένος ἀπὸ τῆς ἁγιοτάτης ἐπισκοπῆς, καὶ πάλιν γενέτω ἐμφανιζομένη ἡ παροῦσα γραφὴ στερεὰ καὶ ἀπαρασάλευτη εἰς τὸν αἰῶνα καὶ οὕτως ἀφανὸς καὶ ὃν ὁρισμὸς τοῦ ἀοιδίμου αὐθεντός μου, αὐθεντὸς τοῦ Καρούλου παρακ . . . καὶ παρατεθῇ ἡ κόπια τοῦ αὐτοῦ ὁρισμοῦ, νὰ γένῃ καὶ ἡ παροῦσα γραφὴ εἰς περάσοσιν καὶ ἀσφάλειαν τῆς ἁγιοτάτης ἐπισκοπῆς, καὶ νὰ βουλοθῇ καὶ ἡ παροῦσα γραφὴ πρῶτον ἀπὸ τὴν ἀρχόντησαν τὴν ἀναρηθεῖσαν ἐπὲν τὸν ἄνωθέν ἄρχωντα καὶ ὄντως ὁ ἄνωθεν ὁ καπετάνιος μὲ τὴν βουλὴν τοῦ . . . τῆς παράκλος ἀρχώντισας, καὶ οὕτως ἐπαρακλήτευσεν τὸ μέρος ἐμοῦ τοῦ Νικολάου Δ' Ἀγκόνα, νὰ γράφω τὴν παροῦσαν γραφήν, καὶ ἔργαψα αὐτὴν καὶ τὸ αὐτὸ γράμμα τοῦ ὁρισμοῦ.

† **Κάρουλος, ὑπὸ τῆς θεοῦ χάριτος αὐθέντης πόλεως Ἄρτης, δοῦκας Λευχάδος, κόντος Κεφαλωνίας, Παλατίνος καὶ τῶν ἑξῆς.**

Γράφωμεν καὶ ὁρίζωμεν ἐσὲν τὸν εὐγενέστατω ὑπερηγαπημένω τῆς αὐθεντείας μου βιτζηρέντην καὶ βικάριον τοῦ ἡμετέρου νήσου Ζακύνθου, λίζιον αὐτῆς, κύριον Νικόλαον Φράγγον σὺν τοῦ προκουράτορος καὶ μάστρου μασαρίου τῆς

κούρτης μας καὶ τῶν λοιπῶν ὀφφικιαλίων μας τῶν νῦν ἐσωμένων καὶ τῶν μελλόντων εὑρεθῆναι ἀπὸ τοῦ νῦν καὶ ἔμπροσεν, ὅσω ἡ αὐθεντεία μου εὐεργέτησεν εἰς τὸν ὑπεραγγηπεμένον μου ἄρχωντα καὶ λήζιον αὐτῆς, κύριον Νούτζω Σηγούρω, αὐθεντικὰ χωράφια ἤγουν τὸ χωράφι τῶν Δατίων, ἀπὲ τὸν πόρον τοῦ Πανάμονο ἕως εἰς τὴν ἀπὸ εὔγασιν τοῦ στενοῦ, καθόσων ἔναι δικαιολογημένα αὐθεντικὰ ἥμερον καὶ ἄγριον καὶ τὰ ἑξῆς τοῦ ὁρισμοῦ, διότι γράφουν καὶ ἕτερα χωράφια ἀντὶ γράφα μου τὸ ἐπΐλυπον εἰς περαίοσιν καὶ ἀσφάλειαν. καὶ οὕτως ἐγράπτη ἡ παροῦσα γραφὴ καὶ κόπια τοῦ ὁρισμοῦ ἔμπροσθεν τῶν ἄνωθεν ἀρχόντων καὶ ἐπληρώθη καὶ ἐβουλώθη πρότον παρὰ τῆς ἄνωθεν ἀρχοντίσης καὶ ἐπεὶ παρὰ τῶν ἀρχόντων ἐν μηνὶ καὶ ἰνδικτιῶνι πρὸ ἄνωθεν ἔτους ,ϛϡξθ' βεβαιώσεως ἕνεκα.

Orig. chart. cum sigillis. Asservatur in tabul. episcopatus latini Zacynthi.

V. 6978—1469, 30. septembris, ind. III. in Sancta Maura.

Leonardus III. Tocco, Comes Palatinus, dominus Leucadis, Zacynthi et Cephaloniae, donat ecclesiae Zacynthi possessionem dictam Calogerata cum omnibus juribus et bonis.

Λεονάρδος, χάριτι θεοῦ αὐθέντης δεσποτάτου δουκάτου Λευχάδον, κόντος Κεφαλονίας, Παλατινοῦ καὶ τῶν ἑξῆς. διὰ τοῦ παρόντος εὐεργετικοῦ καὶ φιλοδορετικοῦ ὁρισμοῦ μας ἡ αὐθεντεία μου δηλοποιοῦμεν τοῖς πᾶσι, ὡς ὅτι δι' ἀγάπην καὶ παράκλησιν τοῦ θεοφιλεστάτου ἐπισκόπου Κεφαλονίας καὶ Ζακύνθου, κατὰ κύριον ἀγαπητοῦ μου πατρός, τοῦ μισὲρ Ντζουάννη Ἀντώνιον, ἡ αὐθεντία μου ἐδώσαμεν καὶ δίδομεν καὶ ἐδωρήσαμεν εἰς τὴν ἐπισκοπὴν τῆς Ζακύνθου ὅλα τὰ Καλογεράτα, κτήματα καὶ πράγματα, νὰ εἶναι καὶ διαμένωσι πάντως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μέμπρον καὶ ἅρμωσις τῆς αὐτῆς ἐκκλησίας, ἤτοι εἶναι ἐκκλήσιες, ὀσπήτια, ἀμπέλια, περιβόλια, δένδρα, χωράφια, τόποι καὶ μανδρικὰ ζῶα καὶ ἔτοι ἕτερα εἶναι κινητὰ καὶ ἀκίνητα, νὰ τὰ ἔχει πάντα καὶ νὰ τὰ δεσπόζει καὶ ἐξουσιάζει τῇ αὐτῇ ἁγιωτάτῃ ἐπισκοπῇ τῆς Ζακύνθου καὶ ὁ ἀντειρημένος θεοφιλέστατος ἐπίσκοπος, ὁ μισὲρ Τζουάννης, καὶ ὅλοι οἱ ἐπίσκοποι, ὅπου ἠθέλασιν εἶστε εἰς τὴν εἰρημένην ἐπισκοπὴν μετὰ τῆς ἀποβιώσεώς του μὲ τὰ δίκαια καὶ συμφεράταις καὶ μὲ τὴν νομὴν καὶ συνήθειάν τους μὲ ὅλες τὲς εὐεργεσίες καὶ χάριτες, ὁποῦ ἔχει εἰς τὰ ἕτερά της πράγματα καὶ ἀντειρημένης ἐπισκοπῆς, εἰς ὁποῖα πάντα νὰ εἶναι καὶ νὰ διαμένωσι ἀνενόχλητος, ἀνεμπόδιστος, ἀδιάσιστος καὶ παρὰ παντὸς ἀνθρώπου ἀσκανδάλιατος, εἰς τὸ μὴ ἔχωσι

εὑρεῖν διάσισίν τινα ἀπὸ κανεῖν μέγαν δοῦλόν μου, οὐδ᾽ ἀπό τινα ἕτερον τὸ καθόλου ἢ τὸ οἱονοῦν, καὶ οὕτως διορίζῃ τέ σε ἡ αὐθεντία μου τὸν εὑρισκόμενον καπετάνιον Ζακύνθου, τὸν μισὲρ Φραγγέσκον Δαριάνο, καὶ τὸν πρεκουρατόρον μου, Ἰωάννῃ δὲ Τράνι, νὰ κάμετε νὰ παραδώθωσι εἰς τὸν αὐτὸν πατέρα μας τὸν ἐπίσκοπον καὶ εἰς τὸ μέρος του διὰ τὴν ἐπισκοπήν του ὅλα τὰ ἀντειρημένα κτήματα, ὅθεν εὑρίσκονται κινητὰ καὶ ἀκίνητα, ποιεσμένα, χαρισμένα, ἐνοχειρασμένα, παραπλακομένα καὶ ἤτοι ἕτερα εἴποι . . . ὡς εἰθίζεται. καὶ ἐσεῖς καὶ πάντες οἱ ὀφφικιαλλέοι μας μεγάλοι καὶ μικροὶ οἱ πρὸς τὸ παρῶν καὶ οἱ μέλλοντες οὕτως νὰ τηρεῖτε καὶ νὰ στέργητε [αὐτὰ] πάντοτε στερεὰ καὶ ἀπαρασάλευτα χωρίς τινος ἀναβολῆς καὶ λείψεως. καὶ διὰ τὸ βεβαιότερον ὑπεγράφει κάτοθεν ἰδιοχείρως τῆς αὐθεντείας . . . μητρόπολις τῆς νησείας, καὶ ἐδώθι εἰς τὴν εἰρημένην ἐπισκοπὴν τῆς Ζακύνθου καὶ εἰς τὸν θεοφιλέστατον ἐπίσκοπον, τὸν μισὲρ Ντζουάννῃ [Ἀντώνιον. ἐν τῷ] κάστρῳ μας Ἁγίας Μαύρας σεπτεμβρίου λ΄, ἰνδ. γ΄ ͵αυξθ΄.

Leonardus despotus.

Dominus despotus mandavit mihi
Aloysio Romano messaso et vidi.

Orig. chart. in tabulario episcopatus latini Zacynthi.

VI. 6979—1471, 15. maii, ind. IV.

Despota Artae Leonardus III. Tocco iubet tradi episcopo Zacynthi Johanni Antonio locum quendam.

Δεσπότης τῆς Ἄρτης καὶ τῶν ἑξῆς.

Οἰκεῖε κατὰ πάντα καὶ ἠγαπημένε τῆς αὐθεντίας μου [λίζιε][1]) κουβερνάτωρ καὶ ἀντίτυπέ μου Ἰακίνθου, Ντζοανὲλ δὲ Βηντεμέλια. κατὰ τῶν ἐξεκαθάρσεων τῶν γερόντων, ὁποῦ ἐγίνετον μὲ ὅρκον, κατὰ πῶς μου ἔδειξεν μίαν γραφὴν τοῦ Γεωργίου Παλαιολόγου ὁ κατὰ κύριον θεοφιλέστατος, ἀγαπητός μου πατήρ, αὐθέντης ἐπίσκοπος, ὁ μισὲρ Τζουὰν Ἀντώνιος, διὰ τόπον, ὁποῦ εἴχασιν διάσταζιν λεγόμενον ἀπὸ τὴν Πηγὴν νὰ ὑπάγῃ τοὺς Ἄμους καὶ εἰς τὸ Ξενοφάτω χωράφια καὶ νὰ ὑπάγῃ τὸ Μαυρίβουνον καὶ νὰ ἔλθῃ εἰς τὴν Βίγλιαν τοῦ ἁγίου Ἰωάννου τοῦ βουνοῦ καὶ εἰς τὴν Παλαιάβιγλαν καὶ εἰς ταῖς Ψιλαῖς νὰ ἀκουμβίσῃ εἰς τὴν Πηγήν, ὁρίζωμεν κατὰ τὸν ὅρκον καὶ ἐξεκάθαρσιν τῶν γερόντων, ὁποῦ ἔδειξεν διὰ τὸν αὐτὸν τόπον, ὅτι ἦναι τοῦ Καλογεράτου, κάμετε νὰ παραδωθῇ εἰς τὸν αὐτὸν

---

[1]) **Versio italica habet: fidele.**

αὐθέντην, τὸν ἐπίσκοπον καὶ εἰς τὸ μέρος του παρευθῆς καὶ ἄλλως μὴ γ[ίνῃ]. καὶ ὁ ὁρισμός μου ἂς μένῃ εἰς τὴν αὐθεντίαν του. μαΐῳ ιε' ἰνδ. δ', ,αυοα'.

Leonardus dispotus.

Domini dispotus mandavit mihi Aloysio Romano messaso et vidi.

Orig. chart. in tabulario episcopatus latini Zacynthi.

VII. 6983—1475, 8. augusti, ind. VIII. in Sancta Maura.

Leonardus III. Tocco, despota Artae, scribit capitaneo Zacynthi, Francisco D'Ariano, ut examinet, quae possessiones et bona sint ecclesiae Zacynthi tradatque eas episcopo.

Λ[εονάρδος], δεσπότης Ἄρτης καὶ τῶν ἑξῆς.

. . . οἰκεῖε τῆς αὐθεντίας μου, καπετάνε μου Ἰακύνθου, μισὲρ Φράγγισχε Δαριάνο καὶ σὺν τοῦ πρεχουρατόρου μου Ἰωάννου δὲ Τράνι. ὁ κατὰ κύριον ἀγαπητὸς πατὴρ τῆς αὐθεντίας μου, θεοφιλέστατος ἐπίσκοπος, ὁ μισὲρ Ντζουὰν Ἀντώνιός μου ἐπληροφόρησεν, πῶς του καταχράτωσιν αὐτόθεν παραπλακομένα ἀπὸ τὰ κτήματα καὶ πράγματα τῆς ἐπισκοπῆς του. δι' αὐτὸ ὁρίζομεν, νὰ ἴδητε τὸν κόντικα καὶ βραβίον τῆς αὐτῆς ἐπισκοπῆς ἐσεῖς καὶ ὁ οἰκεῖός μου Μιχάλης ὁ Παντορότης καὶ ὅθεν εὕρειτε νὰ ἀπαρθενίζωσι τῆς ἐπισκοπῆς ἀπὸ τοῦ κότικος καὶ βραβίο της κτήματα καὶ πράγματα ἰδικά της καὶ εἶναι παραπλακομένα νὰ μετὰ . . . ά, τὰ παραδίδετε ὅλα εἰς τὸν φατόρον τοῦ αὐτοῦ τοῦ ἐπισκόπου, τὰ ὅσα του ἀπαρθενίζωσι δικαιολογημένα ἀπὸ τὸν κόντικα τῆς αὐτῆς ἐκκλησίας, καὶ ἀλέως μὴ γένῃ, καὶ [ὁ] ὁρισμός μου ἂς μένει εἰς τὸ μέρος τοῦ ἀγαπητοῦ μου πατρός, τοῦ θεοφιλεστάτου ἐπισκόπου. ἐγράφη ἐς τῇ Ἁγίᾳ Μαύρᾳ αὐγούστου . . . η' ἰνδ. ,αυοε'.

Leonardus dispotus.

Dominus dispotus mandavit mihi Aloysio Romano messasio et vidi.

Orig. chart. in tabulario episcopatus latini Zacynthi.

VIII. 6983—1475, 30. augusti, ind. VIII. in Sancta Maura.

Leonardus III. Tocco, despota Artae, scribit de eadem re ad supradictum capitaneum Zacynthi.

† Δεσπότης Ἄρτης καὶ τῶν ἑξῆς.

† Οἰκεῖε τῆς αὐθεντίας μου, καπιτάνιε μου Ἰακίνθου, μισὲρ Φράγγισκε Δαριάνο σὺν τοῦ πρεχουρατόρου μου Ἰωάννου δὲ Τράνι. ἀπὸ τὴν πένα, ὁποῦ σας

εἴχαμεν ὁρίσῃ μὲ προγινόμενον ὁρισμόν μας, διὰ νὰ κάμετε νὰ βαλθῇ εἰς πᾶσα ἄνθρωπον, ὅπου ἐκρατοῦσαν χωράφια τοῦ κατὰ κύριον ἀγαπητοῦ πατρός, θεοφιλεστάτου ἐπισκόπου, τοῦ μισὲρ Τζουὰν Ἀντωνίου, εἰς τὲς στατίες, νὰ μηδὲν ἤθελε καματεῦσαι πλέον τινὰς εἰς αὐτὰ χωρὶς ὁρισμὸν καὶ θέλημα τῆς αὐθεντίας αὐτοῦ. τώρα πάλιν μᾶς ἐπληροφόρεσεν ἡ ἀρχιεροσύνη του, πῶς τὰ αὐτὰ χωράφια τὰ ἐκαματεύσωσι οἱ ἄνθρωποι, ὁποῦ τὰ ἐκρατούσαν χωρὶς θελίμα τῆς αὐθεντίας του, διὰ αὖ σας ὁρίζωμεν, ἂν ἡ πένα τὰ φλορένα ἑκατῶν, ὁποῦ ἐπροορίσαμεν μὲ φραγγικὸν ὁρισμόν μας, διὰ νὰ κάμετε νὰ τοὺς βάλθ . . τοὺς ἐβαλ . . . καὶ ἐκεῖνοι ἐκαμασι . . τὰ χωράφια, ἂν τὴν πέναν τοὺς ἐβαλίτε κατὰ τὸν ὁρισμόν μας, κάμετε, νὰ δεσικώθῃ ἀπὸ πᾶσα ἄνθρωπον, ὅπου ἐγίνετον παρίμενος, καὶ τὰ χωράφια νὰ τὰ παραδώσετε, ὡς ἂν εὑρίσκονται καματεμένα ὅλα κατὰ τῆς ὥρας εἰς τὸ μέρος τοῦ αὐθεντοῦ τοῦ ἐπισκόπου, καὶ ἀλέως μὴ γένῃ, καὶ [ὁ] ὁρισμός μας ἂς μένει εἰς τὸ μέρος τῆς αὐθεντείας του. ἐγράφη ἐν τῇ Ἁγίᾳ Μαύρᾳ αὐγούστου λ', ἰνδ. η' ͵αυοε'.

Leonardus dispotus.

Dominus dispotus mandavit mihi Aloysio Romano massaso et vidi.

Orig. chart. in tabulario episcopatus latini Zacynthi.

IX. 6986—1478, 22. ianuarii, ind. XI.

Ambrosius Minaulis, vicarius insulae Zacynthi, tradit episcopo Zacynthi possessionem dictam Calogerata.

Ἀπὸ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτη ͵αυοη' ἰνδ. ια' ἰανουαρίου κβ'. ἐγὼ Ἀμπροῦζος Μιναύλης, μαστρομασσάρος νήσου Ζακίνθου, ὁρισμὸν ἐδεξάμην τοῦ πανυψιλωτάτου αὐθεντοπούλου ἡμῶν, δὸν Κάρλου δὲ Τόκου ἀπὸ τὴν Κεφαλωνίαν, ὡς ἵνα δώσω καὶ παραδώσω τὸν τόπον καὶ χωράφια τὰ λεγόμενα Καλογεράτα πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Κεφαλωνίας καὶ Ζακίνθου, κύριον Ἰωάννην Ἀντώνιον, καθὼς τὰ ἔγραφα καὶ ὁρκομωτικὰ τῶν γερόντων τοῦ τόπου διαλαμβάνουσι, καὶ καθὼς νομεύεται μέχρι τὴν σήμερον, καὶ ἴδη ἐγὼ δεξάμενος τὸν ὁρισμὸν ἐπῆρα ἄρχοντες τῆς χώρας Ζακίνθου, τὸν κύριον Νούτζον Σιγοῦρον καὶ Κύριλλον τὸν Βασιλίτζην καὶ τὸν γραμματικὸν τῆς κούρτης, Σίμων τὸν Γούργουραν, καὶ ἀπὸ τὸ μέρος τοῦ αὐθεντὸς τοῦ ἐπισκόπου ἦλθεν κύριος Ἀθανάσιος ὁ Στεβένης καὶ κύριος Τζίλιος Διγαήτας, καὶ ἤφερον ἔγγραφα τὸν ὅρκων τῶν γερόντων . . .

Finis deest.

Orig. chart. in tabulario episcopatus latini Zacynthi.

X. 7140 – 1632, mense februario, ind. XV.

Patriarcha Cyrillus confirmat erectionem episcopatus Zacynthi et Cephaloniae in archiepiscopatum et condemnat usurpationem protopapae.

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐντιμότατοι κληρικοὶ καὶ εὐλαβέστατοι ἱερεῖς καὶ λοιποὶ εὐλογημένοι χριστιανοὶ τῆς περιφανοῦς καὶ θεοσώστου ἐπαρχίας τῶν νήσων Ζακύνθου καὶ Κεφαλληνίας, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος. χάρις εἴη ἡμῖν καὶ εἰρήνη καὶ ἔλεος παρὰ θεοῦ παντοκράτορος. ἡμεῖς μὲν θέλοντες τιμῆσαι τὴν ἐπαρχίαν ταύτην, ἐπισκοπὴν οὖσαν τὸ πρότερον, εἰς ἀρχιεπισκοπὴν προεβιβάσαμεν, ἀποφήναντες διὰ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ, ὀνομάζεσθαι αὐτὴν ἀρχιεπισκοπὴν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, καὶ τὸν ἐν αὐτῇ χρηματίσοντα, ἱερώτατον Νικόδημον, τὸν ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος, καλεῖσθαι καὶ λέγεσθαι ἀρχιεπίσκοπον Ζακύνθου καὶ Κεφαλληνίας, μηδενὶ ἄλλῳ ὑποκείμενον, εἰ μὴ τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ καὶ τῷ κατὰ καιροὺς οἰκουμενικῷ πατριάρχῃ, οὗ καὶ τοῦ ὀνόματος ὀφείλοντα μνημονεύειν, ὡς κανονικόν τε καὶ δίκαιον, ἥντινα προβίβασιν τοῦ θρόνου αὐτοῦ ἀποδεξαμένη καὶ ἡ γαληνοτάτη καὶ χριστιανικωτάτη ἀρχὴ τῶν Ἑνετῶν ἐβεβαιώσατο καὶ ἐκυρώσατο, ἣν καὶ ἡμεῖς μένειν βουλόμεθα διὰ παντὸς ἀμετάπτωτον καὶ ἀδιάσειστον. ἐπειδὴ δέ, ὡς ἐμάθομεν καὶ ἐπιστώθημεν νῦν, ὁ ἐν Ζακύνθῳ εὑρισκόμενος πρωτοπαπᾶς παρὰ τάξιν ἐκκλησιαστικὴν τὰ τῷ ἀρχιερεῖ ἀνήκοντα πράγματα μετερχόμενος ἐναντίος φαίνεται τῷ ἱερωτάτῳ ὑμῶν ἀρχιεπισκόπῳ σὺν ἄλλοις τισὶν τῶν ἀρχόντων, καὶ ἰδιοποιεῖται τὰ τοῦ ἀρχιερέως προνόμια, διαζευγνύων ἀνδρόγυνα καὶ ἐπιδοὺς διαζύγια, παρέχων ἄδειαν πρὸς εὐλόγησιν συνοικεσίων καὶ ἐκφώνησιν ἀφορισμοῦ, κρίνων τὰς τυχούσας ἐκκλησιαστικὰς κρίσεις, ἀργῶν καὶ ἀφορίζων ἱερωμένους καὶ λαϊκούς, ἀγνοῶν, ὅτι ταῦτα πάντα ὑπ' οὐδενὸς ἄλλου διοικοῦνται καὶ κυβερνῶνται ἢ παρὰ τοῦ κατὰ τὸν τόπον ἀρχιερέως κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν τοῦ τὴν ἐξουσίαν τοῦ λύειν καὶ δεσμεῖν ἔχοντος, ὡς ἐν πάσαις ταῖς ἁπανταχοῦ ἐπαρχίαις, ὅπερ ἄτοπον καὶ παράλογον κατὰ τοὺς ἀποστολικοὺς νόμους καὶ πατρικοὺς κανόνας, καὶ συγχέει τοὺς πλείστους τοῖς παραλόγοις αὐτοῦ ἐπιχειρήμασι καὶ σκάνδαλα προξενεῖ τῷ γνησίῳ καὶ καθολικῷ ὑμῶν ἀρχιερεῖ εἰς τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, τὰ ὑπὲρ τὴν ἀξίαν καὶ δύναμιν αὐτοῦ χαρίσματα τῆς ἀρχιερωσύνης, ἱερεὺς ὤν, μετέρχεσθαι βουλόμενος, οὕτινος τὴν ἀτοπίαν καὶ προπέτειαν συστεῖλαι βουλόμενοι καὶ ὑμᾶς πληροφορῆσαι τὴν προβίβασιν τοῦ θρόνου αὐτοῦ καλῶς γεγο-

νέναι, γράφομεν διὰ τοῦ παρόντος, γνώμῃ συνοδικῇ τῶν παρευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, ἵνα τοῦ προεκδοθέντος συνοδικοῦ γράμματος περὶ τῆς προβιβάσεως τοῦ θρόνου αὐτοῦ κεκυρωμένου μένοντος καὶ βεβαίου καὶ ἀμετατρέπτου εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα ἡ μὲν ἐπαρχία αὕτη τῆς Ζακύνθου καὶ Κεφαλληνίας, ὡς ἀπὸ ἐπισκοπῆς τιμηθεῖσα εἴη καὶ λέγηται ἀρχιεπισκοπὴ κατὰ τὴν ἀπόφασιν τοῦ ἡμετέρου συνοδικοῦ γράμματος καὶ κατὰ τὴν διάταξιν καὶ βεβαίωσιν τῆς γαληνοτάτης ἀρχῆς τῶν Ἑνετῶν, μηδενὶ ἄλλῳ ὑποκειμένη, εἰ μὴ τῷ κατὰ καιροὺς πατριάρχῃ, ὡς δεδήλωται, καὶ ὁ ταύτης ἀρχιερεύς, ἱερώτατος κύριος Νικόδημος, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀθελφὸς καὶ συλλειτουργός, καλῆται καὶ λέγηται ἀρχιεπίσκοπος Ζακύνθου καὶ Κεφαλληνίας, παρ' οὐδενὸς ἄλλου ἐπισκεπτόμενος ἢ παρὰ τῆς καθ' ἡμᾶς τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἐν πάσῃ χρείᾳ καὶ ἀνάγκῃ ἐκκλησιαστικῇ, μνημονεύων ἐν τῇ θείᾳ ἀκολουθίᾳ τοῦ πατριαρχικοῦ ὀνόματος, συνάγων καὶ καρπούμενος τὰ ἐκκλησιαστικὰ αὐτοῦ εἰσοδήματα τῶν συνοικεσίων, τῶν διαζυγίων καὶ τῶν λοιπῶν συνήθων τοῦ τόπου, κρίνων καὶ θεωρῶν πᾶσαν ἐμπίπτουσαν ἐκκλησιαστικὴν ὑπόθεσιν νομίμως καὶ κανονικῶς καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαθιστῶν καὶ πάντα τὰ ἐκκλησιαστικὰ ἐκτελῶν, τὰ ἀρχιερατικὰ δηλαδὴ ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως καὶ τὰς χειροτονίας πάσας καὶ ἀργῶν καὶ ἀφορίζων τοὺς ἀπειθοῦντας τυχὸν ἱερωμένους καὶ λαϊκούς. ὁ δὲ πρωτοπαπᾶς, ὁ νῦν καὶ ὁ ἐσόμενος, τῇ τοῦ πρωτοπαπαδικίου ἐνεργείᾳ ἀρκούμενος παύσηται πάσης αὐθαδείας, μηδεμίαν ἐξουσίαν ἔχων, παρόντος καὶ ἀπόντος τοῦ κατὰ τόπον ἀρχιερέως δικαιώματα λαμβάνειν ἢ διαζύγια διδόναι ἢ ἄδειαν τῶν συνοικεσίων παρέχειν ἢ ἐκφώνησιν ἀφορισμοῦ ἢ κρίνειν τὰς ἐκκλησιαστικὰς κρίσεις ἢ ἀργεῖν καὶ ἀφορίζειν τινὰ ἢ ἄλλο τι πράττειν ἐξουσίας [καὶ] ἐπισκέψεως δεόμενον, οὐδ' ἄλλως ποιήσῃ καὶ ἐναντίος φαινόμενος τῇ συνοδικῇ ταύτῃ ἀποφάσει καὶ τῇ τῆς ἀρχῆς τῶν Ἑνετῶν ἐπιτεύξει καὶ ἄρξηται πάλιν τῶν προτέρων, βουλόμενος [δὲ] παρ' ἐκκλησιαστικὴν τάξιν τὰ τῷ ἀρχιερεῖ ἀνήκοντα μετέρχεσθαι καὶ καταφρονεῖν τῶν ἐκκλησιαστικῶν νόμων τε καὶ κανόνων, αὐτός τε καὶ οἱ συναινοῦντες αὐτῷ ἱερωμένοι καὶ λαϊκοί, ἀφωρισμένοι ἔστωσαν παρὰ θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ ταῖς ἀραῖς τῶν ἁγίων τιη' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν ἁγίων συνόδων ὑπεύθυνοι. ὅσας δὲ ἀπὸ τοῦ νῦν ἐκκλησιαστικὰς ὑποθέσεις τολμήσας ἐπιχειρήσεται ἐκτελέσαι ἐκ τῶν προρρηθέντων, ἄκυροι καὶ ἀνίσχυροι ἔστωσαν, καὶ ὡς μὴ γεγονυῖαι λογιζέσθωσαν, καὶ οἱ δι' ἐπιτάγματος τοῦ πρωτοπαπᾶ ἱερεῖς ἐκκλησιαστικόν τι ὑπούργημα ἐκτελέσαι

θελήσοντες τῇ ἀργείᾳ καὶ τῷ ἀπὸ θεοῦ ἀλύτῳ ἀφορισμῷ ὑπόδικοι ἔστωσαν· ἐπὶ γὰρ τοῦτο ἐγράφη καὶ τὸ παρὸν συνοδικὸν ἐπιβεβαιωτήριον γράμμα καὶ ἐπεδόθη τῇ ἀρχιεπισκοπῇ Ζακύνθου καὶ Κεφαλληνίας εἰς δήλωσιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐν ἔτει σωτηρίῳ ͵αχλβ', ἐν μηνὶ φεβρουαρίῳ ἰνδ. ιε' †.

† Ὁ Ἡρακλείας Νεόφυτος †.
† Ὁ Σερρῶν Δανιὴλ †.
† Ὁ Σηλυβρίας Λαυρέντιος †.
† Ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος †.
† Ὁ Ἐλασσῶνος Ἰωασάφ †.
† Ὁ Διδυμοτοίχου Λαυρέντιος †.
† Ὁ Κυζίκου Παρθένιος †.
† Ὁ Ἐπιφάνειος Καισαρείας †.
† Ὁ Βιζύης Δαμασκηνός †.
† Ὁ Ῥαιδεστοῦ Θεοφάνης †.
† Ὁ Προικοννήσου Δανιὴλ †.
† Ὁ Βάρνης Παρθένιος †.
† Ὁ Σωζοπόλεως Κλήμης †.
† Ὁ Τορνόβου Μακάριος †.
† Ὁ Χαλκηδόνος Νεκτάριος †.
† Ὁ Ἀδριανουπόλεως Παρθένιος †.
† Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριὴλ †.
† Ὁ Νεοκαισαρείας Μακάριος †.

Extat in tabulario Cephaloniae. Libro de' Consigli fol. 20. Edidit C. Sathas, Νεοελληνικὴ Φιλολογία, *Athenis, 1868. p. 282.*

III.

Acta civitatis et ecclesiae Ioanninorum.

I. 6827—1319, mense februario, ind. II.

Imperator Andronicus II. Palaeologus confirmat iura, privilegia, exemptiones et possessiones ecclesiae et civitatis Ioanninorum.

† Ἐν μὲν τοῖς ἱεροῖς καὶ θείοις λογίοις υἱὸν εὑρίσκομεν τῆς πατρικῆς ἐπιστασίας καὶ συνοικήσεως δραπετεύσαντα καὶ κακὸν κακῶς ἀπόλυτον τέως καὶ φαύλως βιώσαντα χρόνον οὐκ ὀλίγον, ὀψὲ δὴ καὶ μόλις γενόμενον ἑαυτοῦ καὶ γνώμην μεταβαλόντα σώφρονα, προσδραμεῖν ὅλῃ φορᾷ τῇ πατρικῇ φιλανθρωπίᾳ καὶ φυσικῇ πρὸς οἴκτους ἑτοιμότητι καὶ προσδραμόντα, μὴ τῶν χρηστῶν ἐλπίδων ἀποπεσεῖν, μηδ' ὧν ἐδόκησεν, ἀλλ' ὁ πατὴρ γὰρ αὐτῷ — ἢ τί γε ἔμελλε, πατὴρ ὤν, τῆς φύσεως οἴκοθεν ὥστε συμπαθεῖν ἑλκούσης — εὖ μάλα πρόθυμος διὰ μακροῦ δεξιὰν προτείνει καὶ προσίεται τὸν πολυπλάνητον υἱὸν καὶ πάντα οἱ τὰ αὐτοῦ καὶ τὸν οἶκον οὐκ οἶδ' ὡς εἴ ποτε χαίρων ἀνοίγει παραχρῆμα καὶ μόσχον θυσάμενος σιτιστὸν ἐκ παρασκευῆς ἵστησι τράπεζαν καὶ πανδαισίαν ἐλευθερίως τρυφῆς καὶ ἡδέως ὡς ὅτι μάλισθ' ἑαυτῷ παρατίθησι καὶ μετ' εὐφροσύνης οἵας ἀρρήτου τ' ἀπολόμενα πολλῶν ἤδη τῶν χρόνων ἀπολαμβάνει φίλτατα. καὶ τοιοῦτός τις ἡμῖν τύπος ἐν εὐαγγελίοις τῆς πρὸς τὸ φιλάνθρωπον καὶ συμπαθὲς ἑτοιμότητος ἱστορεῖται, χρηστὰς ἄρα τὰς ἐλπίδας προτείνων πάντως καὶ πιστάς γε οὐχ ἧττον ἢ χρηστάς, ὅστις ἂν εὖ μάλα πείθοιτο, καὶ παραπλήσια δρῴη καὶ τοὺς αὐτοὺς ἐράνους συνεισφέροι τοῖς ἐκ μεταγνώσεως· ἔπειτ' αὐτὰ τὰ σφίσι βέλτιστα ξυνορῶσιν, εὐγενῶς ἀπαντῶν καὶ πρὸς πᾶσαν ὑποδοχὴν καὶ ξενίαν καὶ λιμένας ἁπάσης εὐποιίας ἥδισθ' ὑπανοίγων, ὡς ἂν ἀμέλει καὶ αὐτὸς τὰ τῆς δεσποτικῆς ἐντεῦθεν οἰκονομῶν, ὡς εἰπεῖν, φιλανθρωπίας καὶ τὰς ἀντιδόσεις τῶν προκεχορηγημένων ἐράνων προκατασκευάζων εἰς τὰ χρήσιμα μάλισθ' ἑαυτῷ καὶ πολλῷ γε βελτίω, καὶ οἷα μὴ παραβάλλειν ὅλως ἐστὶ κατὰ τὰ παρόντα καὶ δῆλα ταῦτα. καὶ τὰ μέν γε οὕτως, ἡμῖν δ' ἴσως, εἰ μέλλομεν ἄττα βέλτιστα ἡμῖν δρᾶν, μελήσει τοῦ ὑποδείγματος ἄρα τοῦδε, ἐπί τε τῶν κοινῶν, οἶμαι, πραγμάτων, ἐνθάδε ἅπαντα τρόπον ἄμεινον ἔχειν ἀεί. πρᾶγμα δὴ τοῦτο τῶν ἁπάντων εὐκταιότατόν τε καὶ σπουδαιότατον ἔμοιγε,

καὶ οὐ πάντ' ἔγωγε τἄλλα εὖ μάλα πρόθυμος πριαίμην ἄν, ἀλλὰ μὴν οὐδὲν ἧττον καὶ ἐπὶ τῶν ἰδίᾳ προσηκόντων ἔμοιγ' αὐτῷ μόνῳ, καὶ ὅπῃ μὴ καὶ τὰ κοινὰ συνεισάγεται· καὶ τοίνυν εἰ κατὰ τοὺς λόγους τούςδε καὶ τὴν κρίσιν καὶ τὸ ὑπόδειγμα ἐν πολλοῖς ἡμεῖς ἐχρησάμεθα, παρείσθω λέγειν ἄλλοις, πρὸς νέμεσιν δ' εὐλαβητέον ἡμῖν. ἀλλ' ὅπερ ἠβούλεθ' ὁ λόγος, ὡς ἄρα πρὸς τήνδε τὴν κρίσιν καὶ τὸ εἰρημένον ὑπόδειγμα καὶ τὴν τοῦ βελτίστου πρόνοιαν ἀεὶ τὸν σκοπὸν ἀπευθύνοντες, καὶ νῦν ἀμέλει καιροῦ καλοῦντος παραπλήσι' ἀξιοῦμεν δρᾶν. ἔστι δὲ τὸ περὶ τὴν Ἤπειρον ἄστυ, ὄνομά πως οὑτωσὶ Ἰωάννινα, μεγέθει μέν ἐστι τῶν πολλῶν διαφέρον, θέσεως δὲ εὐκαιρίᾳ καὶ κράτει μάλιστα καὶ ἐρυμνότητι, πολλῷ δὲ πλειόνων διαφέρον ἔτι· μεμέστωται δὲ οἰκητόρων, ἀκμάζει δὲ πλούτῳ καὶ πᾶσιν ἄλλοις ἐναβρύνεται καὶ δόκιμόν ἐστι, οἷσπερ ἄρα τῶν πόλεων εὐαρίθμητοι. ὁ δὲ δὴ πρῶτος αὐτῷ κόσμος ἐπὶ πᾶσι τῷ πολίσματι καὶ μέγιστος, καὶ οὐ πάντα τἄλλα ἧττηται· πολιστὴς γὰρ αὐτῷ καὶ πολιοῦχος καὶ πάντα καλῶς πράττειν προστάτης κράτιστος ὁ μέγας τῶν ἄνω τοῦ θεοῦ ταγμάτων ἀγγελικῶν πρωτοστάτης Μιχαήλ, ἐν πᾶσι καιροῖς καὶ παντὶ πράγματι χορηγὸς καλῶν, ῥύστης ἀλεξίκακος, καλλύνων τε καὶ κρατύνων πάνυ τοι φιλοστόργως, ὡς εἰπεῖν, τὸ πόλισμα καὶ ἰδιοποιούμενος ἐκ μακρῶν τῶν χρόνων καὶ πρὶν ἢ καὶ πόλισμα τὸν χῶρον εἶναι, βρύων ἑκάστοτ' ἐνταῦθα, καὶ ὅσαι ἡμέραι θαύματ' ἐπ' ἀνθρώπων εὐεργεσίαις αὐτόθι τε τοῖς ἐποίκοις καὶ πολίταις αὐτοῦ, καὶ πᾶσιν αὐτόθεν ἐπικαλούμενος εἰς δόξαν καὶ κλέος οὐχ ἥκιστα ἀπαράμιλλον αὐτῶν τῶν πρώτως καὶ συνεχῶς ἀεὶ τῆς αὐτοῦ προστασίας καὶ σκέπης λαχόντων. καὶ τί χρὴ πλείω τρίβειν ἐνταῦθα, τοῦ λόγου πρὸς τὸν προκείμενον σκοπὸν σπεύδοντος; πλὴν ὅτι τὸ κάλλιστόν γε μὴν ἄστυ τόδε καὶ πολλοῖς ἀγαθοῖς ἀνθοῦν τε κατὰ φύσιν καὶ ἀκμάζον, οὐκ οἶδ' ἥτινι φορᾶς ἀωρίᾳ καὶ τοῦ πᾶσι τοῖς χρηστοῖς ἐπηρεάζοντος σατὰν βασκανίᾳ τόδε ἄρα πονήρως εἶχε πρότερον χρόνος οὐκ ὀλίγος, ἐξ οὗ καὶ κακίστῃ συνῆν μοίρᾳ καὶ νοσερῶς ἐχρῆτο, βίοτον ἀνυτόν, ἀπότμητον, ὡς εἰπεῖν, τῶν κοινῶν νομίμων καὶ τῆς συνεχείας τῆς φύσεως, καὶ βίον ὄντως βιοῦν ἀβίωτον· οὔτ' εἰς τὴν καθόλου τοῦ δεσπότου Χριστοῦ καὶ σωτῆρος ἀνάγον εὐγενῶς ἐκκλησίαν, οὔτ' εἰς τὴν ὑπ' αὐτοῦ καὶ τῆς ἐκκλησίας αὐτῆς ἐπιστατεῖν λαχοῦσαν κοινῶς βασιλείαν τοῦ ῥωμαϊκοῦ παντὸς λάχους, ἀλλὰ δουλεῦον αἴσχιστα, οὐ μᾶλλόν γε τῷ κοινῷ γένει ἢ ἑαυτῷ, ἐκείνοις ἀνθρώποις, οἵστισιν ἄρα, πλήν γε ὅτι κακῶς ἐκεῖνοι ἑαυτοῖς τε ἐχρῶντο, καὶ οἷς ὡς ὑπηκόοις ἐχρῶντο καὶ νοσοῦντες χαλεπώτατα νοσούντων ὡσαύτως ἄρχοντες, καὶ φαύλης βιοτῆς οὐχ ἑαυτοῖς μόνον, ἀλλὰ καὶ ἄλλοις ἡγεμόνες ὄντες, ὅσοις τοι κακῶς τοῦτο καὶ ἀλογίστῳ συναρπαγῇ προσέτριψεν ὁ χρόνος καὶ ἀφορμὴ κακῶς πράττειν σφίσι τε αὐτοῖς εἶναι καὶ ἄλλοις αἱρούμενοι, κακῶς τε καὶ ἀμαθῶς τῶν ἱερῶν καὶ

θείων νομίμων καὶ τῶν ὑπ᾿ αὐτῶν ἐπανατεινομένων τοῖς τοιούτοις ἐπιτιμήσεων, ἃς οὐκ ἀνέχεσθαι μόνον τοῖς γε νοῦν ἔχουσιν ἁπάντων βαρύτατον, ἀλλὰ καὶ μνημονεύειν ὅλως καὶ προφέρειν ἀηδὲς καὶ τοῦτ᾿ ἔπειτα καὶ παρατρέχει νῦν ὁ λόγος ἐν ὀλίγῃ τοῦ καιροῦ ὥρᾳ καὶ τῆςδε τῆς χρείας διεξιέναι. καὶ τὰ μὲν πρότερα τῷ ἄστει τῷδε καὶ τοῖς κατ᾿ αὐτὸ οἰκήτορσι τοιαῦτα, καὶ ὧν ἴσως ἀηδία καὶ μεμνῆσθαι, νυνὶ δὲ ἀλλὰ νουνεχεῖς ἄνδρες οἰκήτορες οὗτοι, καὶ πολλῷ βελτίους ἢ κατὰ τοὺς προτέρους ἐκείνους, καὶ τῶν βελτίστων σφίσιν αὐτοῖς ἐπιγνώμονες, θαυμασίῳ γὰρ δὴ ζήλῳ καὶ σφόδρ᾿ ἐπαινεῖν ἀξίᾳ γνώμῃ μετατίθενται τὰ κάλλιστα καὶ νοῦν μεταλαμβάνουσι σωφρονικόν τε καὶ ὑγιῆ καὶ μᾶλλον ἀντὶ τοῦ νοσεῖν ὑγιαίειν ἀξιοῦσι καὶ μᾶλλον ἀντὶ τοῦ κακῶς πράττειν καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, τοὐναντίον καλῶς ἑαυτοῖς καὶ τῷ βίῳ χρῆσθαι σπουδάζουσιν, ὅλῃ προθέσει ψυχῆς προσνείμαντες ἑαυτοὺς τῇ κοινῇ τοῦ γένους αὐτῶν μητρί, τῇ καθόλου τῶν χριστιανῶν καθ᾿ ἡμᾶς τοῦ θεοῦ ἐκκλησίᾳ καὶ τῇ κοινῇ τῶν Ῥωμαίων συνουσιώσει καὶ ὁλομελείᾳ καὶ τῇ πρὸς ἡμᾶς μετ᾿ εὐνοίας ἀκραιφνοῦς ὑποταγῇ, οἳ τοὺς οἴακας αὐτοὺς καὶ τὴν καθόλου κυβερνητικὴν ἐπιστασίαν τοῦ παντὸς τῶν Ῥωμαίων γένους ὑπὸ θεοῦ, λόγοις οἷς αὐτὸς οἶδεν, ἐπιστεύθημεν, καὶ οἱ μὲν οὕτω. τί δ᾿ ἄρ᾿ ἡμεῖς ἐμέλλομεν χρήσασθαι ἢ πάντως γε καθ᾿ ἡμᾶς αὐτοὺς καὶ τὴν ἡμῶν φύσιν καὶ τὸ χρόνιον ἔθος καὶ πολλοῖς ἤδη πρότερον δεδοκιμασμένον καὶ ὡς ἔπος εἰπεῖν, πατρικῶς· εἰρήσθω γὰρ οὕτω καὶ μετ᾿ ἀληθείας ὁ λόγος, Χριστοῦ χάριτι καὶ κατὰ τὸν ἄνωθεν εἰρημένον τύπον καὶ τὸ ὑπόδειγμα. καὶ τοίνυν προσιόντας εὖ μάλ᾿ ἡδέως προσιέμεθα καὶ ἐνστερνιζόμεθα καὶ χεῖρα πόρρωθεν προτείνομεν καὶ πᾶσαν αὐτοῖς ὑπανοίγομεν οὐκ εὐθυμίας μόνον, ἀλλὰ καὶ εὐποιίας χώραν. δηλοῖ δὲ τὸ νῦν· πρὸς γὰρ τοῖς ἄλλοις, οἷς εὐμενῆ γνώμην πρὸς αὐτοὺς ἐνεδειξάμεθα κομιδῇ, ἐπεὶ καὶ χρυσοβούλλου τυχεῖν τῆς βασιλείας ἡμῶν ἐπ᾿ εὐεργεσίᾳ καὶ διαγωγῇ βιοτῆς ἡδίστης καὶ ἐρραστωνευμένης ᾐτήσαντο καὶ τοῦδε μάλιστα τάχιστά τε καὶ ἥδιστά γε ἡμῖν τυγχάνουσιν ἄνδρες οὗτοι καὶ παραχρῆμα σφίσιν ἐπιχορηγεῖται αὐτοῖς, δι᾿ οὗ τὰ κατωτέρω ῥηθησόμενα ζητήματα αὐτῶν ἀποπληροῖ βεβαίως ἡ βασιλεία μου· διορίζεται γὰρ καὶ προστάσσει διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου ἡ βασιλεία μου, ἵνα προηγουμένως κατέχῃ ἡ ἐκεῖσε ἁγιωτάτη μητρόπολις τῶν Ἰωαννίνων πάντα τὰ κτήματα καὶ δίκαια αὐτῆς, ὅσα δηλονότι κέκτηται διὰ παλαιγενῶν δικαιωμάτων, εἴτε χωρία ταῦτα εἰσίν, εἴτε ἀμπέλια, εἴτε χωράφια, εἴτε μυλωνικὰ ἐργαστήρια, εἴτε ἕτερα τοιαῦτα ὑποστατικά, εἴτε πάροικοι, εἴτε ἄλλο τι τοιοῦτον, ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ ἐπὶ τούτοις ἐγγράφων δικαιωμάτων, κατέχῃ δὲ κατὰ τὸν ὅμοιον τρόπον καὶ εἴ τι προσεπεδόθη αὐτῇ ἀρτίως διὰ γράμματος τοῦ περιποθήτου γαμβροῦ τῆς βασι-

λείας μου, τοῦ πιγκέρνη Συργιάννη τοῦ Παλαιολόγου, ὅτι καὶ τοῦτο βούλεται καὶ ἔχει θέλημα ἡ βασιλεία μου, ἵνα κατέχωνται ταῦτα πάντα παρὰ τῆς δηλωθείσης ἁγιωτάτης μητροπόλεως καὶ δεσπόζωνται διηνεκῶς παρ' αὐτῆς εἰς τὸν ἑξῆς πάντα χρόνον, εὑρίσκωνται δὲ ταῦτα καὶ εἰς πᾶσαν καὶ παντοίαν ἀνενοχλησίαν καὶ ἐξκούσειαν. ἔτι ἐπεὶ οἱ ἔποικοι τῆς θεοσώστου πόλεως τῶν Ἰωαννίνων ἐζήτησαν καὶ παρεκλήτευσαν, ἵνα οὐδὲν ἐκδοθῇ ἡ τοιαύτη πόλις ποτὲ παρὰ τῆς βασιλείας μου πρὸς Φράγγους ἢ πρὸς ἄλλους τινὰς τῶν ἁπάντων, ἀλλὰ εὑρίσκηται διόλου εἰς τὸ ἔμπροσθεν ἀναπόσπαστος ἀπὸ τῆς ὑποταγῆς τῆς βασιλείας μου καὶ ἀχώριστος καὶ ἡνωμένη μετὰ τῆς λοιπῆς χώρας καὶ τῶν κάστρων τῆς βασιλείας μου καὶ κατέχηται παρά τε τῆς βασιλείας μου καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῆς εἰς τὸν ἑξῆς πάντα χρόνον, καὶ τοῦτο εὐνοίας καὶ ὑπολήψεως αὐτῶν καθαρᾶς τὸ ζήτημα λογισαμένη ἡ βασιλεία μου, καὶ κατὰ τὸν αὐτῆς σκοπὸν καὶ τὴν πρόθεσιν, δηλοποιεῖ καὶ ὑπισχνεῖται διὰ τοῦ παρόντος χρυσοβούλλου αὐτῆς, ὅσον καὶ χωρὶς τῆς αὐτῶν ζητήσεως ἕνεκεν τούτου εἶχε βέβαιον καὶ ἀμετάθετον ἡ βασιλεία μου καὶ κατὰ σκοπὸν αὐτῆς ἀσάλευτον, ἵνα οὐδὲν ἐνεργηθῇ, οὐδὲ ἀποδοθῇ διὰ οὐδένα τῶν ἁπάντων τρόπον ἡ εἰρημένη πόλις τῶν Ἰωαννίνων πρός τινας, κἂν εἴ τινες ἄρα καὶ ὦσιν οἱ τοιοῦτοι, κἂν ὁποίας μοίρας καὶ τάξεως, ἐπειδὴ καὶ τελείως ἰδιοποιήσατο τὴν τοιαύτην πόλιν ἡ βασιλεία μου καὶ ἰδικώτερόν πως εἰς αὐτὴν διατίθεσθαι προέθετο ἡ βασιλεία μου καὶ πᾶσαν φροντίδα ταύτης ποιεῖσθαι καὶ τῆς προκοπῆς ταύτης καὶ συστάσεως καὶ βελτιώσεως καὶ φιλοστόργως προσανέχειν αὐτῇ καὶ μετὰ πολλῆς γλυκύτητος καὶ διαθέσεως. ἀλλὰ μὴν οὐδὲ ἕτερον ἀπὸ τῶν ἄλλων κάστρων τῶν προσελθόντων ἀρτίως εἰς τὴν ὑποχειριότητα τῆς βασιλείας μου ἢ καὶ τῶν μελλόντων ὡσαύτως ἀπὸ τῶν ἐκεῖσε ἑτέρων κάστρων προσελθεῖν καὶ γενέσθαι τῆς βασιλείας μου δοθήσεται πρός τινα τῶν ἁπάντων καὶ τῆς βασιλικῆς ἐξουσίας καὶ ὑποταγῆς ἀποκοπήσεται. καὶ τοῦτο ἔσται ἀσάλευτον οὕτως, ὡς ἐν τῷ παρόντι χρυσοβούλλῳ δηλοποιεῖ ἡ βασιλεία μου. ἔτι ἵνα οἱ κατὰ καιροὺς μέλλοντες κεφαλατικεύειν εἰς τὴν εἰρημένην πόλιν τῶν Ἰωαννίνων οὐδὲν ἔχωσιν ὅλως ἄδειαν ἐκβάλλειν καὶ μετοικίζειν τινὰ μικρὸν ἢ μέγαν ἀπὸ τῶν ἐποίκων αὐτῆς καὶ ἀλλαχοῦ κατοικεῖν αὐτόν, εἰ μή πως αὐτός θελήσῃ οἴκοθεν καὶ προαιρεθῇ ἐξελθεῖν καὶ μετοικῆσαι ἀλλαχοῦ. τὸν ἀναφανέντα δὲ δημοταράκτην αὐτὸν καὶ μόνον ὀφείλει ἔχειν ἄδειαν ἡ εἰρημένη κεφαλὴ ἐκβάλλειν καὶ ἀποπέμπειν ἀπὸ τῆς εἰρημένης πόλεως, ἐπειδὴ καὶ τοῦτο μέλλει προξενεῖν ἐν αὐτῇ κατάστασιν εἰρηνικὴν καὶ εὐνομίαν τὴν πρέπουσαν, προηγουμένως μὲν κατὰ τὴν ἀποδοχὴν τοῦ θεοῦ, ἔπειτα δὲ κατὰ τὴν θέλησιν καὶ ὄρεξιν τῆς βασιλείας μου· ἐὰν γὰρ ἀναφύωνται καὶ εὑρίσκωνται εἰς τὴν μέσην αὐτῶν ἄτακτοι τοιοῦτοι καὶ ὀχλο-

ποιοὶ καὶ θορυβώδεις ἄνθρωποι, πάντως τοῦτο τὸ ἐξ αὐτῶν ἐπιγινόμενον εἰς παραλύπησιν μέλλει εἶναι αὐτῶν τῶν ὀρθῶς κρατουμένων καὶ ἐκζητούντων συντηρεῖσθαι καὶ εὑρίσκεσθαι εἰς τὴν πρέπουσαν καὶ ἁρμόζουσαν κατάστασιν κατὰ τὴν ἀποδοχὴν τῆς βασιλείας μου. διὰ τοῦτο καὶ διακρίνει ἡ βασιλεία μου, ἵνα πράττηται καὶ ἐνεργῆται εἰς αὐτοὺς τοὺς ἀναφαινομένους δημοταράκτας, ὅσον ἀνωτέρω εἴρηται. ἔτι ἵνα διορίσηται ἡ βασιλεία μου καὶ ἐκλεγῶσιν ἄνθρωποι καλοὶ ὑπὸ τῶν ἐποίκων τῆς τοιαύτης πόλεως καὶ ταχθῶσιν ὡς κριταὶ καὶ κρίνωσι καὶ ἐξισάζωσι τὰς παρεμπιπτούσας ἐν αὐτῇ ὑποθέσεις μετὰ τοῦ εὑρισκομένου εἰς κεφαλὴν αὐτῶν, πλὴν τῶν ὑποθέσεων μόνων, αἵτινες ἁρμόζουσι λαμβάνειν τὴν διευλύτωσιν ἀπὸ τοῦ μέρους τῆς ἐκεῖσε ἁγιωτάτης ἐκκλησίας. ἔτι ἵνα αὐτὴ ἡ πόλις τῶν Ἰωαννίνων συντηρῆται εἰς πᾶσαν ἐλευθερίαν καὶ ἐξκούσσειαν κατὰ τὴν προτέραν αὐτῶν συνήθειαν καὶ οἱ ἔποικοι αὐτῆς πάντες διάγωσιν ἀκομμέρκευτοι τελείως τὰς δοκούσας αὐτοῖς πάσας ποιούμενοι πραγματείας ἀκωλύτως πάντη καὶ ἀνεμποδίστως ἐν αὐτῇ τε τῇ πόλει αὐτῶν καὶ ἐν ταῖς ἄλλαις ἁπάσαις χώραις καὶ τοῖς κάστροις τῆς βασιλείας μου, καὶ οὐδὲν εὑρίσκωσιν εἰς τοῦτο ἐμποδισμὸν ἢ ἐναντιότητα παρά τινος τῶν ἁπάντων μέχρι καὶ τῆς θεοδοξάστου, θεομεγαλύντου καὶ θεοφυλάκτου Κωνσταντινουπόλεως. ἔτι ἵνα αὐτοὶ οἱ καστρηνοὶ Ἰωαννινιῶται οὐδὲν καταναγκάζωνται οὐδὲ καθέλκωνται, ἵνα ἐκδουλεύσωσι στρατιωτικῶς ἐκτὸς τῆς τοιαύτης πόλεως, ἐπεὶ αὐτοὶ μόνοι οἱ ἀποτεταγμένοι στρατιῶται, συναριθμούμενοι δὲ εἰς τὰς συντάξεις τῶν ἀλλαγίων καὶ ἔχοντες οἰκονομίαν ὀφείλουσιν ἐκδουλεύειν. ἔτι ἵνα ἐπεὶ ἐπεκράτησεν εἰς αὐτοὺς συνήθεια καὶ ὃν ἂν ηὕρισκον εἰς τὴν μέσην αὐτῶν προδότην καὶ ἄπιστον ἀπὸ ἐξετάσεως καὶ ἀληθινῆς παραστάσεως, τὰ μὲν κτήματα αὐτοῦ ἀπεκέρδαινον οὗτοι, τὰ δὲ ὀσπήτια αὐτοῦ κατεχάλων, τοῦτον δὲ τὸν κατὰ ἀλήθειαν ἀναφανέντα προδότην ἐξῆγον ἀπὸ τοῦ κάστρου καὶ ἀπεδίωκον, ὡς ἂν οὐδὲν ἔχει κληρονομίαν τινὰ εἰς αὐτό, διορίζεται ἡ βασιλεία μου, ἵνα καὶ πάλιν κατὰ τὴν εἰς τοῦτο συνήθειαν αὐτῶν ἐνεργῆται εἰς τὸ ἔμπροσθεν, καθὼς αὐτοὶ καὶ τοῦτο ἐζήτησαν. ἔτι ἵνα οὐδεὶς τῶν στρατιωτῶν ἔχῃ ἄδειαν ἀπληκεῦσαι εἰς ὀσπήτιον τινὸς καστρηνοῦ παρὰ γνώμην καὶ θέλησιν αὐτοῦ. ἔτι ἵνα ὁ μέλλων εὑρίσκεσθαι ὁρισμῷ τῆς βασιλείας μου εἰς κεφαλὴν αὐτῶν, οὐδὲν ἐνεργῇ ἄδικόν τε καὶ ἐπιβαρὲς καὶ ἄτοπον εἰς αὐτούς, ὅτι καὶ τὸ θέλημα τῆς βασιλείας μου τοῦτο ἔνι καὶ εἰς πάντας τοὺς ὑποτεταγμένους αὐτῇ τῇ χάριτι τοῦ Χριστοῦ καὶ εἰς αὐτοὺς δὲ αὐτὸ τοῦτο βούλεται καὶ προστάσσει ἡ βασιλεία μου, ἵνα δηλονότι συντηρῶνται καὶ ἐμμένωσιν εἰς πᾶσαν ἀνενοχλησίαν καὶ ἐξκούσσειαν οἱ τοιοῦτοι, ἐπεὶ καὶ τοῦτο μέλλει ἔχειν ὡρισμένον παρὰ τῆς βασιλείας μου αὐτὸς ὁ μέλλων εὑρίσκεσθαι εἰς κεφαλὴν αὐτῶν· ἐὰν δὲ οὗτος μὴ χωρηθεὶς εἰς τὸν τοιοῦτον ὁρισμὸν τῆς βασι-

λείας μου θελήσῃ διαπράξασθαι ἐπιβαρές τι καὶ ἄτοπον εἰς αὐτούς, ἔχει θέλημα ἡ βασιλεία μου, ἵνα οἱ τοιοῦτοι ποιῶνται ἀναφορὰν εἰς τὴν βασιλείαν μου, καὶ γνωρίζῃ αὕτη καθαρῶς τὴν γενομένην εἰς αὐτοὺς ἀπὸ τούτου ἀδικίαν ἢ παραλύπησιν, καὶ ἔκτοτε ὁρίζῃ ἡ βασιλεία μου καὶ ἢ ἀναστέλληται ὁ τοιοῦτος καὶ ἐπιδιορθοῦται τὰ τῆς ἀδικίας αὐτοῦ ἢ ἀλλάσσηται ἀπὸ τοῦ τοιούτου κεφαλατικίου, καὶ ἀντ' αὐτοῦ πέμπηται ἕτερος ὁ καὶ μέλλων διάγειν εἰς κυβέρνησιν καὶ παντοίαν ἀνάπαυσιν αὐτῶν κατὰ τὸ θέλημα καὶ τὸν ὁρισμὸν τῆς βασιλείας μου. εἰς τοῦτο γὰρ μᾶλλον καὶ βαρεῖται ἡ βασιλεία μου πρὸς τοὺς ἀνθρώπους ἐκείνους τοὺς ὑφισταμένους ἄδικα καὶ ἐπιβαρῆ παρὰ τῶν κεφαλατικευόντων εἰς αὐτοὺς μὴ ἀνατρέχοντας καὶ διεγκαλοῦντας εἰς τὴν βασιλείαν μου, ὡς ἂν ὁρίζῃ αὕτη καὶ γίνηται ἡ προσήκουσα παίδευσις καὶ ἀναστολὴ εἰς αὐτούς. ἔτι ἵνα μηδὲ ὅλως τεθῇ κεφάλαιον ἀπαιτήσεως εἰς αὐτοὺς τοὺς ἐποίκους τῆς εἰρημένης πόλεως τῶν Ἰωαννίνων ἢ εἰς τὰ ἐκτὸς χωρία καὶ κτήματα αὐτῶν, κἂν ὅπου ἄρα καὶ εἰς οἷον τόπον εὑρίσκωνται ταῦτα, οὔτε δηλονότι ἀπὸ τῶν νῦν ἐνεργουμένων, οὔτε ἀπὸ τῶν μετέπειτα ἐπινοηθησομένων, ἀλλὰ εὑρίσκωνται εἰς πᾶσαν ἀνενοχλησίαν καὶ ἐξκουσσείαν κατὰ τὴν συνήθειαν τὴν τεταγμένην εἰς αὐτοὺς καὶ κατὰ τὸν ὁρισμὸν καὶ τὸ θέλημα καὶ τὴν ἀποδοχὴν τῆς βασιλείας μου, ὅτι καὶ τοῦτο ἀποδέχεται καὶ ἔχει θέλημα ἡ βασιλεία μου, ἵνα εἴ τι ἐπενοήθη πρὸ ὀλίγου καὶ ἐπετέθη εἰς βάρος καὶ ἀγανάκτησιν αὐτῶν, εὑρίσκηται τελείως καταλελυμένον καὶ ἀργὸν καὶ ἄπρακτον, καὶ ὦσιν οὗτοι καὶ διάγωσιν εἰς πᾶσαν γλυκύτητα καὶ ἀνενοχλησίαν καὶ παντελῶς ἀδιάσειστοι. ἔτι ἵνα οὐδὲ ἕτερον χάραγμα παρὰ τὸ νῦν πολιτευόμενον εἰς αὐτοὺς τεθῇ ἐκεῖσε. ὡσαύτως οὐδὲ μιτάτον γένηται εἰς τὰ εἰρημένα κτήματα αὐτῶν, οὐδὲ ζημία τις ἑτέρα γένηται εἰς αὐτά, ἀλλὰ διαπωλῶσιν αὐτοὶ οἱ κατέχοντες τὰ τοιαῦτα κτήματα τὰ ἐξ αὐτῶν εἰσοδήματα, καθὼς πωλοῦνται εἰς τὴν χώραν καὶ οὐδὲν ἀναγκάζωνται ὅλως διαπωλεῖν αὐτὰ παρὰ τὴν συνήθειαν. ἔτι ἵνα οὐδὲ καστροκτισίας ἀπαίτησις γίνηται εἰς αὐτοὺς ἕνεκεν ἑτέρου κάστρου, εἰ μὴ ὑπὲρ μόνου τοῦ κάστρου αὐτῶν ὀφείλουσιν ἀγωνίζεσθαι, ὡς ἐνδέχεται, εἰς τὴν ἐπιμέλειαν καὶ περιποίησιν καὶ ἀνάκτισιν αὐτοῦ. ἔτι ἵνα ὁ μέλλων ἐμπεσεῖν εἰς φόνον παιδεύηται ὑπὲρ τούτου κατὰ τὴν ἐκεῖσε συνήθειαν. ἔτι ἵνα ἐὰν γένηται εὕρεσις θησαυροῦ ἐκεῖσε παρά τινος, εἰ μὲν κατὰ ἀλήθειαν ἔνι τοῦτο, ἀναλαμβάνηται αὐτὸ τὸ μέλλον εὑρεθῆναι καὶ εἰσκομίζηται εἰς τὸ θεοφρούρητον βεστιάριον· εἰ δ' ἴσως ἔνι ὁ περὶ τούτου λόγος ψευδὴς καὶ ἀπὸ κακίας ἐλαλήθη πρός τινα, ἵνα γίνηται ἐξέτασις καὶ ἀποφαίνηται καὶ δεικνύηται ἡ εἰς τοῦτο ἀλήθεια καὶ ἔνι ἀνενόχλητος ὁ ἄνθρωπος, εἰς ὃν λέγεται ἡ εὕρεσις τοῦ θησαυροῦ. πρὸς τούτοις, ἵνα τὰ χωρία καὶ κτήματα αὐτῶν, ὅσα δηλονότι κατεῖχον καὶ πρότερον, ἤγουν τὸ χωρίον τὴν **Βοτιβίσταν**, τὸ

χωρίον τὴν Ζελοχοβίσταν, τὸ χωρίον τὴν Ψεάδαν, τὸ τόπιον τὴν Σανδοβίτζαν, τὸ χωρίον τὴν Ἀδριχοβίσταν, τὸ χωρίον τὴν Γλοξίανιν, τὸ χωρίον τὸ Γαρδίκιν, τὸ χωρίον τὴν Λεαυσίσταν, τὸ χωρίον τὸν Τριστεάνικον, τὸ χωρίον τὴν Τρεαβοβιδίσταν, τὸ χωρίον τὴν Νοβοσέλην, τὸ χωρίον τὴν Ἀρδομίσταν καὶ τὰ τρία ἐκεῖσε βιβάρια αὐτῶν, κατέχωσιν ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, καθὼς κατεῖχον ταῦτα καὶ πρότερον· κατέχωσι δὲ ὡσαύτως καὶ ὅσα προσεπεδόθησαν αὐτοῖς παρὰ τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πιγκέρνη Συργιάννη τοῦ Παλαιολόγου, ἤγουν τὸ χωρίον τὴν Σίπκαν, τὸ χωρίον τὴν Ῥαδοτόβιν, τὸ χωρίον τὸ Δρεάνοβον, τὸ χωρίον τὰ Φρεάστονα, τὸ χωρίον τὴν Λιπνίτζαν, τὸ χωρίον τὸ Κοπάνιτζιν, τὸ χωρίον τὴν Στρώμην, τὸ χωρίον τὴν Δρεαβοψὰν καὶ τὸ εἰς τοὺς Ψάθους ἀμπέλιον, [τὰ] χωρία τὴν Κοπάνην καὶ τὸ Κρεχοβὸν καὶ τὸ περὶ τὴν Βαγενετίαν λιβάδιον τὴν Σκουπίτζαν· ἵνα δὲ ἔχωσι τὰ τοιαῦτα χωρία μετὰ τῆς περιοχῆς καὶ νομῆς καὶ τῶν δικαίων αὐτῶν, ἀλλὰ δὴ καὶ τῶν ἐν αὐτοῖς εὑρισκομένων λιβαδίων αὐτῶν ἀναφαιρέτως, ἀναποσπάστως καὶ ἀνενοχλήτως. ἐπεὶ δὲ οἱ τοιοῦτοι καστρηνοὶ Ἰωαννινιῶται ἐζήτησαν καὶ παρεκάλεσαν, ἵνα τὰ κτήματα αὐτῶν, ἅπερ διορίζεται ἡ βασιλεία μου ἔχειν αὐτοὺς καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου, στέργει τὴν εἰς ταῦτα κατοχὴν καὶ νομὴν αὐτῶν, κἂν ὅπου ἄρα καὶ ὦσι ταῦτα ἐκεῖσε, οὐδὲν ἔχωσιν ἄδειαν πωλεῖν τινὰ ἀπὸ τούτων πρὸς ἄρχοντα τοπικὸν ἢ στρατιώτην, εἰ μὴ διαπωλεῖν αὐτὰ πάλιν πρὸς καστρηνούς, ὁρίζει ἡ βασιλεία μου καὶ ἔχει θέλημα, ἵνα ἐνεργῆται οὕτως, καθὼς αὐτοὶ ἐξητήσαντο, καὶ οὐδὲ δέχηταί τις τῶν ἁπάντων ἐξ αὐτῶν εἰς κτῆμα αὐτοῦ πάροικον ἑτέρου. ἔτι ἐπεὶ ὁ δηλωθεὶς περιπόθητος γαμβρὸς τῆς βασιλείας μου, ὁ πιγκέρνης, ἔταξε διὰ γράμματος αὐτοῦ, ἵνα οὐδὲν ἀπαιτῆται ὅλως ἐξ αὐτῶν βιολόγιον ἢ καπνολόγιον ἢ νόμιστρον ἢ λιμναῖον πάκτον ἢ ζευγολόγιον ἢ ὀρικὴ ἢ μελισσοεννόμιον ἢ χοιροδεκατία, ἃ δῆτα καὶ ἐπενοήθησαν πρὸ ὀλίγου καὶ ἐπετέθησαν παρὰ τῶν δεσποζόντων ἐπ' αὐτοῖς, ἔχει θέλημα ἡ βασιλεία μου, ἵνα εὑρίσκωνται οἱ τοιοῦτοι ἀναπαίτητοι ἀπὸ τῶν εἰρημένων καφαλαίων, καθὼς δηλονότι ἐτάχθησαν εἰς τοῦτο παρὰ τοῦ δηλωθέντος περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πιγκέρνη, καὶ οὐδὲ ἀπογραφὴ γένηται εἰς αὐτούς, καθὼς καὶ τοῦτο ἐζήτησαν, ἀλλὰ διαμείνωσι καὶ ταύτης ἀνώτεροι, ἵνα δὲ ὦσιν εἰς τὴν ἀποβίγλισιν τοῦ τοιούτου κάστρου καὶ πάλιν οἱ πρότερον τεταγμένοι εἰς τοῦτο κατὰ τὴν προτέραν συνήθειαν, καὶ οὐδὲν ἀναγκάζωνται οἱ τοπικοὶ εἰς τὴν τοιαύτην ἀποβίγλισιν τοῦ κάστρου αὐτῶν χωρὶς ἀνάγκης καὶ βίας τινὸς καιρικῆς καταναγκαζούσης εἰς τοῦτο. ἵνα δὲ εὑρίσκωνται καὶ οἱ ἐν τῇ τοιαύτῃ πόλει Ἰουδαῖοι εἰς ἐλευθερίαν καὶ ἀνενοχλησίαν κατὰ τοὺς λοιποὺς ἐποίκους αὐτῆς. ἐπεὶ δὲ ἔφθασαν ὁ αὐτὸς περιπόθητος γαμβρὸς τῆς βασιλείας μου, ὁ πιγ-

κέρνης καὶ παρέδωκε διὰ γράμματος αὐτοῦ πρός τινας τῶν καστρηνῶν Ἰωαννιτῶν κτήματά τινα, ὀφείλει ἔχειν τὸ στέργον καὶ ἀμεταποίητον καὶ ἐπ' αὐτοῖς, ὅσον δηλονότι ἐποίησεν. ταῦτα πάντα, ὅσα κατὰ μέρος διορίζεται ἡ βασιλεία μου ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ αὐτῆς, συντηρηθήσονται καὶ φυλαχθήσονται βέβαια καὶ ἀσάλευτα καὶ ἀμετάτρεπτα διὰ μηδένα τῶν ἁπάντων τρόπον μέλλοντα ἐναλλαγῆναι καὶ καταλυθῆναι, ὅτι μηδ' ἔστι τοῦτο ἔθος τῇ βασιλείᾳ μου διὰ τῆς χάριτος τοῦ Χριστοῦ, οὐδὲ καταλύειν οἶδεν ὅλως, ὅσον ἂν φθάσῃ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου αὐτῆς διορίσηται· διά τοι τοῦτο καὶ ὅσα κεφάλαια εἴρηται κατὰ μέρος, τὰ πάντα τὸ στέργον καὶ πάγιον ἕξει καὶ διαμενεῖ παντάπασιν ἀκατάλυτα τῇ ἰσχύει καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ἀπολυθέντος κατὰ μῆνα φεβρουάριον τῆς ἐνισταμένης δευτέρας ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Archetypum membr. Erat olim domini G. C. Pontici, nunc autem asservatur in bibliotheca universitatis Atheniensis. Primus ed. Mustoxydes: Ἑλληνομνήμων, *p. 464; iterum Aravantinos,* Χρονογραφία τῆς Ἠπείρου, *II. p. 294.*

II. 6829—1321, mense iunio, ind. IV.

Imperator Andronicus II. Palaeologus confirmat ecclesiae Ioanninorum omnes possessiones.

† Ἐπεὶ ἐν τῷ πρὸ ὀλίγου γεγονότι καὶ ἐπιχορηγηθέντι χρυσοβούλλῳ τῆς βασιλείας μου κοινῶς πρὸς τοὺς ἐποίκους τῆς θεοσώστου πόλεως τῶν Ἰωαννίνων διαλαμβάνεται μετὰ τῶν ἄλλων καὶ ἵνα ἡ ἐκεῖσε ἁγιωτάτη ἐκκλησία κατέχῃ πάντα τὰ κτήματα αὐτῆς τά τε προκατεχόμενα παρ' αὐτῆς, ἀλλὰ δὴ καὶ τὰ προσεπιδοθέντα αὐτῇ, ἀρτίως δὲ παρεκλήτευσε τὴν βασιλείαν μου ὁ ἱερώτατος μητροπολίτης Ἰωαννίνων, ὑπέρτιμος, ἵνα ἀπολυθῇ χρυσόβουλλον τῆς βασιλείας μου διαλαμβάνον κατὰ μέρος πάντα τὰ κτήματα τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας, ἅτινα, ὡς ἀνέφερεν, εἰσὶ ταῦτα, ἤγουν τὰ μὲν προκατεχόμενα παρ' αὐτῆς διὰ δικαιωμάτων διαφόρων· χωρίον τὸ Παροικίον[1]), χωρίον ἡ Πόβλιστα, χωρίον ἡ Ἄρουλα, χωρίον ἡ Γόπλιστα[2]), χωρίον ἡ Ῥέψιστα[3]), χωρίον ἡ Βελτζίστα σὺν

[1]) Παροικεῖον Aravantinos. [2]) Τόπλιτζα A. [3]) Ῥαψίστα A.

τῷ ἐκεῖσε μοναστηρίῳ [τῷ][1]) εἰς ὄνομα τιμωμένῳ τοῦ τιμίου Ἀρχιστρατήγου τῶν Ἄνω Δυνάμεων μετὰ καὶ τῶν ἐν αὐτῷ εὑρισκομένων ἀνθρώπων, τοῦ τε Λουκᾶ καὶ τοῦ Πολυτεχνᾶ καὶ τῶν συγγενῶν αὐτῶν· τὸ ἥμισυ τοῦ χωρίου Λοζέτζι[2])· χωρίον τὸ Σοστρούνι[3]) σὺν τῷ Μάρκῳ τῷ Τζέχλῃ, τῷ Ποθητῷ τῷ Βλαδιμήρῳ καὶ τοῖς συγγενέσιν αὐτῶν, μετὰ τοῦ ἐκεῖσε ὄρους τοῦ Μουτζουκέλου[4])· χωρίον τὸ Βίλιανι[5]) σὺν τῷ Βόγρι[6]) ἄνευ τοῦ ἐν αὐτῷ στασίου[7]) τοῦ Χασάνη· εἰς τὸ χωρίον Λαψίστα[8]) μετόχιον τὸ καλούμενον . . .[9]) εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου Γεωργίου σὺν τῷ ἐκεῖσε σιγιλλατικίῳ αὐτοῦ, ἐν ᾧ εὑρίσκονται καὶ οἱ παῖδες τοῦ Κομανοπούλου[10]) σὺν τῷ Τζαμάντουρα καὶ τῷ Κουρτέσῃ[11]) καὶ ταῖς ἐκεῖσε ἀγορασίαις αὐτῶν καὶ τῷ βιβαρίῳ αὐτῶν· εἰς τὸ Λοζέτζι[12]) σιγιλλατίκιον τὸ τοῦ Σίμωνος· ἕτερον σιγιλλατίκιον ἐν τῷ χωρίῳ τῶν Σερβιάνων, ἕτερον σιγιλλατίκιον ἐν τῷ χωρίῳ τῶν Φρεαστάνων, ἕτερον σιγιλλατίκιον εἰς τὴν Ἰωανίσταν[13]) τὸ τοῦ Καναχίου· μετόχιον καλούμενον[14]) τοῦ ἁγίου Νικολάου τοῦ Ὄρους· ἕτερον σιγιλλατίκιον εἰς τὰ Μοσμήδενα[15]) τοῦ Κωνσταντίνου· ἕτερον σιγιλλατίκιον τῆς Βαλτρίστου[16]) [στίχοι ὀκτὼ] μετὰ τῆς νομῆς αὐτοῦ καὶ τοῦ Λάκκου καὶ τοῦ Κούρβητα[17])· ἕτερον σιγιλλατίκιον ἐξαλιμματαῖον[18]) εἰς τὴν Φώνισταν[19])· ἕτερον σιγιλλατίκιον τῶν παίδων τοῦ Βλασίου ἐν τῷ Παροικίῳ· ἕτερον σιγιλλατίκιον τὸ στάσιον τοῦ Ἠλία, στίχος[20]) Βλάχων οἱ Μουτζάδες, Κολονιάτης Βλάχος μετὰ τῶν στίχων[21]) αὐτοῦ, στίχοι τρεῖς Βλάχων τοῦ Χαλκία[22])· εἰς τὸ χωρίον Ῥασοβίστα[23]) μυλωνικὰ ἐργαστήρια δύο· εἰς τὰς Μπριάτουχας[24]) μυλοτόπια τρία, τὰ μὲν δύο κάτωθεν αὐτοῦ, τὸ δὲ ἕτερον εἰς τὸ ἐκεῖσε κτίσμα[25])· βίβαρια δύο εἰς τὴν ἐκεῖσε λίμνην, ἀλλὰ δὴ καὶ τὸ ἥμισυ τοῦ ὀψωνίου[26]) τῆς αὐτῆς λίμνης· σὺν τούτοις δὲ ἔχει τὸ μέρος τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας καὶ τὴν κρίσιν τῶν τε κληρικῶν αὐτῆς καὶ τῶν ἑτέρων, ἐφ' οἷς ἀνέκαθεν δικαιοῦται αὕτη. ἔτι δὲ καὶ εἰς τὴν ἐκτὸς χώραν ἐν τῷ θέματι τῶν Ἰωαννίνων ἔχει ἐνορίας πέντε, ἤγουν τὴν ἐνορίαν τὴν ἔξω Ἰωαννίνων, τοῦ Ζαγορίου, τοῦ Τζεμερνίκου, τοῦ Σμοκόβου καὶ τοῦ Σοστρουνίου[27]), ἀλλὰ δὴ καὶ τὰς ἐκεῖσε τέσσαρας ἐπισκοπὰς καὶ πανήγυριν ἐπὶ τῇ μνήμῃ τοῦ τιμίου Ἀρχιστρατήγου

---

1) τῷ **addit** A. 2) Λουζέτζι A. 3) Σετρούνι A. 4) Μουτζικέλι A., Μουτζουκούλου M. 5) Τοβόλιανη A. 6) Βόγρῃ A. 7) στασίν A. 8) τὴν Λαυσίσταν A. 9) τὸ μετόχιον εἰς ὄνομα καλούμενον τ. ἁγ. Γ. A. 10) τοῦ Κουμάνου A. 11) Τσαμ. καὶ τῷ Κορτέσῃ A., Τζαμαντούρᾳ M. 12) Λουζέτζι A. 13) Ἰωάννισταν A. 14) εἰς ὄνομα καλούμενον A. 15) Τιμοσμίδενα A. 16) **Forsitan leg.** Βαλτρίστας **Must.** Βελτζίστας A. στίχοι ὀκτώ A. 17) καὶ τοῦ λάκκου τοῦ Κουκούβρικα A. 18) ἐξαλειμάτων A. 19) Σφόνισταν A. 20) στίχοι A. 21) συστίχων A. 22) Χαλκέα A., Χαλκιά M. 23) τὴν Ῥασοβίσταν A. 24) εἰς Πράτοχας A. 25) κτίσμα A., κτῆσμα M., **qui emendat:** κτῆμα. 26) **Must. corrigit:** ὀψαρίου. 27) Σεστρουνίου A.

τῶν Ἄγω Δυνάμεων ἐπὶ ἡμέρας δεκαπέντε, ἀπ' αὐτῆς τῆς ἡμέρας δηλονότι τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου μέχρις ὅλης τῆς ὀγδόης τοῦ νοεμβρίου μηνός· καὶ[1]) τὸ μὲν ἥμισυ τοῦ ἀπὸ ταύτης εἰσοδήματος ἔχει ἡ τοιαύτη ἁγιωτάτη ἐκκλησία, τὸ δὲ ἕτερον ἥμισυ[2]) οἱ κληρικοὶ αὐτῆς, ἐπειδὴ οἱ τοιοῦτοι ἔχουσι τεταγμένον ἀρχῆθεν καὶ λαμβάνουσιν ἀπὸ τῶν εἰσοδημάτων τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας κατ' ἔτος σιτοκρίθου μοδίους τῆς εἰσόδου τριακοσίους καὶ βαγένιον πλῆρες οἴνου τὸ τοῦ πρωτοσυγκέλλου καὶ τρικέφαλα πεντήκοντα. κατέχει δὲ ὡσαύτως ἡ αὐτὴ ἁγιωτάτη ἐκκλησία καὶ Ἰουδαίους τρεῖς, τά τε παιδία τοῦ Λαμέρη καὶ τοῦ Δαβίδη καὶ τοῦ Σαμαρία. τὰ δὲ προσεπιδοθέντα αὐτῇ παρὰ τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πιγκέρνη Σιργιάννη[3]) τοῦ Παλαιολόγου, εἰσὶ ταῦτα· τὸ ἥμισυ τοῦ χωρίου Λοζετζίου[4]) σὺν τῇ ἐκεῖσε ἀγορᾷ τοῦ Κασιανοῦ[5]). Βλάχων καπνοὶ εἴκοσι σὺν τῷ Βισωτᾷ καὶ τῷ Λιγυρῷ[6]), ἐδόθη δὲ κατὰ λόγον προσενέξεως πρὸς τὴν αὐτὴν ἁγιωτάτην ἐκκλησίαν καὶ παρὰ τοῦ προκαθημένου τῆς θεοσώστου πόλεως τῶν Ἰωαννίνων, σεβαστοῦ τοῦ Σγούρου, τὸ μονύδριον τῶν Μηρδεαστάνων[7]), ὅπερ εἶχεν ἀπὸ γονικότητος καὶ διὰ τοῦ[8]) χρυσοβούλλου τῆς βασιλείας μου. τὴν τοιαύτην παράκλησιν τοῦ δηλωθέντος ἱερωτάτου μητροπολίτου Ἰωαννίνων καὶ ὑπερτίμου εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ ῥηθείσῃ ἁγιωτάτῃ ἐκκλησίᾳ τὸ παρὸν[9]) χρυσόβουλλον, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν πάντα τὰ ἀνωτέρω κατὰ μέρος δηλωθέντα, τά τε προκατεχόμενα παρ' αὐτῆς, ἔτι δὲ καὶ τὰ προσεπιδοθέντα αὐτῇ μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτῶν ἀναφαιρέτως, ἀνενοχλήτως καὶ ἀδιασείστως, ὅθεν καὶ τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου τῆς βασιλείας μου καθέξει καὶ νεμηθήσεται ταῦτα τὸ μέρος τῆς δηλωθείσης ἁγιωτάτης ἐκκλησίας ἀνώτερα πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως καὶ ἑτέρας ἁπάσης διενοχλήσεως· οὔτε γὰρ οἱ κατὰ καιροὺς[10]) κεφαλατικεύοντες εἰς τὸν δηλωθέντα τόπον, ἐν ᾧ ταῦτα εὑρίσκονται, οὔτε οἱ τὰ δημόσια διενεργοῦντες ἐκεῖσε, οὔτε ἕτεροί τινες ὀφείλουσιν ἐπιβαλεῖν χεῖρα πλεονεκτικὴν καὶ ἄδικον ἐπὶ πᾶσι τοῖς κατὰ μέρος διαληφθεῖσι κτήμασι τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας, ἐπεὶ βούλεται ἡ βασιλεία μου καὶ ἔχει θέλημα διατηρεῖσθαι[11]) ταῦτα πάντα εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ἀνενόχλητα παντελῶς καὶ ἀδιάσειστα. ἐπεὶ δέ, ὡς ἐγνώρισεν ἡ βασιλεία μου καὶ[12]) κατεῖχεν ἀνέκαθεν τὸ μέρος τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας, περὶ

---

1) καί deest A. 2) τοῦ ἀπὸ ταύτης usque ad τὸ δὲ ἕτερον ἥμισυ desunt A. 3) Συριάνη A. 4) Λουζετζίου A. 5) Κασσιανοῦ A. 6) Βησσωτᾷ καὶ τῷ Λιγερῷ A. 7) μονίδριον τῶν Μερδεαστάνων A. 8) τοῦ deest A. 9) τὸν παρόντα A. 10) κατὰ καιρόν A. 11) θεωρεῖσθαι A. 12) addit A.

τὴν Δρυνούπολιν[1]) χωρίον τὴν Σουχᾶν[2]), ὅπερ καὶ κατὰ λόγον ἀνταλλαγῆς[3]) ἐδέξατο ὁ ἐπὶ τοῦ στρατοῦ ἐκεῖνος ὁ Καβάσιλας, δεδωκὼς πρὸς τὸ μέρος αὐτῆς τοὺς Μελισσουργούς, οὓς κατεῖχεν ἡ μήτηρ τοῦ Θωμᾶ ἐκείνου, οἵτινες καὶ μετὰ ταῦτα ἐδόθησαν ἀλλαχοῦ, καθὼς διέκρινεν ἡ βασιλεία μου, διορίζεται ἡ βασιλεία μου, ἵνα καὶ πάλιν κατέχῃ ἡ αὐτὴ[4]) ἁγιωτάτη ἐκκλησία τὸ δηλωθὲν χωρίον τὴν Σουχᾶν[5]) ἀνενοχλήτως καὶ ἀδιασείστως μετὰ τῶν ἐν αὐτῷ ἀστρατεύτων Βλάχων, καθὼς κατεῖχε[6]) καὶ πρότερον. τούτου γὰρ χάριν ἐγένετο αὐτῇ καὶ ὁ παρὼν χρυσόβουλλος [λόγος][7]) τῆς βασιλείας μου ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης πέμπτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἐννάτου ἔτους[8]), ἐν ᾧ καὶ τὸ ἡμέτερον θεοσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Apographum recens in bibliotheca universitatis Atheniensis. Primus edidit Mustoxydes, Ἑλληνομνήμων, *p. 489, ex archetypo, quod asservatur in familia Tsinia Ioanninorum, et apographis duobus, quorum alterum erat d. Grasset, consulis Galliae, alterum d. C. Pontici, civitatis Ioanninorum. Aravantinos,* Χρονογραφία τῆς Ἠπείρου *p. 307.*

---

1) Δρυινούπολιν A. 2) Τουλιτσᾶν M.: vide inferius. 3) ἀλλαγωγῆς M. et A. M. emendandum putat: ἀλλαγῆς, A. ἀντ., quod recepimus. 4) τοιαύτη A. 5) Σουχάν A. 6) κατείχετο A. 7) Supplevimus nos. 8) Error aut in indictione aut in anno: annus 1321 habet ind. IV, non V. Corrige igitur ἰνδ. τετάρτης (δ′), aut lege: δεκάτου (ι′) ἔτους.

IV.

Diplomata et Acta monasterii S. Joannis Baptistae in monte Menoeceo apud Serras.

I. 6806—1297, mense septembri, ind. XI.

Imperator Andronicus II. Palaeologus confirmat monasterio possessiones, quas habet ex donatione episcopi Zichnarum et alias, donatque ei agrum.

† Φθάνει μὲν ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἀνεγεῖραι περὶ τὰς Σέρρας μοναστήριον εἰς ὄνομα τιμώμενον τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ, ἐν ᾧ δῆτα κατηνάλωσεν αὐτός τε καὶ ὁ πατὴρ αὐτοῦ οὐκ ὀλίγα πράγματα· ἔτι δὲ προσεκύρωσε καὶ κτήματά τινα, ἐφ' οἷς προέβη καὶ χρυσόβουλλον τῆς βασιλείας μου· φθάνει δὲ καὶ μεθ' ὕστερον προσκτήσασθαι καὶ προσθεῖναι αὐτῇ καὶ ἕτερά τινα ἀπὸ προσενέξεως καὶ ἐξ ἀγορασίας· ἐπεὶ δὲ παρεκλήτευσεν ἀρτίως πορίσασθαι καὶ ἕτερον χρυσόβουλλον τῆς βασιλείας μου εἰς ἐπικύρωσιν αὐτῶν τῶν, ὡς εἴρηται, ὕστερον παρ' αὐτοῦ προσκυρωθέντων τῷ τοιούτῳ μοναστηρίῳ, τὴν τοιαύτην αἴτησιν καὶ παράκλησιν αὐτοῦ εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου, τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἀπολύει, δι' οὗ εὐδοκεῖ καὶ διορίζεται, ὥστε κατέχειν τὸ εἰρημένον μοναστήριον ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως οὐ μόνον ἅπερ, ὡς δεδήλωται, κατέχει διὰ χρυσοβούλλου τῆς βασιλείας μου, ἀλλὰ καὶ ὅσα μεθ' ὕστερον ἔφθασαν καὶ προσετέθησαν αὐτῷ ἐξ ἀγορασιῶν καὶ προσενέξεων, εὐλόγων δηλονότι καὶ δικαίων καὶ εὐπροσδέκτων, καὶ οὐδ' ἐπ' αὐτοῖς εὑρίσκειν καταδυναστείαν καὶ ἀδικίαν ἢ διενόχλησίν τινα, οὔτε παρὰ τῶν κατὰ καιροὺς τὰ τοῦ δημοσίου διενεργούντων, οὔτε παρ' ἑτέρου τινὸς τῶν ἁπάντων. ἐπεὶ δὲ ἐξῃτήσατο τὴν βασιλείαν μου ἡ δηλωθεῖσα περιπόθητος θυγάτηρ αὐτῆς ὑψηλοτάτη κράλαινα, ἵνα διορίσηται ἡ βασιλεία μου καὶ δοθῇ πρὸς τὸ εἰρημένον μοναστήριον καὶ τὸ πλησίον αὐτοῦ διακείμενον ἀγρίδιον τὸ Μονόσπητον καλούμενον, ὅπερ κατεῖχε στρατιώτης ὁ Μαρτῖνος καὶ ἔνι ἡ ποσότης αὐτοῦ ὑπέρπυρα εἴκοσι τέσσαρα, τὴν εἰς τοῦτο αἴτησιν αὐτῆς προσδεξαμένη ἡ βασιλεία μου, διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου ·ου αὐτῆς κατέχεσθαι καὶ τὴν ἐν τῷ δηλωθέντι ἀγριδίῳ ποσότητα τῶν εἴκοσι ιων ὑπερπύρων παρὰ τοῦ διαληφθέντος μοναστηρίου ἀναφαιρέτως, ἀνενοχλήτως

καὶ ἀναποσπάστως, καθὼς μέλλει παραδοθῆναι πρὸς αὐτὴν παρὰ τοῦ πανσεβάστου οἰκείου τῇ βασιλείᾳ μου, κυροῦ Νικολάου τοῦ Θεολογίτου, τῶν ἀρτίως εὑρισκομένων εἰς τὴν δημοσιακὴν ἐνοχὴν Βολεροῦ καὶ Μοσυνοπόλεως, Σερρῶν καὶ Στρυμόνος, ἐπεὶ ἀπελύθη πρὸς αὐτοὺς ἕνεκεν τούτου καὶ πρόσταγμα τῆς βασιλείας μου ἀπολυθὲν κατὰ μῆνα σεπτέμβριον τῆς ἐνισταμένης πρώτης[1]) ἰνδίκτου, τοῦ ἑξακισχιλιοστοῦ [ὀκτακοσιοστοῦ] καὶ ἕκτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Sathas I p. 214—215.

II. 6807—1299, mense novembri, ind. XII.

Imperator Andronicus II. Palaeologus Georgio Truleno confirmat liberam possessionem terrae apud Serras, quam tenet ex hereditate paterna.

† Ἐπεὶ ὁ οἰκεῖος τῆς βασιλείας μου, Γεώργιος ὁ Τρουληνός, κέκτηται περὶ τὰς Σέρρας οἰκονομίαν, ἐντὸς δὲ τοῦ ποσοῦ ταύτης ἔχει καὶ γῆν ἐν δυσὶ τόποις μοδίων χιλίων ἑξακοσίων, τὴν μὲν τῶν χιλίων διακοσίων διακειμένην μέσον τῶν δύο ὁδῶν τῶν πλησίον τῆς γῆς τοῦ μονυδρίου τοῦ εἰς ὄνομα τιμωμένου τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου καὶ ἐπονομαζομένην Κινστέρναν, τὴν δὲ τῶν τριακοσίων εἰς τὴν τοποθεσίαν τὴν καλουμένην Μόδιον πλησίον τοῦ ἐκεῖσε ἀγωγοῦ καὶ παλαιοῦ μύλωνος, καὶ παρεκλήτευσεν, ἵνα τύχῃ χρυσοβούλλου καὶ κατέχῃ τὴν τοιαύτην γῆν ὡς γονικήν, καὶ ἐὰν προσκαθήσωσιν ἐν αὐτῇ καί τινες ξένοι καὶ ἐλεύθεροι, εὑρίσκωνται ἀνενόχλητοι καὶ ἀδιάσειστοι ἀπὸ τοῦ μέρους τοῦ δημοσίου, τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῷ ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι' οὗ προστάσσει καὶ διορίζεται, κεκτῆσθαι αὐτὸν τὴν τοιαύτην γῆν τῶν χιλίων ἑξακοσίων μοδίων ἀνενοχλήτως καὶ ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, καὶ συνιστᾶν καὶ βελτιοῦν αὐτὴν καὶ ὅσον ἐν αὐτῇ συστήσει καὶ βελτιώσει, κατέχεσθαι καὶ τοῦτο παρ' αὐτοῦ κατὰ τὸν αὐτὸν καὶ ὅμοιον τρόπον ἀναφαίρετον καὶ ἀναπόσπαστον διατηρῆσαι, καὶ τοὺς ἐν αὐτῇ μέλλοντας, ὡς εἴρηται, προσκαθῆσαι ξένους καὶ ἐλευθέρους ἀνωτέρους πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἄνευ

[1]) Error in indictione. In archetypo probabiliter legebatur: ια' i. e. ἑνδεκάτης.

λείας μου θελήση διαπράξασθαι ἐπιβαρές τι καὶ ἄτοπον εἰς αὐτούς, ἔχει θέλημα ἡ βασιλεία μου, ἵνα οἱ τοιοῦτοι ποιῶνται ἀναφορὰν εἰς τὴν βασιλείαν μου, καὶ γνωρίζη αὕτη καθαρῶς τὴν γενομένην εἰς αὐτοὺς ἀπὸ τούτου ἀδικίαν ἢ παραλύπησιν, καὶ ἔκτοτε ὁρίζη ἡ βασιλεία μου καὶ ἢ ἀναστέλληται ὁ τοιοῦτος καὶ ἐπιδιορθοῦται τὰ τῆς ἀδικίας αὐτοῦ ἢ ἀλλάσσηται ἀπὸ τοῦ τοιούτου κεφαλατικίου, καὶ ἀντ' αὐτοῦ πέμπηται ἕτερος ὁ καὶ μέλλων διάγειν εἰς κυβέρνησιν καὶ παντοίαν ἀνάπαυσιν αὐτῶν κατὰ τὸ θέλημα καὶ τὸν ὁρισμὸν τῆς βασιλείας μου. εἰς τοῦτο γὰρ μᾶλλον καὶ βαρεῖται ἡ βασιλεία μου πρὸς τοὺς ἀνθρώπους ἐκείνους τοὺς ὑφισταμένους ἄδικα καὶ ἐπιβαρῆ παρὰ τῶν κεφαλατικευόντων εἰς αὐτοὺς μὴ ἀνατρέχοντας καὶ διεγκαλοῦντας εἰς τὴν βασιλείαν μου, ὡς ἂν ὁρίζη αὕτη καὶ γίνηται ἡ προσήκουσα παίδευσις καὶ ἀναστολὴ εἰς αὐτούς. ἔτι ἵνα μηδὲ ὅλως τεθῇ κεφάλαιον ἀπαιτήσεως εἰς αὐτοὺς τοὺς ἐποίκους τῆς εἰρημένης πόλεως τῶν Ἰωαννίνων ἢ εἰς τὰ ἐκτὸς χωρία καὶ κτήματα αὐτῶν, κἂν ὅπου ἄρα καὶ εἰς οἷον τόπον εὑρίσκωνται ταῦτα, οὔτε δηλονότι ἀπὸ τῶν νῦν ἐνεργουμένων, οὔτε ἀπὸ τῶν μετέπειτα ἐπινοηθησομένων, ἀλλὰ εὑρίσκωνται εἰς πᾶσαν ἀνενοχλησίαν καὶ ἐξκούσσειαν κατὰ τὴν συνήθειαν τὴν τεταγμένην εἰς αὐτοὺς καὶ κατὰ τὸν ὁρισμὸν καὶ τὸ θέλημα καὶ τὴν ἀποδοχὴν τῆς βασιλείας μου, ὅτι καὶ τοῦτο ἀποδέχεται καὶ ἔχει θέλημα ἡ βασιλεία μου, ἵνα εἴ τι ἐπενοήθη πρὸ ὀλίγου καὶ ἐπετέθη εἰς βάρος καὶ ἀγανάκτησιν αὐτῶν, εὑρίσκηται τελείως καταλελυμένον καὶ ἀργὸν καὶ ἄπρακτον, καὶ ὦσιν οὗτοι καὶ διάγωσιν εἰς πᾶσαν γλυκύτητα καὶ ἀνενοχλησίαν καὶ παντελῶς ἀδιάσειστοι. ἔτι ἵνα οὐδὲ ἕτερον χάραγμα παρὰ τὸ νῦν πολιτευόμενον εἰς αὐτοὺς τεθῇ ἐκεῖσε. ὡσαύτως οὐδὲ μιτάτον γένηται εἰς τὰ εἰρημένα κτήματα αὐτῶν, οὐδὲ ζημία τις ἑτέρα γένηται εἰς αὐτά, ἀλλὰ διαπωλῶσιν αὐτοὶ οἱ κατέχοντες τὰ τοιαῦτα κτήματα τὰ ἐξ αὐτῶν εἰσοδήματα, καθὼς πωλοῦνται εἰς τὴν χώραν καὶ οὐδὲν ἀναγκάζωνται ὅλως διαπωλεῖν αὐτὰ παρὰ τὴν συνήθειαν. ἔτι ἵνα οὐδὲ καστροκτισίας ἀπαίτησις γίνηται εἰς αὐτοὺς ἕνεκεν ἑτέρου κάστρου, εἰ μὴ ὑπὲρ μόνου τοῦ κάστρου αὐτῶν ὀφείλουσιν ἀγωνίζεσθαι, ὡς ἐνδέχεται, εἰς τὴν ἐπιμέλειαν καὶ περιποίησιν καὶ ἀνάκτισιν αὐτοῦ. ἔτι ἵνα ὁ μέλλων ἐμπεσεῖν εἰς φόνον παιδεύηται ὑπὲρ τούτου κατὰ τὴν ἐκεῖσε συνήθειαν. ἔτι ἵνα ἐὰν γένηται εὕρεσις θησαυροῦ ἐκεῖσε παρά τινος, εἰ μὲν κατὰ ἀλήθειαν ἔνι τοῦτο, ἀναλαμβάνηται αὐτὸ τὸ μέλλον εὑρεθῆναι καὶ εἰσκομίζηται εἰς τὸ θεοφρούρητον βεστιάριον· εἰ δ' ἴσως ἔνι ὁ περὶ τούτου λόγος ψευδὴς καὶ ἀπὸ κακίας ἐλαλήθη πρός τινα, ἵνα γίνηται ἐξέτασις καὶ ἀποφαίνηται καὶ δεικνύηται ἡ εἰς τοῦτο ἀλήθεια καὶ ἔνι ἀνενόχλητος ὁ ἄνθρωπος, εἰς ὃν λέγεται ἡ εὕρεσις τοῦ θησαυροῦ. πρὸς τούτοις, ἵνα τὰ χωρία καὶ κτήματα αὐτῶν, ὅσα δηλονότι κατεῖχον καὶ πρότερον, ἤγουν τὸ χωρίον τὴν Βοτιβίσταν, τὸ

χωρίον τὴν Ζελοχοβίσταν, τὸ χωρίον τὴν Ψεάδαν, τὸ τόπιον τὴν Σανδοβίτζαν, τὸ χωρίον τὴν Ἀδριχοβίσταν, τὸ χωρίον τὴν Γλοξίανιν, τὸ χωρίον τὸ Γαρδίκιν, τὸ χωρίον τὴν Λεαυσίσταν, τὸ χωρίον τὸν Τριστεάνικον, τὸ χωρίον τὴν Τρεαβοβιδίσταν, τὸ χωρίον τὴν Νοβοσέλην, τὸ χωρίον τὴν Ἀρδομίσταν καὶ τὰ τρία ἐκεῖσε βιβάρια αὐτῶν, κατέχωσιν ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, καθὼς κατεῖχον ταῦτα καὶ πρότερον· κατέχωσι δὲ ὡσαύτως καὶ ὅσα προσεπεδόθησαν αὐτοῖς παρὰ τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πιγκέρνη Συργιάννη τοῦ Παλαιολόγου, ἤγουν τὸ χωρίον τὴν Σίπκαν, τὸ χωρίον τὴν Ῥαδοτόβιν, τὸ χωρίον τὸ Δρεάνοβον, τὸ χωρίον τὰ Φρεάστονα, τὸ χωρίον τὴν Λιπνίτζαν, τὸ χωρίον τὸ Κοπάντζιν, τὸ χωρίον τὴν Στρώμμην, τὸ χωρίον τὴν Δρεαβοψὰν καὶ τὸ εἰς τοὺς Ψάθους ἀμπέλιον, [τὰ] χωρία τὴν Κοπάνην καὶ τὸ Κρεχοβὸν καὶ τὸ περὶ τὴν Βαγενετίαν λιβάδιον τὴν Σκουπίτζαν· ἵνα δὲ ἔχωσι τὰ τοιαῦτα χωρία μετὰ τῆς περιοχῆς καὶ νομῆς καὶ τῶν δικαίων αὐτῶν, ἀλλὰ δὴ καὶ τῶν ἐν αὐτοῖς εὑρισκομένων λιβαδίων αὐτῶν ἀναφαιρέτως, ἀναποσπάστως καὶ ἀνενοχλήτως. ἐπεὶ δὲ οἱ τοιοῦτοι καστρηνοὶ Ἰωαννινιῶται ἐζήτησαν καὶ παρεκάλεσαν, ἵνα τὰ κτήματα αὐτῶν, ἅπερ διορίζεται ἡ βασιλεία μου ἔχειν αὐτοὺς καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου, στέργει τὴν εἰς ταῦτα κατοχὴν καὶ νομὴν αὐτῶν, κἂν ὅπου ἄρα καὶ ὦσι ταῦτα ἐκεῖσε, οὐδὲν ἔχωσιν ἄδειαν πωλεῖν τινὰ ἀπὸ τούτων πρὸς ἄρχοντα τοπικὸν ἢ στρατιώτην, εἰ μὴ διαπωλεῖν αὐτὰ πάλιν πρὸς καστρηνούς, ὁρίζει ἡ βασιλεία μου καὶ ἔχει θέλημα, ἵνα ἐνεργῆται οὕτως, καθὼς αὐτοὶ ἐξητήσαντο, καὶ οὐδὲ δέχηταί τις τῶν ἁπάντων ἐξ αὐτῶν εἰς κτῆμα αὐτοῦ πάροικον ἑτέρου. ἔτι ἐπεὶ ὁ δηλωθεὶς περιπόθητος γαμβρὸς τῆς βασιλείας μου, ὁ πιγκέρνης, ἔταξε διὰ γράμματος αὐτοῦ, ἵνα οὐδὲν ἀπαιτῆται ὅλως ἐξ αὐτῶν βιολόγιον ἢ καπνολόγιον ἢ νόμιστρον ἢ λιμναῖον πάκτον ἢ ζευγολόγιον ἢ ὀρικὴ ἢ μελισσοεννόμιον ἢ χοιροδεκατία, ἃ δῆτα καὶ ἐπενοήθησαν πρὸ ὀλίγου καὶ ἐπετέθησαν παρὰ τῶν δεσποζόντων ἐπ' αὐτοῖς, ἔχει θέλημα ἡ βασιλεία μου, ἵνα εὑρίσκωνται οἱ τοιοῦτοι ἀναπαίτητοι ἀπὸ τῶν εἰρημένων καφαλαίων, καθὼς δηλονότι ἐτάχθησαν εἰς τοῦτο παρὰ τοῦ δηλωθέντος περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πιγκέρνη, καὶ οὐδὲ ἀπογραφὴ γένηται εἰς αὐτούς, καθὼς καὶ τοῦτο ἐζήτησαν, ἀλλὰ διαμείνωσι καὶ ταύτης ἀνώτεροι, ἵνα δὲ ὦσιν εἰς τὴν ἀποβίγλισιν τοῦ τοιούτου κάστρου καὶ πάλιν οἱ πρότερον τεταγμένοι εἰς τοῦτο κατὰ τὴν προτέραν συνήθειαν, καὶ οὐδὲν ἀναγκάζωνται οἱ τοπικοὶ εἰς τὴν τοιαύτην ἀποβίγλισιν τοῦ κάστρου αὐτῶν χωρὶς ἀνάγκης καὶ βίας τινὸς καιρικῆς καταναγκαζούσης εἰς τοῦτο. ἵνα δὲ εὑρίσκωνται καὶ οἱ ἐν τῇ τοιαύτῃ πόλει Ἰουδαῖοι εἰς ἐλευθερίαν καὶ ἀνενοχλησίαν κατὰ τοὺς λοιποὺς ἐποίκους αὐτῆς. ἐπεὶ δὲ ἔφθασαν ὁ αὐτὸς περιπόθητος γαμβρὸς τῆς βασιλείας μου, ὁ πιγ-

κέρνης καὶ παρέδωκε διὰ γράμματος αὐτοῦ πρός τινας τῶν καστρηνῶν Ἰωαννιωτῶν κτήματά τινα, ὀφείλει ἔχειν τὸ στέργον καὶ ἀμεταποίητον καὶ ἐπ᾽ αὐτοῖς, ὅσον δηλονότι ἐποίησεν. ταῦτα πάντα, ὅσα κατὰ μέρος διορίζεται ἡ βασιλεία μου ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ αὐτῆς, συντηρηθήσονται καὶ φυλαχθήσονται βέβαια καὶ ἀσάλευτα καὶ ἀμετάτρεπτα διὰ μηδένα τῶν ἁπάντων τρόπον μέλλοντα ἐναλλαγῆναι καὶ καταλυθῆναι, ὅτι μηδ᾽ ἔστι τοῦτο ἔθος τῇ βασιλείᾳ μου διὰ τῆς χάριτος τοῦ Χριστοῦ, οὐδὲ καταλύειν οἶδεν ὅλως, ὅσον ἂν φθάσῃ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου αὐτῆς διορίσηται· διά τοι τοῦτο καὶ ὅσα κεφάλαια εἴρηται κατὰ μέρος, τὰ πάντα τὸ στέργον καὶ πάγιον ἕξει καὶ διαμενεῖ παντάπασιν ἀκατάλυτα τῇ ἰσχύει καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ἀπολυθέντος κατὰ μῆνα φεβρουάριον τῆς ἐνισταμένης δευτέρας ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Archetypum membr. Erat olim domini G. C. Pontici, nunc autem asservatur in bibliotheca universitatis Atheniensis. Primus ed. Mustoxydes: Ἑλληνομνήμων, *p. 464; iterum Aravantinos,* Χρονογραφία τῆς Ἠπείρου, *II. p. 294.*

II. 6829—1321, mense iunio, ind. IV.

Imperator Andronicus II. Palaeologus confirmat ecclesiae Ioanninorum omnes possessiones.

† Ἐπεὶ ἐν τῷ πρὸ ὀλίγου γεγονότι καὶ ἐπιχορηγηθέντι χρυσοβούλλῳ τῆς βασιλείας μου κοινῶς πρὸς τοὺς ἐποίκους τῆς θεοσώστου πόλεως τῶν Ἰωαννίνων διαλαμβάνεται μετὰ τῶν ἄλλων καὶ ἵνα ἡ ἐκεῖσε ἁγιωτάτη ἐκκλησία κατέχῃ πάντα τὰ κτήματα αὐτῆς τά τε προκατεχόμενα παρ᾽ αὐτῆς, ἀλλὰ δὴ καὶ τὰ προσεπιδοθέντα αὐτῇ, ἀρτίως δὲ παρεκλήτευσε τὴν βασιλείαν μου ὁ ἱερώτατος μητροπολίτης Ἰωαννίνων, ὑπέρτιμος, ἵνα ἀπολυθῇ χρυσόβουλλον τῆς βασιλείας μου διαλαμβάνον κατὰ μέρος πάντα τὰ κτήματα τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας, ἅτινα, ὡς ἀνέφερεν, εἰσὶ ταῦτα, ἤγουν τὰ μὲν προκατεχόμενα παρ᾽ αὐτῆς διὰ δικαιωμάτων διαφόρων· χωρίον τὸ Παροικίον[1]), χωρίον ἡ Πόβλιστα, χωρίον ἡ Ἄρουλα, χωρίον ἡ Γόπλιστα[2]), χωρίον ἡ Ῥέψιστα[3]), χωρίον ἡ Βελτζίστα σὺν

---

[1]) Παροικεῖον Aravantinos. [2]) Τόπλιτζα A. [3]) Ῥαψίστα A.

τῷ ἐκεῖσε μοναστηρίῳ [τῷ][1]) εἰς ὄνομα τιμωμένῳ τοῦ τιμίου Ἀρχιστρατήγου τῶν Ἄνω Δυνάμεων μετὰ καὶ τῶν ἐν αὐτῷ εὑρισκομένων ἀνθρώπων, τοῦ τε Λουκᾶ καὶ τοῦ Πολυτεχνᾶ καὶ τῶν συγγενῶν αὐτῶν· τὸ ἥμισυ τοῦ χωρίου Λοζέτζι[2])· χωρίον τὸ Σοστρούνι[3]) σὺν τῷ Μάρκῳ τῷ Τζέχλῃ, τῷ Ποθητῷ τῷ Βλαδιμήρῳ καὶ τοῖς συγγενέσιν αὐτῶν, μετὰ τοῦ ἐκεῖσε ὄρους τοῦ Μουτζουκέλου[4])· χωρίον τὸ Βίλιανι[5]) σὺν τῷ Βόγρι[6]) ἄνευ τοῦ ἐν αὐτῷ στασίου[7]) τοῦ Χασάνη· εἰς τὸ χωρίον Λαψίστα[8]) μετόχιον τὸ καλούμενον . . .[9]) εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου Γεωργίου σὺν τῷ ἐκεῖσε σιγιλλατικίῳ αὐτοῦ, ἐν ᾧ εὑρίσκονται καὶ οἱ παῖδες τοῦ Κομανοπώλου[10]) σὺν τῷ Τζαμάντουρα καὶ τῷ Κουρτέσῃ[11]) καὶ ταῖς ἐκεῖσε ἀγορασίαις αὐτῶν καὶ τῷ βιβαρίῳ αὐτῶν· εἰς τὸ Λοζέτζι[12]) σιγιλλατίκιον τὸ τοῦ Σίμωνος· ἕτερον σιγιλλατίκιον ἐν τῷ χωρίῳ τῶν Σερβιάνων, ἕτερον σιγιλλατίκιον ἐν τῷ χωρίῳ τῶν Φρεαστάνων, ἕτερον σιγιλλατίκιον εἰς τὴν Ἰωανίσταν[13]) τὸ τοῦ Κανακίου· μετόχιον καλούμενον[14]) τοῦ ἁγίου Νικολάου τοῦ Ὄρους· ἕτερον σιγιλλατίκιον εἰς τὰ Μοσμήδενα[15]) τοῦ Κωνσταντίνου· ἕτερον σιγιλλατίκιον τῆς Βαλτρίστου[16]) [στίχοι ὀκτὼ] μετὰ τῆς νομῆς αὐτοῦ καὶ τοῦ Λάκκου καὶ τοῦ Κούρβητα[17])· ἕτερον σιγιλλατίκιον ἐξαλιμματαῖον[18]) εἰς τὴν Φώνισταν[19])· ἕτερον σιγιλλατίκιον τῶν παίδων τοῦ Βλασίου ἐν τῷ Παροικίῳ· ἕτερον σιγιλλατίκιον τὸ στάσιον τοῦ Ἠλία, στίχος[20]) Βλάχων οἱ Μουτζάδες, Κολονιάτης Βλάχος μετὰ τῶν στίχων[21]) αὐτοῦ, στίχοι τρεῖς Βλάχων τοῦ Χαλκία[22])· εἰς τὸ χωρίον Ῥασοβίστα[23]) μυλωνικὰ ἐργαστήρια δύο· εἰς τὰς Μπριάτουχας[24]) μυλοτόπια τρία, τὰ μὲν δύο κάτωθεν αὐτοῦ, τὸ δὲ ἕτερον εἰς τὸ ἐκεῖσε κτίσμα[25])· βίβαρια δύο εἰς τὴν ἐκεῖσε λίμνην, ἀλλὰ δὴ καὶ τὸ ἥμισυ τοῦ ὀψωνίου[26]) τῆς αὐτῆς λίμνης· σὺν τούτοις δὲ ἔχει τὸ μέρος τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας καὶ τὴν κρίσιν τῶν τε κληρικῶν αὐτῆς καὶ τῶν ἑτέρων, ἐφ' οἷς ἀνέκαθεν δικαιοῦται αὕτη. ἔτι δὲ καὶ εἰς τὴν ἐκτὸς χώραν ἐν τῷ θέματι τῶν Ἰωαννίνων ἔχει ἐνορίας πέντε, ἤγουν τὴν ἐνορίαν τὴν ἔξω Ἰωαννίνων, τοῦ Ζαγορίου, τοῦ Τζεμερνίκου, τοῦ Σμοκόβου καὶ τοῦ Σοστρουνίου[27]), ἀλλὰ δὴ καὶ τὰς ἐκεῖσε τέσσαρας ἐπισκοπὰς καὶ πανήγυριν ἐπὶ τῇ μνήμῃ τοῦ τιμίου Ἀρχιστρατήγου

---

1) τῷ **addit A.** 2) Λουζέτζι **A.** 3) Σετρούνι **A.** 4) Μουτζικέλι **A.**, Μουτζουκούλου **M.** 5) Τοβόλιανη **A.** 6) Βόγρῃ **A.** 7) στασίν **A.** 8) τὴν Λαυσίσταν **A.** 9) τὸ μετόχιον εἰς ὄνομα καλούμενον τ. ἁγ. Γ. **A.** 10) τοῦ Κουμάνου **A.** 11) Τσαμ. καὶ τῷ Κορτέσῃ **A.**, Τζαμαντούρᾳ **M.** 12) Λουζέτζι **A.** 13) Ἰωάννισταν **A.** 14) εἰς ὄνομα καλούμενον **A.** 15) Τιμοσμίδενα **A.** 16) **Forsitan leg.** Βαλτρίστας **Must.** Βελτζίστας **A.** στίχοι ὀκτώ **A.** 17) καὶ τοῦ λάκκου τοῦ Κουκούβρικα **A.** 18) ἐξαλειμάτων **A.** 19) Σφόνισταν **A.** 20) στίχοι **A.** 21) συστίχων **A.** 22) Χαλκέα **A.**, Χαλκιά **M.** 23) τὴν Ῥασοβίσταν **A.** 24) εἰς Πράτοχας **A.** 25) κτίσμα **A.**, κτῆσμα **M.**, **qui emendat:** κτῆμα. 26) **Must. corrigit:** ὀψαρίου. 27) Σεστρουνίου **A.**

τῶν Ἄγω Δυνάμεων ἐπὶ ἡμέρας δεκαπέντε, ἀπ' αὐτῆς τῆς ἡμέρας δηλονότι τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου μέχρις ὅλης τῆς ὀγδόης τοῦ νοεμβρίου μηνός· καὶ[1]) τὸ μὲν ἥμισυ τοῦ ἀπὸ ταύτης εἰσοδήματος ἔχει ἡ τοιαύτη ἁγιωτάτη ἐκκλησία, τὸ δὲ ἕτερον ἥμισυ[2]) οἱ κληρικοὶ αὐτῆς, ἐπειδὴ οἱ τοιοῦτοι ἔχουσι τεταγμένον ἀρχῆθεν καὶ λαμβάνουσιν ἀπὸ τῶν εἰσοδημάτων τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας κατ' ἔτος σιτοκρίθου μοδίους τῆς εἰσόδου τριακοσίους καὶ βαγένιον πλῆρες οἴνου τὸ τοῦ πρωτοσυγκέλλου καὶ τρικέφαλα πεντήκοντα. κατέχει δὲ ὡσαύτως ἡ αὐτὴ ἁγιωτάτη ἐκκλησία καὶ Ἰουδαίους τρεῖς, τά τε παιδία τοῦ Λαμέρη καὶ τοῦ Δαβίδη καὶ τοῦ Σαμαρία. τὰ δὲ προσεπιδοθέντα αὐτῇ παρὰ τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πιγκέρνη Σιργιάννη[3]) τοῦ Παλαιολόγου, εἰσὶ ταῦτα· τὸ ἥμισυ τοῦ χωρίου Λοζετζίου[4]) σὺν τῇ ἐκεῖσε ἀγορᾷ τοῦ Κασιανοῦ[5]). Βλάχων καπνοὶ εἴκοσι σὺν τῷ Βισωτᾷ καὶ τῷ Λιγυρῷ[6]), ἐδόθη δὲ κατὰ λόγον προσενέξεως πρὸς τὴν αὐτὴν ἁγιωτάτην ἐκκλησίαν καὶ παρὰ τοῦ προκαθημένου τῆς θεοσώστου πόλεως τῶν Ἰωαννίνων, σεβαστοῦ τοῦ Σγούρου, τὸ μονύδριον τῶν Μηρδεαστάνων[7]), ὅπερ εἶχεν ἀπὸ γονικότητος καὶ διὰ τοῦ[8]) χρυσοβούλλου τῆς βασιλείας μου. τὴν τοιαύτην παράκλησιν τοῦ δηλωθέντος ἱερωτάτου μητροπολίτου Ἰωαννίνων καὶ ὑπερτίμου εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ ῥηθείσῃ ἁγιωτάτῃ ἐκκλησίᾳ τὸ παρὸν[9]) χρυσόβουλλον, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν πάντα τὰ ἀνωτέρω κατὰ μέρος δηλωθέντα, τά τε προκατεχόμενα παρ' αὐτῆς, ἔτι δὲ καὶ τὰ προσεπιδοθέντα αὐτῇ μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτῶν ἀναφαιρέτως, ἀνενοχλήτως καὶ ἀδιασείστως, ὅθεν καὶ τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου τῆς βασιλείας μου καθέξει καὶ νεμηθήσεται ταῦτα τὸ μέρος τῆς δηλωθείσης ἁγιωτάτης ἐκκλησίας ἀνώτερα πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως καὶ ἑτέρας ἁπάσης διενοχλήσεως· οὔτε γὰρ οἱ κατὰ καιροὺς[10]) κεφαλατικεύοντες εἰς τὸν δηλωθέντα τόπον, ἐν ᾧ ταῦτα εὑρίσκονται, οὔτε οἱ τὰ δημόσια διενεργοῦντες ἐκεῖσε, οὔτε ἕτεροί τινες ὀφείλουσιν ἐπιβαλεῖν χεῖρα πλεονεκτικὴν καὶ ἄδικον ἐπὶ πᾶσι τοῖς κατὰ μέρος διαληφθεῖσι κτήμασι τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας, ἐπεὶ βούλεται ἡ βασιλεία μου καὶ ἔχει θέλημα διατηρεῖσθαι[11]) ταῦτα πάντα εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ἀνενόχλητα παντελῶς καὶ ἀδιάσειστα. ἐπεὶ δέ, ὡς ἐγνώρισεν ἡ βασιλεία μου καὶ[12]) κατεῖχεν ἀνέκαθεν τὸ μέρος τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας, περὶ

---

[1]) καί deest A. [2]) τοῦ ἀπὸ ταύτης usque ad τὸ δὲ ἕτερον ἥμισυ desunt A. [3]) Συριάνη A. [4]) Λουζετζίου A. [5]) Κασσιανοῦ A. [6]) Βησσωτᾷ καὶ τῷ Λιγερῷ A. [7]) μονίδριον τῶν Μερδεαστάνων A. [8]) τοῦ deest A. [9]) τὸν παρόντα A. [10]) κατὰ καιρόν A. [11]) θεωρεῖσθαι A. [12]) addit A.

τὴν Δρυνούπολιν[1]) χωρίον τὴν Σουχᾶν[2]), ὅπερ καὶ κατὰ λόγον ἀνταλλαγῆς[3]) ἐδέξατο ὁ ἐπὶ τοῦ στρατοῦ ἐκεῖνος ὁ Καβάσιλας, δεδωκὼς πρὸς τὸ μέρος αὐτῆς τοὺς Μελισσουργούς, οὓς κατεῖχεν ἡ μήτηρ τοῦ Θωμᾶ ἐκείνου, οἵτινες καὶ μετὰ ταῦτα ἐδόθησαν ἀλλαχοῦ, καθὼς διέκρινεν ἡ βασιλεία μου, διορίζεται ἡ βασιλεία μου, ἵνα καὶ πάλιν κατέχῃ ἡ αὐτὴ[4]) ἁγιωτάτη ἐκκλησία τὸ δηλωθὲν χωρίον τὴν Σουχᾶν[5]) ἀνενοχλήτως καὶ ἀδιασείστως μετὰ τῶν ἐν αὐτῷ ἀστρατεύτων Βλάχων, καθὼς κατεῖχε[6]) καὶ πρότερον. τούτου γὰρ χάριν ἐγένετο αὐτῇ καὶ ὁ παρὼν χρυσόβουλλος [λόγος][7]) τῆς βασιλείας μου ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης πέμπτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἐννάτου ἔτους[8]), ἐν ᾧ καὶ τὸ ἡμέτερον θεοσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Apographum recens in bibliotheca universitatis Atheniensis. Primus edidit Mustoxydes, Ἑλληνομνήμων, *p. 489, ex archetypo, quod asservatur in familia Tsinia Ioanninorum, et apographis duobus, quorum alterum erat d. Grasset, consulis Galliae, alterum d. C. Pontici, civitatis Ioanninorum. Aravantinos,* Χρονογραφία τῆς Ἠπείρου *p. 307.*

---

1) Δρυινούπολιν A. 2) Τουλιτσᾶν M.: vide inferius. 3) ἀλλαγωγῆς M. et A. M. emendandum putat: ἀλλαγῆς, A. ἀντ., quod recepimus. 4) τοιαύτη A. 5) Σουχάν A. 6) κατείχετο A. 7) Supplevimus nos. 8) Error aut in indictione aut in anno: annus 1321 habet ind. IV, non V. Corrige igitur ἰνδ. τετάρτης (δ'), aut lege: δεκάτου (ι') ἔτους.

IV.

Diplomata et Acta monasterii S. Joannis Baptistae in monte Menoeceo apud Serras.

I. 6806—1297, mense septembri, ind. XI.

Imperator Andronicus II. Palaeologus confirmat monasterio possessiones, quas habet ex donatione episcopi Zichnarum et alias, donatque ei agrum.

† Φθάνει μὲν ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἀνεγεῖραι περὶ τὰς Σέρρας μοναστήριον εἰς ὄνομα τιμώμενον τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ, ἐν ᾧ δῆτα κατηνάλωσεν αὐτός τε καὶ ὁ πατὴρ αὐτοῦ οὐκ ὀλίγα πράγματα· ἔτι δὲ προσεκύρωσε καὶ κτήματά τινα, ἐφ' οἷς προέβη καὶ χρυσόβουλλον τῆς βασιλείας μου· φθάνει δὲ καὶ μεθ' ὕστερον προσκτήσασθαι καὶ προσθεῖναι αὐτῇ καὶ ἕτερά τινα ἀπὸ προσενέξεως καὶ ἐξ ἀγορασίας· ἐπεὶ δὲ παρεκλήτευσεν ἀρτίως πορίσασθαι καὶ ἕτερον χρυσόβουλλον τῆς βασιλείας μου εἰς ἐπικύρωσιν αὐτῶν τῶν, ὡς εἴρηται, ὕστερον παρ' αὐτοῦ προσκυρωθέντων τῷ τοιούτῳ μοναστηρίῳ, τὴν τοιαύτην αἴτησιν καὶ παράκλησιν αὐτοῦ εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου, τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἀπολύει, δι' οὗ εὐδοκεῖ καὶ διορίζεται, ὥστε κατέχειν τὸ εἰρημένον μοναστήριον ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως οὐ μόνον ἅπερ, ὡς δεδήλωται, κατέχει διὰ χρυσοβούλλου τῆς βασιλείας μου, ἀλλὰ καὶ ὅσα μεθ' ὕστερον ἔφθασαν καὶ προσετέθησαν αὐτῷ ἐξ ἀγορασιῶν καὶ προσενέξεων, εὐλόγων δηλονότι καὶ δικαίων καὶ εὐπροσδέκτων, καὶ οὐδ' ἐπ' αὐτοῖς εὑρίσκειν καταδυναστείαν καὶ ἀδικίαν ἢ διενόχλησίν τινα, οὔτε παρὰ τῶν κατὰ καιροὺς τὰ τοῦ δημοσίου διενεργούντων, οὔτε παρ' ἑτέρου τινὸς τῶν ἁπάντων. ἐπεὶ δὲ ἐξῃτήσατο τὴν βασιλείαν μου ἡ δηλωθεῖσα περιπόθητος θυγάτηρ αὐτῆς ὑψηλοτάτη κράλαινα, ἵνα διορίσηται ἡ βασιλεία μου καὶ δοθῇ πρὸς τὸ εἰρημένον μοναστήριον καὶ τὸ πλησίον αὐτοῦ διακείμενον ἀγρίδιον τὸ Μονόσπητον καλούμενον, ὅπερ κατεῖχε στρατιώτης ὁ Μαρτῖνος καὶ ἔνι ἡ ποσότης αὐτοῦ ὑπέρπυρα εἴκοσι τέσσαρα, τὴν εἰς τοῦτο αἴτησιν αὐτῆς προσδεξαμένη ἡ βασιλεία μου, διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς κατέχεσθαι καὶ τὴν ἐν τῷ δηλωθέντι ἀγριδίῳ ποσότητα τῶν εἴκοσι τεσσάρων ὑπερπύρων παρὰ τοῦ διαληφθέντος μοναστηρίου ἀναφαιρέτως, ἀνενοχλήτως

καὶ ἀναποσπάστως, καθὼς μέλλει παραδοθῆναι πρὸς αὐτὴν παρὰ τοῦ πανσεβάστου οἰκείου τῇ βασιλείᾳ μου, κυροῦ Νικολάου τοῦ Θεολογίτου, τῶν ἀρτίως εὑρισκομένων εἰς τὴν δημοσιακὴν ἐνοχὴν Βολεροῦ καὶ Μοσυνοπόλεως, Σερρῶν καὶ Στρυμόνος, ἐπεὶ ἀπελύθη πρὸς αὐτοὺς ἕνεκεν τούτου καὶ πρόσταγμα τῆς βασιλείας μου ἀπολυθὲν κατὰ μῆνα σεπτέμβριον τῆς ἐνισταμένης πρώτης[1]) ἰνδίκτου, τοῦ ἑξακισχιλιοστοῦ [ὀκτακοσιοστοῦ] καὶ ἕκτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Sathas I p. 214—215.

II. 6807—1299, mense novembri, ind. XII.

Imperator Andronicus II. Palaeologus Georgio Truleno confirmat liberam possessionem terrae apud Serras, quam tenet ex hereditate paterna.

† Ἐπεὶ ὁ οἰκεῖος τῆς βασιλείας μου, Γεώργιος ὁ Τρουληνός, κέκτηται περὶ τὰς Σέρρας οἰκονομίαν, ἐντὸς δὲ τοῦ ποσοῦ ταύτης ἔχει καὶ γῆν ἐν δυσὶ τόποις μοδίων χιλίων ἑξακοσίων, τὴν μὲν τῶν χιλίων διακοσίων διακειμένην μέσον τῶν δύο ὁδῶν τῶν πλησίον τῆς γῆς τοῦ μονυδρίου τοῦ εἰς ὄνομα τιμωμένου τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου καὶ ἐπονομαζομένην Κινστέρναν, τὴν δὲ τῶν τριακοσίων εἰς τὴν τοποθεσίαν τὴν καλουμένην Μόδιον πλησίον τοῦ ἐκεῖσε ἀγωγοῦ καὶ παλαιοῦ μύλωνος, καὶ παρεκλήτευσεν, ἵνα τύχῃ χρυσοβούλλου καὶ κατέχῃ τὴν τοιαύτην γῆν ὡς γονικήν, καὶ ἐὰν προσκαθήσωσιν ἐν αὐτῇ καί τινες ξένοι καὶ ἐλεύθεροι, εὑρίσκωνται ἀνενόχλητοι καὶ ἀδιάσειστοι ἀπὸ τοῦ μέρους τοῦ δημοσίου, τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῇ ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι' οὗ προστάσσει καὶ διορίζεται, κεκτῆσθαι αὐτὸν τὴν τοιαύτην γῆν τῶν χιλίων ἑξακοσίων μοδίων ἀνενοχλήτως καὶ ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, καὶ συνιστᾶν καὶ βελτιοῦν αὐτὴν καὶ ὅσον ἐν αὐτῇ συστήσει καὶ βελτιώσει, κατέχεσθαι καὶ τοῦτο παρ' αὐτοῦ κατὰ τὸν αὐτὸν καὶ ὅμοιον τρόπον ἀναφαίρετον καὶ ἀναπόσπαστον διατηρῆσαι, καὶ τοὺς ἐν αὐτῇ μέλλοντας, ὡς εἴρηται, προσκαθῆσαι ξένους καὶ ἐλευθέρους ἀνωτέρους πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἄνευ

[1]) **Error in indictione. In archetypo probabiliter legebatur: ια' i. e. ἑνδεκάτης.**

μέντοι τοῦ κεφαλαίου, τῆς σιταρκίας, τῆς καστροκτισίας, τῆς ὁρικῆς, τοῦ φόνου καὶ τῆς εὑρέσεως τοῦ θησαυροῦ· ταῦτα γὰρ καὶ μόνα ὀφείλουσιν ἀπαιτεῖσθαι ἐξ αὐτῶν, καθὼς καὶ ἐν πᾶσι κτήμασι καὶ αὐτοῖς τοῖς χρυσοβουλλάτοις ἔστι συνήθεια ἀπαιτεῖσθαι ταῦτα ὑπὲρ τῶν κοινῶν δουλιῶν καὶ τῆς κοινῆς χρήσεως· ὀφείλει δὲ παραπέμπειν ταύτην καὶ πρὸς τοὺς ἐξ ὀσφύος παῖδας καὶ κληρονόμους αὐτοῦ, ὥστε κατέχειν καὶ νέμεσθαι τούτους αὐτήν, καὶ τοὺς ἐν αὐτῇ προσκαθησομένους, ἔτι δὲ καὶ τὴν γενησομένην ἐν αὐτῇ βελτίωσιν καὶ αὔξησιν ἀναφαίρετον καὶ ἀναπόσπαστον, καθὼς δηλονότι ὁ εἰρημένος πατὴρ αὐτῶν, καὶ μηδὲ τούτους εὑρίσκειν ἐπ' αὐτοῖς, τῇ δυνάμει καὶ ἰσχύι τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ἐπήρειάν τινα καὶ συζήτησιν, ἄνευ μέντοι γε τῶν ἀνωτέρω ῥηθέντων κεφαλαίων. διὰ γὰρ τοῦτο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐχορηγήθη καὶ ἐπεβραβεύθη τῷ διαληφθέντι οἰκείῳ τῇ βασιλείᾳ μου, κυρῷ Γεωργίῳ τῷ Τρουλήνῳ, ἀπολυθεὶς κατὰ μῆνα νοέμβριον τῆς νῦν τρεχούσης δευτέρας[1]) ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Sathas I. p. 239—240.

III. 6817—1309, mense iulio, ind. VII.

Imperator Andronicus II. Palaeologus confirmat monasterio omnes possessiones.

† Βασιλεῖ δὲ ἄρα πρὸς τοῖς ἄλλοις καὶ τοῦτο προσῆκον, τὸ τὰς εὐλόγους αἰτήσεις προσίεσθαι, ἐφ' οἷς ἂν ἕκαστος τῶν ταύτας προτεινόντων ὁρῷτο δεόμενος, καὶ τέλος ταύταις ἐπιβραβεύειν χρηστόν, ὡς τοῦ κατὰ σκοπὸν ἐντεῦθεν εὐμοιρεῖν δεόμενον· ἡ αἴτησις ἔστι μὲν τοιαύτη, δικαία δηλονότι καὶ εὔλογος, τυγχάνει δὲ ὁ αἰτούμενος καὶ πνεύματι κυρίου πλουτῶν τὴν κατάστασιν, ἀρετῆς διὰ βίου ἀντιποιούμενος, καὶ μάλιστα ὡς τὸν βασιλέα ἑτοιμότερον ὁρᾶσθαι χρὴ πρὸς ἐκπλήρωσιν τοῦ αἰτήματος· ἂν δέ γε καὶ προστάτης λαοῦ πνευματικὸς κατασταίη, τοῦ τῆς ἀρχιερωσύνης τετυχηκὼς ἀξιώματος, πῶς οὐ μετὰ πλείονος εὐμενείας τὴν αἴτησιν αὐτοῦ ἐνδέξηται[2]) ὁ βασιλεύς, καὶ τῶν ἄλλων ἁπάντων, οἷς ὁρᾶται τὰ τῶν

---

[1]) Error in indictione. In archetypo probabiliter scriptum erat: ιβ'. [2]) εἰσδ. S.

αἰτήσεων σπουδαιοτέραν θείη ἄν, καὶ παραυτίκα ταύτην εὐμαρῶς ἐκπληρώσας πρὸς θεὸν αὐτὸν διαβαίνειν εἰδὼς τὰ τῆς τοιαύτης αἰτήσεως; ὅτου δὲ χάριν λέλεκται ταῦτα, προϊὼν ὁ λόγος δηλώσει. ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν, εὐλαβείᾳ τραφεὶς καὶ ἐφ' ἱκανοῖς τοῖς χρόνοις φροντιστηρίῳ παραμείνας, ἔλαχεν ἱερατεύειν θεῷ, εἶτα καὶ ὃ περίκειται ἀρχιερωσύνης ἀξίωμα, οὕτω τοίνυν καὶ θαρρεῖ τετυχηκέναι τοῦ πρὸς τὴν βασιλείαν μου αἰτήματος, καὶ ἐπιτυγχάνει ὡς τὸ εἰκός· ἡ γὰρ περὶ τὴν πόλιν Σερρῶν εἰς τὸ ὄρος τὸ τοῦ Μενοικέως διακειμένη σεβασμία μονή, ἡ ἐπ' ὀνόματι τιμωμένη τοῦ τιμίου προφήτου Προδρόμου, ἀνηγέρθη μὲν παρὰ τῶν γονέων αὐτοῦ, φροντὶς δὲ καὶ τῷδε γέγονεν οὐ μικρὰ τῶν εἰς σύστασιν αὐτῆς ἕνεκα καὶ κρείττω βελτίωσιν· ὅθεν καὶ ἐπειδὴ ἐξῃτήσατο ἐπιχορηγηθῆναι αὐτῇ παρὰ τῆς βασιλείας μου χρυσόβουλλον ἐπὶ τοῖς προσοῦσι ταύτῃ κτήμασι καὶ μετοχίοις διὰ διαφόρων δικαιωμάτων, ἡ βασιλεία μου τὴν αἴτησιν αὐτοῦ προσηκαμένη, τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιβραβεύει τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν καὶ εἰς τὸ ἑξῆς ἀνηνοχλήτως καὶ ἀδιασείστως, ἅπερ κατὰ τὸν εἰρημένον τρόπον εὑρίσκεται κεκτημένη μέχρι τοῦ νῦν, ἤγουν τοὺς εἰς τὴν περιοχὴν τῆς τοιαύτης σεβασμίας μονῆς προσκαθημένους ἀνυποστάτους πτωχοὺς καὶ ἀκτήμονας, τοὺς περὶ τὴν εἰρημένην πόλιν Σερρῶν ἑπτὰ μύλωνας, τὰ ἐντὸς ταύτης τρία οἰκήματα, ἤγουν τὰ μὲν δύο ἐργαστήρια, τὸ δὲ ἕτερον φουτοναρεῖον· περὶ τὴν αὐτὴν πόλιν ἐν διαφόροις τόποις ἀμπέλια μοδίων τριάκοντα, περιβόλιον μοδίων δύο καὶ κῆπον μοδίων δύο· περὶ τὸ χωρίον τὴν Κόσναν καὶ τὰ Κρύα Νερὰ γῆν ἐν διαφόροις τόποις μοδίων χιλίων, ἐν ᾗ εἰσι καὶ μυλοτόπια δύο· ἑτέραν γῆν εἰς τὴν Κινστέρναν μοδίων τριακοσίων, καὶ περὶ τὸ Νεοχώριον ἑτέραν γῆν μοδίων ἑκατόν· μετόχιον διακείμενον πλησίον τῆς τοιαύτης σεβασμίας μονῆς εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένον τοῦ Δοχῆνος. ἕτερον περὶ τὴν αὐτὴν πόλιν Σερρῶν διακείμενον εἰς ὄνομα τιμώμενον καὶ αὐτὸ τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένον τοῦ Βοριτζίου· θεῖον ναὸν εἰς τὸ χωρίον Γαστελέγκους εἰς ὄνομα τιμώμενον τοῦ Σωτῆρος Χριστοῦ· ἕτερον εὐκτήριον οἶκον περὶ τὴν παραλιμνίαν εἰς τὸ χωρίον Βερνάρους εἰς ὄνομα τιμώμενον τῆς ἁγίας Βαρβάρας· ἕτερον θεῖον ναὸν εἰς τὸ χωρίον Βουλλαριτζοῦς εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου τῆς Ἐλεούσης, καὶ ἕτερον εὐκτήριον οἶκον περὶ τὸν Μελενίκον ἐν τῇ τοποθεσίᾳ τῶν Πλατανῶν διακείμενον καὶ εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου καὶ ἐπικεκλημένον τοῦ Καϊλάτου. ταῦτα τοίνυν καθέξει καὶ νεμεθήσεται ἡ τοιαύτη σεβασμία μονὴ καὶ εἰς τὸ ἑξῆς μετὰ τῶν προσόντων τοῖς τοιούτοις μετοχίοις δικαίων, τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ἀνενοχλήτως

πάντη καὶ ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, καθὼς εἴρηται, [ὡς] εὑρίσκεται κατέχουσα καὶ νεμομένη ταῦτα μέχρι τοῦ νῦν διὰ τῶν προσόντων αὐτῇ, ὡς δεδήλωται, δικαιωμάτων, καὶ οὐχ εὑρήσει[1]) οὔτε παρὰ τῶν κατὰ καιροὺς τὰ τοῦ δημοσίου διενεργούντων, οὔτε παρ' ἑτέρου τινὸς τῶν ἁπάντων ἐπὶ τῇ τούτων κατοχῇ καὶ νομῇ ἀδικίαν ἢ καταδυναστείαν καὶ διενόχλησιν οἱανδήτινα. τούτου γὰρ χάριν καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τοῦ τιμίου Προδρόμου, ἀπολυθεὶς κατὰ μῆνα ἰούλιον τῆς νῦν τρεχούσης ἑβδόμης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑπτὰ καὶ δεκάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Sathas I. p. 211—214.

IV. 6829—1321, mense iunio, ind. IV.

Imperator Andronicus II. Palaeologus iterum confirmat monasterio possessiones et exemptiones.

† Ἐπεὶ ὁ περιπόθητος υἱὸς καὶ γαμβρὸς τῆς βασιλείας μου, ὁ ὑψηλότατος κράλης Σερβίας, καὶ ἡ περιπόθητος θυγάτηρ τῆς βασιλείας μου, ἡ ὑψηλοτάτη κράλαινα Σερβίας, διεμηνύσαντο πρὸς τὴν βασιλείαν μου μετὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς ἐν τῷ ἁγίῳ ὄρει [τῷ Ἄθῳ][2]) διακειμένης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικαλουμένης τοῦ Χελανταρίου, ἱερομονάχου κυροῦ Γερβασίου, περὶ τῆς εἰς τὰς Σέρρας ἐν τῷ ὄρει τοῦ Μενοικέως διακειμένης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ τιμίου προφήτου Προδρόμου, ἵνα διορίσηται ἡ βασιλεία μου καὶ γένηται χρυσόβουλλον αὐτῆς[3]) ἐπὶ πᾶσι τοῖς κατεχομένοις παρὰ τῆς αὐτῆς μονῆς διὰ δικαιωμάτων διαφόρων μέχρι τοῦ νῦν ἀπὸ προσενέξεως καὶ ἀγορασίας περιελθοῦσιν αὐτῇ, ἅτινα καί, ὡς ἀνέφερον οἱ μοναχοὶ αὐτῆς, εἰσὶ ταῦτα· ἀγρίδιον τὸ Μονόσπητον λεγόμενον μετὰ τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτοῦ· ζευγηλατεῖον εἰς τὴν παραλιμνίαν τοῦ ποταμοῦ τοῦ Στρυμόνος, τὸ τοῦ Ἐσφαγμένου λεγόμενον, μετὰ τῶν ἐκεῖσε βιβαρίων καὶ αὐλακίων καὶ ἁλιευτικῶν σανδαλίων καὶ λοιπῶν δικαίων αὐτοῦ· μονύδριον ἐκεῖσε [διακείμενον καὶ]

---

[1]) εὑρίσκει S. [2]) Vide sequens dipl. [3]) αὐτοῖς S.

εἰς ὄνομα τιμώμενον[1]) τῆς ἁγίας μάρτυρος Βαρβάρας μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· μετόχιον εἰς τὴν Ζελίχοβαν εἰς ὄνομα [τιμώμενον] τοῦ Ἀρχιστρατήγου τῶν Ἄνω Δυνάμενων μετὰ τῶν προσόντων αὐτῷ τριῶν ὑδρομυλώνων καὶ τοῦ ἐκεῖσε ναοῦ τοῦ εἰς ὄνομα τιμωμένου τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου· εἰς τὸ χωρίον Ταπραβασμοῦντον γῆ μοδίων ἑπτακοσίων· οἰκήματα ἐργαστηριακὰ τρία ἐντὸς τῆς πόλεως τῶν Σερρῶν· ἕτερα οἰκήματα πλησίον τῆς πόρτας τοῦ φόρου· οἰκοτόπια πλησίον τοῦ Συναδηνοῦ· μαγκυπικὸν οἴκημα εἰς τὴν γειτονίαν τὴν λεγομένην τοῦ ἁγίου Βασιλείου· ἕτερον οἴκημα πλησίον τῆς Βούτζης· ἕτερον οἴκημα πλησίον τοῦ Ἱερομνήμονος· μύλων διόφθαλμος ὁλοχαιρινὸς εἰς τὸν διερχόμενον ποταμὸν πλησίον τοῦ μεγάλου πύργου· ἥμισυ ἑτέρου μύλωνος ἄνωθεν αὐτοῦ εὑρισκομένου, ὡς τοῦ ἑτέρου ἡμίσεως αὐτοῦ κατεχομένου παρὰ τοῦ Πραντουλῆ· ἕτερος μύλων διόφθαλμος πλησίον τοῦ ναοῦ τῶν ἁγίων Θεοδώρων· ἕτερος μύλων διόφθαλμος καὶ αὐτὸς πλησίον τοῦ παραπορτίου· ἕτερος μύλων μονόφθαλμος πλησίον τοῦ Σταυρακοπούλου· ἀμπέλια ἐν διαφόροις τόποις σύνεγγυς τοῦ κάστρου ὡσεὶ μοδίων εἴκοσι τεσσάρων· ἕτερον ἀμπέλιον πλησίον τοῦ Γεροντίτζη τῆς Πέτρας μοδίων ἕξ· ἕτερον ἀμπέλιον πλησίον τοῦ ναοῦ τῆς ἁγίας Μαρίνης μοδίων ἕξ· γῆ ἀπὸ προσενέξεως καὶ ἀγορασίας εἰς τὸν τόπον τὸν Μεριλίαν πλησίον τῶν Κουβουκλίων μοδίων διακοσίων ἑξήκοντα· ἑτέρα γῆ εἰς τὴν Κόσναν πλησίον τῆς γῆς τοῦ Πελαργοῦ καὶ τοῦ δημοσιακοῦ συνόρου, σὺν τῇ γῇ τῇ ἀπὸ τοῦ Ξυφέα μοδίων ἑκατὸν πεντήκοντα· ἑτέρα γῆ πλησίον τοῦ Τριβόλη μοδίου ἑκατόν· ἑτέρα γῆ ἰδιοπεριόριστος πλησίον τῆς γῆς τῶν Κουβουκλίων καὶ τῆς γῆς τοῦ Πελαργοῦ μοδίων χιλίων τετρακοσίων· ἑτέρα γῆ εἰς τὸ Λιβάδιον μοδίων τριακοσίων, ἄνευ τῆς ἐκεῖσε ἐξαλειμματικῆς[2]) γῆς τοῦ Δραγόη, ἐν ᾗ εὑρίσκονται καὶ μυλοτόπια δύο· ἑτέρα γῆ εἰς τὸν τόπον τοῦ Βερνάρη μοδίων τριακοσίων· περὶ τὸν Πάνακα τόπος χερσαῖος καὶ ἀνήροτος, εἰς ὃν κατεφύτευσαν δένδρα ἐλαϊκά· καὶ οἰκοτόπια πλησίον τοῦ νεουργηθέντος παραπορτίου σὺν τῷ ἐκεῖσε ναῷ τῆς ὑπεραγίας Θεοτόκου τῆς Ὁδηγητρίας. ἡ βασιλεία μου διὰ τὴν μεσιτείαν τοῦ δηλωθέντος περιποθήτου υἱοῦ καὶ γαμβροῦ αὐτῆς, τοῦ ὑψηλοτάτου κράλη Σερβίας, καὶ τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς ὑψηλοτάτης κραλαίνης, τὸν παρόντα χρυσόβουλλον λόγον [αὐτῆς] ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν τὰ ἀνωτέρω κατὰ μέρος δηλωθέντα, τά τε ἀπὸ προσενέξεως καὶ τὰ ἐξ ἀγορασίας καὶ ἀλλοτρόπως περιελθόντα αὐτῇ ἀναφαιρέτως, ἀνενοχλήτως καὶ ἀδιασείστως μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτῶν κατὰ τὰς

---

1) καλούμενον S. 2) ἐκλειωματικῆς S.

εἰς τοῦτο περιλήψεις τῶν προσόντων αὐτῇ παλαιγενῶν διαφόρων δικαιωμάτων, ὅθεν καὶ τῇ ἰσχύι καὶ τῇ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει καὶ νεμηθήσεται ἡ δηλωθεῖσα σεβασμία μονὴ ταῦτα πάντα ἐκτὸς πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως καὶ ἑτέρας ἁπάσης διενοχλήσεως· οὔτε γὰρ τὸ τῆς σιταρκίας κεφάλαιον ἀπαιτηθήσεται ἀπὸ τῶν κτημάτων αὐτῆς, οὔτε τὸ τῆς ὀρικῆς καὶ τῆς καστροκτισίας καὶ τοῦ ἐννομίου, ἀλλὰ συντηρηθήσεται καὶ ἀπὸ τούτων ἀνενόχλητος πάντη καὶ ἀναπαίτητος, συντηρηθήσεται δὲ ὡσαύτως ἀνενόχλητος καὶ ἀπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἀρχιερέως, ἱερωτάτου μητροπολίτου Σερρῶν, πλὴν μόνον τοῦ συνήθους μνημοσύνου αὐτοῦ καὶ τοῦ τεταγμένου κανονικοῦ, καὶ ἵνα οὐδὲν ἔχῃ ὁ τοιοῦτος ἀρχιερεὺς ἄδειαν ἀποκαθιστᾶν ἡγουμένους εἰς τὴν τοιαύτην μονὴν ἢ πάλιν ἐξάγειν αὐτούς, ἀλλὰ ὁ μέλλων εὑρίσκεσθαι εἰς τὴν ἡγουμενείαν αὐτὸς ἐκλέγηται[1]) παρὰ τῶν μοναχῶν αὐτῆς καὶ ἀποστέλληται εἰς τὸν κατὰ καιρὸν παναγιώτατον πατριάρχην καὶ σφραγίζηται παρ' αὐτοῦ καὶ τάττηται εἰς τὴν ἡγουμενείαν αὐτῆς· βούλεται γὰρ ἡ βασιλεία μου καὶ θεσπίζει πατριαρχικὴν εἶναι τὴν τοιαύτην σεβασμίαν μονὴν τοῦ τιμίου προφήτου Προδρόμου. τούτου χάριν ἐγένετο αὐτῇ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης τετάρτης ἰνδίκτου τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Sathas I. p. 215—218.

V. 6829—1321, mense iunio, ind. IV.

Imperator Andronicus II. Palaeologus iterum confirmat possessiones et immunitates monasterii.

† Ἐπεὶ ὁ περιπόθητος θεῖος τῆς βασιλείας μου, ὁ ὑψηλότατος κράλης Σερβίας, καὶ ἡ περιπόθητος θεία τῆς βασιλείας μου, ἡ ὑψηλοτάτη κράλαινα Σερβίας, διαμηνυσάμενοι πρὸς τὸν ἅγιόν μου αὐθέντην καὶ βασιλέα τὸν πάππον τῆς βασιλείας μου καὶ δεξάμενοι χρυσόβουλλον περὶ τῆς εἰς τὰς Σέρρας ἐν τῷ ὄρει τοῦ Μενοι-

---

[1]) ἐκλέγεται S.

κέως διακειμένης σεβασμίας μονῆς τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ ἐπὶ πᾶσι τοῖς κατεχομένοις παρὰ τῆς τοιαύτης μονῆς μέχρι τοῦ νῦν, διεμηνύσαντο καὶ εἰς τὴν βασιλείαν μου μετὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ διακειμένης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένης τοῦ Χελανταρίου, ἱερομονάχου κυροῦ Γερβασίου, ἵνα γένηται τούτου χάριν καὶ χρυσόβουλλον τῆς βασιλείας μου ἐπὶ πᾶσι τοῖς κατεχομένοις, ὡς δεδήλωται, παρὰ τῆς τοιαύτης μονῆς διὰ δικαιωμάτων διαφόρων μέχρι τοῦ νῦν ἀπὸ προσενέξεως καὶ ἐξ ἀγορασίας περιελθοῦσιν αὐτῇ, ἅτινα καί, ὡς ἀνέφερον οἱ μοναχοὶ αὐτῆς, εἰσὶ ταῦτα· ἀγρίδιον τὸ Μονόσπητον λεγόμενον μετὰ τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτοῦ· ζευγηλατεῖον εἰς τὴν παραλιμνίαν τοῦ ποταμοῦ τοῦ Στρυμόνος, τὸ τοῦ Ἐσφαγμένου λεγόμενον, μετὰ τῶν ἐκεῖσε βιβαρίων καὶ αὐλακίων καὶ ἁλιευτικῶν σανδαλίων καὶ λοιπῶν δικαίων αὐτοῦ· μονύδριον ἐκεῖσε [διακείμενον καὶ][1]) εἰς ὄνομα τιμώμενον τῆς ἁγίας μάρτυρος Βαρβάρας μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· μετόχιον εἰς τὴν Ζελίχοβαν εἰς ὄνομα τιμώμενον τοῦ τιμίου Ἀρχιστρατήγου τῶν Ἄνω Δυνάμεων μετὰ τῶν προσόντων αὐτῷ τριῶν ὑδρομυλώνων καὶ τοῦ ἐκεῖσε ναοῦ τοῦ εἰς ὄνομα τιμωμένου τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου· εἰς τὸ χωρίον Τακραβασμοῦντον γῆ μοδίων ἑπτακοσίων· οἰκήματα ἐργαστηριακὰ τρία ἐντὸς τῆς πόλεως Σερρῶν· ἕτερα δύο οἰκήματα πλησίον τῆς πόρτας τοῦ φόρου· οἰκοτόπια πλησίον τοῦ Συναδηνοῦ· μαγκυπικὸν[2]) οἴκημα εἰς τὴν γειτονίαν τὴν λεγομένην τοῦ ἁγίου Βασιλείου· ἕτερον οἴκημα πλησίον τῆς Βούτζης· ἕτερον οἴκημα πλησίον τοῦ Ἱερομνήμονος· μύλων διόφθαλμος ὁλοκαιρινὸς εἰς τὸν διερχόμενον ποταμὸν πλησίον τοῦ μεγάλου πύργου· ἥμισυ ἑτέρου μύλωνος ἔνωθεν αὐτοῦ εὑρισκομένου, ὡς τοῦ ἑτέρου ἡμίσεως αὐτοῦ κατεχομένου ὑπὸ τοῦ Πραντουλῆ· ἕτερος μύλων διόφθαλμος καὶ αὐτὸς πλησίον τοῦ ναοῦ τῶν ἁγίων Θεοδώρων· ἕτερος μύλων διόφθαλμος καὶ αὐτὸς πλησίον τοῦ παραπορτίου· ἕτερος μύλων μονόφθαλμος πλησίον τοῦ Σταυρακοπούλου· ἀμπέλια ἐν διαφόροις τόποις σύνεγγυς τοῦ κάστρου ὡσεὶ μοδίων εἴκοσι τεσσάρων· ἕτερον ἀμπέλιον πλησίον τοῦ Γεροντίτζη τῆς Πέτρας μοδίων ἕξ· ἕτερον ἀμπέλιον πλησίον τοῦ ναοῦ τῆς ἁγίας Μαρίνης μοδίων ἕξ. γῆ ἀπὸ προσενέξεως καὶ ἀγορασίας εἰς τὸν τόπον τὸν Μεριχίαν[3]) πλησίον τῶν Κουβουκλίων μοδίων διακοσίων ἑξήκοντα· ἑτέρα γῆ εἰς τὴν Κόσναν πλησίον τῆς γῆς τοῦ Πελαργοῦ καὶ τοῦ δημοσιακοῦ συνόρου σὺν τῇ γῇ τῇ ἀπὸ τοῦ Ξυφέα μοδίων ἑκατὸν πεντήκοντα· ἑτέρα γῆ πλησίον τοῦ Τριβόλη μοδίων ἑκατόν· ἑτέρα γῆ ἰδιοπεριόριστος πλησίον τῆς γῆς τῶν Κουβουκλίων καὶ τῆς γῆς τοῦ

---

[1]) ἐκεῖσε εἰς ὄνομα καλούμενον S. [2]) μαγκύπιον S. [3]) Μεριλίαν dipl. IV.

Πελαργοῦ μοδίων χιλίων τετρακοσίων· ἑτέρα γῆ εἰς τὸ Λιβάδιον μοδίων ἑξακοσίων, ἄνευ τῆς ἐκεῖσε ἐξαλειμματικῆς[1]) γῆς τοῦ Δραγόη, ἐν ᾗ εὑρίσκονται καὶ μυλοτόπια δύο· ἑτέρα γῆ εἰς τὸν τόπον τοῦ Βερνάρη μοδίων τριακοσίων· περὶ τὸν Πάνακαν[2]) τόπος χερσαῖος καὶ ἀνήροτος, εἰς ὃν κατεφύτευσαν δένδρα ἐλαϊκά· καὶ οἰκοτόπια πλησίον τοῦ νεουργηθέντος παραπορτίου σὺν τῷ ἐκεῖσε ναῷ τῆς ὑπεραγίας Θεοτόκου τῆς Ὁδηγητρίας. ἡ βασιλεία μου διὰ τὴν μεσιτείαν τοῦ δηλωθέντος περιποθήτου θείου αὐτῆς, τοῦ ὑψηλοτάτου κράλη Σερβίας, καὶ τῆς περιποθήτου θείας τῆς βασιλείας μου, τῆς ὑψολοτάτης κραλαίνης, τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν τὰ ἀνωτέρω κατὰ μέρος δηλωθέντα, τά τε ἀπὸ προσενέξεως καὶ τὰ ἐξ ἀγορασίας καὶ ἀλλοτρόπως περιελθόντα αὐτῇ, ἀναφαιρέτως, ἀνενοχλήτως, καὶ ἀδιασείστως μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων αὐτῶν κατὰ τὰς εἰς τοῦτο περιλήψεις τῶν προσόντων αὐτῇ παλαιγενῶν διαφόρων δικαιωμάτων, ἔτι δὲ καὶ τὴν περίληψιν τοῦ διαληφθέντος χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, ὅθεν καὶ τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει καὶ νεμηθήσεται ἡ δηλωθεῖσα σεβασμία μονὴ πάντα ταῦτα ἐκτὸς πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως καὶ ἑτέρας ἁπάσης διενοχλήσεως· οὔτε γὰρ τὸ τῆς σιταρκίας κεφάλαιον ἀπαιτηθήσεται ἀπὸ τῶν κτημάτων αὐτῆς, οὔτε τὸ τῆς ὀρικῆς καὶ τῆς καστροκτισίας καὶ τοῦ ἐννομίου, ἀλλὰ συντηρηθήσεται ἀπὸ τούτων ἀνενόχλητος πάντῃ καὶ ἀναπαίτητος, συντηρηθήσεται δὲ ὡσαύτως ἀνενόχλητος καὶ ἀπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἱερωτάτου ἀρχιερέως εἰς τὴν μητρόπολιν τῶν Σερρῶν, πλὴν μόνον τοῦ συνήθους μνημοσύνου αὐτοῦ καὶ τοῦ τεταγμένου κανονικοῦ, καὶ ἵνα οὐδὲν ἔχῃ ὁ τοιοῦτος ἀρχιερεὺς ἄδειαν ὅλως ἀποκαθιστᾶν ἡγουμένους εἰς τὴν τοιαύτην μονὴν ἢ πάλιν ἐξάγειν αὐτούς, ἀλλὰ ὁ μέλλων εὑρίσκεσθαι εἰς τὴν ἡγουμενείαν αὐτῆς ἐκλέγηται παρὰ τῶν μοναχῶν αὐτῆς καὶ ἀποστέλληται εἰς τὸν κατὰ καιροὺς παναγιώτατον πατριάρχην καὶ σφραγίζηται παρ' αὐτοῦ καὶ τάττηται εἰς τὴν ἡγουμενείαν αὐτῆς, βούλεται γὰρ ἡ βασιλεία μου καὶ θεσπίζει πατριαρχικὴν εἶναι τὴν τοιαύτην σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου· τούτου γὰρ χάριν ἐγένετο αὐτῇ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης τετάρτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

---

[1]) ἐκλειωματικῆς S., ut in diplomate antecedente. [2]) In margine cod.: Πάνικα.

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Sathas I. p. 218. Confer antecedens diploma Nr. IV., a quo differt solummodo in exordio.

VI. [6833—1324], mense decembri, ind. VIII.

Patriarcha Esaias confirmat diplomata imperatoris de privilegiis et possessionibus monasterii et typicum archiepiscopi Zichnarum.

† Ἠσαΐας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐπεὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν, διαδεξάμενος τὸ περὶ τὰς Σέρρας κατὰ τὸ ὄρος τοῦ Μενοικέως διακείμενον μοναστήριον τὸ εἰς ὄνομα τιμώμενον τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ὡς γονικόθεν αὐτῷ διαφέρον περιεποιήσατο καὶ ἐπηύξησε καὶ εἰς ὃ νῦν ὁρᾶται μεγέθους καὶ περιφανείας κατέστησεν, ἱκανὰς αὐτῷ κτήσεις προσκυρώσας εἰς διατροφὴν τῶν ἐν αὐτῷ μοναχῶν, καὶ διαθέμενος καὶ τυπώσας τὸ κατ' αὐτό, ὡς ἦν αὐτῷ πρὸς βουλήσεως, πορισάμενός τε καὶ σεπτὸν χρυσόβουλλον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐπὶ πᾶσι τοῖς τῷ τοιούτῳ διαφέρουσι μοναστηρίῳ ἀνενοχλησίαν αὐτοῖς ποιούμενον καὶ ἀτέλειαν ἐπιβραβεῦον καὶ ἐλευθεριότητα καὶ πάντων τῶν κατὰ καιροὺς ἐπερχομένων τοῖς ἄλλοις ἅπασιν ἀνώτερον καθιστάνον, ἐζήτησε δὲ καὶ ἡμετέρου σιγιλλίου τυχεῖν ἀσφαλείας χάριν καὶ τῆς ἐντεῦθεν, τὸ παρὸν [σιγίλλιον αὐτῆς][1]) ἡ μετριότης ἡμῶν ἀπολύει, δι' οὗ καὶ ἐν ἁγίῳ πνεύματι παρακελεύεται ἐπὶ τῆς αὐτῆς ἐλευθεριότητος καὶ ἀτελείας μένειν τὰ προσαρμοσθέντα τῷ τοιούτῳ μοναστηρίῳ εἰς αἰῶνα τὸν ἑξῆς ἅπαντα, ὡς καὶ τὸ σεπτὸν χρυσόβουλλον διορίζεται, καὶ μηδεμίαν οὐδέποτε παρ' οὐδενὸς εὑρεῖν ταῦτα ἐπιβουλήν· ὡσαύτως διακελεύεται ἡ μετριότης ἡμῶν μένειν δι' αἰῶνος ἀπαραποίητον καὶ ὅσον ὁ αὐτὸς θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν διετάξατο καὶ ἐτύπωσεν ἐπὶ τῷ κατ' αὐτὸν τοιούτῳ μοναστηρίῳ, καὶ μηδέν τι τούτων παραβαθῆναι ἢ ἀθετηθῆναι παρ' οὐδενός· διὸ δὴ καὶ οὐδείς τις ἢ τῶν ἐν αὐτῷ ἀσκουμένων [μοναχῶν][2]) ἢ τῶν ἄλλων ἁπάντων εἰς ἀθέτησιν ὀφείλει χωρῆσαι τῶν διατεταγμένων καὶ τετυπωμένων παρὰ

[1]) Supplevimus. [2]) Supplevimus.

τοῦ τοιούτου ἀρχιερέως, ἀλλ' οὐδέ τις τῶν κατὰ γένος προσηκόντων τούτῳ, εἴτε τῶν μοναχῶν εἴη, ἤτε τῶν λαϊκῶν, κατεξουσιάσαι πειράσεται τοῦ τοιούτου μοναστηρίου καὶ τῶν διατυπωθέντων ἀθετῆσαι, ὡς εἴρηται, παρὰ τοῦ αὐτοῦ θεοφιλεστάτου ἐπισκόπου, ὑφορώμενος τὸ παρ' αὐτοῦ ἐκφωνηθὲν κατὰ τῶν τοιούτων βαρύτατον ἀφορισμοῦ ἐπιτίμιον, ἔτι δὲ τὸ παρὰ τῆς ἡμῶν μετριότητος· προσεκφωνεῖ γὰρ τοῦτο καὶ ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος σιγιλλίου αὐτῆς, ἀπολυθέντος εἰς διαιωνίζουσαν τὴν περὶ τῶν εἰρημένων ἀσφάλειαν, μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος ὀγδόης.

Sathas I. p. 222. De typico monasterii confer praefationem voluminis.

VII. [6833—1325], mense aprili, ind. VIII.

Imperator Andronicus II. Palaeologus confirmat sigillium patriarchae Esaiae de typico et constitutione monasterii.

† Ἐπεὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἐζήτησε καὶ ἔλαβε τιμίαν σιγιλλιώδη πατριαρχικὴν γραφὴν ἐπὶ τῷ τυπικῷ καὶ τῇ καταστάσει καὶ διατυπώσει, ἣν ἐποιήσατο εἰς τὴν ἀνεγερθεῖσαν παρ' αὐτοῦ σεβασμίαν μονὴν κατὰ τὸ ὄρος τοῦ Μενοικέως, τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ὡσὰν διαμένει ἡ τοιαύτη κατάστασις καὶ ὑποτύπωσις βεβαία καὶ ἀμετάθετος καὶ οὐδὲν εὕρῃ παρά τινος τῶν κατὰ γένος προσηκόντων αὐτῷ καὶ τῶν ἄλλων ἁπάντων ἀνατροπήν τινα καὶ κατάλυσιν καθ' οἱονδήτινα τρόπον, ἐδεήθη δὲ τυχεῖν ἐπὶ τῇ δηλωθείσῃ τιμίᾳ πατριαρχικῇ γραφῇ καὶ προστάγματος τῆς βασιλείας μου διὰ τὴν ἐντεῦθεν ἑδραίαν καὶ μόνιμον ἀνενοχλησίαν αὐτοῦ καὶ ἀσφάλειαν, τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου τὸ παρὸν αὐτῷ ἐπιχορηγεῖ πρόσταγμα, δι' οὗ καὶ διορίζεται, ὡς ἂν κατὰ τὴν περίληψιν τῆς γενομένης αὐτῷ, καθὼς εἴρηται, τιμίας πατριαρχικῆς γραφῆς διαμένῃ ἡ ὑποτύπωσις καὶ κατάστασις, ἣν ἐποίησεν οὗτος δὴ ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν εἰς τὴν εἰρημένην σεβασμίαν μονήν, βεβαία καὶ ἀκατάλυτος καὶ οὐδὲ ἕξει ἄδειάν τις τῶν κατὰ γένος προσηκόντων αὐτῷ καὶ τῶν ἄλλων ὁποῖον δήτινα λαϊκῶν τε καὶ μοναχῶν πειραθῆναι καὶ ἐργάσασθαί τι εἰς ἀνατροπὴν καὶ κατάλυσιν τῆς τοιαύτης διατάξεως καὶ ὑποτυπώσεως αὐτοῦ, ἐπειδὴ καὶ τούτου ἕνεκεν ἐγένετο καὶ ἐπεχορηγήθη τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα εἰς ἀσφάλειαν †.

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· μηνὶ ἀπριλλίῳ ἰνδ. η' †.

Sathas I. p. 223.

VIII. 6837—1329, mense ianuario, ind. XII.

Imperator Andronicus III. Palaeologus iterum confirmat possessiones et privilegia monasterii et unionem monasterii S. Joannis Prodromi in urbe Serrarum cum eo, donatque illis metochium Gastelengi.

† Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος διὰ τὴν ἐνοῦσαν αὐτῷ πνευματικὴν καὶ θεάρεστον πολιτείαν τε καὶ κατάστασιν ἐπεμελήθη μετὰ ἀρχιερατικοῦ[1]) καὶ πνευματικοῦ ζήλου, καὶ συνεστήσατο ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων περὶ τὴν θεόσωστον πόλιν τῶν Σερρῶν εἰς τὸ ὄρος [τὸ] τοῦ Μενοικέως λεγόμενον μοναστήριον εἰς ὄνομα τιμώμενον τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἀνήγειρε δὲ καὶ ἐντὸς τῆς δηλωθείσης πόλεως Σερρῶν καὶ ἕτερον μοναστήριον εἰς ὄνομα τιμώμενον καὶ αὐτὸ τοῦ τιμίου προφήτου Προδρόμου, καὶ ἔταξε καὶ ἀπεκατέστησεν εὑρίσκεσθαι ἀμφότερα ταῦτα ἡνωμένα καὶ ὑπὸ τὸν αὐτὸν καὶ ἕνα ἡγούμενον, ἵνα ἔνι τὸ ἐντὸς τοῦ κάστρου Σερρῶν δηλωθὲν μοναστήριον εἰς μετόχιον τῆς διαληφθείσης σεβασμίας μονῆς τῆς εἰς τὸ ὄρος τοῦ Μενοικέως, προσετέθησαν δὲ εἰς ταύτας δὴ τὰς μονὰς διὰ προμήθειαν καὶ κυβέρνησιν τῶν ἐν αὐταῖς ἀσκουμένων μοναχῶν ἀπό τε δωρεᾶς τοῦ ἁγίου μου αὐθέντου τοῦ πάππου μου, ἔτι δὲ καὶ ἐξ ἀγορασίας τοῦ αὐτοῦ ἱερωτάτου μητροπολίτου Ζιχνῶν καὶ ὑπερτίμου, ἀλλὰ δὴ καὶ ἀπὸ προσενέξεως διαφόρων κατὰ θεοφιλῆ καὶ εὔλογον τρόπον ἐντὸς καὶ ἐκτὸς τῆς δηλωθείσης πόλεως Σερρῶν, ἔτι δὲ καὶ ἀλλαχοῦ, κτήματα, μετόχια καὶ λοιπὰ προσοδήματα, ἐφ' οἷς ἔφθασε καὶ ἐπορίσατο χρυσόβουλλα καὶ προστάγματα τοῦ τε ἁγίου μου αὐθέντου καὶ βασιλέως τοῦ πάππου μου, ἔτι δὲ καὶ τοῦ ἀοιδίμου αὐθέντου καὶ βασιλέως καὶ πατρὸς τῆς βασιλείας μου, ἀλλὰ δὴ καὶ τῆς βασιλείας μου, διοριζόμενα κατὰ μέρος πάντα, ὅσα πρόσεστιν, ὡς δεδήλωται, ταῖς τοιαύταις μοναῖς κτήματα καὶ λοιπὰ εἰσοδήματα, πάντα ταῦτα κατὰ μέρος, ὡς εἴρηται, ἐμπεριειλημμένα καὶ διοριζόμενα ἐν τοῖς ῥηθεῖσι χρυσοβούλλοις, ἐζήτησαν δὲ καὶ παρεκάλεσαν καὶ ἀρτίως τὴν βασιλείαν μου οἱ μοναχοὶ τῶν εἰρημένων μονῶν, ὡς ἂν ἐπιχορηγηθῇ αὐτοῖς καὶ ἕτερον χρυσόβουλλον εἰς ἐπιστηριγμὸν καὶ ἐπικύρωσιν καὶ βεβαίωσιν τῶν προγεγονότων καὶ ἐπιχορηγηθέντων αὐτοῖς, καθὼς εἴρηται, χρυσοβούλλων καὶ προσταγμάτων καὶ λοιπῶν δικαιωμάτων, καὶ κατέχωσιν ἐντεῦθεν καὶ εἰς τὸ ἑξῆς τὰ προσόντα ταῖς εἰρημέναις μοναῖς κτήματά τε καὶ προάστεια καὶ μετόχια καὶ λοιπὰ εἰσοδήματα ἀνενοχλήτως τε καὶ ἀναποσπάστως, ἀδιασείστως καὶ ἀναφαιρέτως[2]), ὡς εὑρίσκονται κατέχοντες

[1]) τοῦ ἀρχ. S. [2]) ἀδιαφαιρέτως S.

ταῦτα [καὶ] νεμόμενοι μέχρι τοῦ νῦν, κατὰ πᾶσαν δηλονότι τὴν ἰσχὺν καὶ περίληψιν τῶν εἰρημένων χρυσοβούλλων καὶ προσταγμάτων καὶ λοιπῶν δικαιωμάτων· κατέχωσι δὲ σὺν τούτοις καὶ τὴν γῆν τὴν διακειμένην περὶ τὸ μετόχιον αὐτῶν τὸ εἰς ὄνομα τιμώμενον τοῦ σωτῆρος Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ καὶ ἐπικεκλημένον τοῦ Γασταλέγκους [1]), ἥντινα δὴ γῆν ἀνεδέξατο καὶ κατεῖχεν ἐκεῖσε ὁ Μετοχίτης κῦρις Θεόδωρος, εὐηργέτησε δὲ ταύτην προσφάτως διὰ προστάγματος ἡ βασιλεία μου εἰς τὸ τοιοῦτον μετόχιον· διατηρῶνται δὲ καὶ τὰ εἰρημένα κτήματα τῶν τοιούτων μονῶν καὶ ἀπὸ πάσης μὲν ἄλλης ἐπηρείας καὶ δημοσιακῆς διενοχλήσεως ἀνώτερα καὶ ἀκαταζήτητα, κἂν ὅπου ἄρα καὶ εὑρίσκωνται, ἀλλὰ δὴ καὶ ἐξ αὐτῆς τῆς ἀπαιτήσεως τῶν δημοσιακῶν κεφαλαίων τῆς σιταρκίας, τῆς ὁρικῆς, τῆς καστροκτισίας καὶ τοῦ ἐννομίου, ὡς διαλαμβάνεται καὶ περὶ τούτου ἐν τοῖς προγεγονόσιν αὐτοῖς, καθὼς εἴρηται, χρυσοβούλλοις, καὶ καθὼς διετηρήθησαν ταῦτα μέχρι τοῦ νῦν· τὴν τοιαύτην ζήτησιν καὶ παράκλησιν τῶν εἰρημένων μοναχῶν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει [2]) ταῖς κατ' αὐτοὺς τοιαύταις σεβασμίαις μοναῖς, δι' οὗ καὶ προστάσσει καὶ διορίζεται εὑρίσκεσθαι μὲν καὶ εἰς τὸ ἑξῆς τὰς τοιαύτας μονὰς ἡνωμένας καὶ ὑπὸ τὸν αὐτὸν καὶ ἕνα καθηγούμενον, καθὼς ἔταξε καὶ διετυπώσατο ὁ δηλωθεὶς ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος, καὶ μὴ εὑρίσκειν τὸν μέλλοντα προΐστασθαι εἰς αὐτὰς ἀπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἱερωτάτου ἀρχιερέως εἰς τὴν μητρόπολιν τῶν Σερρῶν διενόχλησίν τινα καὶ διασεισμόν, πλὴν μόνου τοῦ συνήθους μνημοσύνου αὐτοῦ καὶ τοῦ τεταγμένου κανονικοῦ, καθὼς καὶ περὶ τούτου διαλαμβάνεται ἐν τοῖς ῥηθεῖσι χρυσοβούλλοις, κατέχειν δὲ καὶ εἰς τὸ ἑξῆς τὰς εἰρημένας μονὰς εἰς ἀναφαίρετον δεσποτείαν καὶ κυριότητα ἀναποσπάστως τε καὶ ἀδιασείστως πάντα τὰ ἐντὸς καὶ τὰ ἐκτὸς τῆς θεοσώστου πόλεως τῶν Σερρῶν προσόντα κτήματα, μετόχιά τε καὶ προάστεια καὶ λοιπὰ εἰσοδήματα, ἃ καὶ κατὰ μέρος, ὡς δεδήλωται, διαλαμβάνονται ἐν τοῖς ῥηθεῖσι χρυσοβούλλοις· κατέχειν ὁμοίως τοὺς εἰρημένους μοναχοὺς ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ τὴν δοθεῖσαν αὐτοῖς προσφάτως γῆν διὰ προστάγματος τῆς βασιλείας μου εἰς τὸ δηλωθὲν μετόχιον αὐτῶν τὸ τοῦ Γαστελέγκους λεγόμενον, ἥντινα δὴ γῆν ἐκράτει πρότερον, καθὼς εἴρηται, ὁ δηλωθεὶς Μετοχίτης. ὅθεν καὶ τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξουσι καὶ νεμηθήσονται αἱ δηλωθεῖσαι μοναὶ πάντα ταῦτα ἐκτὸς πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως καὶ ἑτέρας ἁπάσης διενοχλήσεως, ἐπειδὴ οὔτε τὸ τῆς σιταρκίας κεφάλαιον ἀπαιτηθήσεται ἀπὸ

---

[1]) Γασταλάγκου S. [2]) ἐπιβραβεύεται S.

τῶν κτημάτων αὐτῆς, οὔτε τὸ τῆς ὀρικῆς καὶ τῆς καστροκτισίας καὶ τοῦ ἐννομίου, ἀλλὰ συντηρηθήσονται καὶ ἀπὸ τούτων, κἂν ὅπου καὶ εὑρίσκωνται τὰ εἰρημένα κτήματα αὐτῶν, ἀνενόχλητα παντελῶς καὶ ἀναπαίτητα, συντηρηθήσονται δὲ ὡσαύτως αἱ τοιαῦται μοναὶ ἀνενόχλητοι καὶ ἀπὸ τοῦ κατὰ καιροὺς εὑρισκομένου ἱερωτάτου ἀρχιερέως εἰς τὴν μητρόπολιν τῶν Σερρῶν, πλὴν μόνου τοῦ συνήθους μνημοσύνου αὐτοῦ καὶ τοῦ τεταγμένου κανονικοῦ, καὶ οὐδὲ ἕξει ἄδειαν ὁ τοιοῦτος ἀρχιερεὺς ἀποκαθιστᾶν ἡγουμένους εἰς τὰς τοιαύτας μονὰς ἢ πάλιν ἐξάγειν αὐτούς, ἀλλὰ ὁ μέλλων εὑρίσκεσθαι εἰς τὴν ἡγουμενείαν αὐτῶν ἐκλέγηται παρὰ τῶν μοναχῶν καὶ ἀποστέλληται εἰς τὸν κατὰ καιροὺς παναγιώτατον πατριάρχην καὶ σφραγίζηται παρ' αὐτοῦ καὶ τάττηται εἰς τὴν ἡγουμενείαν αὐτῆς· βούλεται γὰρ ἡ βασιλεία μου καὶ θεσπίζει, πατριαρχικὴν εἶναι τὴν τοιαύτην σεβασμίαν μονὴν τοῦ τιμίου προφήτου Προδρόμου. ἔτι δὲ καὶ τὴν ἐντὸς τοῦ κάστρου ἡνωμένην μετ' αὐτῆς ἑτέραν μονήν, ὡς δεδήλωται, τοῦ αὐτοῦ τιμίου προφήτου Προδρόμου, τούτου γὰρ χάριν ἐγένετο αὐταῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα ἰανουάριον τῆς νῦν τρεχούσης δωδεκάτης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοσιοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Εἶχε δὲ καὶ ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Sathas I. p. 225.

IX. [6837 – 1329], mense aprili, ind. XII.

Imperator Andronicus III. Palaeologus monachis monasterii in monte Menoeceo confirmat jus elegendi abbatem probatque electionem factam.

† Ἐπειδὴ ἐτάχθη διὰ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως τοῦ πάππου τῆς βασιλείας μου, τοῦ ἀοιδίμου καὶ μακαρίτου, ἔτι δὲ καὶ τῆς βασιλείας μου, ἀλλὰ δὴ καὶ διὰ τιμίας πατριαρχικῆς γραφῆς, ἵνα ἐκλέγωνται οἱ ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῇ διακειμένῃ ἐπὶ τοῦ ὄρους τοῦ Μενοικέως καὶ ἐφορευομένῃ παρὰ τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, μεγάλου δομεστίκου κυροῦ Ἰωάννου Παλαιολόγου τοῦ Καντακουζηνοῦ, ἐνασκούμενοι μοναχοὶ εἰς καθηγούμενον αὐτῶν, ὃς ἂν φανῇ αὐτοῖς ἁρμόδιος, καὶ ἐξελέξαντο καὶ ἔταξαν τὸν τιμιώτατον ἐν ἱερομονάχοις κῦρ τὸν δεῖνα εἰς καθηγούμενον αὐτῶν,

[ἵνα] εὑρίσκηται[1]) ὁ τοιοῦτος εἰς αὐτοὺς καὶ φροντίζῃ καὶ ἐπιμελῆται τῆς ἐπὶ τὸ κρεῖττον συστάσεως καὶ βελτιώσεως τῆς τοιαύτης μονῆς, καὶ ἐζήτησεν, ἵνα πορίσηται οὗτος καὶ πρόσταγμα τῆς βασιλείας μου, ἡ βασιλεία μου ἀπολύει τὸ παρὸν πρόσταγμα, δι' οὗ καὶ διορίζεται, ὡς ἂν εὑρίσκηται ὁ διαληφθεὶς οὗτος ὡς καθηγούμενος τῶν ἐν τῇ τοιαύτῃ μονῇ εὑρισκομένων μοναχῶν, καὶ φροντίζῃ καὶ ἐπιμελῆται[2]) τῆς ψυχικῆς αὐτῶν σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον συστάσεως καὶ βελτιώσεως τῆς τοιαύτης μονῆς, ὀφείλοντες καὶ οἱ ἐν αὐτῇ μοναχοὶ ὑπακούειν καὶ πείθεσθαι τούτῳ ἐφ' οἷς ἂν ἔχῃ λέγειν εἰς αὐτοὺς ἀφορῶσιν εἰς σύστασιν καὶ ἀσφάλειαν αὐτῶν καὶ εἰς βελτίωσιν τῶν κτημάτων αὐτῶν, ἔτι τε ἔχειν εἰς αὐτὸν αἰδῶ καὶ τιμήν, ὅσον εἰς καθηγούμενον αὐτῶν· τούτου γὰρ χάριν ἐγένετο αὐτῷ καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· μηνὶ ἀπριλλίῳ ἰνδ. β' †.

Sathas I. p. 224. Legendum videtur ἰνδ. ιβ', *ut dipl. sit anni 6837—1329, ind. XII. In cod. legitur ante auream bullam imp. Andronici, datam mense ianuario ind. XII., quam edimus sub Nr. VIII. Indictionem II. habet annus regni Andronici III. Palaeologi 1334.*

X. 6840—1332, mense martio, ind. XV.

Imperator Andronicus III. Palaeologus iterum confirmat possessiones et exemptiones monasterii declaratque monasteria S. Ioannis in Monte Menoeceo et Prodromi in urbe Serris esse unita, patriarchalia et sub protectione Ioannis Palaeologi Cantacuzeni.

† Ἔφθασε μὲν ὁ ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος, μοναστήρια περί τε τὸ τοῦ Μενοικέως ὄρος καὶ ἐντὸς τῆς πόλεως Σερρῶν ἐκ βάθρων ἀνεγείρας τε καὶ συστησάμενος, ἐπ' ὀνόματι ἀμφοτέρα τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ τετιμημένα, ὥστε διατελεῖν μέντοι ἡνωμένα καὶ ὑφ' ἑνὶ τυγχάνειν ὄντα τῷ ἡγουμενεύοντι καὶ πνευματικῶς διοικοῦντι τε καὶ διιθύνοντι αὐτά· εἶναι δὲ τὸ ἐν τῇ πόλει Σερρῶν ὑπὸ τῷ [ἐν τῷ] τοῦ Μενοικέως ὄρει καὶ μετοχίου λόγον ἔχειν εἰς αὐτό· ἔφθασε δὲ τούτοις ἐπιχορηγηθέντα καὶ χρυσόβουλλα καὶ προστάγματα τοῦ τε ἀοιδίμου καὶ μακαρίτου ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, ὁμοίως καὶ τῆς βασιλείας μου, ἑδραῖα μὲν καὶ πάντη ἀμετάτρεπτα τὰ προσόντα τούτοις, ἃ διά τε προσταγμάτων καὶ ἐκ προσ-

---

[1]) καὶ εὑρίσκεται S. [2]) εὑρίσκεται — ἐπιμελεῖται S.

ενέξεων καὶ ἀγορῶν καὶ ἀλλοτρόπως τούτοις παρῆλθε καὶ εἰς τὸ ἑξῆς προσεῖναι προστάττοντά τε καὶ διοριζόμενα, ἃ δὴ καὶ κατ' ὄνομα ἐν τούτοις ἐστὶ διειλημμένα, ἀνώτερα δὲ ταῦτα καὶ τῆς τῶν δημοσιακῶν κεφαλαίων διατηρεῖσθαι ἀπαιτήσεως, σιταρκίας, καστροκτισίας καὶ ὀρικῆς, ἔτι δὲ καὶ ἐννομίου καὶ πάσης ἄλλης δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, καὶ μηδόλως ἀπαιτεῖσθαι ταῦτα μήτ' ἐκ τῶν παροίκων, μήτ' ἐκ τῶν ἄλλων ἐν κτήμασιν αὐτῶν προσκαθημένων, κἂν ἔνθα ἄρα καὶ εὑρίσκωνται, εἰς ἣν δὴ κατάστασιν καὶ μέχρι τοῦ νῦν διατηροῦνται ἀνενόχλητα, ὡσαύτως τε προστάττοντα, μηδὲ τὸν κατὰ καιροὺς ἀρχιερατικῶς τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν προεστηκότα δι' ὄχλου τοῖς τοιούτοις γίνεσθαι μοναστηρίοις καὶ [τοῖς] μοναχοῖς τοῖς ἐν αὐτοῖς [ἐνασκουμένοις], ἀλλὰ μόνοις τῷ τε συνήθει μνημοσύνῳ καὶ τῷ νενομισμένῳ αὐτοῦ κανονικῷ ἀρκούμενον, διατηρεῖν ταῦτα τελείως ἀνενόχλητα, καὶ μήτε καθιστᾶν ἐξεῖναι τούτῳ ἐν τούτοις καθηγούμενον, μήτε ἐξάγειν ἀπὸ τούτων, ἀλλ' εἴ ποτε δέοι καταστῆναι τούτοις τὸν ἐπὶ τὰς σωτηρίους ὁδοὺς αὐτοῖς καθηγούμενον, τὴν τούτου ἐκλογὴν τοὺς ἐν αὐτοῖς ποιεῖν μονάζοντας, καὶ ὃν ἂν ἐκλέγωνται [εἰς τὸν κατὰ] [1]) καιροὺς τῶν τῆς ἁγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας οἰάκων πατριαρχικῶς ἐπειλημμένον πέμπειν τοῦτον, καὶ οὕτω τὴν τῆς ἡγουμενείας καὶ πνευματικῆς ἐπιστασίας σφραγῖδα παρὰ τούτου δέχεσθαι, καὶ πατριαρχικὰ τὰ τοιαῦτα μοναστήρια διατελεῖν ὑπάρχοντα. ἐπεὶ δὲ τούτων οὕτω καταστάντων, τῇ περὶ ταῦτα σπουδῇ τοῦ ῥηθέντος ἱερωτάτου μητροπολίτου Ζιχνῶν καὶ ὑπερτίμου, καὶ ἕτερόν τι οὗτος ἐπ' ὠφελείᾳ καὶ συστάσει τούτων εὖ ποιῶν ἐπινοεῖ καὶ ὑπὸ τὴν ἐφορείαν καὶ ἐπίσκεψιν τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ μεγάλου δομεστίκου κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου τοῦ Καντακουζηνοῦ, τὰς τοιαύτας σεβασμίας μονὰς τίθησι διὰ γράμματος αὐτοῦ, καὶ τῆς τούτου προμηθείας καὶ κηδεμονίας ταύτας δι' αὐτοῦ ἐξάπτει καὶ ὡς κτήτορα αὐτὸν ἐκείνων εἶναι διατάττεται· ὁ δὲ προσιέμενος τὰ περὶ τούτου καὶ τὴν τούτων ἀναδεδεγμένος [2]) ἐπιμέλειαν, αἰτεῖ τὴν βασιλείαν μου καὶ ἱκετεύει ἐπὶ τούτοις τε τοῖς ἄνω εἰρημένοις, καὶ ἃ παραυτίκα δὴ ῥηθήσεται, καὶ νῦν χρυσόβουλλον αὐτῆς ἐπιχορηγηθῆναι ταύταις· ἡ βασιλεία μου τὴν τούτου δέησιν προσίεται καὶ τὸν παρόντα τοῦτον χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει ταῖς τοιαύταις σεβασμίαις μοναῖς [3]), δι' οὗ καὶ προστάττει καὶ θεσπίζει καὶ διορίζεται εἶναι μὲν καὶ εἰς τὸ ἑξῆς ταύτας ἡνωμένας καὶ τῷ αὐτῷ καὶ ἑνὶ καθηγουμένῳ ὑποκεῖσθαι, τὴν μέντοι ἐν τῇ πόλει Σερρῶν εἶναι ὡς μετόχιον τῆς ἐν τῷ Μενοικέως ὄρει, καὶ εἴ τι δ' ἄλλο, δι' οὗ ἐπεποιήκει τυπικοῦ ὁ δηλωθεὶς ἱερώτατος μητροπολίτης

---

[1]) Supplevit S [2]) ἀναδεδεγμένην S. [3]) τὰς τοιαύτας σεβασμίας μονάς S.

ἔταξέ τε καὶ διετυπώσατο, ἀμετάτρεπτον διατηρεῖσθαι καὶ πάντη ἀμετάβλητον, καὶ μὴ ὑφίστασθαι τοὺς ἐν ταύταις μοναχοὺς παρὰ τοῦ κατὰ καιροὺς ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Σερρῶν ἀρχιερατεύοντος διενόχλησίν τινα καὶ διασεισμόν, μόνοις ἀρκουμένου τῷ τε μνημοσύνῳ καὶ τῷ συνήθει αὐτοῦ κανονικῷ, καὶ μηδὲ ἐπ' ἀδείας ἔχοντος καθιστᾷν ἡγουμένους ἐν αὐταῖς ἢ ἐξάγειν τούτους ἐξ αὐτῶν, ὡς τῶν ἐν ταύταις ὀφειλόντων μοναχῶν τὸν πνευματικῶς προστησόμενον αὐτῶν ἐκλέγεσθαι καὶ ὡς τῷ κατὰ καιροὺς τῆς ἁγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας πατριαρχικῶς προεστηκότι τοῦτον πέμπειν τὴν τῆς ἡγουμενίας ἀποκατάστασιν ληψόμενον, ὡς πατριαρχικῶν οὐσῶν τῶν τοιούτων σεβασμίων μονῶν, καθάπερ καὶ διὰ τῶν ῥηθέντων χρυσοβούλλων ὥρισταί τε καὶ τεθέσπισται, κατέχειν δὲ ὡσαύτως τὰς τοιαύτας σεβασμίας μονὰς καὶ εἰς τὸ ἑξῆς ἀναφαιρέτως, ἀναποσπάστως καὶ κατὰ πᾶσαν κυριότητα καὶ δεσποτείαν πάντα τὰ αὐταῖς προσόντα μετόχιά τε καὶ λοιπὰ διάφορα κτήματα, ἃ καὶ κατὰ μέρος ἐν τοῖς ῥηθεῖσι χρυσοβούλλοις καὶ προστάγμασι διείληπται, κατὰ πᾶσαν τὴν τούτων ἰσχὺν καὶ περίληψιν καὶ ὡς εὑρίσκονται ταῦτα μέχρι τοῦ νῦν κατέχοντες καὶ νεμόμενοι· ὃν δὴ τρόπον καὶ περὶ τὸν Ζελίχοβον γῆν αὐτῶν κατέχειν ὀφείλουσιν, ἣν εἶχον μὲν πρότερον ἐπὶ τέλει ὑπερπύρων ἑπτά, μετὰ δὲ ταῦτα ὁρισμῷ τῆς ἁγίας μου κυρίας καὶ δεσποίνης, τῆς μάνας τῆς βασιλείας μου, ἀτελῶς κατέχωσι καὶ νέμωνται καὶ μὴ ἔχωσι[1]) τοῦ τοιούτου τέλους παρὰ μηδενὸς καθέλκεσθαι, καὶ συνιστᾷν καὶ βελτιοῦν ταῦτα πάντα, ὡς ἔχουσι βουλήσεως καὶ δυνάμεως, διατηρεῖθαι δὲ καὶ τὰ τοιαῦτα κτήματα αὐτῶν καὶ τοὺς ἐν αὐτοῖς παροίκους καὶ λοιποὺς προσκαθημένους τούτων, κἂν ἔνθα ἄρα καὶ εὑρίσκωνται, ἐκτὸς τῆς τῶν δημοσιακῶν κεφαλαίων ἀπαιτήσεως, καστροκτισίας, ὀρικῆς, σιταρκίας καὶ ἐννομίου καὶ πάσης ἄλλης δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, κατὰ τὴν τῶν δηλωθέντων χρυσοβούλλων καὶ προσταγμάτων περίληψιν, καὶ ὡς διατηρῶνται ἀπὸ τούτων μέχρι τοῦ νῦν. τὸν αὐτὸν τρόπον διορίζεται ἡ βασιλεία μου διατηρεῖσθαι τὰ τοιαῦτα κτήματα αὐτῶν καὶ τοὺς ἐν αὐτοῖς παροίκους καὶ προσκαθημένους τούτων καὶ ἀπὸ τῆς ἀπαιτήσεως τοῦ διαβατοῦ τῶν ζώων αὐτῶν, καὶ ὅπου ἄρα καὶ διαβαίνωσι, καὶ ἀπὸ τῆς καταθέσεως τοῦ μητάτου, καὶ μὴ ἔχειν ἐπ' ἀδείας ποιεῖν ἐν τούτοις ταύτην μήτε τὸν καθολικῶς, μήτε τὸν μερικῶς ἐν τῷ τοιούτῳ τόπῳ κεφαλαττικεύοντα χάριν ἑαυτῶν, εἴτε καὶ στρατιωτῶν, μηδὲ εἰς δόσιν καθέλκειν τούτους ξυλαχύρου, μηδὲ ἑτέραν δή τινα ἐπάγειν τούτοις κατατριβήν τε καὶ ἐπήρειαν, ἀλλ' ἐπὶ τούτοις τοῖς ἄνω εἰρημένοις διαμένειν τὰς τοιαύτας σεβασμίας μονὰς ἀνενοχλήτους παντάπασι καὶ ἐκτὸς διασεισμοῦ οὑτινοσοῦν, ὑπὸ τὴν ἐφορείαν

---

1) εἰδῶσι S.

τελούσας καὶ ἐπίσκεψιν τοῦ τοιούτου περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ μεγάλου δομεστίκου, καὶ ὡς κτήτορα αὐτὸν ἐκείνων καὶ ὥσπερ ἂν εἰ οὗτος ἦν ὁ ταύτας ἐκ βάθρων ἀνεγείρας καὶ συστησάμενος, οὕτω τοὺς ἐν ταύταις μοναχοὺς ἔχειν ὑπείκοντας αὐτῷ καὶ τὰ ἄλλα διαπραττομένους καὶ ἀποπληροῦντας τούτῳ, ἃ ὁ δηλωθεὶς ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος διὰ τοῦ ῥηθέντος γράμματος αὐτοῦ ἔταξέ τε καὶ κατέστησεν. ὅθεν τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου διατηρηθήσονται ταῦτα πάντα ἀμετάτρεπτα πάντῃ καὶ ἀμετακίνητα, καὶ οὐδεὶς οὐ μή ποτε εἰς ἀνατροπήν τε καὶ ἀθέτησιν τινὸς ἐκ τούτων ὁπωσοῦν χωρῆσαι δυνηθῇ, ἀλλὰ κἂν τῶν κατὰ καιροὺς ἐν τῷ τοιούτῳ τόπῳ κεφαλαττικευόντων, κἂν τῶν τὰ δημόσια διενεργούντων τις, κἂν ἕτερος τῶν ἁπάντων ἢ ὁ καθ' οἱονδήτινα τὸν τρόπον ὅ, τι οὖν ἀθετῆσαι πειρασόμενος, ὡς ἀδυνάτοις ἐπιχειρῶν ἐξελεγχθήσεται, καὶ πάντῃ πάντως ἀποτραπήσεται καὶ ἀποσοβηθήσεται, ἐπεὶ καὶ ὁ παρὼν οὗτος χρυσόβουλλος λόγος τῆς βασιλείας μου εἰς τὴν ἐπὶ τούτοις πᾶσιν ἀνενοχλησίαν, δεφένδευσίν τε καὶ ἀσφάλειαν ἐπεχορηγήθη ταῖς τοιαύταις σεβασμίαις μοναῖς καὶ τῷ τὴν αὐτῶν ἐφορείαν ἀναδεδεγμένῳ καὶ ἐπίσκεψιν περιποθήτῳ γαμβρῷ τῆς βασιλείας μου, μεγάλῳ δομεστίκῳ κυρῷ Ἰωάννῃ Παλαιολόγῳ τῷ Καντακουζηνῷ, συντεθεὶς κατὰ μῆνα μάρτιον τῆς νῦν τρεχούσης ταύτης πέντε καὶ δεκάτης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τεσσαρακοστοῦ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Εἶχε καὶ ὑπογραφὴν τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

Sathas I. p. 228.

XI. [6841—1333], mense martio, ind. I.

Imperator Andronicus III. Palaeologus donat monacho Iacobo monasteriolum Ostrinae, ecclesiam Sanctae Anastasiae, terram in Tholo et decem hyperpyra solvenda ab Iudaeis habitantibus in castro Zichna.

† Ἐπεὶ ὁ μοναχὸς Ἰάκωβος ἔδειξε κατὰ τὸν παρόντα καιρὸν πίστιν καὶ ὑπόληψιν καθαρὰν εἰς τὴν βασιλείαν μου διὰ τῶν ἔργων ὧν ἐποίησε, καὶ ἐκρατήθη ὁλοσχερῶς καὶ στερρῶς καὶ βεβαίως εἰς αὐτήν, ἐξήτησε δὲ καὶ παρεκάλεσε τὴν βασιλείαν μου, ἵνα δοθῇ διὰ χρυσοβούλλου πρὸς αὐτὸν τὸ ἐκτὸς τοῦ κάστρου μονύδριον τὸ εἰς ὄνομα τιμώμενον τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος,

καὶ ἐπικεκλημένον τῆς Ὀστρινῆς, σὺν τῷ ἐκεῖ θείῳ ναῷ τῆς ἁγίας Ἀναστασίας, καὶ κατέχῃ ταῦτα μετὰ τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων πάντων αὐτῶν ἐφ' ὅρῳ παντὶ τῆς αὐτοῦ βιοτῆς, καὶ μετὰ τὸν θάνατον αὐτοῦ κρατῆται καὶ αὐτὸ τὸ μονύδριον καὶ αὐτὸς ὁ θεῖος ναὸς παρὰ τοῦ προσώπου, εἰς ὃ μέλλει ἐπαφῆσαι οὗτος ἐκ διαθήκης, δοθείη δὲ καὶ πρὸς αὐτὸν ἀπὸ τῆς εἰς τὸ χωρίον τὸν Θολὸν γῆς τοῦ Παλαιολόγου κυροῦ Ἀλεξίου γῆ μοδίων διακοσίων, τῆς εὑρισκομένης πλησίον τῶν δικαίων τῆς γῆς τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τῇ βασιλείᾳ μου, κυροῦ Κωνσταντίνου τοῦ Ἀχιραΐτου, καὶ λαμβάνῃ κατ' ἔτος καὶ τὰ ἀπαιτούμενα χάριν τέλους ἐτησίως ἀπὸ τῶν εἰς τὸ κάστρον τῆς Ζίχνας Ἰουδαίων ὑπέρπυρα εἴκοσι χάριν προσοδίου αὐτοῦ, ἡ βασιλεία μου τὴν τοιαύτην ζήτησιν καὶ παράκλησιν αὐτοῦ, ὡς καθαρὰν εὔνοιαν καὶ πίστιν καὶ ὑπόληψιν τρέφοντος εἰς αὐτὴν καὶ δουλείαν ὑπὲρ τῆς βασιλείας μου δουλεύσαντος, ἑτοίμως καὶ εὐμενῶς προσδεξαμένη, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι' οὗ προστάσσει καὶ διορίζεται, ἐπιλαβέσθαι μὲν αὐτὸν τοῦ τε εἰρημένου μονυδρίου τῆς ὑπεραγίας θεοτόκου τῆς Ὀστρινῆς καὶ τοῦ εἰρημένου θείου ναοῦ τῆς ἁγίας Ἀναστασίας καὶ κατέχειν αὐτὰ ἐφ' ὅρῳ παντὶ τῆς αὐτοῦ ζωῆς ἀνενοχλήτως καὶ ἀδιασείστως μετὰ τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων πάντων αὐτῶν καὶ παραπέμπειν μετὰ τὸν θάνατον αὐτοῦ πρὸς ὅπερ ἂν βουληθῇ καὶ θελήσῃ[1]) πρόσωπον, ὡς ἂν κατέχωνται ταῦτα καὶ παρ' αὐτοῦ κατὰ τὸν ὅμοιον τρόπον, δοθῆναι δὲ αὐτῷ καὶ τὴν εἰρημένην γῆν τῶν διακοσίων μοδίων ἀπὸ τῆς εἰς τὸ χωρίον τὸν Θολὸν γῆς τοῦ Παλαιολόγου κυροῦ Ἀλεξίου, καὶ κατέχειν τοῦτον αὐτὴν ὡς γονικήν, λαμβάνειν δὲ κατ' ἔτος καὶ τὰ ἀπαιτούμενα χάριν τέλους ἐτησίως ἀπὸ τῶν εἰρημένων Ἰουδαίων εἴκοσιν ὑπέρπυρα χάριν προσοδίου αὐτοῦ. ὅθεν καὶ τῇ ἐμφανείᾳ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου σιγιλλίου τῆς βασιλείας μου καθέξει καὶ νεμηθήσεται ταῦτα ὁ δηλωθεὶς μοναχὸς Ἰάκωβος, ὡς διορίζεται ἡ βασιλεία μου, μὴ παρά τινος τῶν ἁπάντων εὑρίσκων[2]) ἐπὶ τούτοις καταδυναστείαν ἢ διενόχλησίν τινα, ἀλλὰ διατηρούμενος παντάπασιν ἀνενόχλητος καὶ ἀδιάσειστος· τούτου γὰρ χάριν γέγονε τῷ δηλωθέντι μοναχῷ τῷ Ἰακώβῳ καὶ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον τῆς βασιλείας μου †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· μηνὶ μαρτίῳ ἰνδ. α' †.

Sathas I. p. 232. Annum computavimus ex ordine, quo dipl. in codice insertum legitur.

---

[1]) θελήσει S. [2]) διορίζεται ἰδοὺ ἡ βασ. εὑρίσκειν S.

XII. [6847—1338], mense septembri, ind. VI.

Imperator Andronicus III. Palaeologus Alexio Diplobatatzae donat terram dictam Peloregion.

† Ἐπεὶ ὁ πανσέβαστος σεβαστὸς οἰκεῖος τῇ βασιλείᾳ μου, κριτὴς τοῦ θεοφρουρήτου φοσσάτου, κῦρις Ἀλέξιος ὁ Διπλοβατάτζης, παρεκλήτευσε, ἵνα διορίσηται ἡ βασιλεία μου καὶ γονικευθῇ αὐτῷ γῆ μοδίων χιλίων ἀπὸ τῆς περὶ τὰς Σέρρας οἰκονομίας αὐτοῦ, Πηλορήγιον λεγομένη εἰς τοποθεσίαν τὴν Ζαβαλτίαν, διὰ χρυσοβούλλου τῆς βασιλείας μου καὶ κατέχῃ[1]) ταύτην καὶ συνιστᾷ καὶ βελτιοῖ αὐτήν, μετὰ δὲ τὴν αὐτοῦ ἀποβίωσιν κατέχηται αὕτη καὶ παρὰ τῶν ἐξ ὀσφύος παίδων καὶ κληρονόμων αὐτοῦ κατὰ τὸν ὅμοιον τρόπον, ὡς γονικὴ καὶ ἀνωτέρα πάσης ἐνοχλήσεως, τὴν τοιαύτην παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον, δι' οὗ προστάσσει καὶ διορίζεται, κατέχειν τὸν τοιοῦτον κριτὴν τοῦ φοσσάτου τὴν εἰρημένην γῆν τῶν χιλίων μοδίων ὡς γονικὴν αὐτοῦ ἀναφαιρέτως πάντη καὶ ἀνενοχλήτως καὶ συνιστᾶν καὶ βελτιοῦν αὐτήν, καθὼς ἂν ἰσχύῃ καὶ δύνηται· ἔχειν δὲ καὶ ἐπ' ἀδείας παραπέμπειν αὐτὴν καὶ τὰ ἐν αὐτῇ βελτιωθησόμενα καὶ πρὸς τοὺς ἐξ ὀσφύος παῖδας καὶ κληρονόμους αὐτοῦ, ὡς ἂν κατέχηται καὶ παρ' αὐτῶν κατὰ τὸν ὅμοιον τρόπον ἀναφαιρέτως, ἀνενοχλήτως καὶ ἀδιασείστως· ὅθεν καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου σιγιλλίου τῆς βασιλείας μου οὐχ εὑρήσει οὔτε ὁ δηλωθεὶς κριτὴς τοῦ φοσσάτου, οὔτε μετ' αὐτὸν οἱ παῖδες αὐτοῦ, καθὼς εἴρηται, διενόχλησιν ὅλως καὶ ἐπίθεσιν ἢ διασεισμὸν τὸν τυχόντα, ἢ παρὰ ἀπογραφέως, ἢ παρ' ἑτέρου τινὸς τῶν ἁπάντων ἐπὶ τῇ κατοχῇ τῆς εἰρημένης γῆς καὶ τῶν ἐν αὐτῇ βελτιωθησομένων, ἀλλὰ καθέξουσι ταύτην ἀνωτέραν πάσης ἐπιθέσεως καὶ ὀχλήσεως· ἐπὶ τοῦτο γὰρ ἐγένετο καὶ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον τῆς βασιλείας μου, [ὅπερ][2]) ὀφείλει προσεῖναι τῷ δηλωθέντι πανσεβάστῳ σεβαστῷ οἰκείῳ τῆς βασιλείας μου, κριτῇ τοῦ φοσσάτου, μετ' αὐτὸν δὲ καὶ τοῖς κληρονόμοις καὶ διαδόχοις αὐτοῦ εἰς μόνιμον καὶ βεβαίαν ἀσφάλειαν †.

† Εἶχε δὲ καὶ ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· μηνὶ σεπτεμβρίῳ, ἰνδικτιῶνος ἕκτης †.

Sathas I. 240. Annus secundum ordinem dipl. in codice videtur esse 1338. Indictio VI. antecedens est anni 1323.

---

[1]) κατέχει S. [2]) Supplevit S.

XIII. [6851—1342], mense octobri, ind. X.

Rex Stephanus Dušan jubet dirimi controversiam ortam inter monasterium et Georgium Trulenum de loco Lebadiis.

Πρόσταγμα εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Πάνσεπτε σεπτὲ οἰκεῖε τῇ βασιλείᾳ μου, δομέστικε τῶν δυσικῶν θεμάτων, κῦρ Στέφανε Στρατηγέ, καὶ σύ, πάνσεπτε σεπτὲ οἰκεῖε τῇ βασιλείᾳ μου, κῦρ Νικόλαε Θεολογίτα. οἱ μοναχοὶ τῆς κατὰ τὸ ὄρος τῶν Σερρῶν τὸ τοῦ Μενοικέως καλούμενον σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου ἀνέφερον, ὅτι κέκτηνται διὰ χρυσοβούλλου καὶ ἑτέρων δικαιωμάτων γῆν εἰς τὴν τοποθεσίαν τὴν λεγομένην τῶν Λεβαδίων, ἥτις καταγράφεται εἰς τὰς προσούσας τῇ τοιαύτῃ μονῇ ἀπογραφικὰς καταστάσεις, πρὸ καιροῦ δὲ δυναστευόμενοι ἐπὶ ταύτῃ παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, κυρίου Γεωργίου τοῦ Τρουληνοῦ, ἀντεκρίθησαν αὐτῷ ὁρισμῷ τῆς ἀοιδίμου καὶ μακαρίτιδος περιποθήτου μου αὐγούστης, τῆς κυρίας Ἄννης τῆς δεσποίνης, καὶ ἐδικαιώθησαν κατέχειν τὴν τοιαύτην γῆν, ὁ δὲ κατεδικάσθη, εἶτα ἐποιήσατο καὶ ἔγγραφον ὑπόσχεσιν, ἵνα στέργῃ, ὅσον διεγνώσθη ἀπὸ τῆς τοιαύτης κρίσεως καὶ ἀπέχῃ τέλεον τῆς τοιαύτης γῆς, κἀντεῦθεν ἔμενον ἀνενόχλητοι ἐπὶ τῇ κατοχῇ ταύτης. ἀρτίως δὲ δολιευσάμενος καὶ ἀπατήσας ἡμᾶς ὁ ῥηθεὶς Τρουληνὸς ἐζήτησε καὶ καταγράψασθαι ταύτην δὴ τὴν γῆν εἰς τὸ πρακτικόν, ὅπερ ἐποιήσατο πρὸς αὐτὸν ἐπὶ τῇ οἰκονομίᾳ αὐτοῦ, ὃς καὶ δραξάμενος ἀφορμῆς ἀπὸ τούτου ἥπλωσε καὶ κατεκράτησε ταύτην δὴ τὴν γῆν μετὰ τῶν ἐν αὐτῇ μυλοτοπίων αὐτῶν, τὸ δὲ μέρος τούτων ἐπέπεμψεν ἐκεῖθεν, οὗ δὴ χάριν καὶ παρεκλήτευσαν τὴν βασιλείαν μου [οἱ ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ ἐνασκούμενοι μοναχοί][1]). εἴπερ γοῦν ἔνι τοιοῦτον, ἐπεὶ διαλαμβάνεται ἡ ῥηθεῖσα γῆ εἰς τὸ προσὸν αὐτοῖς χρυσόβουλλον, ἔτι δὲ καὶ εἰς τὰς ἃς κέκτηνται ἀπογραφικὰς ἀποκαταστάσεις, τί δίκαιον εἶχεν ὁ ῥηθεὶς Τρουληνός, ἵνα ζητήσῃ καὶ δίζηται διὰ πρακτικοῦ, καὶ ταῦτα καταδικασθείς, ὡς εἴρηται, ἀπὸ κρίσεως καὶ ποιησάμενος καὶ ἔγγραφον τὴν ὑπόσχεσιν πρὸς τοὺς εἰρημένους μοναχοὺς εἰς τὴν περὶ τούτου ἀνενοχλησίαν αὐτῶν; καὶ παντελῶς ἦν, ὅπερ ἐποίησεν, ἄδικον καὶ παράλογον. ἡ βασιλεία μου διορίζεται ὑμῖν, ὡς ἂν ποιήσητε διόρθωσιν εἰς αὐτὸ καὶ οἰκονομήσητε κατέχειν τοὺς μοναχοὺς τῆς τοιαύτης μονῆς ἀνενοχλήτως, ὡς καὶ τὸ πρῶτον, τὴν εἰρημένην γῆν κατὰ τὴν περίληψιν τοῦ πρόσοντος αὐτοῖς, ὡς εἴρηται, χρυσοβούλλου καὶ τῶν ὧν κέκτηνται ἀπογραφικῶν ἀποκαταστάσεων

---

[1]) Supplevimus.

καὶ μὴ εὑρίσκειν παρὰ τοῦ ῥηθέντος οἰκείου τῇ βασιλείᾳ μου τοῦ Τρουλήνοῦ ἐμποδισμόν τινα καὶ καταδυναστείαν ἕνεκα τῆς κατοχῆς [τῆς] τοιαύτης γῆς, καὶ ποιήσατε κατὰ τὸν ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντιστρέψατε πρὸς αὐτοὺς δι' ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλης καὶ αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας, μηνὶ αὐγούστῳ ἰνδ. ι' †.

Ioannides Nr. 19. Solus annus septimus regni Stephani Dušan, qui est 1342, habet indictionem X.

XIV. [6851—1343], mense martio, ind. XI.

Imperator Andronicus III. Palaeologus Ioanni Panareto confirmat possessionem in territorio vici Uscae Inferioris prope castrum Zichnam.

† Ἐπεὶ ὁ πανσέβαστος σεβαστὸς οἰκεῖος τῇ βασιλείᾳ μου, ἑταιρειάρχης κῦρις Ἰωάννης ὁ Πανάρετος, ἐζήτησε καὶ παρεκάλεσεν, ἵνα πορίσηται χρυσόβουλλον τῆς βασιλείας μου, καὶ κατέχῃ ἀπὸ τῆς περὶ τὸ κάστρον τοῦ Ζίχνα δοθείσης πρὸς αὐτὸν διὰ προστάγματος τῆς βασιλείας μου οἰκονομίας εἰς τὸ χωρίον τὸ λεγόμενον Κάτω Οὔσκαν ποσότητα ὑπερπύρων τριάκοντα ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος, ἡ βασιλεία μου τὴν αὐτοῦ προσδεξαμένη ζήτησιν τοιαύτην καὶ παράκλησιν, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῷ, δι' οὗ προστάσσει καὶ διορίζεται, κατέχειν καὶ νέμεσθαι αὐτὸν ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος τὴν εἰρημένην ποσότητα τῶν τριάκοντα ὑπερπύρων καὶ ἀποφέρειν καὶ ἀποκερδαίνειν πᾶσαν καὶ παντοίαν τὴν ἐξ αὐτῆς πρόσοδον καὶ μὴ εὑρίσκειν ἐπὶ τῇ κατοχῇ καὶ νομῇ αὐτῆς μήτε παρὰ τῶν κεφαλατικευόντων κατὰ καιροὺς καθολικῶς ἢ μερικῶς εἰς τὸν τόπον Σερρῶν τε καὶ Ζίχνα, μήτε μὴν τῶν τὰ δημόσια διενεργούντων ἐν αὐταῖς, μή[τε] τινὸς ἄλλου τῶν ἁπάντων διασεισμὸν ἢ ὄχλησιν καὶ καταδυναστείαν ὅλως τινὰ καὶ ἐπήρειαν· ὅθεν καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου σιγιλλίου τῆς βασιλείας μου καθέξει μὲν ὁ τοιοῦτος πανσέβαστος σεβαστὸς οἰκεῖος αὐτῇ, ἑταιρειάρχης ὁ Πανάρετος, τὴν δηλωθεῖσαν ποσότητα οὕτως, ὡς διορίζεται ἡ βασιλεία μου, ἕξει δὲ ἄδειαν παραπέμψαι ταύτην καὶ πρὸς τοὺς ἐξ ὀσφύος παῖδας καὶ κληρονόμους καὶ διαδόχους αὐτοῦ, ὡς ἂν κατέχωσι καὶ νέμωνται καὶ οὗτοι αὐτὴν κατὰ τὸν ἴσον καὶ ὅμοιον τῷ πατρὶ αὐτῶν τρόπον. τούτου χάριν γέγονε τῷ δηλωθέντι παν-

σεβάστῳ σεβαστῷ οἰκείῳ τῇ βασιλείᾳ μου, ἑταιρειάρχῃ τῷ Παναρέτῳ, καὶ τοῖς παισὶ καὶ κληρονόμοις καὶ διαδόχοις αὐτοῦ καὶ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον τῆς βασιλείας μου †.

† Εἶχε καὶ ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· μηνὶ μαρτίῳ, ἰνδ. ἐνδεκάτης †.

Sathas I. p. 241. Quoad annum vide, quae diximus ad dipl. antecedentia. Indictio XI. est etiam anni 1328.

XV. [6852—1343], mense octobri, ind. XI.

Rex Stephanus Dušan possessiones Margaritae sitas in vicis Usca Inferiori et in Rachoba eximit a tributo.

Πρόσταγμα ε' τοῦ Μαργαρίτου.

† Ἐπεὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου, ὁ Μαργαρίτης, κέκτηται δι' ἀπογραφικῶν ἀποδείξεων τοῦ τε οἰκείου τῆς βασιλείας μου μεγάλου χαρτουλλαρίου, κυροῦ Ἰωάννου τοῦ Βατάτζη, καὶ τοῦ πανσέπτου οἰκείου τῇ βασιλείᾳ μου, ὀρφανοτρόφου, κυροῦ Κωνσταντίνου . . . εἴς τε τὸ χωρίον τὴν Κάτω Οὔσκαν καὶ τὴν Ῥάχοβαν ἀπό τε Τζάκω . . . ὑποστάσεων καὶ δημοσιακῶν γῆν τινα καὶ ἀμπέλια, ὑπὲρ ὧν καὶ ἐτέλει οὗτος [εἰς] τὸ μέρος τοῦ δημοσίου νομίσματα θ' καὶ παρεκάλεσεν, ὡσὰν διωρίσηται ἡ βασιλεία μου καὶ κατέχειν ταῦτα εἰς τὸ ἑξῆς ἀτελῶς καὶ ἀβαρῶς, τὴν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου ἀπολύει τὸν παρόντα ὁρισμὸν αὐτῆς, δι' οὗ καὶ διορίζεται, ὡσὰν κατέχῃ εἰς τὸ ἑξῆς ὁ δηλωθεὶς Μαργαρίτης τὴν διαληφθεῖσαν γῆν καὶ τὰ ἀμπέλια ἀνενοχλήτως καὶ ἀδιασείστως χωρὶς τέλους καὶ βάρους τινός, ἔχειν τε ἐπ' ἀδείας συνιστᾶν καὶ βελτιοῦν αὐτὰ καὶ παραπέμπειν καὶ πρὸς τοὺς ἐξ ὀσφύος παῖδας καὶ κληρονόμους αὐτοῦ ἐπὶ τὸ κατέχεσθαι καὶ παρ' αὐτῶν κατὰ τὸν ἴσον καὶ ὅμοιον τρόπον· τούτου γὰρ χάριν ἐγένετο τῷ τοιούτῳ τῇ βασιλείᾳ μου οἰκείῳ, τῷ Μαργαρίτῃ, τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα †.

† Εἶχε δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς Σερβίας καὶ Ῥωμανίας μηνὶ ὀκτωβρίῳ ἰνδ. ια' †.

Ioannides Nr. 5. Tempore regni Stephani Dušan (1336—1355) solus annus 1343 habet ind. IX.

XVI. 6854—1345, mense octobri, ind. XIV.

Rex Stephanus Dušan confirmat conjunctionem monasteriorum S. Ioannis Baptistae in monte Menoeceo et S. Ioannis in urbe Serris et eorum possessiones, privilegia et immunitates.

† Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Ζιχνῶν καὶ ὑπέρτιμος ἐκεῖνος, κῦρις Ἰωακείμ, διὰ τὴν ἐνοῦσαν αὐτῷ πατρικὴν καὶ θεάρεστον πολιτείαν τε καὶ κατάστασιν ἐπεμελήθη μετὰ ἀρχιερατικοῦ καὶ πνευματικοῦ ζήλου καὶ συνεστήσατο ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων ἐκ βάθρων μοναστήρια περί τε τὸ ὄρος τοῦ Μενοικέως καὶ ἐντὸς τῆς θεοσώστου πόλεως Σερρῶν ἐπ' ὀνόματι καὶ ἀμφότερα τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ τετιμημένα Ἰωάννου, ὥστε διατελεῖν ταῦτα ἡνωμένα καὶ ὑφ' ἑνὶ τυγχάνειν ὄντα τῷ ἡγουμενεύοντι καὶ πνευματικῶς διοικοῦντι καὶ διευθύνοντι αὐτά, εἶναι δὲ καὶ τὸ ἐν τῇ πόλει Σερρῶν ὑπὸ τῷ ἐν τῷ [1]) Μενοικέως [ὄρει] καὶ μετοχίου λόγον ἔχειν εἰς αὐτό, προσετέθησαν δὲ εἰς ταύτας δὴ τὰς μονὰς διὰ προμήθειαν καὶ κυβέρνησιν τῶν ἐν αὐτοῖς ἀσκουμένων μοναχῶν ἀπό τε διαφόρων χρυσοβούλλων καὶ προσταγμάτων, ἀπογραφικῶν τε παραδόσεων καὶ ἄλλων δικαιωμάτων, ἑδραῖα πάντη καὶ ἀμετάτρεπτα, ἃ δὴ ἐκ πάντων κεφαλαίων καὶ ἀπαιτήσεων ἀνώτερα καὶ ἀνεπηρέαστα διατηρεῖσθαι διακελεύονται, κἀντεῦθεν καὶ διατηροῦνται οὕτω μέχρι τοῦ νῦν, ὡς τὰ ἐπὶ τούτοις χρυσόβουλλα καὶ προστάγματα παριστῶσι καὶ διαλαμβάνουσιν· ἀρτίως δὲ θεοῦ εὐδοκοῦντος ἐγένετο ἡ τῶν Σερρῶν πόλις ἐπὶ τὴν δούλευσιν τῆς κραλότητός μου [2]), ἐντεῦθεν καὶ τὰ τοιαῦτα μοναστήρια, καὶ ἐζήτησαν καὶ ἐδεήθησαν καὶ οἱ ἐν αὐτοῖς ἐνασκούμενοι [3]) μοναχοί, καὶ εὐεργετήθησαν παρὰ τῆς κραλότητός [4]) μου, ἐδεήθησαν δέ, ἵνα πορίσωνται καὶ χρυσόβουλλον τῆς κραλότητός μου εἰς ἐπικύρωσιν καὶ ἀσφάλειαν τῶν τε προσόντων αὐτοῖς κτημάτων, ὧν κέκτηνται διὰ χρυσοβούλλων καὶ ὧν ἀρτίως εὐηργετήθησαν παρὰ τῆς κραλότητός μου, καὶ ἡ κραλότης μου διὰ τῆς χάριτος τοῦ κυρίου, ἅτε πλέον τῶν ἄλλων ὑπὸ τῆς ἐνούσης αὐτῇ χριστιανικῆς συνειδήσεως περὶ τὰ μοναστήρια καὶ τὰς ἱερὰς ἐκκλησίας τὰς εὐεργεσίας καὶ δωρεὰς ἐπιτείνειν βουλομένη, ὡς ἐντεῦθεν βεβαίαν τὴν πληροφορίαν ἔχουσα πολλαπλασίας [5]) τὰς ἀμοιβὰς καὶ ἀντιδόσεις παρὰ τοῦ μισθαποδότου θεοῦ λήψεσθαι, καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει ταῖς τοιαύταις σεβασμίαις μοναῖς, δι' οὗ προστάττει καὶ διορίζεται, ἔχειν τὰ ὑπ' αὐταῖς κτήματα καὶ μετόχια πάντα ἐξουσίαν καὶ ἐλευθερίαν καὶ εἶναι ἀνώτερα πάσης ἐπηρείας

[1]) ὑπὸ τὸ αὐτὸ M. S. [2]) ὑπὸ τῆς κραλλότητος μου τὴν δουλοσύνην I. [3]) ἀσκούμενοι S. [4]) κραλλότης semper I. [5]) πολλαπλασίως I.

καὶ συζητήσεως καὶ ἀπαιτήσεως καὶ τῆς νῦν οὔσης καὶ τῆς μετέπειτα ἐπινοηθησομένης, εἶναι δὲ καὶ ἡνωμένας εἰς τὸ διηνεκὲς[1]) καὶ ἀμφοτέρας τὰς μονάς, καὶ οὐδέποτε διαστῆναι αὐτάς, ἀλλὰ διατελεῖν ταύτας[2]) οὕτως, ὡς τὰ ἐπ'[3]) αὐταῖς χρυσόβουλλα καὶ προστάγματα διακελεύονται, καὶ οὐδέποτε εὑρίσκειν[4]) ὄχλησίν τινα καὶ διασεισμὸν παρά τινος, ἀλλ' εἴη ταῦτα ἀτάραχα καὶ ἀδιάσειστα, ὡς εἴρηται, ἀπὸ πάσης[5]) συζητήσεως καὶ δόσεως καὶ ἀπαιτήσεως, ἤγουν τοῦ κεφαλαίου, τῆς σιταρκίας, τῆς ὀρικῆς, τῆς καστροκτισίας, τοῦ ἐννομίου, τοῦ μελισσονομίου[6]), τῆς προβατοχοιροδεκατίας, τῆς παρθενοφθορίας καὶ πάσης δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἔτι τε καὶ τοῦ ξυλαχύρου καὶ τῶν ἄλλων ἁπάντων, καὶ μηδόλως ἀπαιτεῖσθαι ταῦτα ἀπὸ πάντων[7]) τῶν κτημάτων τῶν τοιούτων μονῶν[8]), οὔτε ἀπὸ[9]) τῶν παροίκων αὐτῶν, οὔτε ἀπὸ τῶν προσκαθημένων, ἔτι γε μὴν πρὸς τούτοις οὐδὲ μητάτον[10]) ἀπαιτηθήσεταί ποτε ἐκ τῶν τοιούτων. ὅθεν καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου[11]) τῆς κραλότητός μου οὐκ ὀφείλει οὐδεὶς οὔτε τῶν ἐντὸς τῆς θεοσώστου πόλεως Σερρῶν κεφαλατικευόντων, οὔτε τῶν ἐκτός, οὔτε τῶν τὰ δημόσια διενεργούντων, ἢ τῶν ἄλλων ἁπάντων τῶν ταχθησομένων ἐνεργεῖν τι καὶ ἀπαιτεῖν ἀπὸ τῆς τοιαύτης χώρας, εἰσελθεῖν εἰς κτήματα ἢ εἰς μετόχια τῶν τοιούτων μονῶν καὶ ἀπαιτεῖν τι ἐξ αὐτῶν, ἀλλ' εἶναι ταῦτα πάντα ἀπάτητα καὶ ἀνεπηρέαστα καὶ ἀκαταζήτητα πάσης καὶ παντοίας ἀπαιτήσεως καὶ δόσεως. τὰ δὲ μετόχια καὶ κτήματα εἰσὶ ταῦτα· τὸ εἰς ὄνομα τιμώμενον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐπικεκλημένον τοῦ Γαστελέγκους[12]) μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν καὶ τῆς ἄλλης πάσης κατοχῆς καὶ νομῆς αὐτοῦ· γῆ εἰς τὸ Κρεβασμοῦντον[13]) μετὰ τῶν ἐκεῖ προσκαθημένων, ὅση ἐστίν· ἕτερον μετόχιον ὁ ἅγιος Γεώργιος τοῦ Σακελλαρίου μετὰ πάσης τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ· ζευγηλατεῖον εἰς τὸν Λιβοβιστὸν[14]) μετὰ τῆς περιοχῆς αὐτοῦ. εἰς τὴν Λεστίανην[15]) καθέδραν τοῦ Σαρακινοῦ[16]) ἐκείνου· ζευγηλατεῖον εἰς τὸ Νεοχώριον, τὸ τοῦ Πραντουλῆ ἐκείνου μετὰ τῆς περιοχῆς αὐτοῦ καὶ τῶν ἐν αὐτῷ προσκαθημένων· γῆ εἰς τὸ Λιβάδιον ἐξ ἀγορᾶς[17]) ἀπὸ τῆς Μελαχρινῆς μοδίων τετρακοσίων· μετόχιον ἡ Ἁγία Βαρβάρα εἰς τὴν παραλιμνίαν μετὰ τῶν σὺν αὐτῷ αὐλακίων καὶ ἁλιευτικῶν σανδαλίων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ· μετόχιον τοῦ Ἐσφαγ-

---

1) διηνεκῶς I. 2) διατηρεῖν ταῦτα I. 3) ὑπ' S. 4) εὑρήσειν S. 5) εἴρηται ἀπάσης I. 6) αὐταρκείας . . . ὀρεικῆς . . . καστροκτησίας . . . μελισσοιννομίου I. 7) ἁπάντων sine ἀπό S. 8) μοναστηρίων I. 9) παρά S. 10) μετάτον I. 11) λόγου deest S. 12) Γαστελίγγου I. 13) τοῦ Κρεβασμούντου I. 14) Λιβοβοστόν I. 15) Λιστιάνην I. 16) Σαρακηνοῦ I. 17) ἀγορασίας?

μένου μετὰ τῶν ἐν αὐτῷ βιβαρίων καὶ αὐλακίων καὶ σανδαλίων, τῶν τε προσκαθημένων αὐτοῦ, τῆς γῆς καὶ τῶν ἄλλων δικαίων καὶ προνομίων αὐτοῦ· γῆ εἰς τοῦ Τζυάνου, πλησίον τῆς γῆς τοῦ Φιλοθέου καὶ τῆς γῆς τῆς Ζελιχόβης[1]), ἥτις καὶ προκατείχετο παρὰ τῆς μονῆς· μετόχιον ὁ Ἀσώματος, ὅπερ ἔχει γῆν ἐν διαφόροις τόποις ἐξ ἀγορᾶς καὶ προσενέξεως καὶ ἀπογραφικῆς καταστάσεως, καὶ μετὰ τῶν ἐκεῖ τριῶν μυλώνων καὶ προσκαθημένων· μετόχιον ἐντὸς[2]) τῶν Ζιχνῶν, ὅπερ ἔχει ἀμπέλια ἐν διαφόροις τόποις καὶ μύλωνας τρεῖς· οἱ Ἰουδαῖοι οἱ ἐντὸς τῶν Ζιχνῶν· εἰς τὸ χωρίον τὴν Κάτω Οὔσκαν οἰκονομία ὑπερπύρων ἑκατὸν σὺν τοῖς παροίκοις τοῖς εὑρισκομένοις εἰς διάφορα χωρία καὶ ἐκ προσενέξεως τοῦ Μαργαρίτου[3])· εἰς τὸ αὐτὸ χωρίον ἀμπέλια καὶ χωράφια ἐν διαφόροις τόποις· χωρίον τὰ Μονοσπήτια μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ καὶ τῶν παροίκων καὶ προσκαθημένων αὐτοῦ· χωρίον τὸ τοῦ Λάκκου[4]) μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων καὶ τῆς περιοχῆς καὶ νομῆς[5]) αὐτοῦ· ἀγρίδιον ἡ Κεραυνίτζα μετὰ τῶν παροίκων καὶ προσκαθημένων καὶ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· εἰς τὸ χωρίον τὸν Τοπόλτζιον[6]) πάροικοι εἴκοσι· περὶ τὰς Σέρρας[7]) ὑδρομύλωνας ἐννέα· ἐργαστήρια διάφορα κατὰ τὴν βασιλικὴν πύλην καὶ ἄλλα οἰκήματα διάφορα ἐνοικιακὰ ἐν διαφόροις τόποις· μετόχιον εἰς τὸ Τριλίσιν[8]) τὸ εἰς τὸ ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένον τοῦ Βεμπελάκη[9]) μετὰ τῶν ἐν αὐτῷ δύο μετοχίων, ὧν τὸ μὲν ἐν πλησίον τῆς Τρουλίανης[10]) τὸ ἐπονομαζόμενον τῆς ὑπεραγίας Θεοτόκου[11]) τοῦ Τζέρνη μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων, τὸ δ' ἕτερον πέρα τοῦ Μέστου τὸ λεγόμενον ὁ Γραδίστος μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ πρασκαθημένων καὶ τοῦ μύλωνος καὶ τῆς πλανινῆς[12]) τῆς ἐπιλεγομένης τοῦ Ἁγίου Γεωργίου τοῦ Παράσκα[13]), καὶ τῆς Λουμπουτίσης[14]) μετὰ καὶ τῆς ἄλλης περιοχῆς καὶ νομῆς αὐτῶν· ἐν τῇ τοποθεσίᾳ τοῦ Σφολενοῦ δένδρα τεσσαράκοντα βαλανιδέα[15])· εἰς τὸν Πάνακα ἐλαιὼν καὶ πάροικοι τρεῖς· Χρύσος[16]) ὁ Τζυκαλᾶς καὶ Κωνσταντῖνος ὁ Χλιαρηνὸς[17]) μετὰ τοῦ γαμβροῦ αὐτοῦ καὶ μύλων εἷς ὁλοκαιρινὸς καὶ πάροικοι καὶ προσκαθήμενοι. προσευηργέτησε καὶ ἡ κραλότης μου ταῦτα· εἰς τὸν χωρίον τὸ Λεγγίνιον τὴν οἰκονομίαν τοῦ Λάσκαρη ἐκείνου μετὰ τοῦ ζευγηλατείου τοῦ κατεχομένου παρὰ τοῦ Καντακουζηνοῦ καὶ τῶν ἐν αὐτῇ χειμερινῶν τριῶν[18]) ὑδρομυλώνων καὶ τοῦ εἰς

---

1) Ζελεχόβης I. 2) εἰς S. 3) Ἀμαργαρίτου S. 4) Λάκινου S. 5) καὶ τῆς νομῆς καὶ τῆς περιοχῆς S. 6) Τοπόλτζον S. 7) περὶ τὰ Πέρα S. Ex sequentibus liquet, rectam esse lectionem I. 8) τὸ εἰς Τριλήσιν I. 9) Βαμπελάκη I. 10) Τρουλλιαννῆς I. 11) ἡ ὑπεραγία θεοτόκος I. 12) Πλανικῆς S. 13) Πριάσιακα I. 14) Λουμπουτούσης I 15) βαλανιδία I. 16) Χώσας S. 17) Χλιερινός I. 18) τριῶν χειμ. I.

τὸ χωρίον τὸ Μελλενικίτζιον[1]) παροίκου καὶ τῶν οἰκημάτων καὶ τῆς ἑτέρας γῆς, ἣν εἶχεν ὁ ῥηθεὶς Λάσκαρης μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν διαφόροις τόποις, καὶ τοῦ παλαιοχωρίου τοῦ λεγομένου Πρωτοκυρίτζη[2]), καὶ τοῦ Βελιδόλου καὶ τῶν ἐκεῖ δύο μυλώνων, καθὰ προκατείχοντο καὶ παρὰ τοῦ ἐπὶ τοῦ κανικλείου ἐκείνου· παλαιοχώριον εἰς τὸν Πάνακα τὸ ἐπικεκλημένον οἱ Κυνηγοί, μετὰ τῶν ἐκεῖ παροίκων καὶ προσκαθημένων καὶ ὑδρομυλώνων[3]) καὶ τῶν ἑτέρων δύο δημοσιακῶν μυλώνων καὶ τῆς Δρύστρας καὶ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· εἰς τὴν Πέρα Πολεάναν[4]) αὐλάκια τέσσαρα, τὸ λεγόμενον τὴν Λογγὰν[5]) μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ, τὸ τοῦ Φωτεινοῦ[6]) μετὰ καὶ τοῦ[7]) Τζυκαλᾶ, τὸ δὲ τέταρτον τοῦ Σχυλομήτου[8]) μετὰ τῆς παπυρίας[9]) καὶ [τῆς] νομῆς καὶ περιοχῆς αὐτοῦ. ἔτι[10]) δὲ καὶ τῶν τεσσάρων ἀνθρώπων, ὧν τὰ ὀνόματα εἰσὶ ταῦτα· τοῦ Ποτάμη καὶ τῶν τριῶν υἱῶν τοῦ Καλογέρου. ταῦτα πάντα ὀφείλουσι κατέχειν καὶ νέμεσθαι αἱ δηλωθεῖσαι σεβασμίαι μοναὶ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ὡς εἴρηται, ἔξω[11]) πάσης καὶ παντοίας ἐπηρείας καὶ δόσεως καὶ ἀνενοχλησίας. ὅθεν καὶ τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς κραλότητός μου οὐκ ὀφείλει τις τῶν ἁπάντων τὴν οἱανδήτινα ἐπὶ τούτοις ἐπαγαγεῖν ὄχλησιν καὶ διασεισμόν, ἀλλὰ διαμένειν ταῦτα εἰς τὸ διηνεκὲς ἀνενόχλητα καὶ ἀδιάσειστα, ὡς ἡ κραλότης μου ἀνωτέρω διακελεύεται κατὰ τὴν περίληψιν καὶ δύναμιν τῶν προσόντων αὐτοῖς[12]) χρυσοβούλλων τε καὶ προσταγμάτων καὶ λοιπῶν δικαιωμάτων. ἔτι τε οὐκ ὀφείλουσι διδόναι τὰ σανδάλια τῶν προσκαθημένων τοῦ Ἐσφαγμένου[13]) τὸ ἀπαιτούμενον τρίτον, οὐδὲ πόρον, ἀλλὰ διατηρηθήσονται καὶ ταῦτα ἐλεύθερα τῶν τοιούτων δόσεων. τούτου δὲ[14]) χάριν ἐγένετο ταῖς τοιαύταις μοναῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς κραλότητός μου, ἀπολυθεὶς κατὰ μῆνα ὀκτώβριον τῆς νῦν τρεχούσης ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ τετάρτου ἔτους, ἐν ᾧ καὶ ἡ ἡμετέρα εὐσεβὴς κραλότης ὑπεσημήνατο †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τό· Στέφανος ἐν Χριστῷ τῷ θεῷ πιστὸς κράλης καὶ αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας †.

Sathas I. p. 234. Ioannides Nr. 1.

---

1) Μελενικίτσιον I. 2) Πρωτοκνένζη I. 3) ὑδρομυλῶν I. 4) Πολιάναν I. 5) Λογκάν I. 6) Φωτινοῦ S. 7) addit I. 8) Σχυλομίτου I. 9) παπυρέας I. 10) ἔσται S. 11) ἐξ ἁπάσης S. 12) αὐτῶν S. 13) Ἐσφιγμένου S. 14) τοῦδε I.

XVII. Sine anno et mense.

Rex Stephanus Dušan confirmat donationem vici dicti Tholum, quam Irene Chumaena fecit monasterio.

Χρυσόβουλλον β' τοῦ βασιλέως κυροῦ Στεφάνου.

† Ἐπεὶ ἡ περιπόθητος θεία τῆς βασιλείας μου, κυρία Εἰρήνη Χούμναινα ἡ Παλαιολογίνα, εἶχε περὶ τοῦ Ζίχνα διὰ γονικότητος χωρίον λεγόμενον τὸν Θολόν, ἀφιερώσατο δὲ ἐξ αὐτοῦ πρὸς τὴν βασιλικὴν σεβασμίαν θείαν καὶ ἱερὰν μονὴν τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τὴν ἐν τῷ ὄρει τοῦ Μενοικέως διακειμένην τὸν ἐκεῖσε εὑρισκόμενον ἐρείπιον ναὸν ὁμωνυμόν τε ὄντα καὶ αὐτὸν[1]) τῆς θείας ταύτης ἱερᾶς μονῆς μετὰ καὶ τοῦ ἐν αὐτῷ διακειμένου αὐλοτοπίου ὡσεὶ μοδίων κδ', ἠθέλησε δὲ πάλιν ἀπεμπολῆσαι ἀπὸ τῆς μερίδος αὐτῆς ἧς κατεῖχε πρὸς τὴν ῥηθεῖσαν θείαν ταύτην καὶ ἱερὰν μονήν, ὅσον δῆτα καὶ ἠθέλησεν, εἶτα καὶ δεινῇ νόσῳ συμπλακεῖσα εὐπροθύμως τε καὶ αὐτεξουσίως δέδωκε καὶ τὸ πλέον τῆς μερίδος αὐτῆς μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ, ἐξῃτήσατο δὲ ἐπὶ τούτους πορίσασθαι θεῖον καὶ σεπτὸν παρὰ τῆς βασιλείας μου χρυσόβουλλον βεβαιοῦν καὶ ἐπικυροῦν τὰ παρ'[2]) ἑαυτῆς τε καὶ τῶν ἐν μοναχοῖς τιμιωτάτων τῆς σεβασμίας βασιλικῆς καὶ ἱερᾶς μονῆς συμβιβασθέντα, τὴν παράκλησιν αὐτῆς προσδεξαμένη ἡ βασιλεία μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῇ τὸν παρόντα χρυσόβουλλον λόγον, δι' οὗ προστάσσει καὶ ὁρίζεται, ταῦτα πάντα ἔχειν τὸ βέβαιον, ἀμετάτρεπτον, ἀμετάβλητον, ἀμεταποίητον, ἀπαράθραυστον καὶ ἀπαρασάλευτον, ὁμοίως καὶ οἱ κατὰ καιροὺς εὑρισκόμενοι τῶν ἐκεῖσε κεφαλατικευόντων τῆς βασιλείας μου περὶ τῆς Ζίχνας ἢ τῶν τὰ δημόσια χορηγούντων, ἐμφανιζομένου τοῦ παρόντος χρυσοβούλλου λόγου ὀφείλουσιν ἔχειν [ταῦτα] ἀνώτερα καὶ[3]) ἐκτὸς πάσης ἐπηρείας καὶ συζητήσεως, ἤγουν ἀγγαρείας, ψωμοζημίας, καστροκτισίας καὶ ἄλλης τῆς οἱασοῦν ἐφευρεθησομένης ζημίας, ἀλλὰ μᾶλλον στέργειν καὶ βοηθεῖν οἱ τοιοῦτοι κατὰ τὸ δυνατόν, ὡς ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου διωρίσατο †.

† Εἶχε καὶ ὑπογραφὴν σερβικὴν δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεύς, αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας †.

Ioannides Nr. 2.

---

[1]) αὐτοῦ I. [2]) περί I. [3]) ἐκτὸς πάσης ἀνωτέρας I.: ταῦτα supplevimus.

XVIII. Sine anno et mense.

Rex Stephanus Dušan confirmat monasterio possessionem monasterioli Sanctae Mariae, dicti Sompelacum.

Πρόσταγμα γ' ἐπικυρωτικὸν εἰς τὴν ὑπόθεσιν τοῦ εἰς Τερλήσιον μετοχίου.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς περὶ τὰς Σέρρας ἐν τῷ ὄρει τοῦ Μενοικέως διακειμένης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῆς ἀναγερθείσης μὲν παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Ζιχνῶν καὶ ὑπερτίμου, ἐκδοθείσης δὲ παρ' αὐτοῦ πρὸς τὸν περιπόθητον γαμβρὸν τῆς βασιλείας [μου], τὸν μέγαν δομέστικον, κῦρ Ἰωάννην Παλαιολόγον τὸν Καντακουζηνὸν, καὶ ἐφορισομένη παρὰ τοῦ ἰδίου, ἀνέφερον, ὡς ὁ θεοφιλέστατος ἐπίσκοπος Φερεμών, ἔχων διὰ χρυσοβούλλου καὶ τιμίας πατριαρχικῆς γραφῆς περὶ τὸ Τριλήσιον μονύδριον τὸ εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου καὶ ἐπικεκλημένης τοῦ Σομπελάκου, προσεκύρωσε τοῦτο διὰ γράμματος αὐτοῦ τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ, παρεκάλεσαν τυχεῖν ἐπὶ τούτῳ προστάγματος, ἡ βασιλεία μου δεξαμένη τὴν τούτων παράκλησιν τὸν παρόντα ὁρισμὸν ἐπιχορηγεῖ αὐτοῖς, δι' οὗ καὶ διορίζεται, κατέχειν αὐτοὺς καὶ εἰς τὸ ἑξῆς τὸ τοιοῦτον μονύδριον ἀνενοχλήτως καὶ ἀδιασείστως κατὰ τὴν περίληψιν τοῦ δοθέντος γράμματος τοῦ θεοφιλεστάτου ἐπισκόπου Φερεμὼν καὶ ὡς ἐδιωρίσατο οὗτος, ὡς δεδήλωται, καὶ κατεῖχε τ' οὗτος καὶ ὡς κατέχουσιν οὗτοι αὐτὸ μέχρι τοῦ νῦν, καὶ μὴ εὑρίσκειν αὐτοὺς παρά τινων καταδυναστείαν τινὰ καὶ διενόχλησιν εἴς τι τῶν δικαίων, ὡς καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα διορίζεται †.

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλ. †.

Ioannides Nr. 3.

XIX. Sine anno et mense.

Rex Stephanus Dušan confirmat donationem factam monasterio a domestico Macreno.

Πρόσταγμα δ' ἐπικυρωτικὸν εἰς τὴν τῶν ρ' [νομισμάτων] οἰκονομίαν, ἣν ἔδωκεν ὁ δομέστικος ὁ Μακρῆνος.

† Ἐπεὶ οἱ μοναχοὶ τοῦ περὶ τὰς Σέρρας μοναστηρίου τοῦ τιμίου [προφήτου], Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου ἀνέφερον, ὅτι ὡς διωρίσατο ἡ βασιλεία μου διὰ

προστάγματος πρὸς τὸν δομέστικον τὸν Μακρῆνον, ἵνα παραδώσῃ πρὸς αὐτοὺς ἀντὶ τῆς ἀφαιρεθείσης ἐξ αὐτῶν οἰκονομίας τοῦ μεγάλου πριμμηκηρίου τοῦ Κασλ . . . τῶν ρ' νομισμάτων τοσαύτην ποσότητα, καὶ εὗρεν ἐν διαφόροις χωρίοις καὶ παραδέδωκεν αὐτὴν πρὸς αὐτούς, καὶ ἐζήτησαν καὶ παρεκάλεσαν, ἵνα πορίσωνται καὶ πρόσταγμα, τὴν ζήτησιν καὶ παράκλησιν αὐτῶν προσδεξαμένη ἡ βασιλεία μου, τὸ παρὸν αὐτοῖς ἐπιχορηγεῖ πρόσταγμα, δι' οὗ καὶ διορίζεται, ὡς ἄν, εἴ τι ἐδόθη πρὸς τούτους παρὰ τοῦ ῥηθέντος δομεστίκου, κατέχωσιν αὐτὸ ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, μὴ παρ' οὐδενὸς εὑρίσκοντες τὴν τυχοῦσαν διενόχλησιν· τούτου γὰρ χάριν ἐγένετο αὐτοῖς καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου †.

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς θείας χειρὸς τό· Στέφανος κράλ †.

Ioannides Nr. 4.

XX. Sine anno, 26. mensis aprilis.

Rex Stephanus Dušan jubet restitui monasterio agrum dictum Monospita.

Πρόσταγμα ς' διὰ τὰ Μονόσπητα.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, κεφαλὴ Βολεροῦ καὶ Μοσυνοπόλεως, ἔτι Χριστουπόλεως καὶ τῶν περὶ αὐτά, κῦρ Θεόδωρε Παλαιολόγε. ἡ περιπόθητος θυγάτηρ τῆς βασιλείας μου, ἡ ὑψηλοτάτη κράλλαινα, ἀναδεξαμένη πρὸ χρόνων ἤδη τινῶν διὰ χρυσοβούλλων τῆς βασιλείας μου τὴν ἐφορίαν καὶ ἐπίσκεψιν τῆς περὶ τὰς Σέρρας εἰς τὸ ὄρος τοῦ Μενοικέως διακειμένης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἥτις δὴ μονὴ συνέστη ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων τοῦ θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν, ἐζήτησε καὶ εἰσήχθη εἰς τὸ δηλωθὲν χρυσόβουλλον καὶ τὸ πλησίον τῆς τοιαύτης σεβασμίας μονῆς εὑρισκόμενον ἀγρίδιον τὸ λεγόμενον Μονόσπητον, ὅπερ ἐκράτει[1]) διὰ πρακτικοῦ εἰς τὴν ποσότητα τῆς οἰκονομίας αὐτοῦ ὁ οἰκεῖος τῇ βασιλείᾳ [μου], κῦρ Νικηφόρος ὁ Μαρτῖνος, ἀντὶ νομισμάτων λ', ὡς ἂν κατέχηται παρὰ τῆς τοιαύτης μονῆς, πρός τε[2]) τὸν δηλωθέντα τὸν Μαρτῖνον, διωρίσατο ἡ βασιλεία μου καὶ ἀπελύθη πρόσταγμα, πρός τε τὸν πάνσεπτον σεπτὸν . . . δομέστικον τῶν δυσικῶν θεμάτων, κῦρ Γεώργιον τὸν Στρατηγόν, καὶ πρὸς τὸν πάνσεπτον σεπτὸν οἰκεῖον τῇ βασιλείᾳ μου κῦρ Νικόλαον τὸν Θεολογίτην, εὑρισκομένους εἰς τὴν δημοσίαν ἐνοχὴν

---

[1]) ἐκράτη I. [2]) σε I.

τῆς τοιαύτης χώρας, ὡς ἂν παραδώσωσι πρὸς αὐτὸν τὴν ποσότητα. διὸ δὲ οὐδὲν ἔφθασε γενέσθαι τοῦτο παρ' αὐτῶν, συνέβη δὲ καὶ εἰς τὰ πράγματα σύγχυσις, ἀνέδραμε πάλιν ὁ αὐτὸς Μαρτῖνος [πρὸς τὴν βασιλείαν μου] καὶ ἐζήτησε καὶ παρεκάλεσε καὶ ἐδόθη πρὸς αὐτὸν τὸ τοιοῦτον ἀγρίδιον, ἀρτίως δὲ ἀπητήσατο τὴν ζήτησιν καὶ διαφορὰν περὶ τοῦ ἀγριδίου[1]) ὁ διαληφθεὶς θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν, ἐμφανίσας πρὸς αὐτὴν τὸ ἐπιχορηγηθέν, ὡς εἴρηται, τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ χρυσόβουλλον καὶ παρεκάλεσεν, ὡς ἂν διὰ τὴν ἰσχὺν καὶ περίληψιν τοῦ διαληφθέντος χρυσοβούλλου διορίσηται ἡ βασιλεία μου καὶ ἱκανοποιηθῇ ἀλλαχόθεν ὁ διαληφθεὶς σεβ[αστὸς] Μαρτῖνος τὸ ὀφειλόμενον τοῦτο διαπρακτικὸν ποσὸν ἀντὶ τοῦ διαληφθέντος ἀγριδίου κατὰ τὸ ἀνυστέρητον, τὸ δὲ τοιοῦτον ἀγρίδιον Μονόσπητον κατέχηται πάλιν παρὰ τῆς εἰρημένης σεβασμίας μονῆς, ἤγουν ἡ βασιλεία μου διὰ τὴν τιμὴν προηγουμένης [πράξεως][2]) καὶ τὸ ἀκατάλυτον τοῦ δηλωθέντος χρυσοβούλλου, ἔτι δὲ καὶ διὰ τὴν περὶ τούτου ζήτησιν καὶ παράκλησιν τοῦ δηλωθέντος θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν δίκαιον καὶ εὔλογον λογισαμένη τοῦτο, ἔχει θέλημα καὶ διορίζεταί σοι [οἰκεῖε τῇ βασιλείᾳ μου, κεφαλὴ Βολεροῦ]. ἐπεὶ εὑρίσκεται περὶ τὰς Σέρρας ἡ οἰκονομία, ἣν εἶχεν ὁ ἀνὴρ τῆς θυγατρὸς τοῦ Ῥωμαίου ἐκείνου ὁ Σαρακηνὸς λεγόμενος, ποσότητος οὖσα, ὡς ἀνηγγέλθη τῇ βασιλείᾳ μου, νομισμάτων π', ἣν κατέχει ἀρτίως ἡ γυνὴ ἐκείνου, παρ' ὁρισμὸν τῆς βασιλείας μου, προλαβοῦσα καὶ εἰς συνοίκησιν ἀθέσμως ὑποχείριον αὐτῆς, παραδώσεις ἀπὸ ταύτης πρὸς τὸν δηλωθέντα [σεβαστὸν] Μαρτῖνον ἀκεραίαν καὶ ἀνυστέρητον ἐκ τῆς [τῶν] χ' νομισμάτων ποσότητος, εἰς ἣν καταγράφεται, ὡς εἴρηται, διὰ πρακτικοῦ αὐτοῦ τὸ δηλωθὲν ἀγρίδιον, τὴν δὲ ἑτέραν ποσότητα τὴν ἀπὸ τῆς τοιαύτης οἰκονομίας κρατήσεις καὶ περιορίσεις[3]), λέγω τοῦ δημοσίου, ἔστ' ἂν ὁρίσῃ περὶ αὐτῆς ἡ βασιλεία μου, ὅσον διακρίνει καὶ ἔχει θέλημα, πρὸς δὲ τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν ἀποδώσεις τὸ τοιοῦτον ἀγρίδιον τὸ Μονόσπητον, καὶ κατέχηται καὶ νέμηται αὐτὸ τοῦτο ἀνενοχλήτως καὶ ἀδιασείστως κατὰ πᾶσαν τὴν ἰσχὺν καὶ περίληψιν τοῦ προεπιχορηγηθέντος αὐτῇ, καθὼς εἴρηται, χρυσοβούλλου τῆς βασιλείας μου, καὶ ποίησον κατὰ τὸ παρὸν πρόσταγμα, ὃ καὶ ἀντίστρεψον ἐπὶ τῷ προσεῖναι τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ εἰς ἀσφάλειαν. ἀπὸ δὲ τῆς ἐπιλοίπου οἰκονομίας τῆς δηλωθείσης Ῥωμαίας θέλημα ἔχῃ ἡ βασίλεια μου, ὡς καὶ ἀνωτέρω εἴρηται, ἵνα μηδὲν ἐπιδώσῃς πρός τινα μέχρι καὶ τοῦ [ἐλαχίστου], ἐπειδὴ γνωρίσαι μέλλεις δι' ἑτέρου προστάγματος τὸ περὶ ταύτης θέλημα καὶ τὸ ὅρισμα τῆς βασιλείας μου †.

---

[1]) In apographo I. hic inseritur πρὸς τὴν βασιλείαν μου, quod superius habes in contextu. [2]) Supplevimus. [3]) περιορήσεις I.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· μηνὶ ἀπριλλίῳ κς' . . . †.

Ioannides Nr. 6.

XXI. Sine anno, 9. mensis decembris.

Rex Stephanus Dušan iterum scribit de restitutione agri dicti Monospita ad monasterium.

Πρόσταγμα ζ' εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, δομέστικε κῦρ Ἰωάννη Ταρχανιώτη. ἡ βασιλεία μου διορίζεταί σοι. πρὸ χρόνων διὰ χρυσοβούλλου ἀπὸ μεσιτείας τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς ὑψηλοτάτης κραλαίνης τῆς αὐθεντοπούλας σου, πρὸς τὴν κατὰ τὸ ὄρος Μενοίκεων διακειμένην σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τὸ παρὰ τῆς τοιαύτης μονῆς εὑρισκόμενον ἀγρίδιον, τὸ λεγόμενον Μονόσπητον, ὅπερ κατείχετο πρότερον διὰ πρακτικοῦ εἰς οἰκονομίαν παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, σεπτοῦ κυρίου Νικηφόρου τοῦ Μαρτίνου, ἀντὶ ποσότητος νομισμάτων λ' . . . πρὸς αὐτὸν δὲ τὸν σεπτὸν Μαρτῖνον ἐδίδου τὸ μὲν πρότερον ἀντὶ τούτου χάριν προσοδίου αὐτοῦ [1]) νομ[ίσματα] . . . πρό τινος δ' ἤδη καιροῦ διωρίσατο ἡ βασιλεία μου, ἵνα δοθῇ τῷ τοιούτῳ Μαρτίνῳ ἀντὶ τοῦ δηλωθέντος ἀγριδίου ἀπὸ τῆς οἰκονομίας ἧς κατεῖχε περὶ τὰς Σέρρας ἡ θυγάτηρ τοῦ Ῥωμαίου ἐκείνου, ποσότης νομισμάτων λ', διὰ τὸ ἵνα κατέχηται τὸ δηλωθὲν ἀγρίδιον παρὰ τῆς εἰρημένης μονῆς ἀνενοχλήτως, ἀσυγχύτως καὶ ἀδιασείστως ἀντὶ ποσότητος, ὡς δεδήλωται, νομισμάτων λ'. ἀρτίως δὲ ἐγνώρισεν ἡ βασιλεία μου ἐξ ἀναφορᾶς τοῦ θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν, ὃς συνεστήσατο τὴν τοιαύτην μονὴν ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων, ὅτι οὐδὲν πείθεται ὁ δηλωθεὶς Μαρτῖνος ἀναδέξασθαι ἐκ τῆς ῥηθείσης οἰκονομίας τοῦ Ῥωμαίου ἐκείνου τὴν δηλωθεῖσαν ποσότητα τῶν λ' νομισμάτων καὶ διὰ τοῦτο οὐδὲ τὸ μέρος τῆς δηλωθείσης μονῆς ἐγένετο ἀκμὴν ἐν κατοχῇ τοῦ ῥηθέντος ἀγριδίου τοῦ Μονοσπήτου, καὶ παρεκάλεσε καὶ ἐζήτησε καὶ αὖθις, ὡς ἂν διορίσῃ ἡ βασιλεία μου καὶ ἀπολυθῇ πρόσταγμα εἰς τὴν περὶ τούτου δεφέντευσιν καὶ ἀποκατάστασιν τῆς εἰρημένης μονῆς. τὴν γοῦν παράκλησιν αὐτοῦ προεδεξαμένη ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς ἄν, καθὼς διακομισθῇ πρὸς σὲ τὸ παρὸν πρόσταγμα, ἐκ τοῦ παραυτίκα παραδώσῃς σὺ πρὸς τὴν τοιαύτην μονὴν τὴν

---

[1]) αὐτὸς I.

εἰς τὸ δηλωθὲν ἀγρίδιον ποσότητα τῶν λ' ὑπερπύρων, καὶ οἰκονόμησον κατέχει καὶ δεσπόζειν αὐτὴν δὴ τὴν ποσότητα διὰ τὴν περίληψιν καὶ ἰσχὺν τοῦ ἐπιχορηγηθέντος αὐτῇ, ὡς δεδήλωται, χρυσοβούλλου τῆς βασιλείας μου, πρὸς δὲ τὸν δηλωθέντα σεπτὸν Μαρτῖνα παραδώσεις, καθὼς εἴρηται, ἀπὸ τῆς ῥηθείσης οἰκονομίας τοῦ Ῥωμαίου ἐκείνου τῆς τῶν ῥηθέντων λ' ὑπερπύρων ποσότητος, ὅθεν καὶ ἐπεὶ διὰ τὴν τιμὴν καὶ τὸ ἀκατάλυτον τοῦ προβάντος χρυσοβούλλου τῆς βασιλείας μου τῇ τοιαύτῃ μονῇ οὐδὲν ἔχει δυνατόν, ἵνα μηδὲν ἔχῃ τὴν εἰρημένην ποσότητα εἰς τὸ δηλωθὲν ἀγρίδιον, εἰ μὴ θέλει καὶ προαιρεῖται ὁ τοιοῦτος Μαρτῖνος, ἵνα ἀντὶ τούτου δέξηται τὴν ῥηθεῖσαν ποσότητα ἀπὸ τῆς οἰκονομίας τοῦ Ῥωμαίου, ἤδη καλῶς, εἰ δ' οὖν, σὺ μὲν ὀφείλεις ἀποδοῦναι πρὸς τὴν δηλωθεῖσαν μονὴν τὴν εἰς τὸ δηλωθὲν ἀγρίδιον ποσότητα τῶν λ' ὑπερπύρων, ὡς διορίζεται ἡ βαστιλεία μου, αὐτὸς δὲ ὁ δηλωθεὶς σεπτὸς Μαρτῖνος, ἐὰν οὕτω δὲν θέλῃ ἀναδέξασθαι τὴν τοιαύτην ποσότητα, μέλλει στερεῖσθαι ταύτην· τοῦτο δὲ τὸ θέλημα καὶ [τὸν] ὁρισμὸν τῆς βασιλείας μου καὶ ἀποπλήρωσον ἀνυπερθέτως, ὅσον διορίζεταί σοι τὸ πρόσταγμα, ὃ καὶ ἀντίστρεψον ἐπὶ τῷ προσεῖναι τῇ δηλωθείσῃ μονῇ διὰ τὴν περὶ τούτου ἀνενοχλησίαν αὐτῆς καὶ ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος βασιλεύς, αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας, μηνὶ δεκεμβρίῳ θ' †.

Ioannides Nr. 7.

XXII. Sine anno, 8. mensis augusti.

Rex Stephanus Dušan tertio scribit de restitutione agri dicti Monospita ad monasterium.

Πρόσταγμα εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Συμπένθερε τῆς βασιλείας μου, πρωτοσπαθάριε κῦρ Ἀνδρόνικε Κανταχουζηνέ. ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἀνέφερεν εἰς τὴν βασιλείαν μου, ὡς ἡ ἀποκαθιστᾶσα σεβασμία μονὴ ἡ εἰς ὄνομα τιμωμένη τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου καὶ ἐπικεκλημένη τοῦ Μενοικέως εὐεργετήθη διὰ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου . . . [τὸ] περὶ αὐτὴν τὴν δηλωθεῖσαν δὴ μονὴν ἀγρίδιον Μονόσπητον ὀνομαζόμενον κατὰ τὴν ποσότητα ὑπερπύρων λ', ὃ δὴ ἀπεσπάσθη πρὸ χρόνων παρὰ τοῦ δομεστίκου Γεωργίου τοῦ Στρατηγοῦ ἀπὸ τῆς οἰκονομίας τοῦ

πανσέπτου σεπτοῦ οἰκείου τῇ βασιλείᾳ μου, κῦρ Νικηφόρου τοῦ Μαρτίνου, ἐν δὲ τῷ καιρῷ τῆς συγχύσεως ἐκρατήθη πάλιν αὐτὸ καὶ ἐδόθη πρὸς τὸν τοιοῦτον πάνσεπτον σεπτὸν Μαρτῖνον διὰ γράμματος τοῦ θείου τῆς βασιλείας μου, τοῦ ἐν μοναχοῖς κυρίου Καλλίστου τοῦ Παλαιολόγου, δι' ἄμυναν καὶ κακίαν, ἣν εἶχε πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Ζιχνῶν, ὡς μὴ ἐνδειξάμενον εἰς τὴν αὐτὴν βασιλείαν μου εὐγνωμοσύνην τινὰ ἐν τῷ τοιούτῳ καιρῷ. εἶτα λαβὼν αὐτὸς [ὁ] σεπτὸς Μαρτῖνος καὶ ἀποκρύψας τὸ τοιοῦτον ἀγρίδιον, ἐδόθη, ὡς εἴρηται, διὰ χρυσοβούλλου πρὸς τὴν εἰρημένην σεβασμίαν μονήν, [ἥτις] ἐπορίσατο πρόσταγμα καὶ παρὰ τοῦ ἁγίου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ ἐδεήθη περὶ τούτου καὶ παρεκλητεύσατο τὴν βασιλείαν μου ὁ διαληφθεὶς θεοφιλέστατος ἐπίσκοπος, ἥτις καὶ τῆς δεήσεως αὐτοῦ ἐπακούσασα ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς αὖθις ἡγουμένως ἀποσπάσῃς ἀπὸ τοῦ τοιούτου πανσέπτου σεπτοῦ τοῦ Μαρτίνου τὸ αὐτὸ ἀγρίδιον καὶ παραδώσῃς τοῦτο πάλιν πρὸς τὸ μέρος τῆς διαληφθείσης σεβασμίας μονῆς, καὶ κατέχῃ καὶ νέμηται τοῦτο ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ κατὰ τὴν περίληψιν τοῦ ἐπιχορηγηθέντος αὐτῷ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ οὐδὲν εὑρίσκῃ τὸ μέρος αὐτῆς ἐπὶ τῇ μετοχῇ καὶ νομῇ καὶ πᾶσι τοῖς δικαίοις αὐτοῦ οὔτε παρὰ τοῦ δηλωθέντος πανσέπτου σεπτοῦ τοῦ Μαρτίνου, οὔτε παρ' ἄλλου τινὸς τῶν ἁπάντων εἰς τοῦτο καταδυναστείαν ἢ διενόχλησίν τινα καὶ ἐπίθεσιν, πρὸς δὲ τὸν τοιοῦτον πάνσεπτον σεπτὸν τὸν Μαρτῖνον οἰκονομήσῃς καὶ δοθῇ ἀπὸ ἐξαλειμματικῶν καὶ ἐλευθέρων τινῶν [στάσεων] ἰσόποσον. τὸν περὶ τούτου οὖν σκοπὸν καὶ τὸ θέλημα τῆς βασιλείας μου καταλαμβάνεις καὶ ἐπεμελήθητι καὶ ἀποπλήρωσον κατὰ τὸν παρόντα ὁρισμόν, ὃν καὶ ἀντίστρεψον πρὸς τὸ μέρος τῆς διαληφθείσης σεβασμίας μονῆς ἐπὶ τῷ προσεῖναι αὐτῇ δι' ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλης, μηνὶ αὐγούστῳ η' †.

Ioannides Nr. 8.

XXIII. Sine anno, 4. mensis septembris.

Rex Stephanus Dušan monachis monasterii S. Ioannis in monte Menoeceo concedit facultatem collocandi homines liberos in possessionibus eorum.

Ὁρισμὸς τοῦ κράλη διὰ τοὺς ἐλευθέρους.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῆς ἐν τῷ Μενοικέῳ διακειμένης ἀνέφερον, ὅτι

κέκτηνται περὶ τὸ [χωρίον] τοῦ Κραβασμούντου γῆν διὰ χρυσοβούλλου, καὶ παρεκάλεσαν καὶ ἐζήτησαν τὴν κραλλότητά μου, ἵνα γένηται ὁρισμὸς αὐτοῖς καὶ περισυλλέξωσι [ἀνθρώπους ἐλευθέρους] καὶ προσκαθίσωσι εἰς τὴν τοιαύτην γῆν αὐτῶν, τὴν παράκλησιν αὐτῶν προσδεξαμένη ἡ κραλλότης μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς τὸν παρόντα ὁρισμόν, δι' οὗ προστάζει καὶ διορίζεται, ἵνα ὅσους ἀνθρώπους ἐλευθέρους προσκαθίσωσιν εἰς τὴν εἰρημένην γῆν καὶ ἀλλαχοῦ, ἔνθα ἔχουσι γῆν, κατέχωσι τούτους ἀνενοχλήτως, ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ οὐδὲν εὑρίσκωσιν οὔτε ἀπὸ τῶν κατὰ καιροὺς κεφαλατικευόντων, οὔτε παρὰ τῶν [τὰ] δημόσια διενεργούντων ἢ ἀφ' ἑτέρου τινὸς τῶν ἁπάντων [διασεισμόν], ἀλλὰ διατηρῶνται ἀνενόχλητοι καὶ ἀκαταζήτητοι ἀπὸ πάσης ἐπηρείας καὶ δόσεως, καθὼς ἔχουσι καὶ τὰ λοιπὰ κτήματα αὐτῶν καὶ καθὼς διαλαμβάνουσι καὶ τὰ χρυσόβουλλα καὶ τὰ προστάγματα αὐτῶν. τούτου γὰρ χάριν ἐγένετο αὐτοῖς καὶ τὸ παρὸν πρόσταγμα τῆς κραλλότητός μου εἰς ἀσφάλειαν, μηνὶ σεπτεμβρίου δ' †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλλης †.

Ioannides Nr. 9.

XXIV. Sine anno.

Rex Stephanus Dušan confirmat donationem factam a magno domestico Alexio Raul.

Ἕτερον πρόσταγμα διὰ τὴν γῆν, ἣν δέδωκεν ὁ μέγας δομέστικος ὁ Ῥαούλ.

† Ἐπεὶ ὁ οἰκεῖος καὶ πεφιλημένος τῇ βασιλείᾳ μου, μέγας δομέστικος κῦρ Ἀλέξιος ὁ Ῥαούλ, δι' ἣν εἶδε στενοχωρίαν γῆς εἰς τὸ περὶ τὴν Ζίγνα μετόχιον τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ τιμίου Προδρόμου τοῦ ἐν τῷ ὄρει τοῦ Μενοικέως τὸ εἰς ὄνομα τιμώμενον τῶν Ἀσωμάτων, οἰκείᾳ γνώμῃ καὶ ἀγαθῇ προαιρέσει διέκρινε καὶ δέδωκε πρὸς αὐτὸ διὰ γράμματος αὐτοῦ μερικὴν γῆν, ψυχικῆς ἕνεκα σωτηρίας καὶ μνημοσύνου τῆς βασιλείας μου καὶ αὐτοῦ, ἐζήτησε δὲ καὶ παρεκάλεσε πλείονος ἕνεκα εἰς τὸ ἑξῆς ἀσφαλείας καὶ βεβαιώσεως τυχεῖν καὶ προστάγματος τῆς βασιλείας μου ἐπικυροῦντος τὴν αὐτοῦ προαίρεσιν καὶ πρᾶξιν ἀγαθὴν διὰ τοῦ ῥηθέντος γράμματος αὐτοῦ, τὴν τοιαύτην αὐτοῦ [παράκλησιν][1])

---

[1]) πρᾶξιν I.

ἀποδεξαμένη ἡ βασιλεία μου καὶ τὴν τούτου αἴτησιν ἐκπληρῶσαι βουληθεῖσα, ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος κατέχειν ἀπὸ τῆς σήμερον καὶ διὰ τὸ ἑξῆς ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, ἔτι καὶ ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τὴν τοιαύτην γῆν, ὡς καὶ τὰ λοιπὰ αὐτῆς κτήματα τὰ πρὸ πολλῶν ἤδη χρόνων προσόντα αὐτῇ καὶ τὴν ἐξ αὐτῶν πᾶσαν ὁμοίως ἀποφέρεσθαι καὶ ἀποκερδίζειν πρόσοδον, καθὼς ἡ τοῦ γράμματος τοῦ μεγάλου δομεστίκου περίληψις δηλοῖ καὶ διαλαμβάνει, καὶ ποιεῖν ἀκωλύτως πάντα τὰ κατὰ γνώμην καὶ μὴ εὑρεῖν ποτε τῇ ἐμφανείᾳ τοῦ παρόντος προστάγματος τῆς βασιλείας μου διενόχλησιν καὶ ἐπίθεσιν ἢ διασεισμὸν ἐπὶ τῇ νομῇ καὶ κατοχῇ τὸν τυχόντα παρὰ τοῦ [κατὰ] καιροὺς τὸ ῥηθὲν [χωρίον] τὴν Ζελιάχοβαν κατασχεῖν μέλλοντος. εἰ μὴ βούλοιτο κριθῆναι, ἀθετῇ τὰς . . .

Reliqua desunt.

Ioannides Nr. 10.

XXV. Sine anno.

Fragmentum aureae bullae [regis Stephani Dušan], qua confirmantur possessiones monasterii.

. . . καθὼς κατεῖχε ταῦτα τὸ διαληφθὲν μονύδριον κατὰ τὴν περίληψιν καὶ δύναμιν τοῦ ἐπὶ ταῖς τοιαύταις προσαγωγαῖς καὶ ἀγορασίαις ἐπιχορηγηθέντος τῷ μέρει τῆς τοιαύτης μονῆς θείου καὶ σεπτοῦ χρυσοβούλλου· ἑτέρα γῆ εἰς τὸν Λιβοβιστὸν ἀπὸ προσενέξεως τοῦ Ἀραβαντινοῦ ἐκείνου μοδίων σ', ἐν ᾗ συνεστήσατο τὸ μέρος τῆς τοιαύτης μονῆς ὀσπήτιον καὶ ἀμπέλια· χωράφια πλησίον αὐτοῦ ἀπὸ προσενέξεως [τοῦ] Μελισσηνοῦ μοδίων ιβ'· ἀμπέλιον ἀπὸ προσενέξεως τοῦ Βοτριδᾶ πλησίον τοῦ τοιούτου χωραφίου μοδίων ι'· ἐντὸς τοῦ κάστρου Σερρῶν πλησίον τῆς βασιλικῆς πόρτας οἶκον ἐργαστηριακὸν ἀπὸ προσενέξεως τοῦ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν, τοῦ Ζερβοῦ· ἕτερον οἶκον ἐργαστηριακὸν πλησίον τούτου ἐξ ἀγορασίας ἀπὸ τῆς Μαβσελέγγας· ἕτερον ἐξ ἀγορασίας τοῦ Θρίση· ἕτερον ἐξ ἀγορασίας ἀπὸ τοῦ Λουπηνάρη· ἕτερον ἐξ ἀγορασίας ἀπὸ τοῦ γαμβροῦ τοῦ Τοξαρᾶ· ἕτερον ἀπὸ προσενέξεως τοῦ Ἱερακνίζη· ἕτερον ξενοδοχικὸν οἶκον ἀπὸ προσενέξεως τοῦ Ἀραβάντα· κηποτόπιον εἰς τὸν πύργον τοῦ ἁγίου Νικολάου ἀπὸ προσενέξεως τοῦ Καρδάμη· τόπιον ἐντὸς τοῦ αὐτοῦ κάστρου, εἰς ὃ εὑρίσκετο πρότερον τζυμηλαρεῖον τῆς αὐτῆς μονῆς, εἶτα κατεχαλάσθη, ἐν ᾧ εὑρίσκονται καὶ

† Ἐπεὶ ὁ ἀπὸ τὸ κάστρον Ζιχνῶν [μοναχὸς][1]) ὁ Ἰάκωβος ἔχων διὰ χρυσοβούλλου τῆς βασιλείας μου περὶ τὸ τοιοῦτον κάστρον μονύδριον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας θεοτόκου καὶ ἐπικεκλημένον τῆς Ὀστρινῆς καὶ θεῖον ναὸν ἐπ' ὀνόματι τετιμημένον τῆς ἁγίας Ἀναστασίας, ἔτι δὲ καὶ εἰς τὸ χωρίον τὸν Θολὸν γῆν μοδίων σ' κατὰ λόγον γονικότητος καὶ κατέχων ταῦτα προσεκύρωσεν αὐτὸς διὰ γράμματος αὐτοῦ τῇ κατὰ τὸ Μενοίκεων ὄρος σεβασμίᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ταχθεὶς παρὰ τῶν ἐν αὐτῇ μοναχῶν διὰ γράμματος αὐτῶν, ἔχειν ἀπὸ τούτων χάριν κυβερνήσεως αὐτοῦ [2]), ὅσον δεῖται καὶ διαλαμβάνεται ἐν αὐτῷ καὶ παρεκάλεσε γενέσθαι αὐτῷ εἰς τοῦτο καὶ πρόσταγμα, ἡ βασιλεία μου τὸν παρόντα ὁρισμὸν ἐπιχορηγεῖ αὐτῷ, δι' οὗ καὶ διορίζεται . . .

Reliqua desunt.

Ioannides Nr. 12.

XXVII. Sine anno, 6. mensis octobris.

Rex Stephanus Dušan donat monasterio agrum dictum Podolini. Initium deest.

. . . οἱ μοναχοὶ τῇ κατὰ τὸ ὄρος τῶν Σερρῶν τὸ καλούμενον Μενοίκεων . . . σεβασμίᾳ μονῇ τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας [μου], ῥηγαίνης, κραλλαίνης Σερβίας τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ᾐτήσαντο τὴν βασιλείαν μου τὸ περὶ τὸ ζευγηλατεῖον αὐτῆς τὸ καλούμενον Ποδολινοῦ εὑρισκόμενον αὐλάκιον, ὅπερ ἦν πλησίον τοῦ μετοχίου τῆς αὐτῆς μονῆς τοῦ Ἐσφιγμένου [3]), τὴν παράκλησιν αὐτῶν προσδεξαμένη ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεταί σοι, ἵνα, καθὼς δέξῃ τὸ παρὸν πρόσταγμα, παραδώσῃς τὸ εἰρημένον αὐλάκιον μετὰ τῆς ἐν αὐτῷ βάλτης καὶ νομῆς καὶ περιοχῆς αὐτοῦ, τοίνυν καὶ ἀποπλήρωσον, ὡς τὸ παρὸν τῆς βασιλείας μου διορίζεταί σοι πρόσταγμα, ὃ καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν, ἵνα καὶ

---

[1]) Confer dipl. Nr. XI. [2]) αὐτῶν I. [3]) Ἐσφαγμένου I.

οἱ μετὰ σὲ ἐνασχολούμενοι τὰ τοιαῦτα κτήματα διατηρῶσιν αὐτοὺς ἀνενοχλήτους. μηνὶ ὀκτωβρίου ς' †.

Ioannides Nr. 13.

XXVIII. [6853—1353], mense octobri, ind. VI.

Rex Stephanus Dušan confirmat monasterio possessionem metochii Sanctae Barbarae.

Ἕτερον πρόσταγμα τῆς βασιλείας κυρίου Στεφάνου περὶ τῆς ἁγίας Βαρβάρας.

† Ἐπεὶ οἱ εὑρισκόμενοι μοναχοὶ ἐν τῇ κατὰ τὸ ὄρος τοῦ Σερρῶν, τὸ καλούμενον Μενοίκεων, διακειμένῃ σεβασμίᾳ μονῇ τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς ὑψηλοτάτης ῥηγαίνης Σερβίας, τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ ἁγίου ἐνδόξου προφήτου [Προδρόμου] καὶ Βαπτιστοῦ Ἰωάννου ᾐτήσαντο τὴν βασιλείαν μου τὸν περὶ τὸ ζευγηλατεῖον αὐτῆς τὸ καλούμενον Βερνάρους εὑρισκόμενον εὐκτήριον οἶκον, τὸν εἰς ὄνομα τιμώμενον τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας, ὅπως εὑρίσκηται εἰς μετόχιον τῆς κατ' αὐτοὺς τοιαύτης μονῆς, τὴν αἴτησιν αὐτῶν προσδεξαμένη ἡ βασιλεία μου διορίζεται ἐπιλαβέσθαι καὶ κατέχειν αὐτοὺς τὸν δηλωθέντα εὐκτήριον οἶκον μεθ' ὧν κέκτηνται εἰς μετόχιον τῆς διαληφθείσης μονῆς, καὶ μὴ εὑρίσκειν ἐπὶ τῇ κατοχῇ αὐτοὺς παρά τινος διασεισμὸν ἢ διενόχλησιν οἱανδήτινα. τούτου γὰρ χάριν ἀπελύθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τοῦ Προδρόμου καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου, ὀφεῖλον προσεῖναι αὐτῇ δι' ἀσφάλειαν †.

† Εἶχε δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος πιστὸς ἐν Χριστῷ τῷ θεῷ κράλης καὶ αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας, μηνὶ ὀκτωβρίῳ ἰνδ. ς' †.

Ioannides Nr. 14. Ind. VI. est etiam anni 1338.

XXIX. Sine anno.

Rex Stephanus Dušan donat monasterio Sanctae Anastasiae Pharmacolytriae bona fratrum Cyriaulorum sita in vico Castitza.

Πρόσταγμα Στεφάνου τοῦ κράλη Σερβίας καὶ Ῥωμανίας.

† Ἡ κραλότης μου ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος αὐτῆς προστάγματος καὶ εὐεργετεῖ πρὸς τὴν σεβασμίαν μονὴν τῆς ἁγίας ἐνδόξου μεγαλο-

τῆς τοιαύτης χώρας, ὡς ἂν παραδώσωσι πρὸς αὐτὸν τὴν ποσότητα. διὸ δὲ οὐδὲν ἔφθασε γενέσθαι τοῦτο παρ' αὐτῶν, συνέβη δὲ καὶ εἰς τὰ πράγματα σύγχυσις, ἀνέδραμε πάλιν ὁ αὐτὸς Μαρτῖνος [πρὸς τὴν βασιλείαν μου] καὶ ἐζήτησε καὶ παρεκάλεσε καὶ ἐδόθη πρὸς αὐτὸν τὸ τοιοῦτον ἀγρίδιον, ἀρτίως δὲ ἀπητήσατο τὴν ζήτησιν καὶ διαφορὰν περὶ τοῦ ἀγριδίου[1]) ὁ διαληφθεὶς θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν, ἐμφανίσας πρὸς αὐτὴν τὸ ἐπιχορηγηθέν, ὡς εἴρηται, τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ χρυσόβουλλον καὶ παρεκάλεσεν, ὡς ἂν διὰ τὴν ἰσχὺν καὶ περίληψιν τοῦ διαληφθέντος χρυσοβούλλου διορίσηται ἡ βασιλεία μου καὶ ἱκανοποιηθῇ ἀλλαχόθεν ὁ διαληφθεὶς σεβ[αστὸς] Μαρτῖνος τὸ ὀφειλόμενον τοῦτο διαπρακτικὸν ποσὸν ἀντὶ τοῦ διαληφθέντος ἀγριδίου κατὰ τὸ ἀνυστέρητον, τὸ δὲ τοιοῦτον ἀγρίδιον Μονόσπητον κατέχηται πάλιν παρὰ τῆς εἰρημένης σεβασμίας μονῆς, ἤγουν ἡ βασιλεία μου διὰ τὴν τιμὴν προηγουμένης [πράξεως][2]) καὶ τὸ ἀκατάλυτον τοῦ δηλωθέντος χρυσοβούλλου, ἔτι δὲ καὶ διὰ τὴν περὶ τούτου ζήτησιν καὶ παράκλησιν τοῦ δηλωθέντος θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν δίκαιον καὶ εὔλογον λογισαμένη τοῦτο, ἔχει θέλημα καὶ διορίζεταί σοι [οἰκεῖε τῇ βασιλείᾳ μου, κεφαλὴ Βολεροῦ]. ἐπεὶ εὑρίσκεται περὶ τὰς Σέρρας ἡ οἰκονομία, ἣν εἶχεν ὁ ἀνὴρ τῆς θυγατρὸς τοῦ Ῥωμαίου ἐκείνου ὁ Σαρακηνὸς λεγόμενος, ποσότητος οὖσα, ὡς ἀνηγγέλθη τῇ βασιλείᾳ μου, νομισμάτων π', ἣν κατέχει ἀρτίως ἡ γυνὴ ἐκείνου, παρ' ὁρισμὸν τῆς βασιλείας μου, προλαβοῦσα καὶ εἰς συνοίκησιν ἀθέσμως ὑποχείριον αὐτῆς, παραδώσεις ἀπὸ ταύτης πρὸς τὸν δηλωθέντα [σεβαστὸν] Μαρτῖνον ἀκεραίαν καὶ ἀνυστέρητον ἐκ τῆς [τῶν] χ' νομισμάτων ποσότητος, εἰς ἣν καταγράφεται, ὡς εἴρηται, διὰ πρακτικοῦ αὐτοῦ τὸ δηλωθὲν ἀγρίδιον, τὴν δὲ ἑτέραν ποσότητα τὴν ἀπὸ τῆς τοιαύτης οἰκονομίας κρατήσεις καὶ περιορίσεις[3]), λέγω τοῦ δημοσίου, ἔστ' ἂν ὁρίσῃ περὶ αὐτῆς ἡ βασιλεία μου, ὅσον διακρίνει καὶ ἔχει θέλημα, πρὸς δὲ τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν ἀποδώσεις τὸ τοιοῦτον ἀγρίδιον τὸ Μονόσπητον, καὶ κατέχηται καὶ νέμηται αὐτὸ τοῦτο ἀνενοχλήτως καὶ ἀδιασείστως κατὰ πᾶσαν τὴν ἰσχὺν καὶ περίληψιν τοῦ προεπιχορηγηθέντος αὐτῇ, καθὼς εἴρηται, χρυσοβούλλου τῆς βασιλείας μου, καὶ ποίησον κατὰ τὸ παρὸν πρόσταγμα, ὃ καὶ ἀντίστρεψον ἐπὶ τῷ προσεῖναι τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ εἰς ἀσφάλειαν. ἀπὸ δὲ τῆς ἐπιλοίπου οἰκονομίας τῆς δηλωθείσης Ῥωμαίας θέλημα ἔχῃ ἡ βασίλεια μου, ὡς καὶ ἀνωτέρω εἴρηται, ἵνα μηδὲν ἐπιδώσῃς πρός τινα μέχρι καὶ τοῦ [ἐλαχίστου], ἐπειδὴ γνωρίσαι μέλλεις δι' ἑτέρου προστάγματος τὸ περὶ ταύτης θέλημα καὶ τὸ ὅρισμα τῆς βασιλείας μου †.

---

[1]) In apographo I. hic inseritur πρὸς τὴν βασιλείαν μου, quod superius habes in contextu. [2]) Supplevimus. [3]) περιορήσεις I.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· μηνὶ ἀπριλλίῳ κς' . . . †.

Ioannides Nr. 6.

XXI. Sine anno, 9. mensis decembris.

Rex Stephanus Dušan iterum scribit de restitutione agri dicti Monospita ad monasterium.

Πρόσταγμα ζ' εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, δομέστικε κῦρ Ἰωάννη Ταρχανιώτη. ἡ βασιλεία μου διορίζεταί σοι. πρὸ χρόνων διὰ χρυσοβούλλου ἀπὸ μεσιτείας τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς ὑψηλοτάτης κραλαίνης τῆς αὐθεντοπούλας σου, πρὸς τὴν κατὰ τὸ ὄρος Μενοίκεων διακειμένην σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τὸ παρὰ τῆς τοιαύτης μονῆς εὑρισκόμενον ἀγρίδιον, τὸ λεγόμενον Μονόσπητον, ὅπερ κατείχετο πρότερον διὰ πρακτικοῦ εἰς οἰκονομίαν παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, σεπτοῦ κυρίου Νικηφόρου τοῦ Μαρτίνου, ἀντὶ ποσότητος νομισμάτων λ' . . . πρὸς αὐτὸν δὲ τὸν σεπτὸν Μαρτῖνον ἐδίδου τὸ μὲν πρότερον ἀντὶ τούτου χάριν προσοδίου αὐτοῦ[1]) νομ[ίσματα] . . . πρό τινος δ' ἤδη καιροῦ διωρίσατο ἡ βασιλεία μου, ἵνα δοθῇ τῷ τοιούτῳ Μαρτίνῳ ἀντὶ τοῦ δηλωθέντος ἀγριδίου ἀπὸ τῆς οἰκονομίας ἧς κατεῖχε περὶ τὰς Σέρρας ἡ θυγάτηρ τοῦ Ῥωμαίου ἐκείνου, ποσότης νομισμάτων λ', διὰ τὸ ἵνα κατέχηται τὸ δηλωθὲν ἀγρίδιον παρὰ τῆς εἰρημένης μονῆς ἀνενοχλήτως, ἀσυγχύτως καὶ ἀδιασείστως ἀντὶ ποσότητος, ὡς δεδήλωται, νομισμάτων λ'. ἀρτίως δὲ ἐγνώρισεν ἡ βασιλεία μου ἐξ ἀναφορᾶς τοῦ θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν, ὃς συνεστήσατο τὴν τοιαύτην μονὴν ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων, ὅτι οὐδὲν πείθεται ὁ δηλωθεὶς Μαρτῖνος ἀναδέξασθαι ἐκ τῆς ῥηθείσης οἰκονομίας τοῦ Ῥωμαίου ἐκείνου τὴν δηλωθεῖσαν ποσότητα τῶν λ' νομισμάτων καὶ διὰ τοῦτο οὐδὲ τὸ μέρος τῆς δηλωθείσης μονῆς ἐγένετο ἀκμὴν ἐν κατοχῇ τοῦ ῥηθέντος ἀγριδίου τοῦ Μονοσπήτου, καὶ παρεκάλεσε καὶ ἐζήτησε καὶ αὖθις, ὡς ἂν διορίσῃ ἡ βασιλεία μου καὶ ἀπολυθῇ πρόσταγμα εἰς τὴν περὶ τούτου δεφένσευσιν καὶ ἀποκατάστασιν τῆς εἰρημένης μονῆς. τὴν γοῦν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς ἄν, καθὼς διακομισθῇ πρὸς σὲ τὸ παρὸν πρόσταγμα, ἐκ τοῦ παραυτίκα παραδώσῃς σὺ πρὸς τὴν τοιαύτην μονὴν τὴν

---

[1]) αὐτὸς I.

εἰς τὸ δηλωθὲν ἀγρίδιον ποσότητα τῶν λ' ὑπερπύρων, καὶ οἰκονόμησον κατέχειν καὶ δεσπόζειν αὐτὴν δὴ τὴν ποσότητα διὰ τὴν περίληψιν καὶ ἰσχὺν τοῦ ἐπιχορηγηθέντος αὐτῇ, ὡς δεδήλωται, χρυσοβούλλου τῆς βασιλείας μου, πρὸς δὲ τὸν δηλωθέντα σεπτὸν Μαρτῖνα παραδώσεις, καθὼς εἴρηται, ἀπὸ τῆς ῥηθείσης οἰκονομίας τοῦ Ῥωμαίου ἐκείνου τῆς τῶν ῥηθέντων λ' ὑπερπύρων ποσότητος, ὅθεν καὶ ἐπεὶ διὰ τὴν τιμὴν καὶ τὸ ἀκατάλυτον τοῦ προβάντος χρυσοβούλλου τῆς βασιλείας μου τῇ τοιαύτῃ μονῇ οὐδὲν ἔχει δυνατόν, ἵνα μηδὲν ἔχῃ τὴν εἰρημένην ποσότητα εἰς τὸ δηλωθὲν ἀγρίδιον, εἰ μὴ θέλει καὶ προαιρεῖται ὁ τοιοῦτος Μαρτῖνος, ἵνα ἀντὶ τούτου δέξηται τὴν ῥηθεῖσαν ποσότητα ἀπὸ τῆς οἰκονομίας τοῦ Ῥωμαίου, ἤδη καλῶς, εἰ δ' οὖν, σὺ μὲν ὀφείλεις ἀποδοῦναι πρὸς τὴν δηλωθεῖσαν μονὴν τὴν εἰς τὸ δηλωθὲν ἀγρίδιον ποσότητα τῶν λ' ὑπερπύρων, ὡς διορίζεται ἡ βαστιλεία μου, αὐτὸς δὲ ὁ δηλωθεὶς σεπτὸς Μαρτῖνος, ἐὰν οὕτω δὲν θέλῃ ἀναδέξασθαι τὴν τοιαύτην ποσότητα, μέλλει στερεῖσθαι ταύτην· τοῦτο δὲ τὸ θέλημα καὶ [τὸν] ὁρισμὸν τῆς βασιλείας μου καὶ ἀποπλήρωσον ἀνυπερθέτως, ὅσον διορίζεταί σοι τὸ πρόσταγμα, ὃ καὶ ἀντίστρεψον ἐπὶ τῷ προσεῖναι τῇ δηλωθείσῃ μονῇ διὰ τὴν περὶ τούτου ἀνενοχλησίαν αὐτῆς καὶ ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος βασιλεύς, αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας, μηνὶ δεκεμβρίῳ θ' †.

Ioannides Nr. 7.

XXII. Sine anno, 8. mensis augusti.

Rex Stephanus Dušan tertio scribit de restitutione agri dicti Monospita ad monasterium.

Πρόσταγμα εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Συμπένθερε τῆς βασιλείας μου, πρωτοσπαθάριε κῦρ Ἀνδρόνικε Κανταχουζηνέ. ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἀνέφερεν εἰς τὴν βασιλείαν μου, ὡς ἡ ἀποκαθιστᾶσα σεβασμία μονὴ ἡ εἰς ὄνομα τιμωμένη τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου καὶ ἐπικεκλημένη τοῦ Μενοικέως εὐεργετήθη διὰ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου . . . [τὸ] περὶ αὐτὴν τὴν δηλωθεῖσαν δὴ μονὴν ἀγρίδιον Μονόσπητον ὀνομαζόμενον κατὰ τὴν ποσότητα ὑπερπύρων λ', ὃ δὴ ἀπεσπάσθη πρὸ χρόνων παρὰ τοῦ δομεστίκου Γεωργίου τοῦ Στρατηγοῦ ἀπὸ τῆς οἰκονομίας τοῦ

πανσέπτου σεπτοῦ οἰκείου τῇ βασιλείᾳ μου, κῦρ Νικηφόρου τοῦ Μαρτίνου, ἐν δὲ τῷ καιρῷ τῆς συγχύσεως ἐκρατήθη πάλιν αὐτὸ καὶ ἐδόθη πρὸς τὸν τοιοῦτον πάνσεπτον σεπτὸν Μαρτῖνον διὰ γράμματος τοῦ θείου τῆς βασιλείας μου, τοῦ ἐν μοναχοῖς κυρίου Καλλίστου τοῦ Παλαιολόγου, δι' ἄμυναν καὶ κακίαν, ἣν εἶχε πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Ζιχνῶν, ὡς μὴ ἐνδειξάμενον εἰς τὴν αὐτὴν βασιλείαν μου εὐγνωμοσύνην τινὰ ἐν τῷ τοιούτῳ καιρῷ. εἶτα λαβὼν αὐτὸς [ὁ] σεπτὸς Μαρτῖνος καὶ ἀποκρύψας τὸ τοιοῦτον ἀγρίδιον, ἐδόθη, ὡς εἴρηται, διὰ χρυσοβούλλου πρὸς τὴν εἰρημένην σεβασμίαν μονήν, [ἥτις] ἐπορίσατο πρόσταγμα καὶ παρὰ τοῦ ἁγίου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ ἐδεήθη περὶ τούτου καὶ παρεκλητεύσατο τὴν βασιλείαν μου ὁ διαληφθεὶς θεοφιλέστατος ἐπίσκοπος, ἥτις καὶ τῆς δεήσεως αὐτοῦ ἐπακούσασα ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς αὖθις ἡγουμένως ἀποσπάσῃς ἀπὸ τοῦ τοιούτου πανσέπτου σεπτοῦ τοῦ Μαρτίνου τὸ αὐτὸ ἀγρίδιον καὶ παραδώσῃς τοῦτο πάλιν πρὸς τὸ μέρος τῆς διαληφθείσης σεβασμίας μονῆς, καὶ κατέχῃ καὶ νέμηται τοῦτο ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ κατὰ τὴν περίληψιν τοῦ ἐπιχορηγηθέντος αὐτῷ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ οὐδὲν εὑρίσκῃ τὸ μέρος αὐτῆς ἐπὶ τῇ μετοχῇ καὶ νομῇ καὶ πᾶσι τοῖς δικαίοις αὐτοῦ οὔτε παρὰ τοῦ δηλωθέντος πανσέπτου σεπτοῦ τοῦ Μαρτίνου, οὔτε παρ' ἄλλου τινὸς τῶν ἁπάντων εἰς τοῦτο καταδυναστείαν ἢ διενόχλησίν τινα καὶ ἐπίθεσιν, πρὸς δὲ τὸν τοιοῦτον πάνσεπτον σεπτὸν τὸν Μαρτῖνον οἰκονομήσῃς καὶ δοθῇ ἀπὸ ἐξαλειμματικῶν καὶ ἐλευθέρων τινῶν [στάσεων] ἰσόποσον. τὸν περὶ τούτου οὖν σκοπὸν καὶ τὸ θέλημα τῆς βασιλείας μου καταλαμβάνεις καὶ ἐπεμελήθητι καὶ ἀποπλήρωσον κατὰ τὸν παρόντα ὁρισμόν, ὃν καὶ ἀντίστρεψον πρὸς τὸ μέρος τῆς διαληφθείσης σεβασμίας μονῆς ἐπὶ τῷ προσεῖναι αὐτῇ δι' ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλης, μηνὶ αὐγούστῳ η′ †.

Ioannides Nr. 8.

XXIII. Sine anno, 4. mensis septembris.

Rex Stephanus Dušan monachis monasterii S. Ioannis in monte Menoeceo concedit facultatem collocandi homines liberos in possessionibus eorum.

Ὁρισμὸς τοῦ κράλη διὰ τοὺς ἐλευθέρους.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῆς ἐν τῷ Μενοικέῳ διακειμένης ἀνέφερον, ὅτι

κέκτηνται περὶ τὸ [χωρίον] τοῦ Κραβασμούντου γῆν διὰ χρυσοβούλλου, καὶ παρεκάλεσαν καὶ ἐζήτησαν τὴν κραλλότητά μου, ἵνα γένηται ὁρισμὸς αὐτοῖς καὶ περισυλλέξωσι [ἀνθρώπους ἐλευθέρους] καὶ προσκαθίσωσι εἰς τὴν τοιαύτην γῆν αὐτῶν, τὴν παράκλησιν αὐτῶν προσδεξαμένη ἡ κραλλότης μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς τὸν παρόντα ὁρισμόν, δι' οὗ προστάζει καὶ διορίζεται, ἵνα ὅσους ἀνθρώπους ἐλευθέρους προσκαθίσωσιν εἰς τὴν εἰρημένην γῆν καὶ ἀλλαχοῦ, ἔνθα ἔχουσι γῆν, κατέχωσι τούτους ἀνενοχλήτως, ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ οὐδὲν εὑρίσκωσιν οὔτε ἀπὸ τῶν κατὰ καιροὺς κεφαλατικευόντων, οὔτε παρὰ τῶν [τὰ] δημόσια διενεργούντων ἢ ἀφ' ἑτέρου τινὸς τῶν ἁπάντων [διασεισμόν], ἀλλὰ διατηρῶνται ἀνενόχλητοι καὶ ἀκαταζήτητοι ἀπὸ πάσης ἐπηρείας καὶ δόσεως, καθὼς ἔχουσι καὶ τὰ λοιπὰ κτήματα αὐτῶν καὶ καθὼς διαλαμβάνουσι καὶ τὰ χρυσόβουλλα καὶ τὰ προστάγματα αὐτῶν. τούτου γὰρ χάριν ἐγένετο αὐτοῖς καὶ τὸ παρὸν πρόσταγμα τῆς κραλλότητός μου εἰς ἀσφάλειαν, μηνὶ σεπτεμβρίου δ' †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλλης †.

Ioannides Nr. 9.

XXIV. Sine anno.

Rex Stephanus Dušan confirmat donationem factam a magno domestico Alexio Raul.

Ἕτερον πρόσταγμα διὰ τὴν γῆν, ἣν δέδωκεν ὁ μέγας δομέστικος ὁ Ῥαούλ.

† Ἐπεὶ ὁ οἰκεῖος καὶ πεφιλημένος τῇ βασιλείᾳ μου, μέγας δομέστικος κῦρ Ἀλέξιος ὁ Ῥαούλ, δι' ἣν εἶδε στενοχωρίαν γῆς εἰς τὸ περὶ τὴν Ζίχνα μετόχιον τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ τιμίου Προδρόμου τοῦ ἐν τῷ ὄρει τοῦ Μενοικέως τὸ εἰς ὄνομα τιμώμενον τῶν Ἀσωμάτων, οἰκείᾳ γνώμῃ καὶ ἀγαθῇ προαιρέσει διέκρινε καὶ δέδωκε πρὸς αὐτὸ διὰ γράμματος αὐτοῦ μερικὴν γῆν, ψυχικῆς ἕνεκα σωτηρίας καὶ μνημοσύνου τῆς βασιλείας μου καὶ αὐτοῦ, ἐζήτησε δὲ καὶ παρεκάλεσε πλείονος ἕνεκα εἰς τὸ ἑξῆς ἀσφαλείας καὶ βεβαιώσεως τυχεῖν καὶ προστάγματος τῆς βασιλείας μου ἐπικυροῦντος τὴν αὐτοῦ προαίρεσιν καὶ πρᾶξιν ἀγαθὴν διὰ τοῦ ῥηθέντος γράμματος αὐτοῦ, τὴν τοιαύτην αὐτοῦ [παράκλησιν][1])

---

[1]) πρᾶξιν I.

ἀποδεξαμένη ἡ βασιλεία μου καὶ τὴν τούτου αἴτησιν ἐκπληρῶσαι βουληθεῖσα, ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος κατέχειν ἀπὸ τῆς σήμερον καὶ διὰ τὸ ἑξῆς ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, ἔτι καὶ ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τὴν τοιαύτην γῆν, ὡς καὶ τὰ λοιπὰ αὐτῆς κτήματα τὰ πρὸ πολλῶν ἤδη χρόνων προσόντα αὐτῇ καὶ τὴν ἐξ αὐτῶν πᾶσαν ὁμοίως ἀποφέρεσθαι καὶ ἀποκερδίζειν πρόσοδον, καθὼς ἡ τοῦ γράμματος τοῦ μεγάλου δομεστίκου περίληψις δηλοῖ καὶ διαλαμβάνει, καὶ ποιεῖν ἀκωλύτως πάντα τὰ κατὰ γνώμην καὶ μὴ εὑρεῖν ποτε τῇ ἐμφανείᾳ τοῦ παρόντος προστάγματος τῆς βασιλείας μου διενόχλησιν καὶ ἐπίθεσιν ἢ διασεισμὸν ἐπὶ τῇ νομῇ καὶ κατοχῇ τὸν τυχόντα παρὰ τοῦ [κατὰ] καιροὺς τὸ ῥηθὲν [χωρίον] τὴν Ζελιάχοβαν κατασχεῖν μέλλοντος. εἰ μὴ βούλοιτο κριθῆναι, ἀθετῇ τὰς . . .

Reliqua desunt.

Ioannides Nr. 10.

XXV. Sine anno.

Fragmentum aureae bullae [regis Stephani Dušan], qua confirmantur possessiones monasterii.

. . . καθὼς κατεῖχε ταῦτα τὸ διαληφθὲν μονύδριον κατὰ τὴν περίληψιν καὶ δύναμιν τοῦ ἐπὶ ταῖς τοιαύταις προσαγωγαῖς καὶ ἀγορασίαις ἐπιχορηγηθέντος τῷ μέρει τῆς τοιαύτης μονῆς θείου καὶ σεπτοῦ χρυσοβούλλου· ἑτέρα γῆ εἰς τὸν Λιβοβιστὸν ἀπὸ προσενέξεως τοῦ Ἀραβαντινοῦ ἐκείνου μοδίων σ΄, ἐν ᾗ συνεστήσατο τὸ μέρος τῆς τοιαύτης μονῆς ὀσπήτιον καὶ ἀμπέλια· χωράφια πλησίον αὐτοῦ ἀπὸ προσενέξεως [τοῦ] Μελισσηνοῦ μοδίων ιβ΄· ἀμπέλιον ἀπὸ προσενέξεως τοῦ Βοτριδᾶ πλησίον τοῦ τοιούτου χωραφίου μοδίων ι΄· ἐντὸς τοῦ κάστρου Σερρῶν πλησίον τῆς βασιλικῆς πόρτας οἶκον ἐργαστηριακὸν ἀπὸ προσενέξεως τοῦ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν, τοῦ Ζερβοῦ· ἕτερον οἶκον ἐργαστηριακὸν πλησίον τούτου ἐξ ἀγορασίας ἀπὸ τῆς Μαβσελέγγας· ἕτερον ἐξ ἀγορασίας τοῦ Θρίση· ἕτερον ἐξ ἀγορασίας ἀπὸ τοῦ Λουπηνάρη· ἕτερον ἐξ ἀγορασίας ἀπὸ τοῦ γαμβροῦ τοῦ Τζαρᾶ· ἕτερον ἀπὸ προσενέξεως τοῦ Ἱερακνίζη· ἕτερον ξενοδοχικὸν οἶκον ἀπὸ προσενέξεως τοῦ Ἀραβάντα· κηποτόπιον εἰς τὸν πύργον τοῦ ἁγίου Νικολάου ἀπὸ προσενέξεως τοῦ Καρδάμη· τόπιον ἐντὸς τοῦ αὐτοῦ κάστρου, εἰς ὃ εὑρίσκετο πρότερον τζυμηλαρεῖον τῆς αὐτῆς μονῆς, εἶτα κατεχαλάσθη, ἐν ᾧ εὑρίσκονται καὶ

οἰκήματα ἐμφυτευτικά· ἕτερον τόπιον, ἐν ᾧ εὑρίσκονται καὶ οἰκήματα ἑταιριάρχου τοῦ Καλίδου καὶ τῆς ἀδελφῆς αὐτοῦ τῆς Φωκαίνης, ὑπὲρ ὧν τελοῦσι καὶ οὗτοι πρὸς τὸ μέρος τῆς ῥηθείσης σεβασμίας μονῆς τὸ ἐτήσιον ἐμφύτευμα· ἐντὸς τοῦ εἰρημένου κάστρου ὑδρομύλωνες ὁλοχαιρινοὶ ζ', ἐφ' οἷς καὶ ἐπορίσατο τὸ μέρος τῆς αὐτῆς σεβασμίας μονῆ ςκαὶ θεῖον καὶ σεπτὸν χρυσόβουλλον· ἕτερος[1]) ὑδρομύλων ἐξ ἀγορασίας ἀπὸ τοῦ Σιναδινοῦ· ἀμπέλι ἐν τῇ τοποθεσίᾳ τοῦ ἁγίου Βασιλείου ἀπὸ προσενέξεως [τοῦ] Φιλίππου· ἕτερον εἰς τὸν Ἐλαιῶνα ἀπὸ προσενέξεως τοῦ Τζίντζη καὶ [τὰ] τοῦ Βογολόγου χωράφια· ἐξάμπελα ἐν τῇ τοποθεσίᾳ τῶν Δανείων ἐξ ἀγορασίας καὶ ἀπὸ προσενέξεως Μιχαὴλ τοῦ Πελαργοῦ μοδίων υ'· ἕτερον χωράφιον ἀπὸ προσενέξεως τοῦ Ἀραβαντᾶ εἰς τὸ Ἀγελίτζην μοδίων ις'· γῆ ἀπὸ προσενέξεως καὶ [ἐξ] ἀγορασίας εἰς τὸν τόπον τῆς Μελιρσίας πλησίον τῆς γῆς τῶν Κουβουκλέων μοδίων σξ'· ἑτέρα γῆ εἰς τὴν Κόσιαν πλησίον τῆς γῆς τοῦ Πελαργοῦ καὶ τοῦ δημοσιακοῦ συνόρου σὺν τῇ ἀπὸ τοῦ Ξιφέα μοδίων ρν'· ἑτέρα γῆ διαπεριόριστος πλησίον τῆς γῆς τῶν Κουβουκλείων καὶ τῆς γῆς τοῦ Πελαργοῦ μοδίων ͵αυ'· ἑτέρα γῆ εἰς τὸ Λειβάδιον μοδίων σ' ἄνευ τῆς ἐκεῖσε γῆς τοῦ Δραγόη, ἐν ᾗ εὑρίσκονται καὶ μυλοτόπια δύο, ἐφ' οἷς ἐπορίσατο κατὰ μέρος τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς θεῖον καὶ σεπτὸν χρυσόβουλλον· μετόχιον τιμώμενον εἰς ὄνομα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικεκλημένον τοῦ Γαστελέγκου μετὰ τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ καὶ τῶν σὺν αὐτῷ προσκαθημένων, ἐφ' ᾧ ἐπορίσατο καὶ τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς καὶ θεῖον καὶ σεπτὸν χρυσόβουλλον· περὶ τὸ αὐτὸ μετόχιον γῆν, ἥντινα ἐκράτει[2]) πρότερον ὁ μέγας λογοθέτης ὁ Μετοχίτης ἐκεῖνος καὶ ἐδόθη πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς διὰ θείου καὶ σεπτοῦ χρυσοβούλλου· ἐν τῇ τοποθεσίᾳ τῆς Στραστριβίτζας πλησίον τοῦ συνόρου τοῦ χωραφίου τοῦ Κραβασμούντου, τῆς ὁδοῦ τῆς ἐξερχομένης ἀπὸ τοῦ κάστρου Σερρῶν καὶ ἀπαγούσης εἰς τὸν κάπεστον τῆς γῆς τοῦ Λάσκαρη καὶ τοῦ ῥύακος μοδίων τετρακισχιλίων τετρακοσίων· ἑτέρα γῆ εἰς τὴν Ἰθέαν, ἥντινα εἶχεν ὁ . . . ἄμπελον μοδίων κ' ἢ χερσάμπελον[3]) μοδίων ς'· ἐξάμπελον μοδίων ιδ'· προβολὴν μακελλικήν· χωράφιον μοδίων ι'· ἕτερον μοδίων γ'· [προσκαθήμενοι] Μαρθαῖος ὁ χαλκεὺς ὁ Πεπλεγμένος ἤτοι ὁ Ἀνατολικός, ἔχει Ἄνναν γυναικαδέλφην τὴν Ποταμίαν, σύγγαμβρον ἐπ' αὐτῇ . . . μύρη ἐνοικιακὸν τέλος νομίσματα ιδ' μιλλιαρήσια . . . ὁ υἱὸς Τισουροῖς ἔχει μητέρα Θεοδώραν, οἰκιακὸν τέλος . . . εἰς τὸ χωρίον τὸν Πάνακον ἀπὸ τῶν Κυνηγῶν, χήρα ἡ τοῦ Μερζάνη, ἔχει υἱοὺς καὶ θυγατέρας καὶ Τερίλαν θυγατέρα Ζομπρίτζαν, γαμβρὸν ἐπ' αὐτῇ Βλάχον, τέλος

---

[1]) ἑτέρων I. [2]) ἐκράτη I. [3]) χρυσάμπελον I.

νομίσματα θ'. χήρα ἡ Δεσία ἔχει υἱὸν Κωνσταντῖνον, οἰκιακὸν τέλος νομίσματα θ', ἔχει Ζωρίτζαν ἀμπέλιον μοδίων ς', ἀπὸ τῆς γονικῆς αὐτοῦ ὑποστάσεως, μύλωνα καὶ χερσάμπελον μοδίων ς' καὶ γῆν μοδίων ρ', τέλος νομίσματα δ' ὑπὲρ τῆς ἐναποληφθείσης ἐξ αὐτῆς ἐξαλειμματικῆς ὑποστάσεως· χερσάμπελον μοδίων β' τῆς ἡμισείας μερίδος καὶ γῆς τέλος νομίσματα δ'· εἰς τὸ χωρίον τὸν Σφολὸν ἀπὸ τῆς ὑποστάσεως τοῦ Μερζάνη βαλανίδας· ἐπέκεινα δὲ τούτων ἔχει ἡ τοιαύτη μονὴ καὶ[1]) ἰδιόκτητα ταῦτα· περὶ τὰς Σέρρας μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τόπιον πλησίον αὐτοῦ, ἐν ᾧ προσκάθηνται καί τινες πτωχοί, ξένοι καὶ ἐλεύθεροι· ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου καὶ ἐπικεκλημένον τοῦ Κρυονερίτου, ὅπερ συνεστήσατο μὲν ἐκ βάθρων ὁ σακελλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν, ὁ Μουρμουρᾶς ἐκεῖνος, ἐξεδόθη δὲ μετὰ τὸν ἐκείνου θάνατον παρὰ τῆς συζύγου αὐτοῦ καὶ τῶν κατὰ νόμους κληρονόμων καὶ διαδόχων αὐτοῦ πρὸς τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς εἰδήσει καὶ προτροπῇ καὶ τοῦ ἱερωτάτου μητροπολίτου Σερρῶν καὶ ὑπερτίμου μετὰ τῆς προσηκούσης αὐτῷ ὑποστάσεως καὶ τῶν περὶ αὐτῷ οἰκημάτων καὶ τοῦ πλινθοκτίστου πύργου, ἀμπελοπεριβολίου γύρωθεν αὐτοῦ· ἕτερον ἀμπέλιον ἐν τῇ τοποθεσίᾳ τοῦ Καλογέρου· ἕτερον ἀμπελῶνα εἰς τὸν ἅγιον Ἰωάννην τῆς Ἡμίσεως· ἕτερον ἀμπελῶνα ἐν τῇ τοποθεσίᾳ τοῦ Ἐλαιῶνος στρέμματα β'· ἐντὸς τοῦ κάστρου Σερρῶν οἰκήματα ἀνωγαιωκάτω[γα] ς' ἐξ ἀνταλλαγῆς ἀπὸ Ξένου τοῦ Μουρκουρᾶ καὶ τῶν λοιπῶν πέντε τοῦ ἀνεψιοῦ αὐτοῦ τοῦ Μουρμουρᾶ· τὴν ἐξ ἀγορασίας ἀπὸ τῆς θυγατρὸς τοῦ Τρίβολ ἐκείνου μερίδας δύο, μόδια ρκ', ὡς τῆς λοιπῆς τρίτης μερίδος κατεχομένης παρὰ τοῦ Συναδικοῦ ἐξ ἀνταλλαγῆς τοῦ εἰρημένου Ξένου· ἕτερον χωράφιον εἰς τὴν Κούσταν πλησίον τοῦ Πηγδέρη μοδίων ο'· ἕτερον χωράφιον πλησίον τούτου μοδίων ι' ἐξ ἀγορασίας ἀπὸ τοῦ εἰρημένου Ξένου· ἕτερον χωράφιον πλησίον τοῦ μύλωνος τοῦ Παλούκη μοδίων δ' ἀπὸ προσενέξεως τοῦ Καναχίου καὶ εἰς τὸν Εὐαγγελίτζην· ἕτερον χωράφιον ἀπὸ προσενέξεως τοῦ Ἀπλεμιλὲ μοδίων β'· περὶ τοῦ Ζίχνα εἰς τὸ χωρίον . . .

Reliqua desunt.

Ioannides (Nr. 11) unit hoc fragmentum cum antecedente Nr. 10, id est praecepto regis de donatione domestici Raul. Nobis videtur esse fragmentum aureae bullae de possessionibus monasterii, cuius initium et finis desiderantur.

---

[1]) καὶ αὐτούς I.

XXVI. Sine anno.

Donatio facta monasterio a monacho Iacobo confirmatur.

Πρόσταγμα ἐπικυρωτικόν.

† Ἐπεὶ ὁ ἀπὸ τὸ κάστρον Ζιχνῶν [μοναχὸς][1]) ὁ Ἰάκωβος ἔχων διὰ χρυσοβούλλου τῆς βασιλείας μου περὶ τὸ τοιοῦτον κάστρον μονύδριον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας θεοτόκου καὶ ἐπικεκλημένον τῆς Ὀστρινῆς καὶ θεῖον ναὸν ἐπ' ὀνόματι τετιμημένον τῆς ἁγίας Ἀναστασίας, ἔτι δὲ καὶ εἰς τὸ χωρίον τὸν Θολὸν γῆν μοδίων σ' κατὰ λόγον γονικότητος καὶ κατέχων ταῦτα προσεκύρωσεν αὐτὸς διὰ γράμματος αὐτοῦ τῇ κατὰ τὸ Μενοίκεων ὄρος σεβασμίᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ταχθεὶς παρὰ τῶν ἐν αὐτῇ μοναχῶν διὰ γράμματος αὐτῶν, ἔχειν ἀπὸ τούτων χάριν κυβερνήσεως αὐτοῦ[2]), ὅσον δεῖται καὶ διαλαμβάνεται ἐν αὐτῷ καὶ παρεκάλεσε γενέσθαι αὐτῷ εἰς τοῦτο καὶ πρόσταγμα, ἡ βασιλεία μου τὸν παρόντα ὁρισμὸν ἐπιχορηγεῖ αὐτῷ, δι' οὗ καὶ διορίζεται . . .

Reliqua desunt.

Ioannides Nr. 12.

XXVII. Sine anno, 6. mensis octobris.

Rex Stephanus Dušan donat monasterio agrum dictum Podolini. Initium deest.

. . . οἱ μοναχοὶ τῇ κατὰ τὸ ὄρος τῶν Σερρῶν τὸ καλούμενον Μενοίκεων . . . σεβασμίᾳ μονῇ τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας [μου], ῥηγαίνης, κραλλαίνης Σερβίας τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ᾐτήσαντο τὴν βασιλείαν μου τὸ περὶ τὸ ζευγηλατεῖον αὐτῆς τὸ καλούμενον Ποδολινοῦ εὑρισκόμενον αὐλάκιον, ὅπερ ἦν πλησίον τοῦ μετοχίου τῆς αὐτῆς μονῆς τοῦ Ἐσφιγμένου[3]), τὴν παράκλησιν αὐτῶν προσδεξαμένη ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεταί σοι, ἵνα, καθὼς δέξῃ τὸ παρὸν πρόσταγμα, παραδώσῃς τὸ εἰρημένον αὐλάκιον μετὰ τῆς ἐν αὐτῷ βάλτης καὶ νομῆς καὶ περιοχῆς αὐτοῦ, τοίνυν καὶ ἀποπλήρωσον, ὡς τὸ παρὸν τῆς βασιλείας μου διορίζεταί σοι πρόσταγμα, ὃ καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν, ἵνα καὶ

---

[1]) Confer dipl. Nr. XI. [2]) αὐτῶν I. [3]) Ἐσφαγμένου I.

οἱ μετὰ σὲ ἐνασχολούμενοι τὰ τοιαῦτα κτήματα διατηρῶσιν αὐτοὺς ἀνενοχλήτους. μηνὶ ὀκτωβρίου ς′ †.

Ioannides Nr. 13.

XXVIII. [6853—1353], mense octobri, ind. VI.

Rex Stephanus Dušan confirmat monasterio possessionem metochii Sanctae Barbarae.

Ἕτερον πρόσταγμα τῆς βασιλείας κυρίου Στεφάνου περὶ τῆς ἁγίας Βαρβάρας.

† Ἐπεὶ οἱ εὑρισκόμενοι μοναχοὶ ἐν τῇ κατὰ τὸ ὄρος τοῦ Σερρῶν, τὸ καλούμενον Μενοίκεων, διακειμένῃ σεβασμίᾳ μονῇ τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς ὑψηλοτάτης ῥηγαίνης Σερβίας, τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ ἁγίου ἐνδόξου προφήτου [Προδρόμου] καὶ Βαπτιστοῦ Ἰωάννου ᾐτήσαντο τὴν βασιλείαν μου τὸν περὶ τὸ ζευγηλατεῖον αὐτῆς τὸ καλούμενον Βερνάρους εὑρισκόμενον εὐκτήριον οἶκον, τὸν εἰς ὄνομα τιμώμενον τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας, ὅπως εὑρίσκηται εἰς μετόχιον τῆς κατ᾽ αὐτοὺς τοιαύτης μονῆς, τὴν αἴτησιν αὐτῶν προσδεξαμένη ἡ βασιλεία μου διορίζεται ἐπιλαβέσθαι καὶ κατέχειν αὐτοὺς τὸν δηλωθέντα εὐκτήριον οἶκον μεθ᾽ ὧν κέκτηνται εἰς μετόχιον τῆς διαληφθείσης μονῆς, καὶ μὴ εὑρίσκειν ἐπὶ τῇ κατοχῇ αὐτοὺς παρά τινος διασεισμὸν ἢ διενόχλησιν οἱανδήτινα. τούτου γὰρ χάριν ἀπελύθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τοῦ Προδρόμου καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου, ὀφεῖλον προσεῖναι αὐτῇ δι᾽ ἀσφάλειαν †.

† Εἶχε δι᾽ ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος πιστὸς ἐν Χριστῷ τῷ θεῷ κράλης καὶ αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας, μηνὶ ὀκτωβρίῳ ἰνδ. ς′ †.

Ioannides Nr. 14. Ind. VI. est etiam anni 1338.

XXIX. Sine anno.

Rex Stephanus Dušan donat monasterio Sanctae Anastasiae Pharmacolytriae bona fratrum Cyriaulorum sita in vico Castitza.

Πρόσταγμα Στεφάνου τοῦ κράλη Σερβίας καὶ Ῥωμανίας.

† Ἡ κραλότης μου ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος αὐτῆς προστάγματος καὶ εὐεργετεῖ πρὸς τὴν σεβασμίαν μονὴν τῆς ἁγίας ἐνδόξου μεγαλο-

τῆς τοιαύτης χώρας, ὡς ἂν παραδώσωσι πρὸς αὐτὸν τὴν ποσότητα. διὸ δὲ οὐδὲν ἔφθασε γενέσθαι τοῦτο παρ' αὐτῶν, συνέβη δὲ καὶ εἰς τὰ πράγματα σύγχυσις, ἀνέδραμε πάλιν ὁ αὐτὸς Μαρτῖνος [πρὸς τὴν βασιλείαν μου] καὶ ἐζήτησε καὶ παρεκάλεσε καὶ ἐδόθη πρὸς αὐτὸν τὸ τοιοῦτον ἀγρίδιον, ἀρτίως δὲ ἀπητήσατο τὴν ζήτησιν καὶ διαφορὰν περὶ τοῦ ἀγριδίου [1]) ὁ διαληφθεὶς θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν, ἐμφανίσας πρὸς αὐτὴν τὸ ἐπιχορηγηθέν, ὡς εἴρηται, τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ χρυσόβουλλον καὶ παρεκάλεσεν, ὡς ἂν διὰ τὴν ἰσχὺν καὶ περίληψιν τοῦ διαληφθέντος χρυσοβούλλου διορίσηται ἡ βασιλεία μου καὶ ἱκανοποιηθῇ ἀλλαχόθεν ὁ διαληφθεὶς σεβ[αστὸς] Μαρτῖνος τὸ ὀφειλόμενον τοῦτο διαπρακτικὸν ποσὸν ἀντὶ τοῦ διαληφθέντος ἀγριδίου κατὰ τὸ ἀνυστέρητον, τὸ δὲ τοιοῦτον ἀγρίδιον Μονόσπητον κατέχηται πάλιν παρὰ τῆς εἰρημένης σεβασμίας μονῆς, ἤγουν ἡ βασιλεία μου διὰ τὴν τιμὴν προηγουμένης [πράξεως] [2]) καὶ τὸ ἀκατάλυτον τοῦ δηλωθέντος χρυσοβούλλου, ἔτι δὲ καὶ διὰ τὴν περὶ τούτου ζήτησιν καὶ παράκλησιν τοῦ δηλωθέντος θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν δίκαιον καὶ εὔλογον λογισαμένη τοῦτο, ἔχει θέλημα καὶ διορίζεταί σοι [οἰκεῖε τῇ βασιλείᾳ μου, κεφαλὴ Βολεροῦ]. ἐπεὶ εὑρίσκεται περὶ τὰς Σέρρας ἡ οἰκονομία, ἣν εἶχεν ὁ ἀνὴρ τῆς θυγατρὸς τοῦ Ῥωμαίου ἐκείνου ὁ Σαρακηνὸς λεγόμενος, ποσότητος οὖσα, ὡς ἀνηγγέλθη τῇ βασιλείᾳ μου, νομισμάτων π', ἣν κατέχει ἀρτίως ἡ γυνὴ ἐκείνου, παρ' ὁρισμὸν τῆς βασιλείας μου, προλαβοῦσα καὶ εἰς συνοίκησιν ἀθέσμως ὑποχείριον αὐτῆς, παραδώσεις ἀπὸ ταύτης πρὸς τὸν δηλωθέντα [σεβαστὸν] Μαρτῖνον ἀκεραίαν καὶ ἀνυστέρητον ἐκ τῆς [τῶν] χ' νομισμάτων ποσότητος, εἰς ἣν καταγράφεται, ὡς εἴρηται, διὰ πρακτικοῦ αὐτοῦ τὸ δηλωθὲν ἀγρίδιον, τὴν δὲ ἑτέραν ποσότητα τὴν ἀπὸ τῆς τοιαύτης οἰκονομίας κρατήσεις καὶ περιορίσεις [3]), λέγω τοῦ δημοσίου, ἔστ' ἂν ὁρίσῃ περὶ αὐτῆς ἡ βασιλεία μου, ὅσον διακρίνει καὶ ἔχει θέλημα, πρὸς δὲ τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν ἀποδώσεις τὸ τοιοῦτον ἀγρίδιον τὸ Μονόσπητον, καὶ κατέχηται καὶ νέμηται αὐτὸ τοῦτο ἀνενοχλήτως καὶ ἀδιασείστως κατὰ πᾶσαν τὴν ἰσχὺν καὶ περίληψιν τοῦ προεπιχορηγηθέντος αὐτῇ, καθὼς εἴρηται, χρυσοβούλλου τῆς βασιλείας μου, καὶ ποίησον κατὰ τὸ παρὸν πρόσταγμα, ὃ καὶ ἀντίστρεψον ἐπὶ τῷ προσεῖναι τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ εἰς ἀσφάλειαν. ἀπὸ δὲ τῆς ἐπιλοίπου οἰκονομίας τῆς δηλωθείσης Ῥωμαίας θέλημα ἔχῃ ἡ βασίλεια μου, ὡς καὶ ἀνωτέρω εἴρηται, ἵνα μηδὲν ἐπιδώσῃς πρός τινα μέχρι καὶ τοῦ [ἐλαχίστου], ἐπειδὴ γνωρίσαι μέλλεις δι' ἑτέρου προστάγματος τὸ περὶ ταύτης θέλημα καὶ τὸ ὅρισμα τῆς βασιλείας μου †.

---

1) **In apographo I. hic inseritur** πρὸς τὴν βασιλείαν μου, **quod superius habes in contextu.** 2) **Supplevimus.** 3) περιορήσεις **I.**

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· μηνὶ ἀπριλλίῳ κς' ... †.

Ioannides Nr. 6.

XXI. Sine anno, 9. mensis decembris.

Rex Stephanus Dušan iterum scribit de restitutione agri dicti Monospita ad monasterium.

Πρόσταγμα ζ' εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, δομέστικε κῦρ Ἰωάννη Ταρχανιώτη. ἡ βασιλεία μου διορίζεταί σοι. πρὸ χρόνων διὰ χρυσοβούλλου ἀπὸ μεσιτείας τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς ὑψηλοτάτης κραλαίνης τῆς αὐθεντοπούλας σου, πρὸς τὴν κατὰ τὸ ὄρος Μενοίκεων διακειμένην σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τὸ παρὰ τῆς τοιαύτης μονῆς εὑρισκόμενον ἀγρίδιον, τὸ λεγόμενον Μονόσπητον, ὅπερ κατείχετο πρότερον διὰ πρακτικοῦ εἰς οἰκονομίαν παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, σεπτοῦ κυρίου Νικηφόρου τοῦ Μαρτίνου, ἀντὶ ποσότητος νομισμάτων λ' ... πρὸς αὐτὸν δὲ τὸν σεπτὸν Μαρτῖνον ἐδίδου τὸ μὲν πρότερον ἀντὶ τούτου χάριν προσοδίου αὐτοῦ[1]) νομ[ίσματα] ... πρό τινος δ' ἤδη καιροῦ διωρίσατο ἡ βασιλεία μου, ἵνα δοθῇ τῷ τοιούτῳ Μαρτίνῳ ἀντὶ τοῦ δηλωθέντος ἀγριδίου ἀπὸ τῆς οἰκονομίας ἧς κατεῖχε περὶ τὰς Σέρρας ἡ θυγάτηρ τοῦ Ῥωμαίου ἐκείνου, ποσότης νομισμάτων λ', διὰ τὸ ἵνα κατέχηται τὸ δηλωθὲν ἀγρίδιον παρὰ τῆς εἰρημένης μονῆς ἀνενοχλήτως, ἀσυγχήτως καὶ ἀδιασείστως ἀντὶ ποσότητος, ὡς δεδήλωται, νομισμάτων λ'. ἀρτίως δὲ ἐγνώρισεν ἡ βασιλεία μου ἐξ ἀναφορᾶς τοῦ θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν, ὃς συνεστήσατο τὴν τοιαύτην μονὴν ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων, ὅτι οὐδὲν πείθεται ὁ δηλωθεὶς Μαρτῖνος ἀναδέξασθαι ἐκ τῆς ῥηθείσης οἰκονομίας τοῦ Ῥωμαίου ἐκείνου τὴν δηλωθεῖσαν ποσότητα τῶν λ' νομισμάτων καὶ διὰ τοῦτο οὐδὲ τὸ μέρος τῆς δηλωθείσης μονῆς ἐγένετο ἀκμὴν ἐν κατοχῇ τοῦ ῥηθέντος ἀγριδίου τοῦ Μονοσπήτου, καὶ παρεκάλεσε καὶ ἐζήτησε καὶ αὖθις, ὡς ἂν διορίσῃ ἡ βασιλεία μου καὶ ἀπολυθῇ πρόσταγμα εἰς τὴν περὶ τούτου δεφένσευσιν καὶ ἀποκατάστασιν τῆς εἰρημένης μονῆς. τὴν γοῦν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς ἄν, καθὼς διακομισθῇ πρὸς σὲ τὸ παρὸν πρόσταγμα, ἐκ τοῦ παραυτίκα παραδώσῃς σὺ πρὸς τὴν τοιαύτην μονὴν τὴν

---

[1]) αὐτὸς I.

εἰς τὸ δηλωθὲν ἀγρίδιον ποσότητα τῶν λ' ὑπερπύρων, καὶ οἰκονόμησον κατέχει καὶ δεσπόζειν αὐτὴν δὴ τὴν ποσότητα διὰ τὴν περίληψιν καὶ ἰσχὺν τοῦ ἐπιχορηγηθέντος αὐτῇ, ὡς δεδήλωται, χρυσοβούλλου τῆς βασιλείας μου, πρὸς δὲ τὸν δηλωθέντα σεπτὸν Μαρτῖνα παραδώσεις, καθὼς εἴρηται, ἀπὸ τῆς ῥηθείσης οἰκονομίας τοῦ 'Ρωμαίου ἐκείνου τῆς τῶν ῥηθέντων λ' ὑπερπύρων ποσότητος, ὅθεν καὶ ἐπεὶ διὰ τὴν τιμὴν καὶ τὸ ἀκατάλυτον τοῦ προβάντος χρυσοβούλλου τῆς βασιλείας μου τῇ τοιαύτῃ μονῇ οὐδὲν ἔχει δυνατόν, ἵνα μηδὲν ἔχῃ τὴν εἰρημένην ποσότητα εἰς τὸ δηλωθὲν ἀγρίδιον, εἰ μὴ θέλει καὶ προαιρεῖται ὁ τοιοῦτος Μαρτῖνος, ἵνα ἀντὶ τούτου δέξηται τὴν ῥηθεῖσαν ποσότητα ἀπὸ τῆς οἰκονομίας τοῦ 'Ρωμαίου, ἤδη καλῶς, εἰ δ' οὖν, σὺ μὲν ὀφείλεις ἀποδοῦναι πρὸς τὴν δηλωθεῖσαν μονὴν τὴν εἰς τὸ δηλωθὲν ἀγρίδιον ποσότητα τῶν λ' ὑπερπύρων, ὡς διορίζεται ἡ βαστιλεία μου, αὐτὸς δὲ ὁ δηλωθεὶς σεπτὸς Μαρτῖνος, ἐὰν οὕτω δὲν θέλῃ ἀναδέξασθαι τὴν τοιαύτην ποσότητα, μέλλει στερεῖσθαι ταύτην· τοῦτο δὲ τὸ θέλημα καὶ [τὸν] ὁρισμὸν τῆς βασιλείας μου καὶ ἀποπλήρωσον ἀνυπερθέτως, ὅσον διορίζεταί σοι τὸ πρόσταγμα, ὃ καὶ ἀντίστρεψον ἐπὶ τῷ προσεῖναι τῇ δηλωθείσῃ μονῇ διὰ τὴν περὶ τούτου ἀνενοχλησίαν αὐτῆς καὶ ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος βασιλεύς, αὐτοκράτωρ Σερβίας καὶ 'Ρωμανίας, μηνὶ δεκεμβρίῳ θ' †.

Ioannides Nr. 7.

XXII. Sine anno, 8. mensis augusti.

Rex Stephanus Dušan tertio scribit de restitutione agri dicti Monospita ad monasterium.

Πρόσταγμα εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Συμπένθερε τῆς βασιλείας μου, πρωτοσπαθάριε κῦρ 'Ανδρόνικε Καντακουζηνέ. ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἀνέφερεν εἰς τὴν βασιλείαν μου, ὡς ἡ ἀποκαθιστᾶσα σεβασμία μονὴ ἡ εἰς ὄνομα τιμωμένη τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ 'Ιωάννου καὶ ἐπικεκλημένη τοῦ Μενοικέως εὐεργετήθη διὰ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου . . . [τὸ] περὶ αὐτὴν τὴν δηλωθεῖσαν δὴ μονὴν ἀγρίδιον Μονόσπητον ὀνομαζόμενον κατὰ τὴν ποσότητα ὑπερπύρων λ', ὃ δὴ ἀπεσπάσθη πρὸ χρόνων παρὰ τοῦ δομεστίκου Γεωργίου τοῦ Στρατηγοῦ ἀπὸ τῆς οἰκονομίας τοῦ

πανσέπτου σεπτοῦ οἰκείου τῇ βασιλείᾳ μου, κῦρ Νικηφόρου τοῦ Μαρτίνου, ἐν δὲ τῷ καιρῷ τῆς συγχύσεως ἐκρατήθη πάλιν αὐτὸ καὶ ἐδόθη πρὸς τὸν τοιοῦτον πάνσεπτον σεπτὸν Μαρτῖνον διὰ γράμματος τοῦ θείου τῆς βασιλείας μου, τοῦ ἐν μοναχοῖς κυρίου Καλλίστου τοῦ Παλαιολόγου, δι' ἄμυναν καὶ κακίαν, ἣν εἶχε πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Ζιχνῶν, ὡς μὴ ἐνδειξάμενον εἰς τὴν αὐτὴν βασιλείαν μου εὐγνωμοσύνην τινὰ ἐν τῷ τοιούτῳ καιρῷ. εἶτα λαβὼν αὐτὸς [ὁ] σεπτὸς Μαρτῖνος καὶ ἀποκρύψας τὸ τοιοῦτον ἀγρίδιον, ἐδόθη, ὡς εἴρηται, διὰ χρυσοβούλλου πρὸς τὴν εἰρημένην σεβασμίαν μονήν, [ἥτις] ἐπορίσατο πρόσταγμα καὶ παρὰ τοῦ ἁγίου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ ἐδεήθη περὶ τούτου καὶ παρεκλητεύσατο τὴν βασιλείαν μου ὁ διαληφθεὶς θεοφιλέστατος ἐπίσκοπος, ἥτις καὶ τῆς δεήσεως αὐτοῦ ἐπακούσασα ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς αὖθις ἡγουμένως ἀποσπάσῃς ἀπὸ τοῦ τοιούτου πανσέπτου σεπτοῦ τοῦ Μαρτίνου τὸ αὐτὸ ἀγρίδιον καὶ παραδώσῃς τοῦτο πάλιν πρὸς τὸ μέρος τῆς διαληφθείσης σεβασμίας μονῆς, καὶ κατέχῃ καὶ νέμηται τοῦτο ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ κατὰ τὴν περίληψιν τοῦ ἐπιχορηγηθέντος αὐτῷ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ οὐδὲν εὑρίσκῃ τὸ μέρος αὐτῆς ἐπὶ τῇ μετοχῇ καὶ νομῇ καὶ πᾶσι τοῖς δικαίοις αὐτοῦ οὔτε παρὰ τοῦ δηλωθέντος πανσέπτου σεπτοῦ τοῦ Μαρτίνου, οὔτε παρ' ἄλλου τινὸς τῶν ἁπάντων εἰς τοῦτο καταδυναστείαν ἢ διενόχλησίν τινα καὶ ἐπίθεσιν, πρὸς δὲ τὸν τοιοῦτον πάνσεπτον σεπτὸν τὸν Μαρτῖνον οἰκονομήσῃς καὶ δοθῇ ἀπὸ ἐξαλειμματικῶν καὶ ἐλευθέρων τινῶν [στάσεων] ἰσόποσον. τὸν περὶ τούτου οὖν σκοπὸν καὶ τὸ θέλημα τῆς βασιλείας μου καταλαμβάνεις καὶ ἐπεμελήθητι καὶ ἀποπλήρωσον κατὰ τὸν παρόντα ὁρισμόν, ὃν καὶ ἀντίστρεψον πρὸς τὸ μέρος τῆς διαληφθείσης σεβασμίας μονῆς ἐπὶ τῷ προσεῖναι αὐτῇ δι' ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλης, μηνὶ αὐγούστῳ η' †.

Ioannides Nr. 8.

XXIII. Sine anno, 4. mensis septembris.

Rex Stephanus Dušan monachis monasterii S. Ioannis in monte Menoeceo concedit facultatem collocandi homines liberos in possessionibus eorum.

Ὁρισμὸς τοῦ κράλη διὰ τοὺς ἐλευθέρους.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῆς ἐν τῷ Μενοικέῳ διακειμένης ἀνέφερον, ὅτι

κέκτηνται περὶ τὸ [χωρίον] τοῦ Κραβασμούντου γῆν διὰ χρυσοβούλλου, καὶ παρεκάλεσαν καὶ ἐζήτησαν τὴν κραλλότητά μου, ἵνα γένηται ὁρισμὸς αὐτοῖς καὶ περισυλλέξωσι [ἀνθρώπους ἐλευθέρους] καὶ προσκαθίσωσι εἰς τὴν τοιαύτην γῆν αὐτῶν, τὴν παράκλησιν αὐτῶν προσδεξαμένη ἡ κραλλότης μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς τὸν παρόντα ὁρισμόν, δι' οὗ προστάζει καὶ διορίζεται, ἵνα ὅσους ἀνθρώπους ἐλευθέρους προσκαθίσωσιν εἰς τὴν εἰρημένην γῆν καὶ ἀλλαχοῦ, ἔνθα ἔχουσι γῆν, κατέχωσι τούτους ἀνενοχλήτως, ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ οὐδὲν εὑρίσκωσιν οὔτε ἀπὸ τῶν κατὰ καιροὺς κεφαλατικευόντων, οὔτε παρὰ τῶν [τὰ] δημόσια διενεργούντων ἢ ἀφ' ἑτέρου τινὸς τῶν ἁπάντων [διασεισμόν], ἀλλὰ διατηρῶνται ἀνενόχλητοι καὶ ἀκαταζήτητοι ἀπὸ πάσης ἐπηρείας καὶ δόσεως, καθὼς ἔχουσι καὶ τὰ λοιπὰ κτήματα αὐτῶν καὶ καθὼς διαλαμβάνουσι καὶ τὰ χρυσόβουλλα καὶ τὰ προστάγματα αὐτῶν. τούτου γὰρ χάριν ἐγένετο αὐτοῖς καὶ τὸ παρὸν πρόσταγμα τῆς κραλλότητός μου εἰς ἀσφάλειαν, μηνὶ σεπτεμβρίου δ' †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλλης †.

Ioannides Nr. 9.

XXIV. Sine anno.

Rex Stephanus Dušan confirmat donationem factam a magno domestico Alexio Raul.

Ἕτερον πρόσταγμα διὰ τὴν γῆν, ἣν δέδωκεν ὁ μέγας δομέστικος ὁ Ῥαούλ.

† Ἐπεὶ ὁ οἰκεῖος καὶ πεφιλημένος τῇ βασιλείᾳ μου, μέγας δομέστικος κῦρ Ἀλέξιος ὁ Ῥαούλ, δι' ἣν εἶδε στενοχωρίαν γῆς εἰς τὸ περὶ τὴν Ζίχνα μετόχιον τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ τιμίου Προδρόμου τοῦ ἐν τῷ ὄρει τοῦ Μενοικέως τὸ εἰς ὄνομα τιμώμενον τῶν Ἀσωμάτων, οἰκείᾳ γνώμῃ καὶ ἀγαθῇ προαιρέσει διέκρινε καὶ δέδωκε πρὸς αὐτὸ διὰ γράμματος αὐτοῦ μερικὴν γῆν, ψυχικῆς ἕνεκα σωτηρίας καὶ μνημοσύνου τῆς βασιλείας μου καὶ αὐτοῦ, ἐζήτησε δὲ καὶ παρεκάλεσε πλείονος ἕνεκα εἰς τὸ ἑξῆς ἀσφαλείας καὶ βεβαιώσεως τυχεῖν καὶ προστάγματος τῆς βασιλείας μου ἐπικυροῦντος τὴν αὐτοῦ προαίρεσιν καὶ πρᾶξιν ἀγαθὴν διὰ τοῦ ῥηθέντος γράμματος αὐτοῦ, τὴν τοιαύτην αὐτοῦ [παράκλησιν][1])

---

[1]) πρᾶξιν I.

ἀποδεξαμένη ἡ βασιλεία μου καὶ τὴν τούτου αἴτησιν ἐκπληρῶσαι βουληθεῖσα, ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος κατέχειν ἀπὸ τῆς σήμερον καὶ διὰ τὸ ἑξῆς ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, ἔτι καὶ ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τὴν τοιαύτην γῆν, ὡς καὶ τὰ λοιπὰ αὐτῆς κτήματα τὰ πρὸ πολλῶν ἤδη χρόνων προσόντα αὐτῇ καὶ τὴν ἐξ αὐτῶν πᾶσαν ὁμοίως ἀποφέρεσθαι καὶ ἀποκερδίζειν πρόσοδον, καθὼς ἡ τοῦ γράμματος τοῦ μεγάλου δομεστίκου περίληψις δηλοῖ καὶ διαλαμβάνει, καὶ ποιεῖν ἀκωλύτως πάντα τὰ κατὰ γνώμην καὶ μὴ εὑρεῖν ποτε τῇ ἐμφανείᾳ τοῦ παρόντος προστάγματος τῆς βασιλείας μου διενόχλησιν καὶ ἐπίθεσιν ἢ διασεισμὸν ἐπὶ τῇ νομῇ καὶ κατοχῇ τὸν τυχόντα παρὰ τοῦ [κατὰ] καιροὺς τὸ ῥηθὲν [χωρίον] τὴν Ζελιάχοβαν κατασχεῖν μέλλοντος. εἰ μὴ βούλοιτο κριθῆναι, ἀθετῇ τὰς . . .

Reliqua desunt.

Ioannides Nr. 10.

XXV. Sine anno.

Fragmentum aureae bullae [regis Stephani Dušan], qua confirmantur possessiones monasterii.

. . . καθὼς κατεῖχε ταῦτα τὸ διαληφθὲν μονύδριον κατὰ τὴν περίληψιν καὶ δύναμιν τοῦ ἐπὶ ταῖς τοιαύταις προσαγωγαῖς καὶ ἀγορασίαις ἐπιχορηγηθέντος τῷ μέρει τῆς τοιαύτης μονῆς θείου καὶ σεπτοῦ χρυσοβούλλου· ἑτέρα γῆ εἰς τὸν Λιβοβιστὸν ἀπὸ προσενέξεως τοῦ Ἀραβαντινοῦ ἐκείνου μοδίων σ', ἐν ᾗ συνεστήσατο τὸ μέρος τῆς τοιαύτης μονῆς ὀσπήτιον καὶ ἀμπέλια· χωράφια πλησίον αὐτοῦ ἀπὸ προσενέξεως [τοῦ] Μελισσηνοῦ μοδίων ιβ'· ἀμπέλιον ἀπὸ προσενέξεως τοῦ Βοτριδᾶ πλησίον τοῦ τοιούτου χωραφίου μοδίων ι'· ἐντὸς τοῦ κάστρου Σερρῶν πλησίον τῆς βασιλικῆς πόρτας οἶκον ἐργαστηριακὸν ἀπὸ προσενέξεως τοῦ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν, τοῦ Ζερβοῦ· ἕτερον οἶκον ἐργαστηριακὸν πλησίον τούτου ἐξ ἀγορασίας ἀπὸ τῆς Μαβσελέγγας· ἕτερον ἐξ ἀγορασίας τοῦ Θρίση· ἕτερον ἐξ ἀγορασίας ἀπὸ τοῦ Λουπηνάρη· ἕτερον ἐξ ἀγορασίας ἀπὸ τοῦ γαμβροῦ τοῦ Τεξαρᾶ· ἕτερον ἀπὸ προσενέξεως τοῦ Ἱερακνίζη· ἕτερον ξενοδοχικὸν οἶκον ἀπὸ προσενέξεως τοῦ Ἀραβάντα· κηποτόπιον εἰς τὸν πύργον τοῦ ἁγίου Νικολάου ἀπὸ προσενέξεως τοῦ Καρδάμη· τόπιον ἐντὸς τοῦ αὐτοῦ κάστρου, εἰς ὃ εὑρίσκετο πρότερον τζυμηλαρεῖον τῆς αὐτῆς μονῆς, εἶτα κατεχαλάσθη, ἐν ᾧ εὑρίσκονται καὶ

οἰκήματα ἐμφυτευτικά· ἕτερον τόπιον, ἐν ᾧ εὑρίσκονται καὶ οἰκήματα ἑταιριάρχου τοῦ Καλίδου καὶ τῆς ἀδελφῆς αὐτοῦ τῆς Φωκαίνης, ὑπὲρ ὧν τελοῦσι καὶ οὗτοι πρὸς τὸ μέρος τῆς ῥηθείσης σεβασμίας μονῆς τὸ ἐτήσιον ἐμφύτευμα· ἐντὸς τοῦ εἰρημένου κάστρου ὑδρομύλωνες ὁλοκαιρινοὶ ζ', ἐφ' οἷς καὶ ἐπορίσατο τὸ μέρος τῆς αὐτῆς σεβασμίας μονῆ ςκαὶ θεῖον καὶ σεπτὸν χρυσόβουλλον· ἕτερος[1]) ὑδρομύλων ἐξ ἀγορασίας ἀπὸ τοῦ Σιναδινοῦ· ἀμπέλι ἐν τῇ τοποθεσίᾳ τοῦ ἁγίου Βασιλείου ἀπὸ προσενέξεως [τοῦ] Φιλίππου· ἕτερον εἰς τὸν Ἐλαιῶνα ἀπὸ προσενέξεως τοῦ Τζίντζη καὶ [τὰ] τοῦ Βογολόγου χωράφια· ἐξάμπελα ἐν τῇ τοποθεσίᾳ τῶν Δανείων ἐξ ἀγορασίας καὶ ἀπὸ προσενέξεως Μιχαὴλ τοῦ Πελαργοῦ μοδίων υ'· ἕτερον χωράφιον ἀπὸ προσενέξεως τοῦ Ἀραβαντᾶ εἰς τὸ Ἀγελίτζην μοδίων ις'· γῆ ἀπὸ προσενέξεως καὶ [ἐξ] ἀγορασίας εἰς τὸν τόπον τῆς Μελιροίας πλησίον τῆς γῆς τῶν Κουβουκλέων μοδίων σξ'· ἑτέρα γῆ εἰς τὴν Κόσιαν πλησίον τῆς γῆς τοῦ Πελαργοῦ καὶ τοῦ δημοσιακοῦ συνόρου σὺν τῇ ἀπὸ τοῦ Ξιφέα μοδίων ρν'· ἑτέρα γῆ διαπεριόριστος πλησίον τῆς γῆς τῶν Κουβουκλείων καὶ τῆς γῆς τοῦ Πελαργοῦ μοδίων ͵αυ'· ἑτέρα γῆ εἰς τὸ Λειβάδιον μοδίων σ' ἄνευ τῆς ἐκεῖσε γῆς τοῦ Δραγόη, ἐν ᾗ εὑρίσκονται καὶ μυλοτόπια δύο, ἐφ' οἷς ἐπορίσατο κατὰ μέρος τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς θεῖον καὶ σεπτὸν χρυσόβουλλον· μετόχιον τιμώμενον εἰς ὄνομα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικεκλημένον τοῦ Γαστελέγκου μετὰ τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ καὶ τῶν σὺν αὐτῷ προσκαθημένων, ἐφ' ᾧ ἐπορίσατο καὶ τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς καὶ θεῖον καὶ σεπτὸν χρυσόβουλλον· περὶ τὸ αὐτὸ μετόχιον γῆν, ἥντινα ἐκράτει[2]) πρότερον ὁ μέγας λογοθέτης ὁ Μετοχίτης ἐκεῖνος καὶ ἐδόθη πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς διὰ θείου καὶ σεπτοῦ χρυσοβούλλου· ἐν τῇ τοποθεσίᾳ τῆς Στραστριβίτζας πλησίον τοῦ συνόρου τοῦ χωραφίου τοῦ Κραβασμούντου, τῆς ὁδοῦ τῆς ἐξερχομένης ἀπὸ τοῦ κάστρου Σερρῶν καὶ ἀπαγούσης εἰς τὸν κάπεστον τῆς γῆς τοῦ Λάσκαρη καὶ τοῦ ῥύακος μοδίων τετρακισχιλίων τετρακοσίων· ἑτέρα γῆ εἰς τὴν Ἰθέαν, ἥντινα εἶχεν ὁ . . . ἄμπελον μοδίων κ' ἢ χερσάμπελον[3]) μοδίων ς'· ἐξάμπελον μοδίων ιδ'· προβολὴν μακελλικήν· χωράφιον μοδίων ι'· ἕτερον μοδίων γ'· [προσκαθήμενοι] Μαρθαῖος ὁ χαλκεὺς ὁ Πεπλεγμένος ἤτοι ὁ Ἀνατολικός, ἔχει Ἄνναν γυναικαδέλφην τὴν Ποταμίαν, σύγγαμβρον ἐπ' αὐτῇ . . . μύρη ἐνοικιακὸν τέλος νομίσματα ιδ' μιλλιαρήσια . . . ὁ υἱὸς Τισουροῖς ἔχει μητέρα Θεοδώραν, οἰκιακὸν τέλος . . . εἰς τὸ χωρίον τὸν Πάνακον ἀπὸ τῶν Κυνηγῶν, χήρα ἡ τοῦ Μερζάνη, ἔχει υἱοὺς καὶ θυγατέρας καὶ Τερίλαν θυγατέρα Ζομπρίτζαν, γαμβρὸν ἐπ' αὐτῇ Βλάχον, τέλος

[1]) ἑτέρων I. [2]) ἐκράτη I. [3]) χρυσάμπελον I.

νομίσματα θ'. χήρα ἡ Δεσία ἔχει υἱὸν Κωνσταντῖνον, οἰκιακὸν τέλος νομίσματα θ', ἔχει Ζωρίτζαν ἀμπέλιον μοδίων ς', ἀπὸ τῆς γονικῆς αὐτοῦ ὑποστάσεως, μύλωνα καὶ χερσάμπελον μοδίων ς' καὶ γῆν μοδίων ρ', τέλος νομίσματα δ' ὑπὲρ τῆς ἐναπολειφθείσης ἐξ αὐτῆς ἐξαλειμματικῆς ὑποστάσεως· χερσάμπελον μοδίων β' τῆς ἡμισείας μερίδος καὶ γῆς τέλος νομίσματα δ'· εἰς τὸ χωρίον τὸν Σφολὸν ἀπὸ τῆς ὑποστάσεως τοῦ Μερζάνη βαλανίδας· ἐπέκεινα δὲ τούτων ἔχει ἡ τοιαύτη μονὴ καὶ[1]) ἰδιόκτητα ταῦτα· περὶ τὰς Σέρρας μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τόπιον πλησίον αὐτοῦ, ἐν ᾧ προσκάθηνται καί τινες πτωχοί, ξένοι καὶ ἐλεύθεροι· ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου καὶ ἐπικεκλημένον τοῦ Κρυονερίτου, ὅπερ συνεστήσατο μὲν ἐκ βάθρων ὁ σακελλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν, ὁ Μουρμουρᾶς ἐκεῖνος, ἐξεδόθη δὲ μετὰ τὸν ἐκείνου θάνατον παρὰ τῆς συζύγου αὐτοῦ καὶ τῶν κατὰ νόμους κληρονόμων καὶ διαδόχων αὐτοῦ πρὸς τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς εἰδήσει καὶ προτροπῇ καὶ τοῦ ἱερωτάτου μητροπολίτου Σερρῶν καὶ ὑπερτίμου μετὰ τῆς προσηκούσης αὐτῷ ὑποστάσεως καὶ τῶν περὶ αὐτῷ οἰκημάτων καὶ τοῦ πλινθοκτίστου πύργου, ἀμπελοπεριβολίου γύρωθεν αὐτοῦ· ἕτερον ἀμπέλιον ἐν τῇ τοποθεσίᾳ τοῦ Καλογέρου· ἕτερον ἀμπελῶνα εἰς τὸν ἅγιον Ἰωάννην τῆς Ἡμίσεως· ἕτερον ἀμπελῶνα ἐν τῇ τοποθεσίᾳ τοῦ Ἐλαιῶνος στρέμματα β'· ἐντὸς τοῦ κάστρου Σερρῶν οἰκήματα ἀνωγαιωκάτω[γα] ς' ἐξ ἀνταλλαγῆς ἀπὸ Ξένου τοῦ Μουρχουρᾶ καὶ τῶν λοιπῶν πέντε τοῦ ἀνεψιοῦ αὐτοῦ τοῦ Μουρμουρᾶ· τὴν ἐξ ἀγορασίας ἀπὸ τῆς θυγατρὸς τοῦ Τρίβολ ἐκείνου μερίδας δύο, μόδια ρκ', ὡς τῆς λοιπῆς τρίτης μερίδος κατεχομένης παρὰ τοῦ Συναδικοῦ ἐξ ἀνταλλαγῆς τοῦ εἰρημένου Ξένου· ἕτερον χωράφιον εἰς τὴν Κούσταν πλησίον τοῦ Πηγδέρη μοδίων ο'· ἕτερον χωράφιον πλησίον τούτου μοδίων ι' ἐξ ἀγορασίας ἀπὸ τοῦ εἰρημένου Ξένου· ἕτερον χωράφιον πλησίον τοῦ μύλωνος τοῦ Παλούκη μοδίων δ' ἀπὸ προσενέξεως τοῦ Κανακίου καὶ εἰς τὸν Εὐαγγελίτζην· ἕτερον χωράφιον ἀπὸ προσενέξεως τοῦ Ἀπλεμιλὲ μοδίων β'· περὶ τοῦ Ζίχνα εἰς τὸ χωρίον . . .

Reliqua desunt.

Ioannides (Nr. 11) unit hoc fragmentum cum antecedente Nr. 10, id est praecepto regis de donatione domestici Raul. Nobis videtur esse fragmentum aureae bullae de possessionibus monasterii, cuius initium et finis desiderantur.

---

[1]) καὶ αὐτούς I.

τῆς τοιαύτης χώρας, ὡς ἂν παραδώσωσι πρὸς αὐτὸν τὴν ποσότητα. διὸ δὲ οὐδὲν ἔφθασε γενέσθαι τοῦτο παρ' αὐτῶν, συνέβη δὲ καὶ εἰς τὰ πράγματα σύγχυσις, ἀνέδραμε πάλιν ὁ αὐτὸς Μαρτῖνος [πρὸς τὴν βασιλείαν μου] καὶ ἐζήτησε καὶ παρεκάλεσε καὶ ἐδόθη πρὸς αὐτὸν τὸ τοιοῦτον ἀγρίδιον, ἀρτίως δὲ ἀπητήσατο τὴν ζήτησιν καὶ διαφορὰν περὶ τοῦ ἀγριδίου[1]) ὁ διαληφθεὶς θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν, ἐμφανίσας πρὸς αὐτὴν τὸ ἐπιχορηγηθέν, ὡς εἴρηται, τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ χρυσόβουλλον καὶ παρεκάλεσεν, ὡς ἂν διὰ τὴν ἰσχὺν καὶ περίληψιν τοῦ διαληφθέντος χρυσοβούλλου διορίσηται ἡ βασιλεία μου καὶ ἱκανοποιηθῇ ἀλλαχόθεν ὁ διαληφθεὶς σεβ[αστὸς] Μαρτῖνος τὸ ὀφειλόμενον τοῦτο διαπρακτικὸν ποσὸν ἀντὶ τοῦ διαληφθέντος ἀγριδίου κατὰ τὸ ἀνυστέρητον, τὸ δὲ τοιοῦτον ἀγρίδιον Μονόσπητον κατέχηται πάλιν παρὰ τῆς εἰρημένης σεβασμίας μονῆς, ἤγουν ἡ βασιλεία μου διὰ τὴν τιμὴν προηγουμένης [πράξεως][2]) καὶ τὸ ἀκατάλυτον τοῦ δηλωθέντος χρυσοβούλλου, ἔτι δὲ καὶ διὰ τὴν περὶ τούτου ζήτησιν καὶ παράκλησιν τοῦ δηλωθέντος θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν δίκαιον καὶ εὔλογον λογισαμένη τοῦτο, ἔχει θέλημα καὶ διορίζεταί σοι [οἰκεῖε τῇ βασιλείᾳ μου, κεφαλὴ Βολεροῦ]. ἐπεὶ εὑρίσκεται περὶ τὰς Σέρρας ἡ οἰκονομία, ἣν εἶχεν ὁ ἀνὴρ τῆς θυγατρὸς τοῦ Ῥωμαίου ἐκείνου ὁ Σαρακηνὸς λεγόμενος, ποσότητος οὖσα, ὡς ἀνηγγέλθη τῇ βασιλείᾳ μου, νομισμάτων π', ἣν κατέχει ἀρτίως ἡ γυνὴ ἐκείνου, παρ' ὁρισμὸν τῆς βασιλείας μου, προλαβοῦσα καὶ εἰς συνοίκησιν ἀθέσμως ὑποχείριον αὐτῆς, παραδώσεις ἀπὸ ταύτης πρὸς τὸν δηλωθέντα [σεβαστὸν] Μαρτῖνον ἀκεραίαν καὶ ἀνυστέρητον ἐκ τῆς [τῶν] χ' νομισμάτων ποσότητος, εἰς ἣν καταγράφεται, ὡς εἴρηται, διὰ πρακτικοῦ αὐτοῦ τὸ δηλωθὲν ἀγρίδιον, τὴν δὲ ἑτέραν ποσότητα τὴν ἀπὸ τῆς τοιαύτης οἰκονομίας κρατήσεις καὶ περιορίσεις[3]), λέγω τοῦ δημοσίου, ἔστ' ἂν ὁρίσῃ περὶ αὐτῆς ἡ βασιλεία μου, ὅσον διακρίνει καὶ ἔχει θέλημα, πρὸς δὲ τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν ἀποδώσεις τὸ τοιοῦτον ἀγρίδιον τὸ Μονόσπητον, καὶ κατέχηται καὶ νέμηται αὐτὸ τοῦτο ἀνενοχλήτως καὶ ἀδιασείστως κατὰ πᾶσαν τὴν ἰσχὺν καὶ περίληψιν τοῦ προεπιχορηγηθέντος αὐτῇ, καθὼς εἴρηται, χρυσοβούλλου τῆς βασιλείας μου, καὶ ποίησον κατὰ τὸ παρὸν πρόσταγμα, ὃ καὶ ἀντίστρεψον ἐπὶ τῷ προσεῖναι τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ εἰς ἀσφάλειαν. ἀπὸ δὲ τῆς ἐπιλοίπου οἰκονομίας τῆς δηλωθείσης Ῥωμαίας θέλημα ἔχῃ ἡ βασίλεια μου, ὡς καὶ ἀνωτέρω εἴρηται, ἵνα μηδὲν ἐπιδώσῃς πρός τινα μέχρι καὶ τοῦ [ἐλαχίστου], ἐπειδὴ γνωρίσαι μέλλεις δι' ἑτέρου προστάγματος τὸ περὶ ταύτης θέλημα καὶ τὸ ὅρισμα τῆς βασιλείας μου †.

---

[1]) In apographo I. hic inseritur πρὸς τὴν βασιλείαν μου, quod superius habes in contextu. [2]) Supplevimus. [3]) περιορήσεις I.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· μηνὶ ἀπριλλίῳ κς' . . . †.

Ioannides Nr. 6.

XXI. Sine anno, 9. mensis decembris.

Rex Stephanus Dušan iterum scribit de restitutione agri dicti Monospita ad monasterium.

Πρόσταγμα ζ' εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, δομέστικε κῦρ Ἰωάννη Ταρχανιώτη. ἡ βασιλεία μου διορίζεταί σοι. πρὸ χρόνων διὰ χρυσοβούλλου ἀπὸ μεσιτείας τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς ὑψηλοτάτης κραλαίνης τῆς αὐθεντοπούλας σου, πρὸς τὴν κατὰ τὸ ὄρος Μενοίκεων διακειμένην σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τὸ παρὰ τῆς τοιαύτης μονῆς εὑρισκόμενον ἀγρίδιον, τὸ λεγόμενον Μονόσπητον, ὅπερ κατείχετο πρότερον διὰ πρακτικοῦ εἰς οἰκονομίαν παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, σεπτοῦ κυρίου Νικηφόρου τοῦ Μαρτίνου, ἀντὶ ποσότητος νομισμάτων λ' . . . πρὸς αὐτὸν δὲ τὸν σεπτὸν Μαρτῖνον ἐδίδου τὸ μὲν πρότερον ἀντὶ τούτου χάριν προσοδίου αὐτοῦ[1]) νομ[ίσματα] . . . πρό τινος δ' ἤδη καιροῦ διωρίσατο ἡ βασιλεία μου, ἵνα δοθῇ τῷ τοιούτῳ Μαρτίνῳ ἀντὶ τοῦ δηλωθέντος ἀγριδίου ἀπὸ τῆς οἰκονομίας ἧς κατεῖχε περὶ τὰς Σέρρας ἡ θυγάτηρ τοῦ Ῥωμαίου ἐκείνου, ποσότης νομισμάτων λ', διὰ τὸ ἵνα κατέχηται τὸ δηλωθὲν ἀγρίδιον παρὰ τῆς εἰρημένης μονῆς ἀνενοχλήτως, ἀσυγχήτως καὶ ἀδιασείστως ἀντὶ ποσότητος, ὡς δεδήλωται, νομισμάτων λ'. ἀρτίως δὲ ἐγνώρισεν ἡ βασιλεία μου ἐξ ἀναφορᾶς τοῦ θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν, ὃς συνεστήσατο τὴν τοιαύτην μονὴν ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων, ὅτι οὐδὲν πείθεται ὁ δηλωθεὶς Μαρτῖνος ἀναδέξασθαι ἐκ τῆς ῥηθείσης οἰκονομίας τοῦ Ῥωμαίου ἐκείνου τὴν δηλωθεῖσαν ποσότητα τῶν λ' νομισμάτων καὶ διὰ τοῦτο οὐδὲ τὸ μέρος τῆς δηλωθείσης μονῆς ἐγένετο ἀκμὴν ἐν κατοχῇ τοῦ ῥηθέντος ἀγριδίου τοῦ Μονοσπήτου, καὶ παρεκάλεσε καὶ ἐζήτησε καὶ αὖθις, ὡς ἂν διορίσῃ ἡ βασιλεία μου καὶ ἀπολυθῇ πρόσταγμα εἰς τὴν περὶ τούτου δεφένσευσιν καὶ ἀποκατάστασιν τῆς εἰρημένης μονῆς. τὴν γοῦν παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς ἄν, καθὼς διακομισθῇ πρὸς σὲ τὸ παρὸν πρόσταγμα, ἐκ τοῦ παραυτίκα παραδώσῃς σὺ πρὸς τὴν τοιαύτην μονὴν τὴν

---

[1]) αὐτὸς I.

εἰς τὸ δηλωθὲν ἀγρίδιον ποσότητα τῶν λ΄ ὑπερπύρων, καὶ οἰκονόμησον κατέχειν καὶ δεσπόζειν αὐτὴν δὴ τὴν ποσότητα διὰ τὴν περίληψιν καὶ ἰσχὺν τοῦ ἐπιχορηγηθέντος αὐτῇ, ὡς δεδήλωται, χρυσοβούλλου τῆς βασιλείας μου, πρὸς δὲ τὸν δηλωθέντα σεπτὸν Μαρτῖνα παραδώσεις, καθὼς εἴρηται, ἀπὸ τῆς ῥηθείσης οἰκονομίας τοῦ Ῥωμαίου ἐκείνου τῆς τῶν ῥηθέντων λ΄ ὑπερπύρων ποσότητος, ὅθεν καὶ ἐπεὶ διὰ τὴν τιμὴν καὶ τὸ ἀκατάλυτον τοῦ προβάντος χρυσοβούλλου τῆς βασιλείας μου τῇ τοιαύτῃ μονῇ οὐδὲν ἔχει δυνατόν, ἵνα μηδὲν ἔχῃ τὴν εἰρημένην ποσότητα εἰς τὸ δηλωθὲν ἀγρίδιον, εἰ μὴ θέλει καὶ προαιρεῖται ὁ τοιοῦτος Μαρτῖνος, ἵνα ἀντὶ τούτου δέξηται τὴν ῥηθεῖσαν ποσότητα ἀπὸ τῆς οἰκονομίας τοῦ Ῥωμαίου, ἤδη καλῶς, εἰ δ' οὖν, σὺ μὲν ὀφείλεις ἀποδοῦναι πρὸς τὴν δηλωθεῖσαν μονὴν τὴν εἰς τὸ δηλωθὲν ἀγρίδιον ποσότητα τῶν λ΄ ὑπερπύρων, ὡς διορίζεται ἡ βαστιλεία μου, αὐτὸς δὲ ὁ δηλωθεὶς σεπτὸς Μαρτῖνος, ἐὰν οὕτω δὲν θέλῃ ἀναδέξασθαι τὴν τοιαύτην ποσότητα, μέλλει στερεῖσθαι ταύτην· τοῦτο δὲ τὸ θέλημα καὶ [τὸν] ὁρισμὸν τῆς βασιλείας μου καὶ ἀποπλήρωσον ἀνυπερθέτως, ὅσον διορίζεταί σοι τὸ πρόσταγμα, ὃ καὶ ἀντίστρεψον ἐπὶ τῷ προσεῖναι τῇ δηλωθείσῃ μονῇ διὰ τὴν περὶ τούτου ἀνενοχλησίαν αὐτῆς καὶ ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος βασιλεύς, αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας, μηνὶ δεκεμβρίω θ΄ †.

Ioannides Nr. 7.

XXII. Sine anno, 8. mensis augusti.

Rex Stephanus Dušan tertio scribit de restitutione agri dicti Monospita ad monasterium.

Πρόσταγμα εἰς τὴν αὐτὴν ὑπόθεσιν.

† Συμπένθερε τῆς βασιλείας μου, πρωτοσπαθάριε κῦρ Ἀνδρόνικε Καντακουζηνέ. ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἀνέφερεν εἰς τὴν βασιλείαν μου, ὡς ἡ ἀποκαθιστᾶσα σεβασμία μονὴ ἡ εἰς ὄνομα τιμωμένη τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου καὶ ἐπικεκλημένη τοῦ Μενοικέως εὐεργετήθη διὰ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου . . . [τὸ] περὶ αὐτὴν τὴν δηλωθεῖσαν δὴ μονὴν ἀγρίδιον Μονόσπητον ὀνομαζόμενον κατὰ τὴν ποσότητα ὑπερπύρων λ΄, ὃ δὴ ἀπεσπάσθη πρὸ χρόνων παρὰ τοῦ δομεστίκου Γεωργίου τοῦ Στρατηγοῦ ἀπὸ τῆς οἰκονομίας τοῦ

πανσέπτου σεπτοῦ οἰκείου τῇ βασιλείᾳ μου, κῦρ Νικηφόρου τοῦ Μαρτίνου, ἐν δὲ τῷ καιρῷ τῆς συγχύσεως ἐκρατήθη πάλιν αὐτὸ καὶ ἐδόθη πρὸς τὸν τοιοῦτον πάνσεπτον σεπτὸν Μαρτῖνον διὰ γράμματος τοῦ θείου τῆς βασιλείας μου, τοῦ ἐν μοναχοῖς κυρίου Καλλίστου τοῦ Παλαιολόγου, δι' ἄμυναν καὶ κακίαν, ἣν εἶχε πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Ζιχνῶν, ὡς μὴ ἐνδειξάμενον εἰς τὴν αὐτὴν βασιλείαν μου εὐγνωμοσύνην τινὰ ἐν τῷ τοιούτῳ καιρῷ. εἶτα λαβὼν αὐτὸς [ὁ] σεπτὸς Μαρτῖνος καὶ ἀποκρύψας τὸ τοιοῦτον ἀγρίδιον, ἐδόθη, ὡς εἴρηται, διὰ χρυσοβούλλου πρὸς τὴν εἰρημένην σεβασμίαν μονήν, [ἥτις] ἐπορίσατο πρόσταγμα καὶ παρὰ τοῦ ἁγίου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ ἐδεήθη περὶ τούτου καὶ παρεκλητεύσατο τὴν βασιλείαν μου ὁ διαληφθεὶς θεοφιλέστατος ἐπίσκοπος, ἥτις καὶ τῆς δεήσεως αὐτοῦ ἐπακούσασα ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς αὖθις ἡγουμένως ἀποσπάσῃς ἀπὸ τοῦ τοιούτου πανσέπτου σεπτοῦ τοῦ Μαρτίνου τὸ αὐτὸ ἀγρίδιον καὶ παραδώσῃς τοῦτο πάλιν πρὸς τὸ μέρος τῆς διαληφθείσης σεβασμίας μονῆς, καὶ κατέχῃ καὶ νέμηται τοῦτο ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ κατὰ τὴν περίληψιν τοῦ ἐπιχορηγηθέντος αὐτῷ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ οὐδὲν εὑρίσκῃ τὸ μέρος αὐτῆς ἐπὶ τῇ μετοχῇ καὶ νομῇ καὶ πᾶσι τοῖς δικαίοις αὐτοῦ οὔτε παρὰ τοῦ δηλωθέντος πανσέπτου σεπτοῦ τοῦ Μαρτίνου, οὔτε παρ' ἄλλου τινὸς τῶν ἁπάντων εἰς τοῦτο καταδυναστείαν ἢ διενόχλησίν τινα καὶ ἐπίθεσιν, πρὸς δὲ τὸν τοιοῦτον πάνσεπτον σεπτὸν τὸν Μαρτῖνον οἰκονομήσῃς καὶ δοθῇ ἀπὸ ἐξαλειμματικῶν καὶ ἐλευθέρων τινῶν [στάσεων] ἰσόποσον. τὸν περὶ τούτου οὖν σκοπὸν καὶ τὸ θέλημα τῆς βασιλείας μου καταλαμβάνεις καὶ ἐπεμελήθητι καὶ ἀποπλήρωσον κατὰ τὸν παρόντα ὁρισμόν, ὃν καὶ ἀντίστρεψον πρὸς τὸ μέρος τῆς διαληφθείσης σεβασμίας μονῆς ἐπὶ τῷ προσεῖναι αὐτῇ δι' ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλης, μηνὶ αὐγούστῳ η' †.

Ioannides Nr. 8.

XXIII. Sine anno, 4. mensis septembris.

Rex Stephanus Dušan monachis monasterii S. Ioannis in monte Menoeceo concedit facultatem collocandi homines liberos in possessionibus eorum.

Ὁρισμὸς τοῦ κράλη διὰ τοὺς ἐλευθέρους.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῆς ἐν τῷ Μενοικέῳ διακειμένης ἀνέφερον, ὅτι

κέκτηνται περὶ τὸ [χωρίον] τοῦ Κραβασμούντου γῆν διὰ χρυσοβούλλου, καὶ παρεκάλεσαν καὶ ἐζήτησαν τὴν κραλλότητά μου, ἵνα γένηται ὁρισμὸς αὐτοῖς καὶ περισυλλέξωσι [ἀνθρώπους ἐλευθέρους] καὶ προσκαθίσωσι εἰς τὴν τοιαύτην γῆν αὐτῶν, τὴν παράκλησιν αὐτῶν προσδεξαμένη ἡ κραλλότης μου ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς τὸν παρόντα ὁρισμόν, δι' οὗ προστάζει καὶ διορίζεται, ἵνα ὅσους ἀνθρώπους ἐλευθέρους προσκαθίσωσιν εἰς τὴν εἰρημένην γῆν καὶ ἀλλαχοῦ, ἔνθα ἔχουσι γῆν, κατέχωσι τούτους ἀνενοχλήτως, ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ οὐδὲν εὑρίσκωσιν οὔτε ἀπὸ τῶν κατὰ καιροὺς κεφαλατικευόντων, οὔτε παρὰ τῶν [τὰ] δημόσια διενεργούντων ἢ ἀφ' ἑτέρου τινὸς τῶν ἁπάντων [διασεισμόν], ἀλλὰ διατηρῶνται ἀνενόχλητοι καὶ ἀκαταζήτητοι ἀπὸ πάσης ἐπηρείας καὶ δόσεως, καθὼς ἔχουσι καὶ τὰ λοιπὰ κτήματα αὐτῶν καὶ καθὼς διαλαμβάνουσι καὶ τὰ χρυσόβουλλα καὶ τὰ προστάγματα αὐτῶν. τούτου γὰρ χάριν ἐγένετο αὐτοῖς καὶ τὸ παρὸν πρόσταγμα τῆς κραλλότητός μου εἰς ἀσφάλειαν, μηνὶ σεπτεμβρίου δ' †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλλης †.

Ioannides Nr. 9.

XXIV. Sine anno.

Rex Stephanus Dušan confirmat donationem factam a magno domestico Alexio Raul.

Ἕτερον πρόσταγμα διὰ τὴν γῆν, ἣν δέδωκεν ὁ μέγας δομέστικος ὁ Ῥαούλ.

† Ἐπεὶ ὁ οἰκεῖος καὶ πεφιλημένος τῇ βασιλείᾳ μου, μέγας δομέστικος κῦρ Ἀλέξιος ὁ Ῥαούλ, δι' ἣν εἶδε στενοχωρίαν γῆς εἰς τὸ περὶ τὴν Ζίχνα μετόχιον τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ τιμίου Προδρόμου τοῦ ἐν τῷ ὄρει τοῦ Μενοικέως τὸ εἰς ὄνομα τιμώμενον τῶν Ἀσωμάτων, οἰκείᾳ γνώμῃ καὶ ἀγαθῇ προαιρέσει διέκρινε καὶ δέδωκε πρὸς αὐτὸ διὰ γράμματος αὐτοῦ μερικὴν γῆν, ψυχικῆς ἕνεκα σωτηρίας καὶ μνημοσύνου τῆς βασιλείας μου καὶ αὐτοῦ, ἐζήτησε δὲ καὶ παρεκάλεσε πλείονος ἕνεκα εἰς τὸ ἑξῆς ἀσφαλείας καὶ βεβαιώσεως τυχεῖν καὶ προστάγματος τῆς βασιλείας μου ἐπικυροῦντος τὴν αὐτοῦ προαίρεσιν καὶ πρᾶξιν ἀγαθὴν διὰ τοῦ ῥηθέντος γράμματος αὐτοῦ, τὴν τοιαύτην αὐτοῦ [παράκλησιν][1])

---

[1]) πρᾶξιν I.

ἀποδεξαμένη ἡ βασιλεία μου καὶ τὴν τούτου αἴτησιν ἐκπληρῶσαι βουληθεῖσα, ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος προστάγματος κατέχειν ἀπὸ τῆς σήμερον καὶ διὰ τὸ ἑξῆς ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, ἔτι καὶ ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ κατὰ λόγον γονικότητος τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τὴν τοιαύτην γῆν, ὡς καὶ τὰ λοιπὰ αὐτῆς κτήματα τὰ πρὸ πολλῶν ἤδη χρόνων προσόντα αὐτῇ καὶ τὴν ἐξ αὐτῶν πᾶσαν ὁμοίως ἀποφέρεσθαι καὶ ἀποκερδίζειν πρόσοδον, καθὼς ἡ τοῦ γράμματος τοῦ μεγάλου δομεστίκου περίληψις δηλοῖ καὶ διαλαμβάνει, καὶ ποιεῖν ἀκωλύτως πάντα τὰ κατὰ γνώμην καὶ μὴ εὑρεῖν ποτε τῇ ἐμφανείᾳ τοῦ παρόντος προστάγματος τῆς βασιλείας μου διενόχλησιν καὶ ἐπίθεσιν ἢ διασεισμὸν ἐπὶ τῇ νομῇ καὶ κατοχῇ τὸν τυχόντα παρὰ τοῦ [κατὰ] καιροὺς τὸ ῥηθὲν [χωρίον] τὴν Ζελιάχοβαν κατασχεῖν μέλλοντος. εἰ μὴ βούλοιτο κριθῆναι, ἀθετῇ τὰς . . .

Reliqua desunt.

Ioannides Nr. 10.

XXV. Sine anno.

Fragmentum aureae bullae [regis Stephani Dušan], qua confirmantur possessiones monasterii.

. . . καθὼς κατεῖχε ταῦτα τὸ διαληφθὲν μονύδριον κατὰ τὴν περίληψιν καὶ δύναμιν τοῦ ἐπὶ ταῖς τοιαύταις προσαγωγαῖς καὶ ἀγορασίαις ἐπιχορηγηθέντος τῷ μέρει τῆς τοιαύτης μονῆς θείου καὶ σεπτοῦ χρυσοβούλλου· ἑτέρα γῆ εἰς τὸν Λιβοβιστὸν ἀπὸ προσενέξεως τοῦ Ἀραβαντινοῦ ἐκείνου μοδίων σ', ἐν ᾗ συνεστήσατο τὸ μέρος τῆς τοιαύτης μονῆς ὀσπήτιον καὶ ἀμπέλια· χωράφια πλησίον αὐτοῦ ἀπὸ προσενέξεως [τοῦ] Μελισσηνοῦ μοδίων ιβ'· ἀμπέλιον ἀπὸ προσενέξεως τοῦ Βοτριδᾶ πλησίον τοῦ τοιούτου χωραφίου μοδίων ι'· ἐντὸς τοῦ κάστρου Σερρῶν πλησίον τῆς βασιλικῆς πόρτας οἶκον ἐργαστηριακὸν ἀπὸ προσενέξεως τοῦ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν, τοῦ Ζερβοῦ· ἕτερον οἶκον ἐργαστηριακὸν πλησίον τούτου ἐξ ἀγορασίας ἀπὸ τῆς Μαβσελέγγας· ἕτερον ἐξ ἀγορασίας τοῦ Θρίση· ἕτερον ἐξ ἀγορασίας ἀπὸ τοῦ Λουπηνάρη· ἕτερον ἐξ ἀγορασίας ἀπὸ τοῦ γαμβροῦ τοῦ Τοξαρᾶ· ἕτερον ἀπὸ προσενέξεως τοῦ Ἱερακνίζη· ἕτερον ξενοδοχικὸν οἶκον ἀπὸ προσενέξεως τοῦ Ἀραβάντα· κηποτόπιον εἰς τὸν πύργον τοῦ ἁγίου Νικολάου ἀπὸ προσενέξεως τοῦ Καρδάμη· τόπιον ἐντὸς τοῦ αὐτοῦ κάστρου, εἰς ὃ εὑρίσκετο πρότερον τζυμηλαρεῖον τῆς αὐτῆς μονῆς, εἶτα κατεχαλάσθη, ἐν ᾧ εὑρίσκονται καὶ

οἰκήματα ἐμφυτευτικά· ἕτερον τόπιον, ἐν ᾧ εὑρίσκονται καὶ οἰκήματα ἑταιριάρχου τοῦ Καλίδου καὶ τῆς ἀδελφῆς αὐτοῦ τῆς Φωκαίνης, ὑπὲρ ὧν τελοῦσι καὶ οὗτοι πρὸς τὸ μέρος τῆς ῥηθείσης σεβασμίας μονῆς τὸ ἐτήσιον ἐμφύτευμα· ἐντὸς τοῦ εἰρημένου κάστρου ὑδρομύλωνες ὁλοκαιρινοὶ ζ', ἐφ' οἷς καὶ ἐπορίσατο τὸ μέρος τῆς αὐτῆς σεβασμίας μονῆ ςκαὶ θεῖον καὶ σεπτὸν χρυσόβουλλον· ἕτερος[1]) ὑδρομύλων ἐξ ἀγορασίας ἀπὸ τοῦ Σιναδινοῦ· ἀμπέλι ἐν τῇ τοποθεσίᾳ τοῦ ἁγίου Βασιλείου ἀπὸ προσενέξεως [τοῦ] Φιλίππου· ἕτερον εἰς τὸν Ἐλαιῶνα ἀπὸ προσενέξεως τοῦ Τζίντζη καὶ [τὰ] τοῦ Βογολόγου χωράφια· ἐξάμπελα ἐν τῇ τοποθεσίᾳ τῶν Δανείων ἐξ ἀγορασίας καὶ ἀπὸ προσενέξεως Μιχαὴλ τοῦ Πελαργοῦ μοδίων υ'· ἕτερον χωράφιον ἀπὸ προσενέξεως τοῦ Ἀραβαντᾶ εἰς τὸ Ἀγελίτζην μοδίων ις'· γῆ ἀπὸ προσενέξεως καὶ [ἐξ] ἀγορασίας εἰς τὸν τόπον τῆς Μελιροίας πλησίον τῆς γῆς τῶν Κουβουκλέων μοδίων σξ'· ἑτέρα γῆ εἰς τὴν Κόσιαν πλησίον τῆς γῆς τοῦ Πελαργοῦ καὶ τοῦ δημοσιακοῦ συνόρου σὺν τῇ ἀπὸ τοῦ Ξιφέα μοδίων ρν'· ἑτέρα γῆ διαπεριόριστος πλησίον τῆς γῆς τῶν Κουβουκλείων καὶ τῆς γῆς τοῦ Πελαργοῦ μοδίων ͵αυ'· ἑτέρα γῆ εἰς τὸ Λειβάδιον μοδίων σ' ἄνευ τῆς ἐκεῖσε γῆς τοῦ Δραγόη, ἐν ᾗ εὑρίσκονται καὶ μυλοτόπια δύο, ἐφ' οἷς ἐπορίσατο κατὰ μέρος τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς θεῖον καὶ σεπτὸν χρυσόβουλλον· μετόχιον τιμώμενον εἰς ὄνομα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικεκλημένον τοῦ Γαστελέγκου μετὰ τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ καὶ τῶν σὺν αὐτῷ προσκαθημένων, ἐφ' ᾧ ἐπορίσατο καὶ τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς καὶ θεῖον καὶ σεπτὸν χρυσόβουλλον· περὶ τὸ αὐτὸ μετόχιον γῆν, ἥντινα ἐκράτει[2]) πρότερον ὁ μέγας λογοθέτης ὁ Μετοχίτης ἐκεῖνος καὶ ἐδόθη πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς διὰ θείου καὶ σεπτοῦ χρυσοβούλλου· ἐν τῇ τοποθεσίᾳ τῆς Στραστριβίτζας πλησίον τοῦ συνόρου τοῦ χωραφίου τοῦ Κραβασμούντου, τῆς ὁδοῦ τῆς ἐξερχομένης ἀπὸ τοῦ κάστρου Σερρῶν καὶ ἀπαγούσης εἰς τὸν κάπεστον τῆς γῆς τοῦ Λάσκαρη καὶ τοῦ ῥύακος μοδίων τετρακισχιλίων τετρακοσίων· ἑτέρα γῆ εἰς τὴν Ἰθέαν, ἥντινα εἶχεν ὁ . . . ἄμπελον μοδίων κ' ἢ χερσάμπελον[3]) μοδίων ς'· ἐξάμπελον μοδίων ιδ'· προβολὴν μακελλικήν· χωράφιον μοδίων ι'· ἕτερον μοδίων γ'· [προσκαθήμενοι] Μαρθαῖος ὁ χαλκεὺς ὁ Πεπλεγμένος ἤτοι ὁ Ἀνατολικός, ἔχει Ἄνναν γυναικαδέλφην τὴν Ποταμίαν, σύγγαμβρον ἐπ' αὐτῇ . . . μύρη ἐνοικιακὸν τέλος νομίσματα ιδ' μιλλιαρήσια . . . ὁ υἱὸς Τισουροῖς ἔχει μητέρα Θεοδώραν, οἰκιακὸν τέλος . . . εἰς τὸ χωρίον τὸν Πάνακον ἀπὸ τῶν Κυνηγῶν, χήρα ἡ τοῦ Μερζάνη, ἔχει υἱοὺς καὶ θυγατέρας καὶ Τερίλαν θυγατέρα Ζομπρίτζαν, γαμβρὸν ἐπ' αὐτῇ Βλάχον, τέλος

---

1) ἑτέρων I. 2) ἐκράτη I. 3) χρυσάμπελον I.

νομίσματα θ'. χήρα ἡ Δεσία ἔχει υἱὸν Κωνσταντῖνον, οἰκιακὸν τέλος νομίσματα θ', ἔχει Ζωρίτζαν ἀμπέλιον μοδίων ς', ἀπὸ τῆς γονικῆς αὐτοῦ ὑποστάσεως, μύλωνα καὶ χερσάμπελον μοδίων ς' καὶ γῆν μοδίων ρ', τέλος νομίσματα δ' ὑπὲρ τῆς ἐναποληφθείσης ἐξ αὐτῆς ἐξαλειμματικῆς ὑποστάσεως· χερσάμπελον μοδίων β' τῆς ἡμισείας μερίδος καὶ γῆς τέλος νομίσματα δ'· εἰς τὸ χωρίον τὸν Σφολὸν ἀπὸ τῆς ὑποστάσεως τοῦ Μερζάνη βαλανίδας· ἐπέκεινα δὲ τούτων ἔχει ἡ τοιαύτη μονὴ καὶ[1]) ἰδιόκτητα ταῦτα· περὶ τὰς Σέρρας μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τόπιον πλησίον αὐτοῦ, ἐν ᾧ προσκάθηνται καί τινες πτωχοί, ξένοι καὶ ἐλεύθεροι· ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου καὶ ἐπικεκλημένον τοῦ Κρυονερίτου, ὅπερ συνεστήσατο μὲν ἐκ βάθρων ὁ σακελλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν, ὁ Μουρμουρᾶς ἐκεῖνος, ἐξεδόθη δὲ μετὰ τὸν ἐκείνου θάνατον παρὰ τῆς συζύγου αὐτοῦ καὶ τῶν κατὰ νόμους κληρονόμων καὶ διαδόχων αὐτοῦ πρὸς τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς εἰδήσει καὶ προτροπῇ καὶ τοῦ ἱερωτάτου μητροπολίτου Σερρῶν καὶ ὑπερτίμου μετὰ τῆς προσηκούσης αὐτῷ ὑποστάσεως καὶ τῶν περὶ αὐτῷ οἰκημάτων καὶ τοῦ πλινθοκτίστου πύργου, ἀμπελοπεριβολίου γύρωθεν αὐτοῦ· ἕτερον ἀμπέλιον ἐν τῇ τοποθεσίᾳ τοῦ Καλογέρου· ἕτερον ἀμπελῶνα εἰς τὸν ἅγιον Ἰωάννην τῆς Ἡμίσεως· ἕτερον ἀμπελῶνα ἐν τῇ τοποθεσίᾳ τοῦ Ἐλαιῶνος στρέμματα β'· ἐντὸς τοῦ κάστρου Σερρῶν οἰκήματα ἀνωγαιωκάτω[γα] ς' ἐξ ἀνταλλαγῆς ἀπὸ Ξένου τοῦ Μουρκουρᾶ καὶ τῶν λοιπῶν πέντε τοῦ ἀνεψιοῦ αὐτοῦ τοῦ Μουρμουρᾶ· τὴν ἐξ ἀγορασίας ἀπὸ τῆς θυγατρὸς τοῦ Τρίβολ ἐκείνου μερίδας δύο, μόδια ρκ', ὡς τῆς λοιπῆς τρίτης μερίδος κατεχομένης παρὰ τοῦ Συναδικοῦ ἐξ ἀνταλλαγῆς τοῦ εἰρημένου Ξένου· ἕτερον χωράφιον εἰς τὴν Κούσταν πλησίον τοῦ Πηγδέρη μοδίων ο'· ἕτερον χωράφιον πλησίον τούτου μοδίων ι' ἐξ ἀγορασίας ἀπὸ τοῦ εἰρημένου Ξένου· ἕτερον χωράφιον πλησίον τοῦ μύλωνος τοῦ Παλούκη μοδίων δ' ἀπὸ προσενέξεως τοῦ Καναχίου καὶ εἰς τὸν Εὐαγγελίτζην· ἕτερον χωράφιον ἀπὸ προσενέξεως τοῦ Ἀπλεμιλὲ μοδίων β'· περὶ τοῦ Ζίχνα εἰς τὸ χωρίον . . .

Reliqua desunt.

Ioannides (Nr. 11) unit hoc fragmentum cum antecedente Nr. 10, id est praecepto regis de donatione domestici Raul. Nobis videtur esse fragmentum aureae bullae de possessionibus monasterii, cuius initium et finis desiderantur.

---

[1]) καὶ αὐτούς I.

XXVI. Sine anno.

Donatio facta monasterio a monacho Iacobo confirmatur.

Πρόσταγμα ἐπικυρωτικόν.

† Ἐπεὶ ὁ ἀπὸ τὸ κάστρον Ζιχνῶν [μοναχὸς][1]) ὁ Ἰάκωβος ἔχων διὰ χρυσοβούλλου τῆς βασιλείας μου περὶ τὸ τοιοῦτον κάστρον μονύδριον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας θεοτόκου καὶ ἐπικεκλημένον τῆς Ὀστρινῆς καὶ θεῖον ναὸν ἐπ' ὀνόματι τετιμημένον τῆς ἁγίας Ἀναστασίας, ἔτι δὲ καὶ εἰς τὸ χωρίον τὸν Θολὸν γῆν μοδίων σ' κατὰ λόγον γονικότητος καὶ κατέχων ταῦτα προσεκύρωσεν αὐτὸς διὰ γράμματος αὐτοῦ τῇ κατὰ τὸ Μενοίκεων ὄρος σεβασμίᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ταχθεὶς παρὰ τῶν ἐν αὐτῇ μοναχῶν διὰ γράμματος αὐτῶν, ἔχειν ἀπὸ τούτων χάριν κυβερνήσεως αὐτοῦ[2]), ὅσον δεῖται καὶ διαλαμβάνεται ἐν αὐτῷ καὶ παρεκάλεσε γενέσθαι αὐτῷ εἰς τοῦτο καὶ πρόσταγμα, ἡ βασιλεία μου τὸν παρόντα ὁρισμὸν ἐπιχορηγεῖ αὐτῷ, δι' οὗ καὶ διορίζεται . . .

Reliqua desunt.

Ioannides Nr. 12.

XXVII. Sine anno, 6. mensis octobris.

Rex Stephanus Dušan donat monasterio agrum dictum Podolini. Initium deest.

. . . οἱ μοναχοὶ τῇ κατὰ τὸ ὄρος τῶν Σερρῶν τὸ καλούμενον Μενοίκεων . . . σεβασμίᾳ μονῇ τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας [μου], ῥηγαίνης, κραλλαίνης Σερβίας τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ᾐτήσαντο τὴν βασιλείαν μου τὸ περὶ τὸ ζευγηλατεῖον αὐτῆς τὸ καλούμενον Ποδολινοῦ εὑρισκόμενον αὐλάκιον, ὅπερ ἦν πλησίον τοῦ μετοχίου τῆς αὐτῆς μονῆς τοῦ Ἐσφιγμένου[3]), τὴν παράκλησιν αὐτῶν προσδεξαμένη ἡ βασιλεία μου ἔχει θέλημα καὶ διορίζεταί σοι, ἵνα, καθὼς δέξῃ τὸ παρὸν πρόσταγμα, παραδώσῃς τὸ εἰρημένον αὐλάκιον μετὰ τῆς ἐν αὐτῷ βάλτης καὶ νομῆς καὶ περιοχῆς αὐτοῦ, τοίνυν καὶ ἀποπλήρωσον, ὡς τὸ παρὸν τῆς βασιλείας μου διορίζεταί σοι πρόσταγμα, ὃ καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν, ἵνα καὶ

---

1) Confer dipl. Nr. XI. 2) αὐτῶν I. 3) Ἐσφαγμένου I.

οἱ μετὰ σὲ ἐνασχολούμενοι τὰ τοιαῦτα κτήματα διατηρῶσιν αὐτοὺς ἀνενοχλήτους. μηνὶ ὀκτωβρίου ς' †.

Ioannides Nr. 13.

XXVIII. [6853—1353], mense octobri, ind. VI.

Rex Stephanus Dušan confirmat monasterio possessionem metochii Sanctae Barbarae.

Ἕτερον πρόσταγμα τῆς βασιλείας κυρίου Στεφάνου περὶ τῆς ἁγίας Βαρβάρας.

† Ἐπεὶ οἱ εὑρισκόμενοι μοναχοὶ ἐν τῇ κατὰ τὸ ὄρος τοῦ Σερρῶν, τὸ καλούμενον Μενοίκεων, διακειμένῃ σεβασμίᾳ μονῇ τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς ὑψηλοτάτης ῥηγαίνης Σερβίας, τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ ἁγίου ἐνδόξου προφήτου [Προδρόμου] καὶ Βαπτιστοῦ Ἰωάννου ᾐτήσαντο τὴν βασιλείαν μου τὸν περὶ τὸ ζευγηλατεῖον αὐτῆς τὸ καλούμενον Βερνάρους εὑρισκόμενον εὐκτήριον οἶκον, τὸν εἰς ὄνομα τιμώμενον τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας, ὅπως εὑρίσκηται εἰς μετόχιον τῆς κατ' αὐτοὺς τοιαύτης μονῆς, τὴν αἴτησιν αὐτῶν προσδεξαμένη ἡ βασιλεία μου διορίζεται ἐπιλαβέσθαι καὶ κατέχειν αὐτοὺς τὸν δηλωθέντα εὐκτήριον οἶκον μεθ' ὧν κέκτηνται εἰς μετόχιον τῆς διαληφθείσης μονῆς, καὶ μὴ εὑρίσκειν ἐπὶ τῇ κατοχῇ αὐτοὺς παρά τινος διασεισμὸν ἢ διενόχλησιν οἱανδήτινα. τούτου γὰρ χάριν ἀπελύθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τοῦ Προδρόμου καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου, ὀφεῖλον προσεῖναι αὐτῇ δι' ἀσφάλειαν †.

† Εἶχε δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος πιστὸς ἐν Χριστῷ τῷ θεῷ κράλης καὶ αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας, μηνὶ ὀκτωβρίῳ ἰνδ. ς' †.

Ioannides Nr. 14. Ind. VI. est etiam anni 1338.

XXIX. Sine anno.

Rex Stephanus Dušan donat monasterio Sanctae Anastasiae Pharmacolytriae bona fratrum Cyriaulorum sita in vico Castitza.

Πρόσταγμα Στεφάνου τοῦ κράλη Σερβίας καὶ Ῥωμανίας.

† Ἡ κραλότης μου ἔχει θέλημα καὶ διορίζεται διὰ τοῦ παρόντος αὐτῆς προστάγματος καὶ εὐεργετεῖ πρὸς τὴν σεβασμίαν μονὴν τῆς ἁγίας ἐνδόξου μεγαλο-

μάρτυρος Ἀναστασίας τῆς Φαρμακολυτρίας τῆς περὶ τὸ χωρίον τὴν· Κάστιτζαν διακειμένης τὴν περὶ τὸ αὐτὸ χωρίον πᾶσαν ὑπόστασιν τῶν δύο αὐταδέλφων, ἱερέων τῶν Κυριαύλων ἐκείνων καὶ κληρικῶν τῆς καθολικῆς ἐκκλησίας Ζελιχόβας, τοῦ τε κυρίου Δημητρίου καὶ τοῦ κυρίου Γεωργίου, καὶ ὀφείλει κατέχειν καὶ νέμεσθαι ταύτην πᾶσαν, καθὼς καὶ παρ' ἐκείνων κατείχετο καὶ ἐδεσπόζετο, ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως, ἐλευθέραν πάντη καὶ ἀκαταδούλωτον καὶ ἀνωτέραν παντὸς τέλους καὶ βάρους, ὡς καὶ τὰ ἄλλα πάντα, ὅσα εὑρίσκεται κατέχουσα καὶ νεμομένη, καὶ συνιστᾷν καὶ βελτιοῦν, καθὼς ἂν ἠμπορῇ καὶ δύνηται ὁ κατὰ καιροὺς αὐτῆς προϊστάμενος, καὶ ἁπλῶς ποιεῖν καὶ ἐπ' αὐτῇ, ὅσα καὶ ἐπὶ τοῖς ἄλλοις προσοῦσι ἐξ ἀρχῆς, μηδενὸς τῶν ἁπάντων τῶν τε κατὰ καιροὺς καθολικῶς ἢ μερικῶς ἐν τῷ τοιούτῳ τόπῳ κεφαλαττικευόντων ἢ τῶν τὰ δημόσια διενεργούντων ἢ τῶν κληρικῶν Ζελιχόβης ἢ ἑτέρου τινὸς τῶν ἁπάντων ἐπίθεσίν τινα καὶ ἐπήρειαν ἢ διασεισμὸν καὶ ἐποδισμὸν τῶν τυχόντων τῇ ῥηθείσῃ προσαγαγεῖν μονῇ ἐπὶ τῇ κατοχῇ καὶ νομῇ τῆς αὐτῆς ὑποστάσεως. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν πρόσταγμα τῆς κραλότητός μου δι' ἀσφάλειαν †.

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τό· Στέφανος Κράλλης †.

Ioannides Nr. 15.

XXX. Sine anno, mense octobri.

Rex Stephanus Dušan dirimit controversiam ortam inter monachos monasterii S. Ioannis in monte Menoeceo et monachos monasterii Iberorum in monte Atho de loco dicto Ceranitza.

Ἕτερον πρόσταγμα τοῦ αὐτοῦ κράλλη καὶ βασιλέως κῦρ Στεφάνου.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῆς κατὰ τὸ ὄρος τῶν Σερρῶν τὸ καλούμενον Μενοίκεων διακειμένης ἀνέφερον, ὅτι κατέχοντες τόπον τινὰ εἰς τὸ τοιοῦτον ὄρος, καλούμενον Κεράνιτζαν, διὰ διαφόρων ἀπογραφικῶν δικαιωμάτων ἐπὶ χρόνοις ἱκανοῖς ἀνενοχλήτως, εὗρον πρὸ ὀλίγου διενόχλησιν καὶ ἐπίθεσιν ἐπ' αὐτῷ παρὰ τῶν εἰς [τὸ] ἅγιον ὄρος τοῦ Ἄθω εὑρισκομένων μοναχῶν Ἰβήρων, ἐχόντων καὶ αὐτῶν μετόχιον εἰς τὸ αὐτὸ ὄρος τοῦ Μενοικέως, οἷς καὶ τοπικῶς πολλάκις ἀντικριθέντες πολλαῖς ταῖς μαρτυρίαις καὶ ταῖς περιστάσεσιν ἀπέδειξαν, αὐτῶν εἶναι τὸν ῥηθέντα τόπον τὴν Κεράνιτζαν, μὴ ἐφησυχαζόντων δὲ τῶν μοναχῶν τῶν δηλωθέντων Ἰβήρων ταῖς τοιαύταις τοπικαῖς κρίσεσί τε καὶ ἀποδείξεσιν, ἀνέδραμον οἱ τοιοῦτοι μοναχοὶ τῆς εἰρημένης σεβασμίας μονῆς τοῦ Προδρόμου καὶ ἐπορίσαντο πρόσταγμα παρὰ

τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, πρός τε τὸν συμπένθερον αὐτὸν τῆς βασιλείας μου, πρωτοβεστιαρίτην κῦρ Ἀνδρόνικον τὸν Καντακουζηνόν, ὃς εὑρίσκετο εἰς κεφαλὴν τοῦ τόπου τῶν Σερρῶν, ἔτι δὲ καὶ τὸν οἰκεῖον τῇ βασιλείᾳ μου, κύριον Δημήτριον Ἄγγελον τὸν Μετοχίτην, εὑρισκόμενον ἀρτίως εἰς κεφαλὴν τοῦ αὐτόθι τόπου τῶν Σερρῶν, καὶ ἐδικαιώθησαν καὶ παρ' ἀμφοτέρων αὐτῶν ἐγγράφως, ἐδεήθησαν δὲ τυχεῖν ἐπὶ ταῖς τοιαύταις κρίσεσι καὶ προστάγματος τῆς βασιλείας. τῆς τοιαύτης δεήσεως αὐτῶν ἐπακούσασα ἡ βασιλεία μου τὸ παρὸν ἐπιχορηγεῖ αὐτοῖς πρόσταγμα, δι' οὗ διορίζεται, κατέχειν τὴν διαληφθεῖσαν μονὴν τοῦ τιμίου Προδρόμου τὸν ῥηθέντα τόπον τὴν Κεράνιτζαν κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ[1]), ὡς εἴρηται, ἀπογραφικῶν δικαιωμάτων, ἔτι δὲ καὶ ὡς ἐδικαιώθησαν οἱ ἐν αὐτῇ μοναχοὶ διὰ τῶν εἰρημένων κρίσεων καὶ μὴ εὑρίσκειν τὸ ἀπὸ τοῦδε παρὰ τῶν δηλωθέντων μοναχῶν Ἰβήρων ἐπὶ τῷ ῥηθέντι τῆς Κερανίτζης τόπῳ τὴν τυχοῦσαν ἐπίθεσιν ἢ διενόχλησιν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐχορηγήθη τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ τοῦ Προδρόμου καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα μηνὶ ὀκτωβρίῳ . . .

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλης αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας †.

Εὑρίσκονται δὲ καὶ προσκαθήμενοι ἐν τῷ τοιούτῳ ἀγριδίῳ τῆς Κερανίτζης ἔκπαλαι, οἳ καὶ καταλογίζονται ὡς γονικοὶ τῆς μονῆς, οἳ καὶ ἔχουσιν οὕτως . . .

Nomina desunt.

Ioannides Nr. 18.

XXXI. [6854—1346], mense aprili, ind. XIV.

Rex Stephanus Dušan concedit Georgio Phocopulo jus erigendi molam.

Πρόσταγμα διὰ τὸν μύλωνα τοῦ αὐτοῦ Φωκοπούλου τοῦ βασιλέως κυρίου Στεφάνου.

† Ἐπεὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου, κῦρ Γεώργιος ὁ Φωκόπουλος, ἐδικαιώθη διὰ γράμματος τοῦ οἰκείου αὐτῇ κεφαλῆς[2]) τῆς θεοσώστου πόλεως Σερρῶν, κυρίου Μ . . . τοῦ Ἀβραμπάκη, καὶ τῶν λοιπῶν ἀρχόντων τῆς βασιλείας μου καὶ τῶν ἐντιμοτάτων ἐκκλησιαστικῶν ἀρχόντων, ὥστε ποιῆσαι σύνεγγυς τοῦ μύλωνος αὐτοῦ καὶ ἕτερον ὑδρομύλωνα, καὶ ἐδεήθη ἐπὶ τῷ τοιούτῳ δικαιωτηρίῳ γράμματι καὶ

---

[1]) αὐτῶν I. [2]) αὐτῷ κεφαλῇ I.

προστάγματος τῆς βασιλείας μου εἰς ἀνενοχλησίαν αὐτοῦ, ἡ βασιλεία μου εὔλογον καὶ δικαίαν τὴν τοπικὴν ἐξέτασιν καὶ διάγνωσιν κρίνασα, ἐπεὶ δὲ καὶ [δι'] ἐπιστασίας ἀσφαλοῦς ἐγένετο καὶ ἠκριβωμένης, ἔχει θέλημα καὶ διορίζεται, ἵνα κατὰ τὴν περίληψιν τοῦ γεγονότος αὐτῷ δὴ τῷ Φωκοπούλῳ γράμματος παρά τε τῆς κεφαλῆς καὶ τῶν λοιπῶν ἀρχόντων, ὡς εἴρηται, ἔχει πᾶσαν ἄδειαν, ὅσον ἐδικαιώθη νὰ ποιήσῃ καὶ εἰς τὸ ὀσπήτιον τοῦ μύλωνος αὐτοῦ καὶ ἕτερον ἐργαστήριον, καὶ νέμηται τοῦτο ἀκωλύτως καὶ ἀνεμποδίστως, καὶ οὐδὲ τὸ ἀντίθετον τούτου μέρος, ἤγουν οἱ παῖδες τοῦ Διπλοβατάτζη ἐκείνου, διενοχλήσουσιν ἀπὸ τοῦ νῦν χάριν τῆς τοιαύτης ὑποθέσεως, ἀλλὰ μένωσιν εἰρηνεύοντες καὶ στέργοντες, ὅσον ἡ τοπικὴ ἐπιστασία καὶ διάγνωσις ἀπεφήνατο δίκαιον. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα, μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' †.

† Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος πιστὸς βασιλεὺς καὶ κράλης ἐν Χριστῷ τῷ θεῷ Σερβίας καὶ Ῥωμανίας †.

Ioannides Nr. 20. Solus annus regni Stephani undecimus, qui est 1346, habet indictionem XIV.

XXXII. [6857—1349], mense martio, ind. II.

Rex Stephanus Dušan adjudicat monasterio molam.

Δικαιώματα τῆς Τριμυλίας πρόσταγμα.

† Πάνσεπτε σεπτὲ δοὺξ τοῦ θέματος Βολεροῦ καὶ Μοσυνοπόλεως, Σερρῶν καὶ Στρυμόνος[1]), κῦρ Μανουὴλ Λιβερέ. οἱ ἀπὸ τῆς κατὰ τὰς Σέρρας σεβασμίας μονῆς τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου μοναχοὶ ἀνέφερον τῇ βασιλείᾳ μου, ὅτι προσῆν ἔκπαλαι τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ μυλοτόπιον, ὃ δὴ μυλοτόπιον ἀνεδέξατό τις Σανιάνος λεγόμενος ἀπὸ [τοῦ] καθηγουμενεύσαντος πρὸ χρόνων ἐν τῇ τοιαύτῃ μονῇ, Ἀντωνίου τοῦ Μοσχοπόλου, ἵν' ἐγείρῃ μύλωνα ἐπ' αὐτῷ ἐξ οἰκείων ἐξόδων, καὶ ἐποίησε συμφωνίαν ἔγγραφον, ὅπως ἔχῃ αὐτὸς ὁ Σανιάνος μετὰ τῶν δηλωθέντων μοναχῶν τὸν τοιοῦτον μύλωνα ἐξ ἡμισείας, καὶ μερίζωσιν ἐπίσης τὴν ἐξ αὐτοῦ εἴσοδον, μέχρις ἂν τοῖς ζῶσιν οὗτος συγκαλέγηται, μετὰ δὲ τὴν τελευτὴν αὐτοῦ ἐπανέρχηται πάλιν καὶ ἡ ἑτέρα ἡμίσεια μερὶς τοῦ αὐτοῦ μύλωνος πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς· ὡς δ' ἐτελεύτησεν ὁ εἰρη-

---

1) Στρυμμόνος I.

μένος καθηγούμενος, ἐξηπόρησεν ἡ τοιαύτη μονή, διὸ οὐκ εἶχε τινὰ τὴν φροντίδα τῆς προστασίας αὐτοῦ, καὶ διὰ τοῦτο εὗρεν ἄδειαν ὁ ῥηθεὶς Σανιάνος, καὶ ἐκράτησεν ἐξ ὁλοκλήρου τὸν τοιοῦτον μύλωνα, κατεδυνάστευσεν ἐν ταὐτῷ ἐπὶ [τῷ] τοιούτῳ μύλωνι ὡς ἐκκλησιαστικῷ ὄντι κληρικός τις τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν ὁ Ζυμαρᾶς λεγόμενος, καὶ ἐλάμβανεν ἀπὸ τῆς εἰσόδου [τοῦ] μύλωνος καθ' ἕκαστον μῆνα μόδιον· ὡς δὲ ἐτελεύτησε καὶ οὗτος ὁ Ζυμαρᾶς καὶ ὁ ῥηθεὶς Σανιάνος, καὶ προσεκάθησεν ἐν τῇ σεβασμίᾳ μονῇ, καὶ οἱ τοιοῦτοι μοναχοὶ καὶ περιποιήσαντο καὶ συνέστησαν αὐτήν, [καὶ] ἀπελάβοντο μετὰ τῶν ἄλλων ὧν εἶχεν ἡ τοιαύτη μονή, καὶ [τὴν εἴσοδον][1]) τοῦ μύλωνος τοῦ τοιούτου, οἱ παῖδες δὲ τοῦ Ζυμαρᾶ ἐκείνου οὐδὲν ἐῶσιν, ἵνα κατέχωσιν οἱ τοιοῦτοι μοναχοὶ τὸν τοιοῦτον μύλωνα μετὰ τῆς εἰσόδου αὐτοῦ [τῆς διαφερούσης εἰς] τὴν διαληφθεῖσαν [μονὴν] κατὰ τὴν συμφωνίαν, ἣν ἐποίησε πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς ὁ ῥηθεὶς Σανιάνος ἐκεῖνος, ἀλλὰ καταδυναστεύουσι καὶ κρατοῦσι τοῦτο καὶ ἀδικοῦσι αὐτήν· καὶ ἐδεήθησαν χάριν τούτου τῇ βασιλείᾳ μου, ὅθεν διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν τηρήσῃς τὰ περὶ τούτου, καὶ εἴπερ εὑρήσεις οὕτως ἔχουσαν τὴν ἀλήθειαν, καθὼς ἀνέφερον, οἰκονομήσῃς, ἵνα μὴ ἀδικῶνται οἱ τοιοῦτοι μοναχοί, ἀλλ' ἐπαίρωσιν ἀκαταδυναστεύτως τὴν διαφέρουσαν εἴσοδον τοῦ τοιούτου μύλωνος κατὰ τὸ πρεσὸν αὐτοῖς δίκαιον, ἐπιφωνησάμενος καὶ τοῖς ῥηθεῖσι παισὶ τοῦ Ζυμαρᾶ ἐκείνου ἀπέχειν τέλεον ἀπὸ τοῦ τοιούτου μύλωνος. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν †.

† Εἶχε καὶ ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό. Στέφανος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας, μηνὶ μαρτίῳ ἰνδ. β' †.

Ioannides Nr. 22. Solus annus decimus quartus regni Stephani Dušan, qui est 1349, habet indictionem II.

XXXIII. [6860—1352], mense februario, ind. V.

Rex Stephanus Dušan confirmat monasterio Sanctae Anastasiae possessionem vici, dicti Ostrina.

Ἕτερον πρόσταγμα τοῦ αὐτοῦ κράλη.

† Ἐπεὶ ἡ σεβασμία μονὴ τῆς ἁγίας μεγαλομάρτυρος καὶ ἐνδόξου Ἀναστασίας κέκτηται παλαιὸν χωρίον περὶ τὴν Ζίχνα τὸ λεγόμενον Ὀστρινὴν διά τε παλαι-

[1]) Sic supplendum videtur ex illis, quae sequuntur.

γενῶν δικαιωμάτων, ἀλλὰ δὴ καὶ ἀπογραφικῶν ἀποκαταστάσεων, καὶ ἐζήτησε καὶ παρεκλήτευσε τῇ βασιλείᾳ μου ὁ ἐν αὐτῇ ἀσκούμενος τιμιώτατος ἐν μοναχοῖς, κῦρ Ἰάκωβος, ἵνα γένηται καὶ πρόσταγμα τῆς βασιλείας μου, τὴν παράκλησιν αὐτοῦ εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου τὸ παρὸν πρόσταγμα ἀπολύει, δι' οὗ διορίζεται, ἵνα ἡ τοιαύτη μονὴ τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος Ἀναστασίας κατέχῃ τὸ τοιοῦτον παλαιοχωρίον, ἀλλὰ δὴ καὶ εἴ τι ἄλλο κέκτηται διά τε παλαιγενῶν δικαιωμάτων καὶ ἀπογραφικῶν ἀποκαταστάσεων ἀταράχως πάντη καὶ ἀδιασείστως, ἔτι τε ἀνεμποδίστως καὶ ἀναποσπάστως, καὶ οὐδεὶς τῶν ὑπὸ τὴν βασιλείαν μου εὑρισκομένων κεφαλάδων καθολικῶν ἢ μερικῶν ζουπάνων ἕξει ἄδειαν διασεῖσαι ἢ διενοχλῆσαι ἢ ἀπαιτῆσαι τὸ τυχόν, ἀλλὰ καθέξει καὶ νεμηθήσεται ἡ τοιαύτη σεβασμία μονὴ τῆς ἁγίας Ἀναστασίας τὸ τοιοῦτον παλαιοχωρίον μετὰ πάντων τῶν προνομιῶν αὐτοῦ καὶ εἴ τι[να] ἄλλα κέκτηται ἐλεύθερα καὶ ἀκαταζήτητα, μὴ παρά τινος εὑρίσκουσα τὸν τυχόντα λόγον ἢ ἐμποδισμὸν ἢ διενόχλησιν τὴν τυχοῦσαν, ὀφείλει δὲ καὶ ὁ οἰκεῖος αὐτῇ κύριος . . . ὁ λογοθέτης δεφενδεύειν καὶ οὐκ ἐᾶν διενοχλεῖν τι τὸ τυχὸν ἐξ αὐτῶν δὴ τῶν δηλωθεισῶν μονῶν. καὶ τούτου χάριν ἐγένετο καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου δι' ἀσφάλειαν †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· μηνὶ φεβρουαρίῳ ἰνδ. ε' †.

Ioannides Nr. 16. Solus annus decimus quintus regni Stephani Dušan, qui est 1352, habet ind. V.

XXXIV. 6860—1352, mense majo, ind. V.

Rex Stephanus Dušan confirmat Georgio Phocopulo omnes possessiones conceditque ei facultatem donandi eas monasterio.

Χρυσόβουλλον τοῦ βασιλέως Στεφάνου περιεκτικὸν εἰς τὰ γράμματα τοῦ κυρίου Φωκοπούλου.

† Ἐπεὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου, κύριος Γεώργιος ὁ Φωκόπουλος, ἐζήτησε καὶ παρεκάλεσεν, ὅπως διορίσηται ἡ βασιλεία μου καὶ κατέχῃ διὰ χρυσοβούλλου αὐτῆς ἀνενοχλήτως καὶ ἀνυστερήτως τὰ ἐξ ἀγορᾶς καὶ οἰκείων κόπων καὶ ἀναλωμάτων προσόντα τούτῳ οἰκήματα ἐντὸς τῆς θεοσώστου πόλεως Σερρῶν καὶ τοὺς ἐκτὸς ὑδρομύλωνας καὶ τὸ ἀμπέλι, ἔτι τε τὸ εἰς Λεστιανὴν ζευγηλατεῖον, ὅσον ἐστί, ἀλλὰ δὴ καὶ τὴν εἰς τὴν Τούμβαν γῆν τῶν τριακοσίων μοδίων, καὶ ἔχῃ ἐπ' ἀδείας προσηλῶσαι ταῦτα καὶ εἰς μοναστήριον, ἔνθα ἄρα θελήσῃ καὶ βουληθῇ, τὴν παρά-

κλησιν αὐτοῦ εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον [αὐτῆς] ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τούτῳ, δι' οὗ προστάσσει καὶ διορίζεται, ὡς ἂν κατέχῃ ὁ ῥηθεὶς Φωκόπουλος τὰ κατὰ μέρος γεγραμμένα κτήματα καὶ οἰκήματα ἀνενόχλητα καὶ ἀνυστέρητα, ἔτι [τε] ἀναφαιρέτως καὶ ἐκτὸς πάσης καὶ παντοίας περιφρονήσεως καὶ ἀδικίας, καὶ οὐδὲν ἕξειν ἄδειαν ἁπάντων τῶν ἀρχόντων καὶ ἀρχοντοπούλων τῆς βασιλείας μου ἢ ἐν τοῖς οἰκήμασιν αὐτοῦ εἰσελθεῖν ἢ πλεονεκτικὴν καὶ ἄδικον[1]) χεῖρα ἐπὶ τοῖς κτήμασι κινῆσαι αὐτοῦ, ἀλλὰ τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει οὗτος καὶ εἰς τὸ ἑξῆς τά τε οἰκήματα αὐτοῦ καὶ τὰ ῥηθέντα ἅπαντα κτήματα χωρὶς πάσης ἀδικίας καὶ περιφρονήσεως καὶ ἐπιθέσεως, ὡς καὶ μέχρι τοῦ νῦν κατέχει καὶ δεσπόζει ταῦτα, καὶ εἰς οἷον μοναστήριον βουληθῇ προσιέναι ταῦτα ἢ καὶ τῷ βίῳ περιὼν ἔτι ἢ καὶ μετὰ θάνατον αὐτοῦ, ἵνα κατέχωνται καὶ παρὰ τῆς μελλούσης προστεθῆναι σεβασμίας μονῆς παρ' αὐτοῦ κατὰ τὸν ἴσον καὶ ὅμοιον τρόπον, ὃν κατεῖχε καὶ ἐδέσποζε ταῦτα ὁ ῥηθεὶς Φωκόπουλος. ἀσφαλείας γὰρ ἕνεκα καὶ τῆς εἰς τὸ ἑξῆς ἀνενοχλησίας ἐγένετο καὶ ἀπελύθη καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου κατὰ μῆνα μάιον τῆς ἐνισταμένης ε' ἰνδικτιῶνος τοῦ ,ςωξ' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Εἶχε καὶ ὑπογραφὴν τῆς βασιλικῆς καὶ θείας χειρὸς δι' ἐρυθρῶν γραμμάτων τό· Στέφανος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας †.

Ioannides Nr. 21.

XXXV. [6862—1353], mense septembri, ind. VI.

Rex Stephanus Dušan jubet dirimi controversiam ortam inter monachos monasteriorum S. Ioannis Menoecei et Anargyrorum in loco Ceranitza.

Βασιλικὸν πρόσταγμα εἰς τὴν τοιαύτην ὑπόθεσιν.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, μέγα χαρτουλάριε, κεφαλὴ Βολεροῦ καὶ Μοσυνοπόλεως, Σερρῶν καὶ Στρυμόνος, ἔτι τε καὶ τῆς χώρας Κρασοβᾶς, κῦρ Ἀνδρόνικε Κανταχουζηνέ. ἡ βασιλεία μου ἐγνώρισεν ἐξ ἀναφορᾶς τῶν μοναχῶν τοῦ κατὰ τὰς Σέρρας εὑρισκομένου μοναστηρίου τοῦ εἰς ὄνομα τιμωμένου τοῦ τιμίου ἐνδόξου

---

[1]) ἄδικον αὐτοῦ ἐπὶ τ. κτ. κινῆσαι αὐτοῦ I.

προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ὡς ἔχουσι μετ' αὐτῶν οἱ μοναχοί, οἵτινες εὑρίσκονται εἰς τὸ πλησίον αὐτῶν μοναστήριον τὸ εἰς ὄνομα τιμώμενον τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων διενέξεις καὶ ὀχλήσεις οὐκ ὀλίγας εἰς περιορισμόν, ὃν ἔχουσιν οἱ τοιοῦτοι μοναχοὶ ἐν τῇ τοποθεσίᾳ τῇ λεγομένῃ τῆς Κερανίτζης, καὶ παρεκάλεσαν περὶ τούτου [τυχεῖν δικαιωτηρίου γράμματος τῆς βασιλείας μου][1]. ἔχει γοῦν θέλημα καὶ διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν μετακαλέσῃς καὶ τοὺς ἐκκλησιαστικοὺς τῆς αὐτόθι ἁγιωτάτης μητροπόλεως Σερρῶν, ἔτι δὲ καὶ ἐκκρίτους[2] τινὰς τοπικοὺς ἔχοντας εἴδησιν ἀκριβῆ περὶ τούτου, καὶ ἐξετάσῃς τὰ[3] περὶ τούτου μετὰ πάσης ἀληθείας καὶ δικαιοσύνης καὶ ἔκτοτε ἀποκαταστήσῃς ἕκαστον τῶν τοιούτων μοναστηρίων τὸν οἰκεῖον περιορισμὸν καὶ τὰ δίκαια πάντα αὐτῶν ἀνενοχλήτως κατὰ τὰς ἀπογραφικὰς κατασάσεις καὶ τὰ λοιπὰ δικαιώματα, ἅπερ κέκτηνται ἐπὶ τοῖς δικαίοις αὐτῶν, καὶ μὴ ἔχειν αὐτοὺς μετ' ἀλλήλων διενέξεις καὶ ὀχλήσεις τινάς· θέλημα δὲ ἔχει ἡ βασιλεία μου, ὅπως οἰκονομήσῃς καὶ γένηται ὁ ἰσασμὸς αὐτῶν κατὰ τοῦ δικαίου καὶ τῆς ἀληθείας λόγου καὶ εἰρηνεύσωσι τοῦ λοιποῦ πρὸς ἀλλήλους. ἐπιμελήθητι δὲ καὶ ποίησον, ὡς τὸ παρὸν διορίζεταί σοι πρόσταγμα †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τό· Στέφανος κράλλης Σερβίας καὶ Ῥωμανίας, μηνὶ σεπτεμβρίου ἰνδ. ϛ' †.

Ioannides Nr. 17. Annus quartus et decimus nonus regni Stephani, qui est 1353, habent indictionem VI. nz. Diplomata partim extant in codice metochii Sancti Sepulcri in urbe Constantinopoli: edidit C. N. Sathas in vol. primo collectionis inscriptae Μεσαιωνοκὴ Βιβλιοθήκη. *Venetiis. 1872. p. 211, partim in codice monasterii: descripsit Georgius Ioannides anno 1856. Ejus apographum nobis concessit Carolus Hopf. Codex incendio periit.*

---

1) Lacuna sic explenda videtur. 2) ἐγκρίτους I. 3) τὰς I.

V.

Diplomata concessa Michaëli Attaliatae et hospitio pauperum ab eo instituto in civitate Rhaedesto.

I. 6583—1074, mense octobri, ind. XIII.

Imperator Michaël Ducas Parapinaces tuetur jura et exemptiones possessionum Michaëlis Attaliatae.

Τὸ ἴσον τοῦ χρυσοβούλλου τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα τοῦ καταστρωθέντος εἰς τὸ σέκρετον τοῦ γενικοῦ λογοθέτου κατὰ τὸν μάρτιον μῆνα τῆς ιγ' ἰνδικτιῶνος καὶ εἰς τὸ σέκρετον τῶν οἰκειακῶν τὴν κη' μαρτίου μηνὸς ἰνδικτιῶνος ιγ' καὶ εἰς τὸ σέκρετον τῆς σακκέλλης εἰς μῆνα μάρτιον ἰνδικτιῶνος ιγ' καὶ εἰς τὸ σέκρετον τοῦ οἰκονομίου τῶν εὐαγῶν οἴκων κατὰ τὴν τριακοστὴν τοῦ μαρτίου μηνὸς ἰνδικτιῶνος ιγ' καὶ εἰς τὸ σέκρετον τοῦ στρατιωτικοῦ λογοθέτου κατὰ τὴν ιδ' μηνὸς ἀπριλλίου ἰνδικτιῶνος ιγ'.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Μιχαὴλ ἐν Χριστῷ ὀρθόδοξος βασιλεὺς καὶ αὐτοκράτωρ[1]) Ῥωμαίων ὁ Δούκας †.

† Ὡς οὐδέν τι τῶν ἁπάντων ἄλλο δεσπότου ψυχὴν φιλότιμον φιλοτιμοτέραν εἰς ἀεὶ ἑαυτῆς ἀπεργάζεσθαι δύναται, ὡς πίστις εἰλικρινὴς ὑπηκόου εὐγνώμονος καὶ πρὸς τὴν τοῦ δεσπότου θεραπείαν ὅλον ἀπὸ ψυχῆς τὸ πρόθυμον ἐπιτείνοντος. εἰ δὲ καὶ παιδείᾳ μᾶλλον τῇ κοινωφελεῖ καὶ ψυχῆς εὐφυΐᾳ καὶ συνέσει κεκόσμηται, ὅσον εἰς φιλότιμον τοῦτο δεσπότην[2]) αὖθις ἐπαγωγότερον· ὅλον γὰρ ἤδη πρὸς ἑαυτὸν οἰκειοῖ τὸν δεσπότην, ὡς μαγνῆτις ἐφέλκεται σίδηρον, καὶ τῶν παρ' αὐτοῦ χαρίτων ἐπαπολαύειν ἀξιοῦται κατὰ τὸ εἰκὸς[3]) ἀφθονώτατον. καὶ ὅτι τοῦθ' οὕτως ἔχει καὶ ἀληθὲς τὸ λεγόμενον, ἄντικρυς ἐν ὀφθαλμοῖς ἄρα καὶ οὐ πόρρω ποι τὸ παράδειγμα δέδεικται. ὁ ἀνθύπατος Μιχαὴλ καὶ κριτὴς ὁ Ἀτταλειάτης ἀνὴρ τῷ μὲν γεραρῷ τοῦ εἴδους αἰδέσιμος, τῷ χρηστῷ δὲ τοῦ ἤθους καὶ μάλα ὑπέρσεμνος,

---

1) πιστὸς βασιλεὺς ὀρθόδοξος αὐτοκράτωρ S. 2) δεσποτικόν S. 3) εἰκῶς Cod.

προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ὡς ἔχουσι μετ' οἵτινες εὑρίσκονται εἰς τὸ πλησίον αὐτῶν μοναστήριον τὸ εἰ. τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων διενέξεις ὀλίγας εἰς περιορισμόν, ὃν ἔχουσιν οἱ τοιοῦτοι μοναχοὶ ἐν τῇ μένῃ τῆς Κερανίτζης, καὶ παρεκάλεσαν περὶ τούτου [τυχεῖν ματος τῆς βασιλείας μου][1]. ἔχει γοῦν θέλημα καὶ διορίζ: μου, ὡς ἂν μετακαλέσῃς καὶ τοὺς ἐκκλησιαστικοὺς τῆς αὐτ: πόλεως Σερρῶν, ἔτι δὲ καὶ ἐκκρίτους[2] τινὰς τοπικοὺς ἔχ περὶ τούτου, καὶ ἐξετάσῃς τὰ[3] περὶ τούτου μετὰ πάσης ἀλη καὶ ἔκτοτε ἀποκαταστήσῃς ἕκαστον τῶν τοιούτων μοναστηρί ρισμὸν καὶ τὰ δίκαια πάντα αὐτῶν ἀνενοχλήτως κατὰ τὰς ἀ: καὶ τὰ λοιπὰ δικαιώματα, ἅπερ κέκτηνται ἐπὶ τοῖς δικαίοι: αὐτοὺς μετ' ἀλλήλων διενέξεις καὶ ὀχλήσεις τινάς· θέλημ μου, ὅπως οἰκονομήσῃς καὶ γένηται ὁ ἰσασμὸς αὐτῶν κατ ἀληθείας λόγου καὶ εἰρηνεύσωσι τοῦ λοιποῦ πρὸς ἀλλήλου ποίησον, ὡς τὸ παρὸν διορίζεταί σοι πρόσταγμα †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλι, τό· Στέφανος κράλλης Σερβίας καὶ Ῥωμανίας. ἰνδ. ς' †.

Ioannides Nr. 17. Annus quartus et decimus nonus reg, habent indictionem VI. nz. Diplomata partim extant in codi in urbe Constantinopoli: edidit C. N. Sathas in vol. pr Μεσαιωνοκὴ Βιβλιοθήκη. *Venetiis. 1872. p. 211, partim scripsit Georgius Ioannides anno 1856. Ejus apographi Hopf. Codex incendio periit.*

---

[1]) Lacuna sic explenda videtur. [2]) ἐγκρίτους I.

άβην τινὰ
ς περιλη-
λλῳ ταύτῃ
χριτοῦ τοῦ
, εἴτε μὴν
καὶ καθάπερ
ήσονται καὶ
λαγήσονται,
ματικῶν, ἔτι
Σαρακηνῶν ἢ
των χορηγίας
μονοπροσώπου,
τα ἴσως μελ-
αρίων, βορδω-
ορβάζων, βοῶν
βάλων [6]), κυνῶν
ἀγορᾶς γεγενη-
δίων ἀερικῶν [8]),
ύσεως [9]), ταξατι-
ταῖς ἢ πράκτορσιν
στρατῷ τινι, ἐκ-
μων [10]) βασιλικῶν
ημάτων ἢ καταβι-
ίμων, κονταράτων,
μάτων] [11]), ἐλαίου,
ιασδήτνιος ξυλῆς ἢ
τοξοτῶν, ἐξοπλίσεως
τῶν ὑπερόχων [13]) ἀρ-
ιτητῶν, φουσσάτων [14])
ερόντων, βεστιαριτῶν,
ἢ κατά τινα ἄλλην

S. 4) ἀντιμητάτων S.
μίας S. 8) ἀερικοῦ S.
11) κριθῆς, βρώμης S.
μανδατώρων.

χρείαν διερχομένων, τοποτηρητῶν, τουρμαρχῶν, μεραρχῶν καὶ παντὸς ἑτέρου δημοσιακῶν πραγμάτων ἔρευναν ἐπιτετραμμένου, ἀγγαρείας, παραγγαρείας καὶ λοιπῆς ἁπάσης ἐπηρείας λαληθείσης ἢ παρασιωπηθείσης, νῦν τε οὔσης καὶ ἐς ὕστερον ἐπινοηθησομένης. διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, [τῶν] ἐπὶ τῷ ἡμετέρῳ σακελλίῳ καὶ βεστιαρίῳ[1]), οἰκονόμων τῶν εὐαγῶν οἴκων καὶ τῶν Πετρίων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατόρων[2]), εἰδικῶν γηροτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ φίσκου, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθέρων καὶ τῶν Μαγγάνων, οἰκιστικῶν καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων, ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς, ταξιαρχῶν, τουρμαρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων[3]), δρουγγαροκομήτων, πρωτοκεντάρχων[4]) προσελευσίμων καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων, πρὸς τούτοις κριτῶν, ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, πρωτονοταρίων, συνωναρίων, ὡρειαρίων καὶ παντὸς ἑτέρου[5]) δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου τοῦ μηδένα τῶν ἁπάντων ἐν οἰῳδήτινι χρόνῳ καθ' οἱονδήτινα τρόπον ἀθετεῖν τε ἢ ἀνατρέπειν τῶν ἐνταῦθα παρὰ τῆς βασιλείας ἡμῶν διωρισμένων ἄχρι καὶ ψιλῆς ἐπιχειρήσεως, ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου λόγου γεγενημένου[6]) κατὰ τὸν ὀκτώβριον[7]) μῆνα τῆς τρισκαιδεκάτης ἰνδικτιῶνος ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Μιχαὴλ ἐν Χριστῷ ὀρθόδοξος βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Δούκας †.

II. 6587—1079, mense aprili, ind. II.

Imperator Nicephorus Botaniata confirmat jura et exemptiones possessionum Michaëlis Attaliatae et donationem, quam fecit monasterio in urbe Constantinopoli et hospitio pauperum in civitate Rhaedesto ab eo institutis.

Τὸ ἴσον τοῦ χρυσοβούλλου τοῦ βασιλέως κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου τοῦ καταστρωθέντος εἰς τὸ σέκρετον τῶν οἰκειακῶν εἰς μῆνα

---

1) λογ. τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου S. 2) κουρατορικῶν S. 3) τῶν ἐν ἑτέροις S. 4) πρωτοκεντάρχου S. 5) ἑτέραν S. 6) γενομένου S. 7) Sathas scribit ἀπρίλλιον, in cod. legitur ὀκτώβριον, recte; error manifestus Sathae, cum

μάιον ἰνδικτιῶνος β' καὶ εἰς τὸ σέκρετον τῆς σακέλλης κατὰ τὴν θ' μηνὸς μαΐου ἰνδικτιῶνος β' καὶ εἰς τὸ σέκρετον τοῦ μεγάλου σακελλαρίου κατὰ μῆνα μάιον ἰνδικτιῶνος β' καὶ εἰς τὸ σέκρετον τοῦ οἰκονομίου τῆς δύσεως εἰς μῆνα μάιον ἰνδικτιῶνος β' καὶ εἰς τὸ σέκρετον τοῦ γενικοῦ λογοθέτου κατὰ τὴν ιδ' μηνὸς μαΐου ἰνδικτιῶνος β' καὶ εἰς τὸ σέκρετον τοῦ στρατιωτικοῦ λογοθέτου εἰς μῆνα μάιον ζ' ἰνδικτιῶνος β'.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Νικηφόρος ἐν Χριστῷ ὀρθόδοξος βασιλεὺς καὶ[1]) αὐτοκράτωρ Ῥωμαίων ὁ Βοτανειάτης †.

† Εἰ νομέα τῶν πρὸς ἀξίαν τὸν ἀληθῆ βασιλέα προσήκει γνωρίζεσθαι καὶ διαιρέτην τῶν προσφόρων ἑκάστῳ γερῶν, λόγον δὲ καὶ τὸ περὶ τούτους εὐδόκιμον τῷ μαγίστρῳ Μιχαὴλ καὶ κριτῇ τῷ Ἀτταλειάτῃ ἰδιαίτατον[2]) ὡσανεί πως καθέστηκε γνώρισμα, οὐκ ἂν εἴη δίκαιον, μὴ καὶ τοῦτον ἀναλογούσης τετυχηκέναι τῆς χάριτος· εἰ γὰρ μὴ λόγοις ἐντεθραμμένος σεβάζοιτο ἄνθρωπος, παρευδοκιμητέους ἄρα τοὺς λόγους τιθέμεθα, λόγους δὲ μὴ τιθέμενοι περὶ πλείονος, οἵ τῆς πολιτείας εἰσὶ τὸ κεφάλαιον, ἀλογίαι δήπου τῆς λογικῆς καταψηφιζόμεθα φύσεως, ἀλλὰ μήποτε ἄρα τοσοῦτον ἀλογήσοιτό τις τοῦ καλοῦ, ὡς μὴ τοὺς λόγους εὐλόγως τιμᾶν καὶ παρὰ τοῦτο δίκαιον ἂν εἴη καὶ νῦν παρὰ τῆς εὐσεβοῦς ἡμῶν βασιλείας τὸν περὶ τούτου πονήσαντα καὶ τῶν πολλῶν τὸ πλέον ἀπενεγκάμενον, μὴ κατόπιν τῶν ἠλπισμένων ἐλθεῖν, τῶν δ' αἰτηθέντων μᾶλλον τὸ πέρας εὑρεῖν καὶ πλέον, ὅτι καὶ θεοσεβείας οὐκ ἐλάχιστον ἴνδαλμα τῷ παρόντι σκοπῷ παραπέπηγεν. ἀλλὰ τίς ὁ λόγος τοῦ προοιμίου; αὐτὸ ἐκεῖνο τὸ τῆς γραφῆς κατὰ πόδας παραστήσει σαφέστατα. ἔφθασεν ὁ προρρηθεὶς οὗτος μάγιστρος περὶ τὴν Θρᾴκην καὶ τὴν Μακεδονίαν ἀκινήτων ἐπικτήσεις ποιήσασθαι καὶ χρυσόβουλλον τοῦ προβεβασιλευκότος κυροῦ Μιχαὴλ τοῦ Δουκὸς ἐπορίσατο ἐξκουσσείαν[3]) αὐτοῖς παντελῆ χαριζόμενον καὶ ἀπρόσβατον εἶναι πᾶσι κριταῖς τε καὶ πράκτορσι καὶ στρατευταῖς, ὀρθωταῖς τε[4]) καὶ ἐπόπταις, ἀναγραφεῦσι καὶ φορολόγοις οἱοισδήποτε καὶ τοῖς ὑπ' αὐτοὺς ἅπασι τὴν ἐν τούτοις ἐγκελευόμενον προσβολὴν καὶ νομὴν καὶ αὔξησιν πᾶσαν καὶ ὄρθωσιν τῶν κτημάτων τούτου ἀποτεμνόμενον, ὡς μόνα τελεῖν τὰ μέχρι

---

documentum jam martio mense ind. XIII. in σεκρέτῳ τοῦ γενικοῦ λογοθέτου **registratum** sit. **Editum est anno 1074, mense martio et april ianni sequentis 1075 autem inscriptum tabulariis in Urbe.** [1]) πιστὸς β. ὀρθόδοξος αὐτ. S. [2]) ἰδιαιτέρως S. [3]) ἐξκουσσίαν S. [4]) τε **deest** S.

τότε ἀνὰ πᾶν ἔτος ἀπ' αὐτῶν εἰσπραττόμενα, εἴτε δημόσια τυχὸν εἴησαν, εἴτε καὶ ἄλλα οἱαδήποτε τελέσματα, οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶσαν ἄλλην ἐπήρειαν εἴτε ἐν μιτάτοις, εἴτε ἐν ἀγγαρείαις καὶ[1]) παραγγαρείαις, εἴτε [ἐν] ἄλλαις αἰτίαις ταῖς ἐν ἐκείνῳ ἀπαριθμημέναις ὁρῶντο, τέλεον ἐκ τούτων ἀποσοβοῦν καὶ ἀποτρεπόμενον, καὶ εἶχε μὲν ἐκεῖθεν τὸ ἰσχυρὸν καὶ ἡ κρηπὶς προκαταβληθεῖσα κατὰ τὸ ἔννομον ἐπ' ἀσφαλοῦς εἶχεν ἐπιτεθὲν αὐτῇ καὶ τὸ οἰκοδόμημα. ἐπεὶ δὲ δεῖ καὶ τῷ στερρῷ πολλάκις τοῦ ὑπερείσοντος, ἵνα αὐτὸ ἑαυτοῦ δυνατικώτερον γένηται, (καὶ τάφρον γὰρ τοῖς τείχεσιν ἐνίοτε περιβάλλομεν καὶ τείχει διπλῷ τὴν πόλιν περιζωννύομεν), καὶ πρὸς ἀκρίβειαν οὐκ ἀσυνάρτητον τοῦ γενομένου[2]), περιεσκεμμένον τι τοῦτο καὶ ἀγχίνουν ὁ μάγιστρος βουλεύεται καὶ τὴν τῆς ἡμετέρας βασιλείας εὐσέβειαν εἰς ἐπίκρισιν λαβεῖν βουλευσάμενος· ᾔδει γάρ, ὡς μέγα τι χαρίζεται πρὸς ἰσχυροτέραν ῥοπὴν ψῆφος βασιλικὴ προσεπικυροῦσα τὸ γεγονός, καὶ γραφὴν παρὰ τοῦτο χρυσόβουλλον ἐξαιτεῖ, τὰς ἐννόμως περιελθούσας τούτῳ ἀκινήτους κτήσεις ἐπικρατύνουσαν καὶ τῆς δεσποτείας τούτῳ χαριζομένην τὸ ἀστασίαστον, πρὸς δὲ καὶ τὴν προδιαληφθεῖσαν ἐξκουσσείαν τιθεμένην ἐνδύναμον. καὶ ἐπεὶ οὐδὲν ἄλογον εἶχεν, εἰ μὴ καὶ μᾶλλον πλέον τὸ εὔλογον ἡ ἀξίωσις, τὸ κατὰ σκοπὸν εὕρηκε περατούμενον· θεσπίζει γὰρ καὶ ἡ γαληνότης τοῦ κράτους ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς εὐσεβοῦς χρυσοβούλλου λόγου, τὰ περὶ τὴν Θράκην καὶ τὴν Μακεδονίαν περιελθόντα τῷ μαγίστρῳ ἐξ εὐλόγων τίτλων ἀκίνητα ὁπωσδήποτε κατὰ τὸ ἀστασίαστον καὶ ἄμαχον τούτῳ προσεῖναι αὐτὰ καὶ μή τινα ἐπηρεαστὴν καὶ κακόνουν ἐπὶ ταῦτα εἰσδύνεσθαι[3]) καὶ ἢ αὐτὸν τὸν μάγιστρον καὶ τὸ ἅπαν μέρος αὐτοῦ, κληρονόμους τε καὶ διαδόχους καὶ παντοίους διακατόχους ὀχλεῖν καὶ τὸ τῆς δεσποτείας ἔννομον δίκαιον συνταράσσειν αὐτῷ, ἐπί τε τοῖς περιελθοῦσιν αὐτῷ ἀπὸ δημοσιακῶν πράσεων καὶ βασιλικῶν δωρεῶν, ἐπί τε τοῖς ἐξ ἰδιωτικῶν συναλλαγμάτων καλῇ πίστει ἐπικτηθεῖσι τούτῳ καὶ προφάσει ὑπερτίμων ἢ καινοφανῶν ἑτέρων εἰσπράξεων ἢ ὀχλήσεων διακυκᾶν αὐτὸν καὶ τὸ μέρος αὐτοῦ καὶ ζημίαις τισὶ περιβάλλειν καὶ περιαλγύνειν τὰ κατ' αὐτόν· πόρρω γὰρ τοῦδε καὶ τῶν διαφερόντων ἀκινήτων αὐτῷ ἀποτρεχέτω πᾶσα τοιαύτη καὶ ἀλλοία ἐπήρεια καὶ πᾶς ἄδικος καὶ πλεονέκτης ἐκ τούτων ἀπεληλάσθω· βούλεται γὰρ ἡ εὐσεβὴς ἡμῶν βασιλεία ἄμαχον ἔχειν αὐτὸν τὴν ἔννομον δεσποτείαν καὶ ἀσυζήτητον καὶ ἀνέγκλητον ἐκ πάσης αἰτίας καὶ τρόπου καὶ ἀφορμῆς καὶ προσέτι καὶ πάσης ἐπηρείας ἀμέθεκτον, καθὼς ἄρα τοῦτο καὶ ἡ προπορισθεῖσα τῷ μαγίστρῳ χρυσόβουλλος γραφὴ δίδωσι, ἣν καὶ ἡ γαληνότης τοῦ κράτους ἡμῶν ἐπισφραγίζει καὶ ἐπικυροῖ καὶ ἰσχυροτέραν διὰ τῆς

---

1) ἢ S. 2) τὸ γενόμενον cod. et S. 3) εἰσδύεσθαι S.

νῦν ἐπικρίσεως τίθησιν. ἐπεὶ δὲ[1]) οὐ λόγοι μόνον τὸ σπουδαζόμενον τῷ μαγίστρῳ γεγόνασιν, οὐδὲ τοῖς ὧδε μόνοις τὴν ὅλην ῥοπὴν ἐχαρίσατο, εἰσήνεγκε δέ που καὶ τῇ τῆς ψυχῆς καταστάσει οὐ φαύλην ταύτην, οὐδ᾿ ἀγεννῆ τὴν προμήθειαν· ᾔδει γὰρ καὶ μάλα καλῶς, ὡς τὰ τῇδε μὲν ἅπαντα παραρρεῖ καὶ εἰς γῆν τὰ τῆς γῆς συμπεραίνεται, μόνα δ᾿ ἐκεῖνα προσπαραμένει, ὅσα τῇ ψυχῇ περιποιεῖν δεδύνηται λυσιτέλειαν, τὰ καθ᾿ ἑαυτὸν μερίζει ἐπιβολώτατα· τὴν γὰρ διαφέρουσαν τούτῳ οἰκίαν περὶ ταύτην τὴν Μεγαλόπολιν, ἥτις ἀπὸ τῆς πρωτοσπαθαρίας ἐκείνης Ἀναστασοῦς, τῆς τούτου γυναικαδέλφης, κατὰ πρᾶσιν ἐπ᾿ αὐτὸν διαβέβηκεν, ἀνάθημα φέρων τῷ θεῷ καθιέρωσε, φροντιστήριον δείξας αὐτὴν ἀνδρῶν εὐλαβῶν, ᾗ καὶ τὸν ἐντὸς τοῦ κάστρου τῆς Ῥαιδεστοῦ παρ᾿ αὐτοῦ δεσποζόμενον οἶκον εἰς πτωχοτροφεῖον κατασκευάσας κατὰ τελείαν ἐπίδοσιν ἥνωσεν, ὡς εἶναι ἄμφω ταῦτα συμπεπλεγμένα καὶ ἀλληλουχούμενα καὶ εἰς ἓν τῷ τοῦ πνεύματος συνδέσμῳ συγκείμενα. καὶ ἐπεὶ[2]) τῷ τοιούτῳ φιλοθέῳ σκοπῷ ὕλην εἰς αὐτοτελὲς ἀποτέλεσμα θησαυρίζων ὁ μάγιστρος ἀγροτικάς τε καὶ πολιτικὰς ἐπικτήσεις ἀποτεμόμενος καὶ τῇ παρ᾿ αὐτοῦ συστάσῃ μονῇ καὶ τῷ πτωχοτροφείῳ ἀφιέρωσε, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ διαταγὴν πεποίηκεν ἔγγραφον, ἐν ᾗ τὰ καθ᾿ ἕκαστον, ὅπως δέοι ταῦτα οἰκονομεῖσθαι καὶ διὰ τίνων σαφέστερον παρεστήσατο, τὰς δὲ περιτροπὰς τῶν πραγμάτων καὶ τὰς ἄλλοτε ἄλλως ἐχούσας μεταπτώσεις διευλαβούμενος οὐκ ἐν ἀσαλεύτῳ ἔμενε λογισμῷ, ἀλλ᾿ ἐνίοτε τούτῳ τῆς ψυχῆς τὸ λογιζόμενον ἐδειλαίνετο καὶ παρὰ τοῦτο τῇ τοῦ κράτους ἡμῶν προσεληλυθὼς γαληνότητι τὸ ἀσφαλὲς ἐζήτησε, τῷ θεοφιλεῖ τῷδε προσπεριγενέσθαι σπουδάσματι, ἡ εὐσεβὴς ἡμῶν βασιλεία συμμερῖτις ἐθέλουσα γίνεσθαι τοῦ καλοῦ, οὐκ εἰς ἀναβολὰς ἦλθε τοῦ τέλους, οὐδ᾿ εἰς ὑπέρθεσιν, ἀλλ᾿ εὐθὺς ὅ τε[3]) μάγιστρος ᾐτήσατο καὶ ἧδε τὸ αἰτηθὲν φιλοθέως ἐπέρανε, θεσπίζουσα καὶ διοριζομένη διὰ τοῦ παρόντος αὐτῆς εὐσεβοῦς χρυσοβούλλου λόγου, τὸ παρὰ τοῦ μαγίστρου δομηθὲν νεοσύστατον φροντιστήριον ἐπ᾿ ὀνόματι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Πανοικτίρμονος καὶ τὸ προσενωθὲν τούτῳ πτωχοτροφεῖον τὸ ἐν τῇ Ῥαιδεστῷ, πρὸς δὲ καὶ τὰ τούτοις ἀνήκοντα κατὰ τὴν τούτου διαταγὴν μόνῳ τῷ κυρίῳ ἡμῶν καὶ θεῷ ἀνακεῖσθαι, ᾧ καὶ παρὰ τοῦ μαγίστρου προσκαθιέρωνται καὶ μήτε παρὰ βασιλικῆς τινος ἐξουσίας ἢ σεκρετικῆς ἐπιφορᾶς, μήτε ἀρχιερατικῆς προεδρίας, ἀλλὰ μηδὲ δυναστευόντων τινῶν ἐξουσίας ἢ τύχης τινὸς ἀντιμεθέλκεσθαι ἰδιωτικῆς, πάντων δὲ τῶν ἄλλων ἀποξενοῦσθαι αὐτὰ καὶ ὡς ἐν ἀσύλοις ταμείοις μόνῳ τῷ τοῦ ἐνυποστάτου θεοῦ καὶ πατρὸς λόγῳ πεφυλάχθαι τε καὶ εἰς τὸ ἀεὶ ἀποκεκλη-

---

[1]) ἐπειδὴ δὲ S. [2]) ἐπειδή S. [3]) ὅτε [ὁ] S.

ρῶσθαι, τῶν ἄλλων εἰδέναι ὀφειλόντων ἁπάντων, ὡς εἴ τις τὰ εὐλόγως καθοσιωθέντα καὶ χερσὶ μόναις παρατεθέντα θεοῦ κατὰ πολλὴν ἐκεῖθεν ἀπόνοιαν ἀποσυλῆσαι πειράσεται, ἱεροσυλίας ἄντικρυς οὗτος ἁλώσεται καὶ τὸ ἐκεῖθεν ἔνδικον οὐκ ἐκφεύξεται ἀνταπόδομα· εἰ γὰρ καὶ ὁμογενεῖς ἀδικοῦντες καὶ πολλάκις σφαλλόμενοι μέτρια τὴν κατόπιν δίκην ὀλιγάκις διολισθαίνομεν, ὅπου θεὸς αὐτός ἐστι τὸ ἀτιμαζόμενον[1]) καὶ πρὸς αὐτὸν ἐκεῖνον ἄντικρυς διαβαίνει τὸ τῆς γνώμης κακόηθες, τίνα δήπου εἰκὸς ἢ ποίαν ἐπαιωρουμένην ἐλπίζειν τὴν τιμωρίαν; ἀλλ' οὐκ οἶμαι ἄν ποτε ἐπὶ τοσοῦτον ἐλθεῖν ἀπονοίας τινά, οὐδ' εἰς ἐσχάτην ἐλᾶσαι παραπληξίαν. πλὴν κἂν εἴ τινες ἴσως εἶεν καὶ πρὸς κακίαν ἔνδον ὀργᾷ τούτοις ἡ ψυχή, ἀλλά γε τὸν παρόντα χρυσόβουλλον λόγον εἰς ἐπιτείχισμα αὐτῷ ἐκτιθέμεθα, δι' οὗ πάσῃ μὲν βασιλικῇ ἐξουσίᾳ καὶ σεκρετικῇ προσβολῇ καὶ πατριαρχικῇ τάξει καὶ ἄλλῃ ἀρχιερατικῇ, πρὸς δὲ καὶ τῇ τῶν ὑπερεχόντων αὐθεντίᾳ ἢ καὶ τῶν ἐλαχιστοτέρων ἴσως τῇ οὐθενείᾳ τὸ ἐπὶ ταῦτα εἰσδύεσθαι παντελῶς ἀποπαύομεν· ἄδικον γὰρ ἐπὶ τὰ πάντῃ τούτων ἀλλότρια καὶ μόνῳ θεῷ ἀνακείμενα μηδὲν ἄλλο ἢ τὸ βούλεσθαι δίκαιον ἔχοντας εἰσδύνειν καὶ μὴ καλῶς παρεισφθείρεσθαι, μόνα δὲ τῷ πανοικτίρμονι θεῷ προσδικάζομεν[2]) καὶ τῆς αὐτοῦ μερίδος εἶναι ταῦτα διαταττόμεθα, πάντων τῶν τῷ μαγίστρῳ εὐσεβῶς ἐπὶ τούτοις διατεταγμένων, ὡς αὐτῷ τε ἔδοξε καὶ ἐν ἐγγράφῳ τούτου διαταγῇ περιείληπται, εἶναί τε εἰς τὸ ἑξῆς καὶ οἰκονομεῖσθαι ὀφειλόντων, δι' ὧν ὁ υἱὸς αὐτοῦ ὁ δισύπατος Θεόδωρος καὶ βασιλικὸς νοτάριος, τὴν ἐπιτήρησιν τῶν τοιούτων εὐσεβῶν ἀναστημάτων καὶ διοίκησιν κατὰ τὸ τοῦ εἰρημένου κτήτορος τυπικὸν ἐπιτέτραπται καὶ οἱ ἐξ ὀσφύος ἐκείνου γεννώμενοι καὶ καθεξῆς ἡ τούτων διαδοχή, μέχρις ἂν διαρκοίη τὸ γένος αὐτοῦ, τούτου δὲ παρερχομένου τὸ αὐτεξούσιον καὶ αὐτοδέσποτον προσεῖναι τῇ μονῇ καὶ τῷ πτωχοτροφείῳ καὶ ὑφ' ἡγεμόνι θεῷ καὶ προνοητῇ τὴν πᾶσαν διεξάγειν πρόνοιαν καὶ διοίκησιν πάσης ἐφορείας ἀνθρωπίνης καὶ ἐπηρείας ἐκεῖθεν ἐξ αὐτῶν ἀποτρεπομένης, ἐξκουσσευθήσονται δὲ καὶ τὰ τούτοις προσόντα πάντα ἀκίνητα μετὰ καὶ τῶν λοιπῶν τοῦ μαγίστρου κτημάτων, καθὼς κατωτέρω πρὸς ὄνομα δηλωθήσονται, ἀπό τε κριτῶν, πρακτόρων, στρατευτῶν, ὀρθωτῶν, ἐποπτῶν, ἀναγραφέων, φορολόγων καὶ τῶν ὑπ' αὐτοὺς ἁπάντων μετὰ τῶν ἐν αὐτοῖς προσκαθημένων ἐνοίκων καὶ παροίκων καὶ πάσης ἐπηρείας καὶ προσθήκης δημοσίου, κανισκείου[3]) τε καὶ ἀντικανίσκου ἀνώτερα διατηρηθήσονται, ὡς μηδὲ πάροδον ἐν τούτοις εἶναι τινὶ τῶν ἁπάντων· πρὸς γὰρ τῷ τούτοις ἅπασιν ἀπὸ τοῦ παρόντος κατὰ τὸ διηνεκὲς

---

[1]) Corrigendum videtur: ὁ ἀτιμαζόμενος [2]) προδικάζομεν S. [3]) κανισκίου S.

τηρεῖσθαι ὅλως ἀνέπαφα καὶ τῶν ἄλλων ὅλων καθυπερτερήσουσι τέλεον καὶ πάσης ἀπολαύσουσιν ἐλευθερίας καὶ ἀνέσεως, κἂν εἰς ἐπαύξησιν ὅτι πλείστην τῷ χρόνῳ ἐπιδοῖεν, νέῳ δὲ καὶ καινοφανεῖ βάρει τελέσματος ἢ ἐπηρείας καὶ καινοτομίας ἢ μικρᾶς ἢ μείζονος οὐδαμῶς καθυποβληθήσονται, καὶ πρός γε φοσσάτου διελεύσεως καὶ βεστιαριτῶν καὶ μανδατόρων καὶ λοιπῶν βασιλικῶν ἀνθρώπων τὴν οἱανδήποτε δουλείαν ἐν τοῖς εἰρημένοις θέμασι μετερχομένων ἢ καὶ κατὰ πάροδον διερχομένων ὑπεράνω ἔσονται καὶ ἀγγαρείᾳ καὶ[1]) παραγγαρείᾳ παρά τινος τῶν τοιούτων οὐ καθυπαχθήσονται οὔτε αὐτοί, οὔτε τὰ ζῷα τούτων, οὔτε εἰς παροχὴν χρειῶν ἑλκυσθήσονται τῶν δικασταῖς ἢ πράκτορσιν ἢ τοῖς ἄνωθεν ἠριθμημένοις διδομένων, ἀλλ' οὕτω διαμενοῦσι ταῦτα ἐν ἀταραξίᾳ πάσῃ καὶ ἀδείᾳ καὶ πάντα φόβον ἐπηρεαστικὸν καὶ κίνδυνον ἀπορραπίσουσι καὶ ἀποδιαπομπήσουσι πόρρω ποι ἀφ' ἑαυτῶν, ὡς ἐν ἀκυμάντῳ πάντοθεν λιμένι δοκεῖν ἐνορμίζεσθαι καὶ μηδαμόθεν ζάλην ἢ διασεισμὸν καὶ βλάβην τινὰ προσδοκᾶν ἢ ὑπερτίμου δόσιν. καὶ ἵνα συνεκτικωτέρῳ λόγῳ ἡ τῶν λεγομένων δύναμις περιληφθείη, ὥς τινι μεγάλῳ καὶ ἀναλώτῳ πάντοθεν ὀχυρώματι τῇ χρυσοβούλλῳ ταύτῃ δι' αἰῶνος συντηρούμενα ὑφῇ τὰ τοῦ εἰρημένου μαγίστρου καὶ κριτοῦ τοῦ βήλου καὶ τῶν εἰρημένων εὐαγῶν οἴκων ἅπαντα, καθ' ὃν ἐρρήθη τρόπον ἔσονται, πάντα τὸν εἴτε ἐπιχειρήσοντα, εἴτε μὴν καὶ προσδοκώμενον ἐπηρεάσαι τούτοις, ὡς εἰς μακρὰν ἀποπέμψονται[2]) καὶ καθάπερ ἐκ περιωπῆς ὑψηλοτάτης ἀκροβολισμῷ κατὰ παντὸς τοιούτου χρήσονται καὶ τῆς ἐκ τούτου βλάβης καὶ ζημίας ὑπερκείσονται καὶ καθαρῶς ἀπαλλαγήσονται, ἐξκουσσευθήσονται δὲ καὶ ἀπὸ μιτάτων[3]) ἀρχόντων ταγματικῶν ἢ θεματικῶν, ἔτι τε Ῥῶς, Βαράγγων ἢ Κουλπίγγων ἢ Φράγγων ἢ Βουλγάρων ἢ Σαρακηνῶν καὶ ἄλλων τινῶν ἀντιμιτατικῶν ἀπλήκτων καὶ τῆς ὑπὲρ τῶν ἀπλήκτων χορηγίας μεσαπλήκτων, κριτῶν, ἀπαιτητῶν, ἀρχηγετῶν καὶ λοιπῶν ἁπάντων, ἐπιθέσεως μονοπροσώπου, δόσεως κανισκίων ἢ ἀντικανίσκων[4]) παλαιῶν τε καὶ τῶν μετὰ ταῦτα ἴσως μελλόντων τεθῆναι, σιταρκήσεως κάστρων, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παρίππων[5]), ὀνοκηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, ἀγελαδίων, βουβαλίων, κυνῶν λαγωνικῶν καὶ λοιπῶν τετραπόδων ζῴων, παροχῆς γεννημάτων ἐξ ἀγορᾶς γεγενημένων[6]) ἢ ἄλλης αἰτίας, ἐνοχῆς τοῦ δρόμου, οἰκομοδίου, κωμοδρομίκων[7]), προσοδίων ἀερικῶν[8]), συνωνῆς, στρατείας, καπνικοῦ, καστροκτισίας, ὁδοστρωσίας, γεφυρώσεως[9]), ταξατιῶνος, ματζουκατιῶνος, παροχῆς χρειῶν τῶν

---

[1]) ἢ S. [2]) ἀποπέμπονται S. [3]) μιτάτου S. [4]) κανισκίου ἢ ἀντικανίσκου S. [5]) καριππίων S. [6]) γεγενημένης S. [7]) κωμοδρομίας S. [8]) ἀερικοῦ S. [9]) γεφυρωσίας S.

χορηγουμένων δικασταῖς ἢ πράκτορσιν ἢ ἑτέροις ἄρχουσιν, εἴτε πρέσβεσιν ἐθνῶν διερχομένων, εἴτε καὶ στρατῷ τινι, ἐκβολῆς χορτασμάτων, διατροφῆς πρωτοκεντάρχων ἢ προσελευσίμων[1]) βασιλικῶν ἀνθρώπων ἐπί τινας ἀποστελλομένων δουλείας, ἐκβολῆς γεννημάτων ἢ καταβιβασμοῦ οἴνου, κρεῶν καὶ παντοίων εἰδῶν, ἐξοπλίσεως πλωΐμων, κονταράτων, τοξοτῶν ἢ καὶ ἱπποτοξοτῶν, ἐξωνήσεως σίτου, κριθῆς, βρωμάτων[2]), ἐλαίου, ὀσπρίων καὶ παντοίων σπερμάτων, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς ἢ μετακομιδῆς κωπίων ἢ ἑτέρου εἴδους, ἐκβολῆς μαλαράτων[3]), τοξοτῶν, ἐξοπλίσεως στρατιωτῶν, ἀρχόντων[4]) καβαλλαρικῶν καὶ πεζῶν, καθισμάτων τῶν ἐν ὑπεροχῇ ἀρχόντων, δουκῶν, κατεπάνω, στρατηγῶν, κριτῶν καὶ λοιπῶν ἀπαιτητῶν, φοσσάτων διατροφῆς καὶ ἀπλήκτων ἐπὶ πόλεμον ἀπιόντων ἢ ὑποστρεφόντων, βεστιαριτῶν, μανδατόρων τοῦ δρόμου πρέσβεις ἀγόντων ἢ ἐξορίστους ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, τοποτηρητῶν, τουρμαρχῶν, μεραρχῶν καὶ παντὸς ἑτέρου δημοσιακῶν πραγμάτων ἔρευναν ἐπιτετραμμένου, ἀγγαρείας, παραγγαρείας καὶ λοιπῆς ἁπάσης ἐπηρείας λαληθείσης ἢ παρασιωπηθείσης, νῦν τε οὔσης καὶ ἐς ὕστερον ἐπινοηθησομένης. ἐπεὶ δὲ τῷ τοιούτῳ εὐαγεῖ φροντιστηρίῳ ὁ προρρηθεὶς μάγιστρος καὶ δωρεὰν σολεμνίου κατὰ φιλοτιμίαν προσχυρωθῆναι παρὰ τῆς ἡμῶν ἐξήτησε γαληνότητος, μηδ' ἐνταῦθα φαυλίσαι τούτῳ τὴν αἴτησιν εὐδοκήσασα ἡ τῆς ἡμετέρας βασιλείας εὐσέβεια, διορίζεται δίδοσθαι τῇ τοιαύτῃ μονῇ ἐν τῷ καιρῷ τῆς ῥόγας τῶν σπαθαροκανδιδάτων λόγῳ σολεμνίου νομίσματα δώδεκα, ἃ δὴ καὶ λήψεται νῦν τε καὶ εἰς τὸ ἑξῆς ἀνεγκρατήτως τε καὶ ἀνυστερήτως καὶ παρ' οὐδενὸς τῶν ἁπάντων ἢ παντελῆ περιαίρεσιν τούτων ἢ μερικὴν ἀπομείωσιν ὑποστήσεται. διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα, ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων[5]) τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατόρων, οἰκονόμων[6]) τῶν Πετρίων, εἰδικῶν γηροτρόφων τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ φίσκου, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθέρων καὶ τῶν Μαγγάνων, οἰκιστικῶν καὶ τῶν ὑπ' αὐτούς, πρωτονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων, ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς, ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων, πρωτοκεντάρχων, προσελευσίμων καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων, πρὸς τούτοις κριτῶν, ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, πρωτο-

[1]) πρωτοκεντάρχου ἢ προσελευσίμου S. [2]) βρώμης S. [3]) χαλαρτίων S. [4]) ἀρχοντικῶν S. [5]) deest S. [6]) κουρατορικῶν οἰκημάτων S.

νοταρίων, συνωναρίων, ὡρειαρίων καὶ παντὸς ἑτέρου δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου[1]) τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήτινι[2]) χρόνῳ καθ' οἱονδήτινα τρόπον ἀθετεῖν τι[3]) ἢ ἀνατρέπειν τῶν ἐνταῦθα παρὰ τῆς βασιλείας ἡμῶν[4]) διωρισμένων ἄχρι καὶ ψιλῆς ἐπιχειρήσεως ἢ προσθήκης, δη[λαδὴ][5]) ἢ αὔξησιν ἢ ὄρθωσιν ἐπάγειν τοῖς δηλωθεῖσι κτήμασι κατά τινα τρόπον ἢ ἀφορμὴν τὸ σύνολον ἢ χάριν ὑπερτίμων ἐνοχλεῖν καὶ διασείειν αὐτά, ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου σιγιλλίου, γεγενημένου κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος ἐν ἔτει τῷ ,ςφπζ', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Νικηφόρος ἐν Χριστῷ ὀρθόδοξος βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Βοτανειάτης †.

Τὰ μέντοι μέλλοντα ἐξκουσσεύεσθαι εἰσὶ ταῦτα· ὁ ἐν Ῥαιδεστῷ οἶκος· τὰ ἐνοικικά, ἤγουν [ἡ] αὐλὴ τοῦ Μεταξᾶ σὺν τοῖς οἰκήμασι[6]) τοῦ κεντάρχου τοῦ Ἀκρολύκη σὺν τοῖς τῆς ἀναλλαγῆς τοῦ Ποιητοῦ τοῦ Καμαριώτη[7])· τὰ τοῦ Αἰγιαλοῦ καὶ [τὰ] λοιπά· προσέτι τοῦ Σελοχάκα σὺν τῷ μικρῷ χώρῳ καὶ τοῦ Βανδαφόρου· προσέτι τὰ Βουβάλη ἤτοι τοῦ Λιβός· προσέτι τὸ μονοκέλλιον· προσέτι τοῦ Κούκου· προσέτι τοῦ Συμεωνίου· προσέτι αἱ Τζαχνίσται· προσέτι ἡ Ἁγία Ἑλένη ἤτοι ἡ Ἄνω Σιλιοὺ κώμη σὺν τοῖς Θλαμίοις· προσέτι ἡ Λεύκη τῶν Ἀρμενίων· προσέτι τὰ Φλετρὰ σὺν τῷ ἁγιάσματι· τὰ ἐν τῇ Σηλυβρίᾳ οἰκήματα σὺν τῇ . . . προσέτι καὶ τὰ ἐν τῷ Μεσοχώμῳ προάστεια.

Extant in codice metochii Sancti Sepulcri in urbe Constantinopoli in calce typici hospitii pauperum, de quo vide praefationem. Edidit etiam C. Sathas: **Μεσαιωνικὴ Βιβλιοθήκη *I. p. 53.***

---

[1]) μεταχειριζομένων S. [2]) οἱῳδήποτε S. [3]) τι deest S. [4]) μου S. [5]) ἢ προσθήκην δημόσιον S. [6]) σὺν τῶν οἰκημάτων S. [7]) Καμαρωτῇ S.

VI.

Acta monasterii Sancti Lucae Steriotae in Phocide.

I. 7119—1611, mense majo, ind. IX.

Patriarcha Neophytus II. declarat monasterium S. Lucae Steriotae esse stauropegicum confirmatque ejus possessiones.

† Νεόφυτος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Οὐ μόνον ἄξιόν ἐστιν ἐπικυροῦν καὶ φυλάσσειν τὰ παλαιὰ χρυσόβουλλα τῶν ἀοιδίμων ἡμῶν βασιλέων καὶ μακαρίων πατριαρχῶν σιγιλλιώδη γράμματα, ὁμοίως καὶ τὰς κρίσεις καὶ ἀποφάσεις τὰς γενομένας ἔν τισι τόποις καὶ μοναστηρίοις καὶ τῶν ὁρίων αὐτοῖς, ὀρθῶς δηλαδὴ καὶ ἐπὶ θεμελίῳ τῶν τοιούτων βασιλικῶν καὶ πατριαρχικῶν χρυσοβούλλων τε καὶ σιγιλλίων γραμμάτων, ἀλλὰ καὶ τοὺς ἀθετοῦντας καὶ παραβαίνοντας τὰ τοιαῦτα ἀναντίρρητα ἀποφασιστικὰ γράμματα καὶ θεσπίσματα τὰ πᾶσαν ἀμφισβήτησιν καὶ κρίσιν τέμνοντα δίκαιόν ἐστιν ἐκκλησιαστικῇ καθυποβάλλειν παιδείᾳ. ἐπεὶ οὖν τοιαῦτα γράμματα τελείως ἀποφασιστικὰ προσεκομίσθησαν καὶ ἐνεφανίσθησαν τῇ ἡμῶν μετριότητι μεγαλοπρεπῶς δωρούμενα καὶ εὐεργετοῦντα τῇ σεβασμίᾳ θείᾳ καὶ ἱερᾷ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ τοῦ ἐπικεκλημένου Στηριώτου τοῦ ἐν τῇ ἐπαρχίᾳ Διαυλείας καὶ Ταλαντίου καὶ τιμήσαντα ταύτην πάσῃ ἐλευθερίᾳ καὶ παντελεῖ ἀσυδοσίᾳ καὶ αὐτονομίᾳ καὶ αὐτοδεσποτείᾳ καὶ ἐν τοῖς ὁρίοις καὶ μετοχίοις καὶ ἐξωκλησίοις καὶ τοῖς λοιποῖς καθίσμασί τε καὶ ἐνοριακοῖς παντοίοις μελίοις, ἅπερ εἰσὶ ταῦτα· πρῶτον μὲν ὁ ἅγιος Θεόδωρος, ἡ Παναγία μου ἡ Καλαμιώτισσα[1]), τὸ μετόχιον εἰς τὸν Αἰγιαλόν, ὁ ἅγιος Νικόλαος ἐν Σπήρτοις μέχρι τοῦ Ἄσπρου Ὀστητίου καὶ τοῦ ἁγίου Γεωργίου εἰς τὸ Περιβόλιον, ἔπειτα δὲ τὸ ἀλώνιον εἰς τὴν Σκλιβινίτζαν, ὁ ἅγιος Ἠλίας, τὰ Ζευγνά, ἐν οἷς ὑπάρχει ὁ ἅγιος Ἀθανάσιος καὶ ἡ βρύσις· μετὰ ταῦτα ἐν τοῖς κάτω μέρεσιν ὁ βασιλικὸς μύλος, ἡ Ἀλογοπατημαία εἰς τὴν Σθενήν, ὁ ἅγιος Παντελεήμων, ὁ ἅγιος Ἠλίας, τὸ Τρύπιον Λιθάρι, ὁ σχοῖνος, τὸ Μακρὺ Λιθάρι, τὸ Μαῦρο Λιθάρι, τὸ Ἀνατολικόν, ἡ Παναγία ἡ Πάνιτζα

1) Orig. Καλαμιώτησα.

μέχρι τοῦ Κάβου τῆς Ἁγίας, ὁ ἅγιος Ἰωάννης, ἡ Μάσκλενα, ἡ Παναγία Μεραλίτζα, ὁ ἅγιος Νικόλαος εἰς τὰ Καμπία, ἡ Παναγία τοῦ Μύρου, ὁ ἅγιος Νικόλαος τῆς Συκῆς, τὸ Καρυδάκι, ἡ Σάρρα καὶ εἰς τοῦ Μουζικᾶ, ἡ Παναγία εἰς τὰ Βλιζινά, ὁ ἅγιος Κωνσταντῖνος, ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος εἰς τὰς Ἐλαίας, καὶ ὅσα ἄλλα ἐμπεριέχονται· ἔτι δὲ πρὸς τούτοις καὶ ἕτερα ὑποστατικά, οἰκήματα, ἀμπέλια, κήπους, χωραφιαίους τόπους, περικλεισθέντας πάντα δρίοις. καὶ ἐδεήθησαν οἱ ἐν αὐτῇ τῇ σεβασμίᾳ μονῇ ἐνασκούμενοι καὶ προσέτι καὶ ἡμετέρου πατριαρχικοῦ σιγιλλιώδους γράμματος ἐπιτυχεῖν εἰς βεβαίωσιν τῶν τοιούτων καὶ εἰς παντελῆ ἀνενοχλησίαν καὶ ἀσφάλειαν καὶ εἰς ἀνακαινισμὸν τῶν παλαιγενῶν χρυσοβούλλων τε καὶ πατριαρχικῶν γραμμάτων, ὧν εἴπομεν. τούτου χάριν καὶ ἡ μετριότης ἡμῶν ἀποδεξαμένη τὴν αἴτησιν αὐτῶν εὔλογον οὖσαν καὶ φι[λόθεον] καὶ [δικαίαν] εὐεργετεῖ καὶ ἐπιχορηγεῖ [αὐτοῖς] σιγιλλιῶδες αὐτῆς γράμμα γνώμῃ κοινῇ συνοδικῇ, παρόντος καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων, κυροῦ Θεοφάνους, τοῦ ἐν ἁγίῳ πνεύματι ποθεινοτάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν, δι' οὗπερ ἐπικυροῦσα καὶ ἐπιβεβαιοῦσα τὰ προγεγονότα γράμματα χρυσόβουλλά τε καὶ πατριαρχικὰ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, εἶναι καὶ εὑρίσκεσθαι τὴν εἰρημένην σεβασμίαν μονὴν βασιλικὴν καὶ πατριαρχικὴν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ τοῦ Στηριώτου σὺν τοῖς μετοχίοις αὐτῆς καὶ τοῖς δρίοις τοῖς τε νῦν οὖσι καὶ τοῖς μετέπειτα ἐσομένοις καὶ μετὰ πάντων τῶν πραγμάτων κινητῶν καὶ ἀκινήτων καὶ αὐτοκινήτων αὐτόνομον καὶ αὐτοδέσποτον, ἀδούλωτον καὶ ἀκαταπάτητον καὶ ὅλως ἀνεπηρέαστον καὶ ἀνενόχλητον ἐκ παντὸς προσώπου, διοικουμένην καὶ διεξαγομένην παρὰ τῶν ἐνασκουμένων ἐν αὐτῇ ἱερομονάχων καὶ μοναχῶν, τῶν τε νῦν ὄντων καὶ τῶν ἐσομένων μετὰ ταῦτα διαδόχων αὐτῶν, τηρεῖσθαι δὲ τὴν ἐλευθερίαν ταύτης ἀεὶ καὶ εἰς τὸ διηνεκές, ἕως οὗ ὁ ἥλιος ἐφορᾷ, μηδενὸς προσώπου οὔτε ἱερωμένου οὔτε λαϊκοῦ ἢ καὶ τοῦ κατὰ τόπον ἀρχιερέως τολμήσοντος ὀψέ ποτε ἐπηρεάσαι ἢ ἐνοχλῆσαι ταύτην τὴν μονὴν ἢ τὰ μετόχια αὐτῆς καὶ κτήματα ἢ τὰ ὅρια αὐτῶν καταπατῆσαι ἢ παρευσαλεῦσαι ἐν ἀργίᾳ ἀσυγγνώστῳ καὶ ἀφορισμῷ ἀλύτῳ καὶ αἰωνίῳ φρικωδῶς ἐκφωνουμένῳ παρὰ τῆς ἡμῶν μετριότητος κατὰ παντὸς προσώπου τοῦ τολμήσοντος κακωτικὸν ἢ βλαβερόν [τι] ἐνδείξασθαι κατὰ τῆς μονῆς ταύτης καὶ τῶν μετοχίων αὐτῆς καὶ τῶν συνόρων. ὁμοίως καὶ ὅστις τῶν ἐνασκουμένων οὐ φροντίζῃ τῆς διαμονῆς καὶ συστάσεως τοῦ μοναστηρίου, ἀλλὰ ἀμελῶς διάκειται μοναχὸς ὢν ἢ ἱερομόναχος, ἢ καὶ αὐτὸς ὁ ἡγούμενος ταῖς αὐταῖς ἀραῖς ἔστω ὑπόδικος· ἀλλὰ καὶ ὅτε χρεία χειροτονίας τινὸς εἴη, ἔχειν ἄδειαν τοὺς ἐνασκουμένους προσκαλεῖσθαι, ὃν ἂν ἐθέλωσι τῶν ἀρχιερέων καὶ [τοῦτον] ἐκτελεῖν τὴν χειροτονίαν καὶ τὰ λοιπὰ ἀρχιερατικὰ χωρὶς τῆς τοῦ ἱεροῦ συνθρόνου

ἐγκαθιδρύσεως. ἂν δέ γε τυχὸν τελευτήσει εἷς τῶν μοναχῶν εἰς ἄλλην ἐπαρχίαν καὶ τόπον, [ὃς] μακρὰ τῆς αὐτῆς μονῆς ὑπάρχει, τὰ ἐκείνου ἅπαντα κινητὰ καὶ ἀκίνητα ἔχει ἡ μονὴ αὕτη ἄδειαν λαμβάνειν αὐτά. ὅθεν καὶ εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος πατριαρχικὸν καὶ συνοδικὸν ἐπικυρωτικὸν γράμμα καὶ ἐπεδόθη τῇ διαληφθείσῃ ταύτῃ θείᾳ καὶ ἱερᾷ καὶ βασιλικῇ καὶ σταυροπηγιακῇ παντελευθέρᾳ μονῇ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ τοῦ Στηριώτου ἐν ἔτει ͵ζριθ′ μηνὶ μαΐῳ ἰνδικτιῶνος θ′ †.

† Νεόφυτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Θεοφάνης, ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ †.

† Ὁ Θεσσαλονίκης Παρθένιος †.
† Ὁ Προύσης Ἰωάσαφ †.
† Ὁ Ἰκονίου Ἄνθιμος †.
† Ὁ Προκοννήσου Δανιὴλ †.
† Ὁ Ζιχνῶν Φίλιππος †.
† Ὁ Ξάνθης Γαβριὴλ †.
† Ὁ Παλαιῶν Πατρῶν Τιμόθεος ἀρκετῶς ὑπέγραψα †.
† Ὁ Ἀθηνῶν Κύριλλος †.
† Ὁ Διδυμοτείχου (?) Ἄνθιμος †.
† Ὁ Λαρίσσης Τιμόθεος †.
† Ὁ Λακεδαιμονίας Διονύσιος †.
† Ὁ . . . Γαβριὴλ †.
† Ὁ Φιλαδελφείας (?) Μητροφάνης †.
† Ὁ Φιλιππουπόλεως Κλήμης †.
† Ὁ Γάνου Μελέτιος †.
† Ὁ Ταλαντίου καὶ Διαυλείας Μητροφάνης †.
† Ὁ Ἀρδαμερίου Θεο[φάνης] †.
† Ὁ ἀρχιεπίσκοπος Κασσάνδρας Ἰωνᾶς †.
† Ὁ μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας †.
† Ὁ εὐτελὴς διάκονος ἔξαρχος πατριαρχικός †.

Archet. membran.

II. 7306—1798, mense ianuario, ind. I.

Patriarcha Gregorius V. confirmat privilegia et possessiones monasterii Sancti Lucae Steriotae.

† Γρηγόριος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς παριάρχης †.

† Ὅσα μὲν κατὰ τοὺς θείους θεσμοὺς καὶ τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τυγχάνει διακυβερνώμενα, πολλὴν ἔχουσι τὴν χάριν παρὰ θεοῦ καὶ τὸ ἔλεος μέγιστον, ὅσα δὲ τοὐναντίον παραβαίνει τῶν ὅρων ἐκτρεπόμενα, ἐν

τούτοις προφανὴς ἡ ἀκοσμία, κατάδηλος ἡ φθορὰ καὶ ἐπὶ πᾶσιν ἡ τῶν ψυχῶν ἀπώλεια· εἰ γάρ, καθάπερ οἱ περὶ τῶν καθ' ἕκαστα ἐκκλησιῶν νόμοι, οὕτω καὶ οἱ περὶ τῶν σταυροπηγιακῶν μοναστηρίων τῶν ὑπὸ τῷ καθ' ἡμᾶς ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ ἀπαράτρεπτοι διαφυλάττοντο καὶ τῆς κατὰ νόμους ἐπιμελείας καὶ προστασίας κἀκεῖνα ἠξιοῦντο παρὰ τῶν ἀεὶ πατριαρχευόντων, οὐκ ἂν τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινὰ τοῖς μοναστηρίοις συνέβαινεν. ἀλλ' ἐπειδὴ οὐκ οἴδαμεν ὅπως τῶν ἱερῶν παρημελημένων νόμων εἰς τοσαύτην προῆλθον ἀκαταστασίαν καὶ ἐλεεινὴν ἀπώλειαν τὰ ἱερὰ ταῦτα καταγώγια, διὰ ταῦτα εὐθὺς ἀνειληφόσιν ἡμῖν τοὺς οἴακας τοῦ παγκοίνου τουτουὶ σκάφους ἔδοξε πρὸς τοῖς ἄλλοις καὶ τὰ παρημελημένα αὐτὰ εὐαγῆ μοναστήρια διορθώσασθαι, ἀφορῶσι πρὸς τὸ ἐκείνων συμφέρον καὶ μέλη γνήσια ὄντα τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ τῷ σταυροπηγιακῷ καὶ πατριαρχικῷ προνομίῳ τετιμημένα, ἄλλως τε οὐδὲ καινούς τινας ἀφ' ἑαυτῶν νόμους φέρουσιν, ἀλλ' ἀρχαίους ἀνανεουμένους καὶ γεραρούς· τὴν γὰρ τῶν ἐκκλησιαστικῶν πραγμάτων προστασίαν τοῖς ἐπισκόποις ἐπιτρέπουσιν οἱ θεῖοι καὶ ἱεροὶ νόμοι καὶ κανόνες τὸν τοῦ θεοῦ φόβον προτίθεσθαι διακελευόμενοι, ἵνα, εἴ γε δέοιντο, καὶ αὐτοὶ ἀπολαμβάνωσιν, ὃν τρόπον ὁ λη' τῶν ἁγίων ἀποστόλων κανὼν καὶ ὁ με' τῆς ἐν Ἀντιοχείᾳ ἱερᾶς συνόδου καὶ ἡ ἐν Χαλκηδόνι, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Νικαίᾳ ὅ τε ια' καὶ ὁ ιβ' καὶ τῆς ἐν Ἀγκύρᾳ ὁ ιε' καὶ ὁ μθ' τῆς ἐν Τρούλλῳ καὶ ἄλλοι πλεῖστοι, ὅσοι σεπτοὶ νόμοι καὶ κανόνες σαφῶς φαίνονται τὴν τῶν ἱερῶν μοναστηρίων ἐξουσίαν τοῖς ἐπισκόποις διδόντες, ὥστε μεταλαμβάνειν μὲν καὶ αὐτοὺς τῶν δεόντων, εἴ γε δέοιντο, εἰς τὰς ἑαυτῶν χρείας, τὴν δὲ περὶ ἐκεῖνα ἐπιμέλειαν μεγίστην τε καὶ θεοῦ ἐφορῶντος ποιῆσαι, ἵνα προστατεύωσιν αὐτῶν, καὶ οἰκονόμους καὶ ἐπιτρόπους καὶ ἡγουμένους ἀποκαθιστῶσιν ἐν αὐτοῖς, καλῶς περὶ τῆς αὐξήσεως καὶ βελτιώσεως τούτων ἐπιμελούμενοι, ἵνα μὴ δι' ἀμέλειαν ἔνοχοι γένωνται τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις. οἱ δὲ οἰκονόμοι, ἡγούμενοί τε καὶ ἐπίτροποι διαμένωσιν ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπισκόπων, καὶ δίχα τῆς ἀδείας αὐτῶν μήτε πωλῶσι μοναστηριακόν τι κτῆμα, ἀλλ' οἰκονομῶσι καλῶς πρὸς τὴν ἐκείνων ὁδηγίαν καὶ ἄδειαν, ὅπως μὴ καὶ αὐτοὶ οἱ ἀνατρέποντες τοὺς ἐκκλησιαστικοὺς τούτους ὅρους καὶ κανόνας βαρυτάτοις ὑποπέσωσι τοῖς ἐπιτιμίοις καὶ τιμωρίαις. ταῦτα μὲν οὖν οἱ θεῖοι νόμοι ἀποφαίνονται περὶ τῶν ἱερῶν μοναστηρίων, τούτων δὲ τὰ μὲν τοῖς κατὰ τόπον ἐπιτετραμμένοις ἐνοριακὰ τῆς προσηκούσης ἀρχιερατικῆς, ὡς εἰκός, ἐπ' αὐξήσει τυγχάνει ἐπιμελείας, μόνα δὲ τὰ τῇ σταυροπηγιακῇ ἀξίᾳ τετιμημένα οὐκ οἴδαμεν ὅπως πρὸ χρόνων πολλῶν παρημέληται καὶ δέον καὶ θεοῦ ἐφορῶντος διοικεῖσθαι αὐτὰ καὶ ἐκ παντὸς τρόπου ἐπιμελείας τῆς ἀναλόγου ἀξιοῦσθαι, ὅπως αὐτοῖς τῶν ἀγαθῶν τὰ μὲν ὑπ-

ἄρχοντα διαμένη, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιαπομπῆται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν πάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλομεν, ἐκθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν ἱερὸν τόμον, ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις περὶ τῆς εἰς τὸ ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων καὶ τῆς δυνατῆς ἀντιλήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεὰν καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενά ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως. καὶ [οὕτω] καὶ περὶ τοῦ ἐν τῇ ἐπισκοπῇ Ταλαντίου καὶ Διαυλείας ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ, ἐπικεκλημένου τοῦ Στηριώτου· ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Νεοφύτου τοῦ παλαιοῦ ἀποδεικτικόν, ὅτι τὸ μοναστήριον τοῦτο μετὰ τῶν ὁρίων, μετοχίων, ἐξωκλησίων καὶ ἐνοριακῶν παντοίων μελλείων, ἅπερ εἰσὶ ταῦτα· ὁ ἅγιος Θεόδωρος, ἡ Παναγία Καλαμιώτισσα, τὸ μετόχιον εἰς τὸν Αἰγιαλόν, ὁ ἅγιος Νικόλαος ἐν Σπήρτοις μέχρι τοῦ Ἄσπρου Ὀσπιτίου καὶ τοῦ ἁγίου Γεωργίου εἰς τὸ Περιβόλιον, τὸ ἁλώνιον εἰς τὴν Σκλιβινίτζα, ὁ ἅγιος Ἠλίας, τὰ Ζευγνά, ἐν οἷς ὑπάρχει ὁ ἅγιος Ἀθανάσιος καὶ ἡ βρύσις· μετὰ ταῦτα ἐν τοῖς κάτω μέρεσι ὁ βασιλικὸς μύλος, ἡ Ἀλογοπατημία εἰ τὴν Στενήν, ὁ ἅγιος Παντελεήμων, ὁ ἅγιος Ἠλίας, τὸ Τρύπιον Λιθάρι, ὁ σχοῖνος, τὸ Μακρὶ Λιθάρι, τὸ Μαῦρον Λιθάρι, τὸ Ἀνατολικόν, ἡ Παναγία Πανίτζα μέχρι τοῦ Κάβου τῆς Ἁγίας, ὁ ἅγιος Ἰωάννης, ἡ Μάσκλερα, ἡ Παναγία Μεραλίτζα, ὁ ἅγιος Νικόλαος εἰς τὰ Καμπιά, ἡ Παναγία τοῦ Μύρου, ὁ ἅγιος Νικόλαος τῆς Συκῆς, τὸ Μαρυδάκι, ἡ Σάρρα εἰς τοῦ Μιζίκα καὶ ὅσα ἐμπεριέχονται οἰκήματα, ἀμπέλια, κῆποι, χωράφια, μετὰ τούτων οὖν καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ ὑπάρχει σταυροπήγιον. εἰς ἀνακαίνιον οὖν τούτου γράφοντες διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους ἐν μεμβράναις γράμματος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τὸ ἐν τῇ ἐπισκοπῇ Ταλαντίου καὶ Διαυλείας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ, ἐπικεκλημένον τοῦ Στηριώτου, μετὰ τῶν ἀνωτέρω ἀπηριθμημένων ὁρίων, μετοχίων, ἐξωκλησίων καὶ ἐνοριακῶν παντοίων μελλείων καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν

τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰς ἔπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γιγνώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον παρ' οὐτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος, ἔχοι καὶ τὸ προνόμιον κατὰ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν προχειριζόμενον καὶ πατερίτζαν. καὶ πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας· δεύτερον δὲ λόγῳ ὑποταγῆς ἀποδιδῷ καθ' ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια τριακόσια εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ λαμβάνῃ ἐξωφλητικὴν ἀπόδειξιν αὐτοῦ κατὰ τὸ ὕφος τῶν ἐπαρχιῶν καὶ οὕτως ἀναλαβὸν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον καὶ καλῶς διοικούμενον καὶ μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ οἱ ἀρχιερεῖς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι· τρίτον διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδικι τῆς ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ τὸ τοῦ ἡγουμένου ὄνομα· τέταρτον δὲ τὸ σιγίλλιον αὐτοῦ ἔχῃ μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενόν ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς· πέμπτον μηδεὶς τοῦ λοιποῦ γένηται ἐν αὐτῷ ἡγούμενος ἄνευ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ, ἀλλ' ἐπειδὰν ἕλωνται αὐτὸν γνώμῃ κοινῇ οἱ συγκοινοβιάται πατέρες, τότε ἀποστέλληται παρ' αὐτῶν κοινὴ ἐνυπόγραφος καὶ ἐνσφράγιστος ἀναφορὰ περὶ τῆς τοιαύτης ἐκλογῆς πρὸς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην καὶ οὕτω δι' ἐκκλησιαστικοῦ γράμματος ἀποκαθιστῶται ὁ ἡγούμενος τοῦ μοναστηρίου τούτου, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδικι, ὀφείλων κατ' ἔτος ἐξαποστέλλειν ἀκριβῆ ἐνυπόγραφον καὶ ἐνσφράγιστον καταγραφὴν τῶν τοῦ ἔτους ἐκείνου μοναστηριακῶν εἰσόδων καὶ ἐξόδων· ἕκτον ἡ σφραγὶς τοῦ μοναστηρίου διαιρεθῇ εἰς τμήματα τέσσαρα καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων· ἕβδομον οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτοτέρων ἐν τοῖς συγκοινοβιάταις ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν, αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομί-

ζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφαγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριεχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας, οὗτοι δέ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας ἐπιτιμᾶν, σωφρονίζειν [καὶ] ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας καὶ τοὺς ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως καὶ μὴ πειθομένους, τελευταῖον διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ· ὄγδοον μηδεὶς τοῦ μοναστηρίου τούτου δύνηται τοῦ λοιποῦ πωλεῖν μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτοῦ χρείας· ἔννατον ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐκτελεῖν αὐτὴν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως· δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι [γράμματι] ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντὸς καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτοῦ καὶ τὴν κατὰ θεὸν διαγωγὴν καὶ πολιτείαν καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ μοναστηρίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν διατύπωσιν ἀπαράτρεπτον· ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν, ἱερωμένος ἢ λαϊκὸς ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσει παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα καὶ ἀνατρέψῃ τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς μεγάλης ἐκκλησίας τῷ ἐπ' αὐτῷ τούτῳ διορισθέντι, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ ὀγδόῳ κατὰ μῆνα ἰανουάριον ἐπινεμήσεως πρώτης †.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὁ Ἐφέσου Σαμουήλ †.
† Ὁ . . . . . .
† Ὁ Κυζίκου Ἰωακείμ †.
† Ὁ Νικομηδείας Ἀθανάσιος †.
† Ὁ Νικαίας Καλλίνικος †.
† Ὁ Ἀγκύρας (?) Γεώργιος †.
† Ὁ Δέρκων Μακάριος †.
† Ὁ Θεσσαλονίκης Γερμανός †.
† Ὁ Προύσης Ἄνθιμος †.
† Ὁ Νεοκαισαρείας Ἡσαΐας †.
† Ὁ Λαρίσσης Διόνυσος †.

Archet. membraneum, doc. habet bullam plumbeam cum imagine τῆς Παναγίας. *Documenta nobis humanissime concessit amicus vir Georgius Cremus, Athenis. Subscriptiones lectu difficillimae sunt.*

VII.

Diplomata et acta ecclesiae et civitatis Monembasiensis.

I. 6792—1284, mense augusto, ind. XII.

Imperator Andronicus II. Palaeologus civibus Monembasiae confirmat possessiones et exemptiones eis concessas a Michaële Palaeologo.

Χρυσόβουλλον τῆς χώρας Μονεμβασίας.

† Οὐκ ἦν ἄρα καὶ τὴν τῆς Μονεμβασίας πόλιν τῶν ἐκ τοῦ χρόνου μεῖναι τὸ παράπαν ἀπείρατον, οὐδ' ἐπὶ τῶν αὐτῶν ἑστάναι, τῶν ἄλλων πάντων δεξαμένων μεταβολὴν καὶ γευσαμένων, τῆς τούτου παλινστρόφου κινήσεως μέντοι γε οὐδὲ τῆς αὐτοῦ παντάπασιν ἔξω γεγένηται φύσεως, ἀλλ' ἅπτεται καὶ ταύτης, ὡς καὶ πάντων, μεταβολὴ χρόνοις πρότερον ἤδη συχνοῖς καὶ κινεῖται πλὴν τὴν πρὸς τὰ χείρω κίνησιν, ὡς μὴ ὤφελε· λαμπρὰ γὰρ οὖσα τὸ πρὶν καὶ πολλοῖς εὐθηνουμένη τοῖς ἀγαθοῖς ὑπὸ τὰ Ῥωμαίων σκῆπτρα τῆς εὐδαιμονίας ἀπέλαυεν, ἀλλ' ὁ χρόνος, ὥσπερ οὐκ ἐνεγκὼν τηρῆσαι τὴν περιφάνειαν[1]), τῆς μὲν [τῶν] Ῥωμαίων ταύτην ἀποσπάσαι ἔγνω χειρός, δουλείας δὲ φέρων ἰταλικῆς ζυγὸν αὐτῇ ἐπιτίθησιν. ἐντεῦθεν καὶ πᾶν ὁμοῦ τῆς πόλεως τὸ λαμπρὸν ἀποσβέννυσι καὶ τὴν ὄντως[2]) πρώην καλλίστην ἐν πόλεσιν μετὰ βραχὺ πολλοῦ τοῦ αἴσχους ἐμπίπλησιν. ἀλλ' οὐκ ἦν εἰς τέλος τοὺς αὐτῆς πολίτας οὕτω τῆς τῶν τρόπων χρηστότητος ἔχοντας, οὕτω συχνοῖς κεκοσμημένους τοῖς ἀγαθοῖς περιοφθῆναι παρὰ θεοῦ καὶ τὴν ταλαιπωρίαν φέρειν ἐπὶ πάνυ μακρόν. οὔκουν οὐδὲ θείας ἀμοιροῦσιν ἐπισκοπῆς, ἀλλ' ἐφορᾷ καὶ πάλιν ἵλεων ἐπ' αὐτοὺς ὁ πάντα ἐφορῶν ὀφθαλμὸς καὶ τῆς μὲν ἀλλογενοῦς αὐτίκα ουλδείας δέχονται τὴν ἀπαλλαγήν, πρὸς δὲ τὴν προτέραν[3]) ἐκείνην εὐθὺς εὐδαιμονίαν ἀναχωροῦσι καὶ περιφάνειαν ὑπὸ Ῥωμαίοις αὖθις καὶ τῇ τούτων ἀρχῇ τελεῖν ὡς πρώην ἐπευτυχήσαντες. ὅτε δὴ πρὸς ἄλλοις τῶν ἀγαθῶν (οὐδ' ὅσοις ῥᾴδιον ἀριθμεῖν) καὶ χρυσοβούλλου ἐπὶ τοῖσδε τυγχάνουσι παρὰ τοῦ ἀοιδίμου βασιλέως τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου, τῷ τε δηλαδὴ ἐξκουσσείας

---

1) ἐπιφ. cod. et Zach. 2) οὔπω cod. et Zach. Lectionem ὄντως proposuit Miller.
3) πρίν cod. et Zach.

πάσης καὶ ἐλευθερίας ἀπολαύειν αὐτοὺς καὶ πάντα τὰ προσόντα γονικόθεν αὐτοῖς ἀνώτερα κεκτῆσθαι τέλους καὶ βάρους ὁποιουδήτινος καὶ κομμερκίου χάριν ἀκαταζητήτους τετηρῆσθαι παντάπασιν, ἐφ᾽ αἷς ἂν ποιεῖν ἐθέλωσι πραγματείαις ἐν τῇ εἰρημένῃ πόλει τῆς Μονεμβασίας. ὅθεν, ἐπειδὴ καὶ νῦν ὑπὲρ τούτων τυχεῖν ἐξητήσαντο καὶ χρυσοβούλλου τῆς βασιλείας μου, εὐμενῶς τε ἄγαν καὶ ἑτοίμως τῇ τοιαύτῃ αὐτῶν παρακλήσει συννεύσασα τὸν παρόντα ταύτης πρὸς αὐτοὺς ἐπιβραβεύει χρυσόβουλλον λόγον, δι᾽ οὗ προστάσσει καὶ διορίζεται ἐπαπολαύειν καὶ εἰς τὸ ἑξῆς τοὺς οἰκήτορας τῆς τοιαύτης πόλεως Μονεμβασίας τῆς προσούσης αὐτοῖς μέχρι τοῦ νῦν τοιαύτης ἐξκουσσίας τε καὶ ἀνενοχλησίας καὶ διατηρεῖσθαι μὲν τά τε γονικὰ καὶ ὑποστατικὰ αὐτῶν ἀδιάσειστα πάντῃ καὶ ἐλεύθερα καὶ παντὸς βάρους καὶ τέλους ἀνώτερα, ἅπερ εὑρίσκονται κεκτημένοι μετὰ τῆς τοιαύτης ἐλευθερίας μέχρι τῆς σήμερον, διαμένειν δὲ αὐτοὺς καὶ ἀπὸ τῆς τοῦ κομμερκίου δόσεως ἀκαταζητήτους τε καὶ ἀνενοχλήτους παντάπασιν, ἐφ᾽ αἷς ἂν δηλονότι ποιῶνται πραγματείαις ἐν τῇ τοιαύτῃ πόλει τῆς Μονεμβασίας· βούλεται γὰρ ἡ βασιλεία μου τελείας ἀπολαύειν αὐτοὺς ἅπαντας τῆς ἐπὶ τούτοις ἐλευθερίας καὶ ἀνέσεως τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καὶ μὴ εὑρίσκειν ὑπὲρ τούτων τὴν οἱανδήτινα διενόχλησιν καὶ συζήτησιν. ἐπὶ τούτῳ γὰρ γεγονὼς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη αὐτοῖς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης ιβ΄ ἰνδ. τοῦ ,ς ἑπτακοσιοστοῦ ἐνενηκοστοῦ β΄ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Edidit E. Miller in catalogo Mss. graec. bibliothecae Scorialensis p. 59 et Zachariae, Jus graeco rom. III. p. 605.

II. 6801—1293, mense iunio, ind. VI.

Imperator Andronicus II. metropolitae Monembasiae concedit dignitatem exarchi totius Peloponnesi confirmatque jura, privilegia et possessiones ecclesiae.

† Κἂν εἰ μήπω πρότερον ἔφθη πλεῖστα δὴ παραπλήσια γενέσθαι βασιλεῦσί τε καὶ ἄλλοις, καὶ οὐχ ἧττον ἡμῖν, καὶ νομισθῆναι τοῦ λοιποῦ γίγνεσθαι, ἴσως ἂν ἴσως ἥ γε νῦν αὕτη παροῦσά τε καὶ προτεθειμένη τῇ βασιλείᾳ μου πρᾶξις ἐφεῦρε τὸν τοιοῦτον καλοῦ τύπον· ἀμέλει καὶ ἐφ᾽ ἑαυτῇ κείμενον ἂν ἢ μᾶλλον ἐρεῖν, δι᾽

ἑαυτὴν[1]) ἐκαίνισε πάντως, ἀρχὴν οὕτω λαβόντα καλλίστην πρὸς τὸν ἑξῆς ἔπειτα χρόνον ἐνεργῇ[2]) δείκνυσθαι· οὕτω πολὺ πάντοθεν ἔχει τὸ πεῖθον αὕτη καὶ κατ-αναγκάζον εὔλογον· τὸ γὰρ δὴ κατὰ τὴν Πελοπόννησον περιώνυμον ἄστυ Μονεμβασίας ἐστὶ μὲν ὡς ἀληθῶς τῶν κατ' αὐτὴν δὴ πάντων[3]) μακρῷ προέχον καὶ τὰ πρῶτα δὴ σαφῶς ἁπάντων φερόμενον, ὡς μηδένα μηδενὶ τῶν ταύτῃ γε ἄλλων ἄλλῃ πάντων πάντῃ καλλίστων ἐπιδήλως ἐναρίθμιον καὶ μὴ πολλῶν λείπεσθαι ξυγχωροῦν[4])· νέον μὲν ἐπιεικῶς ὄνομα καὶ κλέος καὶ οὐ πόρρωθεν τῶν ὄπισθεν χρόνων ἧκον, μυρίας δὲ ὅμως καὶ παμμήκεις τὰς εὐφημίας[5]) καὶ πανταχοῦ πομπεῦον, ὡς εἴ τι[6]) καὶ ἄλλο τῶν ἐπιφανῶν καὶ περιδόξων ἀκούειν, οὐκ ἐπὶ μόνης τῆς βασιλικῆς ἡγεμονίας τῆς ἡμετέρας, ἀλλὰ καὶ σχεδὸν τῆς ἀλλοτρίας ἁπάσης. καὶ γὰρ δὴ τά τε ἄλλα κοσμεῖ τὸ ἄστυ, καὶ θέσεως εὐκαιρία καὶ πρὸς ἀσφάλειαν ἐρυμνότης καὶ πλῆθος μάλιστα οἰκητόρων καὶ πολυολβία καὶ πολιτείας εὐγένεια καὶ τεχνῶν ἀσκήσεις καὶ ἀγορᾶς δαψίλεια πάντων πᾶσα, εὐεμπορώτατόν τε εἰ δή τι καὶ ἄλλο μάλιστα πρὸς ἅπαντα πλοῦν καὶ θαλάσσης ἅπαντα μέρη θέσεως[7]) εὖ ἔχον· καὶ τοίνυν πολὺ τὸ τῶν οἰκούντων ἐνταῦθα ἱκανόπλοον καὶ θαλαττουργόν, ῥωμαλαιότης τε καὶ φρόνημα δραστικόν τε καὶ ἐμπράκτον καὶ (τὸ κάλλιστον τῶν ἄλλων) μάλιστα ἡ πρὸς τὴν βασιλείαν μου ἔνεργός τε καὶ ἄτρεπτος παντάπασιν εὔνοια καὶ ἡ πρὸς τὸ γένος ἀναφορά τε καὶ κοινωνία πάντων ἀνάλωτος καιρῶν τε καὶ πραγμάτων, εὖ τε καὶ ἄλλως ἐχόντων, ἐν πολλοῖς ἤδη τῶν προλαβόντων χρόνων τὴν πεῖραν δοῦσα καὶ τὸ πιστὸν καθάπαξ ἄσειστον ἐγγυωμένη[8]), καὶ τὰ μὲν τοῦ ἄστεος, ὡς ἐν ὀλίγοις, οὕτω, φεύγοντι τῷ λόγῳ τὸ μῆκος. ξυλλαγχάνει[9]) δ' ἔτι καὶ τοῦτο νῦν εἶναι θαυμάσιον οἷον, ὅτι τῆς κατ' αὐτὸ πάντως ἁγιωτάτης ἐκκλησίας[10]) ποιμὴν[11]) ἀρτίως πάντ' ἄριστος, πολὺς τοῖς κατὰ θεὸν ἐκ νέου πάνυ τοι καὶ εἰς γῆρας ἤδη βαθὺ[12]) τοῦτο, νῦν ἤδη καμάτοις ἐγκαρτερήσας καὶ κατακεκοσμημένος εἰς ἄκρον τῆς μονήρους[13]) αὐτῆς βιοτῆς, ἀτρέπτως εἰς[14]) τοσοῦτο τῆς ἐξ ἀρχῆς ἐνστάσεως καὶ παντάπασιν ἀνενδότως, καὶ ὥσπερ εἴ τις νέος θερμῶς[15]) ἅπτοιτο, καὶ μὴ παρὰ τοσοῦτο προκόψας τι καὶ προηνυκὼς καὶ μὲν[16]) πλεῖστον ὅσον ὑπὸ τῆς οὕτω χρονίου καὶ πολυετοῦς καὶ βιαίου σφόδρα κατὰ τὸν θεῖον

---

1) ἑαυτῆς Z. 2) ἐφ' ἑαυτῆς κεκίνηκεν ἂν ἢ μ. ἐναργῶς δι' ἑαυτῆς B. 3) ταύτην B. 4) τῶν ταύτῃ γε ἄλλων λείπεσθαι ξ. Z. reliqua omisit. 5) δεόμενον καὶ παμμήκους τῆς εὐφ. Fl. B. 6) εἴη B. 7) θέας B. 8) καθάπερ ἄλλοτε ἐγνωσμένη Z. R. καθάπαξ ἀσφαλὲς ἐγγυουμένη B. 9) ξυλλαγχάνοντα τοῦτο B. 10) τῇ . . . ἁγιωτάτῃ ἐκκλησίᾳ Fl. 11) deest Z. R. 12) ἐς γῆρας ἠδ . . . Z. R. ἤδη B. 13) μακαρίας Z. R. B. 14) ἐς Z. 15) νηὸς ἱερᾶς addit B. 16) καὶ μὴ παρὰ καὶ μὴν πλεῖστον R. Z. καὶ . . . παράδοξον B.

λόγον[1]) βιώσεως[2]) καὶ σωματικῆς δαπανήσεως καὶ προσταλαιπωρίας ἁπάσης ἐνηθληκὼς καὶ σφόδρα ἐκτετηγμένος[3]) οὐ τῷ γήρᾳ μᾶλλον ἢ τοῖς γε τοιούτοις πόνοις, ἔτι θαυμαστῶς ἐμμένει καὶ διακαρτερεῖ τὴν ἐξ ἀρχῆς ἀκλινῆ γνώμην, καὶ ὥσπερ νῦν μᾶλλον ἐπειγόμενος καὶ σπουδάζων δῆλός ἐστιν, ἀλλ' οὐχ ὡς ἂν ἤδη τοσοῦτο προλαβὼν καὶ καταστὰς[4]) ἤδη πως ἀσφαλῶς[5]) ἐν λιμένι καὶ γαλήνῃ· ἀμέλει καὶ τῆς περὶ τὸ ἀγαθὸν τοσαύτης ἕξεως καὶ σφόδρα ὑπ' ἀμφοῖν, τοῦ τε πανσέμνου τοῦδε γήρως, ὡς εἴρηται, καὶ τῶν τοσούτων καμάτων καὶ ἀσκητικῶν ἱδρώτων τὸ σῶμα κατακαμπτόμενος, οὐκ ἔπειθ' ὅμως κάμπτεται[6]) τὴν καλλίστην ταύτην γνώμην, οὐδὲ χαλᾷ κατὰ βραχὺ καὶ τῶν τόνων οὐκ ἐνδίδωσιν, οὐδὲ νικᾶται τὸ φρόνημα, ἀλλὰ τὸ μὲν σῶμα ἥττηται ἤδη, καὶ νῶτα δίδωσί τε καὶ τρέπεται ἐπὶ τοσούτων τῶν προλαβόντων καὶ πόνων καὶ χρόνων, ὁ λογισμὸς δὲ ἀήττητος κόρον οὐκ ἔχειν οὐδέπω τῶν καλῶν ἀξιοῖ, οἷα δὴ ἐπὶ πάντων γίγνεται, καὶ μόνον τὸν ἐπὶ τούτοις ἔρον ἀδαπάνητόν τε καὶ παντάπασιν ἀκάματόν τε καὶ ἀνεπίστροφον οἴεται δεῖν εἶναι. ταῦτ' ἄρα καὶ τοσαύτην καὶ ἐπὶ τοσούτοις ἤδη τοῖς ἔτεσι συλλεξάμενος τὴν πνευματικήν, ὡς ἔφην, κατάστασιν καὶ προειληφὼς οὕτω πάνυ τοι πόρρω καὶ καταπεράνας εὖ μάλα τελεσιουργὸν τοῦ βίου τὴν πρόθεσιν ἀσφαλῶς τε καὶ γενικῶς, ὡς καὶ τοῦ βίου τοῦδε καὶ τῆς ὑψηλῆς ταυτησὶ παιδείας παράδειγμα καὶ τύπος ἔμψυχος περιπολεῖν, ὡς ἀληθῶς δὲ καὶ εἶναι καὶ τοῖς πολλοῖς ὑπειλῆφθαι οὐκ ἀγαπᾷ τοῦ λοιποῦ. ὁ δὲ διὰ παντὸς ἐν τοῖς αὐτοῖς ἔχει, καὶ ὥσπερ οἱ πλείους καὶ βελτίους μὲν οὖν τῶν εἰσαγωγῇ χρωμένων νῦν εἶναι δὴ καὶ χθὲς καὶ πρότριτα[7]) καὶ αὐτὸς ἀεὶ παρασκευάζεται, καὶ ἔοικεν ὥσπερ ἀγωνιζομένῳ καὶ δεξιότι καὶ προσδραμεῖν[8]) σπουδάζοντι, καταγυμναζόμενος τὸν ἅπαντα χρόνον καὶ κατατρύχων ἀπέραντα, κάμνων τὸ σῶμα πόνοις ἀνενδότοις ἀσιτίαις τε καὶ ἀγρυπνίαις καὶ στάσεσι συντόνοις καὶ τίνι τῶν εἰθισμένων καὶ καλλίστων ἀγώνων οὔ; καὶ νομίμως[9]), μᾶλλον δὲ καὶ πλέον ἢ τέως νομίζεται τοῖς καλῶς ἠργμένοις καὶ περὶ τὸν πνευματικὸν δρόμον ἀκμάζουσιν αὐτὸς ἔτι πω καὶ νῦν ἐπὶ τοσούτων τῶν ἐτῶν κατατεινόμενος. καὶ μὴν καὶ τἆλλα κατὰ τὸ ἦθος ἅπαντα τοῦ θαυμασίου τοῦδε ποιμένος ἀναλογεῖ τε καὶ συμβαίνει πρὸς ταῦτά τε καὶ πρὸς ἄλληλα, οἷον ἡ τῆς ἀγάπης πρὸς ἅπαντας ἐλευθεριότης, τὸ ἀόργητον θαυμάσιον οἷον, τὸ φιλοικτον, ἡ τῆς ψυχῆς γαλήνη, τὸ μήτε λογισμοῖς μήτε λόγοις μήτ' οἴεσθαι μήτε λέγειν περὶ ὁτιοῦν φλαῦρον οὐδέν, ἀλλὰ περὶ πάντων καὶ βούλεσθαι καὶ δοκεῖν καὶ λέγειν πάντ' ἀγαθά, ἐκ τῶν οἴκοι θη-

[1]) κατὰ τὸν θ. λ. desunt R. Z. [2]) βιαίας B. [3]) σωμ. δαπ. καὶ πρὸς ἅπαντα πόνον καὶ μόχθον σφόδρα Z. καὶ πρὸς καὶ R. [4]) καταστῆναι Z. R. [5]) ἀσφαλεῖ Z. [6]) κάμπεται Z. [7]) πρὸ τρίτης R. [8]) προσδ. R. Z. B. [9]) νομίμων Fl. B.

σαυρῶν, ὡς ἔοικε[1]), τὸ πιστὸν ἔχοντα· καὶ τἄλλ' ὁμοῦ καθόλου συνελεῖν, ἅπαντα ὡς[2]) μεγίστης ὄντως ἐκκλησίας καὶ πολυθρέμμονος ἀρχιερεῖ καὶ ποιμένι δεῖ, καὶ ἐστὶν ἐργωδέστατον ὁμοῦ καὶ σφόδρα σπάνιον ἑνὶ ξυλλαχεῖν, ὥσπερ ἐπ' αὐτῷ δὴ προδήλως, περὶ οὗ νῦν ὁ λόγος ἐστίν· καὶ μηκύνειν, ὡς ἔοικεν, οὐ δεῖ περαιτέρω. πλὴν ὅπερ ἄνωθεν ὁ λόγος ξυνεωραμένος ἀπεφήνατο. τοσαῦτα δὴ τά τε τοῦ ἀνδρὸς κατὰ θεὸν εὐδοκιμήματα καὶ τὸ τῆς πολιτείας καὶ τοῦ βίου περιφανὲς καὶ ὑπερηρμένον καὶ σχεδὸν ἀπαράμιλλον. καὶ τοῦ γε τῆς ὑπ' αὐτὸν ἐκκλησίας ἄστεος αὖθις τὰ προσόντα παντοῖα καλά, ὥστε κἂν μόνα δῆτ' ἴσως κινῆσαι ταῦτα τὴν βασιλείαν μου πρὸς τὸ μεταποιῆσαι καὶ προβιβάσαι τὴν τοιαύτην ὑπ' αὐτὸν ἁγιωτάτην ἐκκλησίαν εἰς κρείττω τινὰ καὶ ὑψηλοτέραν κατάστασιν καὶ ἀξίαν καὶ βαθμὸν ὑπερκείμενον, κἂν εἰ[3]) μήπω πρότερον, ὡς εἴρηται, τοιαῦτα παραπλήσια καὶ γεγένητο καὶ νενόμιστο γίγνεσθαι. καὶ ταῦτ' ἴσως, ᾗπερ ἔφην, ἱκανῶς ἂν εἶχεν ἀφορμήν τε δοῦναι καὶ ὑποφῆναι τὸν ἐν τούτοις τύπον καὶ νόμον, ὃ δῆτα καὶ παραπλήσια ἄττα ἴσως ἕτερα πρότερον, ὡς ἔοικε, καὶ εἴργασται καὶ τὴν ἐν τούτοις ἀρχὴν δέδωκεν. ἐπεὶ δὲ ὅ τε περὶ τούτων βασίλειος νόμος προλαβών, ὡς ἔφην, ἐπαίρει καὶ δίδωσι καὶ αὐτὰ δὴ ταῦθ'[4]), ἅπερ εἴρηται, σφόδρα κινεῖ, σὺν θεῷ δ' εἰρήσθω, καὶ τὸ τῆς ἡμετέρας βασιλείας φιλόκαλον τὸ πλεῖστον ἐν τούτῳ μάλιστα συναίρεται, καὶ ἡ περὶ τὰ κάλλιστα καὶ θεοφιλῆ τῶν ἔργων χάριτι τοῦ θεοῦ καὶ προμήθεια[5]) ταύτης συνειδεῖν τὰ δέοντα καὶ βουλεῦσαι καὶ προθυμία τε καὶ σπουδὴ μάλα ἐνεργὸς[6]) ἐκτελέσαι τε καὶ περᾶναι. ἐκ πάντων ἄρα τούτων τὸ καινίσαι τι[7]) πρὸς τὸ κρεῖττον καὶ προβιβάσαι τὰ τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας Μονεμβασίας ἐδοκιμάσθη τῇ βασιλείᾳ μου. καὶ τοίνυν φθάνει μὲν ἤδη πρότερον προθεσπίσασα καὶ βαθμόν τινα τῶν ὑψηλοτέρων ἔχειν ταύτην δὴ τὴν ἁγιωτάτην μητρόπολιν καὶ τόπον τινὰ ἐκκλησίας ἑτέρας καὶ τάξιν προεσβεσμένης καὶ ὡσπερεὶ παρελθούσης, οὐ μὴν ἀλλὰ καὶ μεγίστης ἐνορίας[8]) ἐξαρχίαν τε καὶ ἐπισκοπὰς ἀναλόγως διαταξαμένη τε καὶ προσηκόντως. ἐπὶ δὲ αὐτὰ δὴ ταῦτα καὶ χρυσοβούλλῳ βεβαιωθῆναι καὶ τὸ πιστὸν λαβεῖν καὶ ἄτρεπτον ἐξῃτήσατο ὁ ἀνωτέρω εἰρημένος ἱερώτατος τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερεὺς[9]) ἑτοίμως τε ἡ βασιλεία μου καὶ τὰ τῆς τοιαύτης αἰτήσεως προσεδέξατο καὶ πρὸς πέρας ἀγαγεῖν ηὐδόκησε. καὶ τοίνυν τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς[10]) ἀπολύει, δι' οὗ καὶ βούλεται σὺν θεῷ καὶ εὐδοκεῖ καὶ θεσπίζει, τόν τε, ὡς εἴρηται, νῦν προϊστά-

---

[1]) αὐτοῦ om. ὡς ἔοικε R. Z. ὡς ἀληθῶς B. [2]) ὧν Z. [3]) εἰ deest R. B. Z. [4]) ταῦτα Z. [5]) προμηθεία C. [6]) ἐνεργόν R. An ἐνεργῶς? [7]) τε B. [8]) μεγίστην ἐνορίαν Pandora. [9]) ἀρχιερατικῶς προϊστάμενος alii editores, apud quos deest sequens ἑτοίμως γε. [10]) αὐτῆς Z., B. pro αὐτῆς habet τό γε νῦν.

μενον ἀρχιερατικῶς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Μονεμβασίας καὶ τοὺς καθεξῆς τὸν αὐτῆς διαδεξομένους θρόνον ἐπαπολαύειν τῆς ἀνηκούσης τῷ τοῦ Σίδης θρόνῳ τιμῆς ἐν ἅπασι, καθέδραις τε δηλαδὴ καὶ προελεύσεσί[1]) τε καὶ στάσεσι, γραφαῖς τε καὶ ὅλως τοῖς ἐθίμοις[2]) ἔργοις ἀρχιερατικοῖς καὶ λειτουργήμασιν ἅπασι· φορεῖν δὲ καὶ σάκκον ἐν ταῖς θείαις ἱεροτελεστίαις, ὁμοίως δὲ καὶ διβάμπουλον, καὶ ἁπλῶς πάντα τὰ ἐκείνης προνόμια καὶ δίκαια ἔχειν· ἔξαρχόν τε καὶ εἶναι καὶ λέγεσθαι τὸν τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερατικῶς προϊστάμενον καὶ πάσης δὴ τῆς Πελοποννήσου[3]) καὶ τῆς ἐντεῦθεν τιμῆς προσαπολαύοντα[4]), ᾗ δὴ καὶ τοῖς ἄλλοις εἴθισται τῶν ἱερωτάτων ἀρχιερέων τοῖς ἠξιωμένοις διαφόρων[5]) ἐξαρχεύειν θεμάτων τε καὶ χωρῶν. ὡσαύτως δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο θεσπίζει καὶ παρακελεύεται, πάντας δηλαδὴ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ἔν τε φήμαις καὶ γραφαῖς παναγιώτατον προσαγορεύειν [τε] καὶ ὀνομάζεσθαι, αὐτὸν δὲ πάλιν ἐν τοῖς σημειώμασι καὶ γράμμασιν ἰνδικτιῶνα ἐμφαίνειν πρὸς αὐτοὺς καὶ πρὸς πᾶσαν τὴν αὐτοῦ ἐπαρχίαν ἀνθ' ἑτέρας ὑποσημάνσεως. ἐπεὶ δὲ ἔφθασαν προστεθῆναι πρότερον τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει καὶ ἐπισκοπαὶ αὗται, ἡ τῆς Κυνουρίας[6]), ἡ τοῦ Ἕλους, ἡ τῆς Μαΐνης καὶ ἡ τοῦ Ῥέοντος καὶ ἡ τοῦ Ζεμενοῦ, προσβεβαιοῖ μὲν προηγουμένως καὶ προσεδράζει[7]) ταύτας αὐτῇ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς[8]) ἡ βασιλεία μου, καὶ θεσπίζει καὶ διατάττεται καὶ εἰς τὸ ἑξῆς ὑπ' αὐτὴν εἶναι, καθὼς εὑρίσκονται μέχρι καὶ εἰς τὸ νῦν. ἔτι μέντοι δι' αὐτοῦ δὴ τούτου τὸ φιλότιμον προσεπαύξουσά τε ταύτῃ καὶ προσεπιτείνουσα εὐδοκεῖ καὶ παρακελεύεται ὑπ' αὐτὴν εἶναι καὶ ἑτέρας ἐπισκοπὰς ταύτας· ἤγουν τὴν τῆς Κορώνης, τὴν τῆς Μεθώνης καὶ τὴν τῆς Ἀνδρούσης καὶ ὑποκεῖσθαι ὁμοίως καὶ ταύτας τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς Μονεμβασίας, ὡς καὶ τὰς ἄλλας, ὡς ἄρα μητροπόλει αὐτῶν καὶ δέχεσθαι εἰς ἀρχιερεῖς ἑαυτῶν, οὓς ἂν ὁ ἐν τῇ εἰρημένῃ ἁγιωτάτῃ μητροπόλει εὑρισκόμενος ἀρχιερεὺς χειροτονῆσαι διακρίνοι καὶ ἐγκαταστῆσαι ἐπ' αὐταῖς. ἡ δὲ τῆς ἐπαρχίας ταύτης περίοδος, ὡς ἐν τύπῳ περιγραφικῷ ἔχει οὕτως. πρῶτον μὲν οὖν Ἐπίδαυρος ἀρχαία, ἡ καλουμένη Λιμηρά· μετὰ δὲ ταύτην ἐπὶ ἑῴαν προϊόντι ὁ Ζάραξ· προελθόντι δὲ ἀπὸ Ζάρακος παρὰ τὴν θάλατταν κατιόντι [κώμη][9]) ἡ Κυπαρισσία· εἶτα ναὸς τοῦ ἁγίου Λεωνίδου· μετὰ δὲ τὸ τοῦ ἁγίου θεῖον τέμενος, τὸ καλούμενον Ἄστρος· ἐπαναβάντι δὲ κώμη ἡ καλουμένη Καστάνιτζα· μετὰ δὲ ταύτην ἀπέρχεται καὶ

1) προεδρεύσεσι B. 2) ἐθισμένοις B. ὅλοις? 3) ἐξ. τοῦτον μόνον εἶναί τε καὶ λέγεσθαι πάσης Πελ. τὸν τῆς τοιαύτης ἁγιωτάτης ἀρχιερατικῶς ἐκκλ. προϊστ. alii edit. 4) ἀπολαύοντα edit. 5) διαφόρως R. 6) Sic R., alii editores Κυθουρίας. 7) προσεδράζεται B. 8) αὐτῆς Z. 9) πόλισμά τι B.

ἄρχοντα διαμένῃ, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιαπομπῆται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν πάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλομεν, ἐκθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν ἱερὸν τόμον, ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις περὶ τῆς εἰς τὸ ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων καὶ τῆς δυνατῆς ἀντιλήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεὰν καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενά ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως. καὶ [οὕτω] καὶ περὶ τοῦ ἐν τῇ ἐπισκοπῇ Ταλαντίου καὶ Διαυλείας ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ, ἐπικεκλημένου τοῦ Στηριώτου· ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Νεοφύτου τοῦ παλαιοῦ ἀποδεικτικόν, ὅτι τὸ μοναστήριον τοῦτο μετὰ τῶν ὁρίων, μετοχίων, ἐξωκλησίων καὶ ἐνοριακῶν παντοίων μελλείων, ἅπερ εἰσὶ ταῦτα· ὁ ἅγιος Θεόδωρος, ἡ Παναγία Καλαμιώτισσα, τὸ μετόχιον εἰς τὸν Αἰγιαλόν, ὁ ἅγιος Νικόλαος ἐν Σπήρτοις μέχρι τοῦ Ἄσπρου Ὀσπιτίου καὶ τοῦ ἁγίου Γεωργίου εἰς τὸ Περιβόλιον, τὸ ἁλώνιον εἰς τὴν Σκλιβινίτζα, ὁ ἅγιος Ἠλίας, τὰ Ζευγνά, ἐν οἷς ὑπάρχει ὁ ἅγιος Ἀθανάσιος καὶ ἡ βρύσις· μετὰ ταῦτα ἐν τοῖς κάτω μέρεσι ὁ βασιλικὸς μύλος, ἡ Ἀλογοπατημία εἰ τὴν Στενήν, ὁ ἅγιος Παντελεήμων, ὁ ἅγιος Ἠλίας, τὸ Τρύπιον Λιθάρι, ὁ σχοῖνος, τὸ Μακρὶ Λιθάρι, τὸ Μαῦρον Λιθάρι, τὸ Ἀνατολικόν, ἡ Παναγία Πανίτζα μέχρι τοῦ Κάβου τῆς Ἁγίας, ὁ ἅγιος Ἰωάννης, ἡ Μάσκλερα, ἡ Παναγία Μεραλίτζα, ὁ ἅγιος Νικόλαος εἰς τὰ Καμπιά, ἡ Παναγία τοῦ Μύρου, ὁ ἅγιος Νικόλαος τῆς Συκῆς, τὸ Μαρυδάκι, ἡ Σάρρα εἰς τοῦ Μιζίκα καὶ ὅσα ἐμπεριέχονται οἰκήματα, ἀμπέλια, κῆποι, χωράφια, μετὰ τούτων οὖν καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ ὑπάρχει σταυροπήγιον. εἰς ἀνακαίνισιν οὖν τούτου γράφοντες διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους ἐν μεμβράναις γράμματος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τὸ ἐν τῇ ἐπισκοπῇ Ταλαντίου καὶ Διαυλείας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ, ἐπικεκλημένον τοῦ Στηριώτου, μετὰ τῶν ἀνωτέρω ἀπηριθμημένων ὁρίων, μετοχίων, ἐξωκλησίων καὶ ἐνοριακῶν παντοίων μελλείων καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν

τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰς ἔπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γιγνώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον παρ' οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος, ἔχοι καὶ τὸ προνόμιον κατὰ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν προχειριζόμενον καὶ πατερίτζαν. καὶ πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας· δεύτερον δὲ λόγῳ ὑποταγῆς ἀποδιδῷ καθ' ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια τριακόσια εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ λαμβάνῃ ἐξωφλητικὴν ἀπόδειξιν αὐτοῦ κατὰ τὸ ὕφος τῶν ἐπαρχιῶν καὶ οὕτως ἀναλαβὸν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον καὶ καλῶς διοικούμενον καὶ μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ οἱ ἀρχιερεῖς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι· τρίτον διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδικι τῆς ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ τὸ τοῦ ἡγουμένου ὄνομα· τέταρτον δὲ τὸ σιγίλλιον αὐτοῦ ἔχῃ μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενόν ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς· πέμπτον μηδεὶς τοῦ λοιποῦ γένηται ἐν αὐτῷ ἡγούμενος ἄνευ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ, ἀλλ' ἐπειδὰν ἕλωνται αὐτὸν γνώμῃ κοινῇ οἱ συγκοινοβιάται πατέρες, τότε ἀποστέληται παρ' αὐτῶν κοινὴ ἐνυπόγραφος καὶ ἐνσφράγιστος ἀναφορὰ περὶ τῆς τοιαύτης ἐκλογῆς πρὸς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην καὶ οὕτω δι' ἐκκλησιαστικοῦ γράμματος ἀποκαθιστῶται ὁ ἡγούμενος τοῦ μοναστηρίου τούτου, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδικι, ὀφείλων κατ' ἔτος ἐξαποστέλλειν ἀκριβῆ ἐνυπόγραφον καὶ ἐνσφράγιστον καταγραφὴν τῶν τοῦ ἔτους ἐκείνου μοναστηριακῶν εἰσόδων καὶ ἐξόδων· ἕκτον ἡ σφραγὶς τοῦ μοναστηρίου διαιρεθῇ εἰς τμήματα τέσσαρα καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων· ἕβδομον οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτοτέρων ἐν τοῖς συγκοινοβιάταις ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν, αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομί-

ζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφαγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριεχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας, οὗτοι δέ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας ἐπιτιμᾶν, σωφρονίζειν [καὶ] ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας καὶ τοὺς ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως καὶ μὴ πειθομένους, τελευταῖον διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ· ὄγδοον μηδεὶς τοῦ μοναστηρίου τούτου δύνηται τοῦ λοιποῦ πωλεῖν μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτοῦ χρείας· ἔννατον ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐκτελεῖν αὐτὴν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως· δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι [γράμματι] ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντὸς καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτοῦ καὶ τὴν κατὰ θεὸν διαγωγὴν καὶ πολιτείαν καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ μοναστηρίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν διατύπωσιν ἀπαράτρεπτον· ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν, ἱερωμένος ἢ λαϊκὸς ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσει παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα καὶ ἀνατρέψῃ τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς μεγάλης ἐκκλησίας τῷ ἐπ' αὐτῷ τούτῳ διορισθέντι, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ ὀγδόῳ κατὰ μῆνα ἰανουάριον ἐπινεμήσεως πρώτης †.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὁ Ἐφέσου Σαμουὴλ †.
† Ὁ . . . . . .
† Ὁ Κυζίκου Ἰωακείμ †.
† Ὁ Νικομηδείας Ἀθανάσιος †.
† Ὁ Νικαίας Καλλίνικος †.
† Ὁ Ἀγκύρας (?) Γεώργιος †.
† Ὁ Δέρκων Μακάριος †.
† Ὁ Θεσσαλονίκης Γερμανός †.
† Ὁ Προύσης Ἄνθιμος †.
† Ὁ Νεοκαισαρείας Ἠσαΐας †.
† Ὁ Λαρίσσης Διόνυσος †.

Archet. membraneum, doc. habet bullam plumbeam cum imagine τῆς Παναγίας. *Documenta nobis humanissime concessit amicus vir Georgius Cremus, Athenis. Subscriptiones lectu difficillimae sunt.*

VII.

Diplomata et acta ecclesiae et civitatis Monembasiensis.

I. 6792—1284, mense augusto, ind. XII.

Imperator Andronicus II. Palaeologus civibus Monembasiae confirmat possessiones et exemptiones eis concessas a Michaële Palaeologo.

Χρυσόβουλλον τῆς χώρας Μονεμβασίας.

† Οὐκ ἦν ἄρα καὶ τὴν τῆς Μονεμβασίας πόλιν τῶν ἐκ τοῦ χρόνου μεῖναι τὸ παράπαν ἀπείρατον, οὐδ' ἐπὶ τῶν αὐτῶν ἑστάναι, τῶν ἄλλων πάντων δεξαμένων μεταβολὴν καὶ γευσαμένων, τῆς τούτου παλινστρόφου κινήσεως μέντοι γε οὐδὲ τῆς αὐτοῦ παντάπασιν ἔξω γεγένηται φύσεως, ἀλλ' ἅπτεται καὶ ταύτης, ὡς καὶ πάντων, μεταβολὴ χρόνοις πρότερον ἤδη συχνοῖς καὶ κινεῖται πλὴν τὴν πρὸς τὰ χείρω κίνησιν, ὡς μὴ ὤφελε· λαμπρὰ γὰρ οὖσα τὸ πρὶν καὶ πολλοῖς εὐθηνουμένη τοῖς ἀγαθοῖς ὑπὸ τὰ Ῥωμαίων σκῆπτρα τῆς εὐδαιμονίας ἀπέλαυεν, ἀλλ' ὁ χρόνος, ὥσπερ οὐκ ἐνεγκὼν τηρῆσαι τὴν περιφάνειαν[1]), τῆς μὲν [τῶν] Ῥωμαίων ταύτην ἀποσπάσαι ἔγνω χειρός, δουλείας δὲ φέρων ἰταλικῆς ζυγὸν αὐτῇ ἐπιτίθησιν. ἐντεῦθεν καὶ πᾶν ὁμοῦ τῆς πόλεως τὸ λαμπρὸν ἀποσβέννυσι καὶ τὴν ὄντως[2]) πρώην καλλίστην ἐν πόλεσιν μετὰ βραχὺ πολλοῦ τοῦ αἴσχους ἐμπίπλησιν. ἀλλ' οὐκ ἦν εἰς τέλος τοὺς αὐτῆς πολίτας οὕτω τῆς τῶν τρόπων χρηστότητος ἔχοντας, οὕτω συχνοῖς κεκοσμημένους τοῖς ἀγαθοῖς περιοφθῆναι παρὰ θεοῦ καὶ τὴν ταλαιπωρίαν φέρειν ἐπὶ πάνυ μακρόν. οὔκουν οὐδὲ θείας ἀμοιροῦσιν ἐπισκοπῆς, ἀλλ' ἐφορᾷ καὶ πάλιν ἵλεων ἐπ' αὐτοὺς ὁ πάντα ἐφορῶν ὀφθαλμὸς καὶ τῆς μὲν ἀλλογενοῦς αὐτίκα ουλδείας δέχονται τὴν ἀπαλλαγήν, πρὸς δὲ τὴν προτέραν[3]) ἐκείνην εὐθὺς εὐδαιμονίαν ἀναχωροῦσι καὶ περιφάνειαν ὑπὸ Ῥωμαίοις αὖθις καὶ τῇ τούτων ἀρχῇ τελεῖν ὡς πρώην ἐπευτυχήσαντες. ὅτε δὴ πρὸς ἄλλοις τῶν ἀγαθῶν (οὐδ' ὅσοις ῥᾴδιον ἀριθμεῖν) καὶ χρυσοβούλλου ἐπὶ τοῖσδε τυγχάνουσι παρὰ τοῦ ἀοιδίμου βασιλέως τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου, τῷ τε δηλαδὴ ἐξκουσσείας

---

[1]) ἐπιφ. cod. et Zach. [2]) οὔπω cod. et Zach. Lectionem ὄντως proposuit Miller.
[3]) πρίν cod. et Zach.

πάσης καὶ ἐλευθερίας ἀπολαύειν αὐτοὺς καὶ πάντα τὰ προσόντα γονικόθεν αὐτοῖς ἀνώτερα κεκτῆσθαι τέλους καὶ βάρους ὁποιουδήτινος καὶ κομμερκίου χάριν ἀκαταζητήτους τετηρῆσθαι παντάπασιν, ἐφ' αἷς ἂν ποιεῖν ἐθέλωσι πραγματείαις ἐν τῇ εἰρημένῃ πόλει τῆς Μονεμβασίας. ὅθεν, ἐπειδὴ καὶ νῦν ὑπὲρ τούτων τυχεῖν ἐξῃτήσαντο καὶ χρυσοβούλλου τῆς βασιλείας μου, εὐμενῶς τε ἄγαν καὶ ἑτοίμως τῇ τοιαύτῃ αὐτῶν παρακλήσει συννεύσασα τὸν παρόντα ταύτης πρὸς αὐτοὺς ἐπιβραβεύει χρυσόβουλλον λόγον, δι' οὗ προστάσσει καὶ διορίζεται ἐπαπολαύειν καὶ εἰς τὸ ἑξῆς τοὺς οἰκήτορας τῆς τοιαύτης πόλεως Μονεμβασίας τῆς προσούσης αὐτοῖς μέχρι τοῦ νῦν τοιαύτης ἐξκουσσίας τε καὶ ἀνενοχλησίας καὶ διατηρεῖσθαι μὲν τά τε γονικὰ καὶ ὑποστατικὰ αὐτῶν ἀδιάσειστα πάντῃ καὶ ἐλεύθερα καὶ παντὸς βάρους καὶ τέλους ἀνώτερα, ἅπερ εὑρίσκονται κεκτημένοι μετὰ τῆς τοιαύτης ἐλευθερίας μέχρι τῆς σήμερον, διαμένειν δὲ αὐτοὺς καὶ ἀπὸ τῆς τοῦ κομμερκίου δόσεως ἀκαταζητήτους τε καὶ ἀνενοχλήτους παντάπασιν, ἐφ' αἷς ἂν δηλονότι ποιῶνται πραγματείαις ἐν τῇ τοιαύτῃ πόλει τῆς Μονεμβασίας· βούλεται γὰρ ἡ βασιλεία μου τελείας ἀπολαύειν αὐτοὺς ἅπαντας τῆς ἐπὶ τούτοις ἐλευθερίας καὶ ἀνέσεως τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καὶ μὴ εὑρίσκειν ὑπὲρ τούτων τὴν οἱανδήτινα διενόχλησιν καὶ συζήτησιν. ἐπὶ τούτῳ γὰρ γεγονὼς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη αὐτοῖς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης ιβ' ἰνδ. τοῦ ,ς ἑπτακοσιοστοῦ ἐνενηκοστοῦ β' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Edidit E. Miller in catalogo Mss. graec. bibliothecae Scorialensis p. 59 et Zachariae, Jus graeco rom. III. p. 605.

II. 6801—1293, mense iunio, ind. VI.

Imperator Andronicus II. metropolitae Monembasiae concedit dignitatem exarchi totius Peloponnesi confirmatque jura, privilegia et possessiones ecclesiae.

† Κἂν εἰ μήπω πρότερον ἔφθη πλεῖστα δὴ παραπλήσια γενέσθαι βασιλεῦσί τε καὶ ἄλλοις, καὶ οὐχ ἧττον ἡμῖν, καὶ νομισθῆναι τοῦ λοιποῦ γίγνεσθαι, ἴσως ἂν ἴσως ἥ γε νῦν αὕτη παροῦσά τε καὶ προτεθειμένη τῇ βασιλείᾳ μου πρᾶξις ἐφεῦρε τὸν τοιούτου καλοῦ τύπον· ἀμέλει καὶ ἐφ' ἑαυτῇ κείμενον ἂν ἢ μᾶλλον ἐρεῖν, δι'

ἑαυτὴν[1]) ἐκαίνισε πάντως, ἀρχὴν οὕτω λαβόντα καλλίστην πρὸς τὸν ἑξῆς ἔπειτα χρόνον ἐνεργῇ[2]) δείκνυσθαι· οὕτω πολὺ πάντοθεν ἔχει τὸ πεῖθον αὕτη καὶ καταναγκάζον εὔλογον· τὸ γὰρ δὴ κατὰ τὴν Πελοπόννησον περιώνυμον ἄστυ Μονεμβασίας ἐστὶ μὲν ὡς ἀληθῶς τῶν κατ' αὐτὴν δὴ πάντων[3]) μακρῷ προέχον καὶ τὰ πρῶτα δὴ σαφῶς ἁπάντων φερόμενον, ὡς μηδένα μηδενὶ τῶν ταύτῃ γε ἄλλων ἄλλῃ πάντων πάντῃ καλλίστων ἐπιδήλως ἐναρίθμιον καὶ μὴ πολλῶν λείπεσθαι ξυγχωροῦν[4])· νέον μὲν ἐπιεικῶς ὄνομα καὶ κλέος καὶ οὐ πόρρωθεν τῶν ὄπισθεν χρόνων ἧκον, μυρίας δὲ ὅμως καὶ παμμήκεις τὰς εὐφημίας[5]) καὶ πανταχοῦ πομπεῦον, ὡς εἴ τι[6]) καὶ ἄλλο τῶν ἐπιφανῶν καὶ περιδόξων ἀκούειν, οὐκ ἐπὶ μόνης τῆς βασιλικῆς ἡγεμονίας τῆς ἡμετέρας, ἀλλὰ καὶ σχεδὸν τῆς ἀλλοτρίας ἁπάσης. καὶ γὰρ δὴ τά τε ἄλλα κοσμεῖ τὸ ἄστυ, καὶ θέσεως εὐκαιρία καὶ πρὸς ἀσφάλειαν ἐρυμνότης καὶ πλῆθος μάλιστα οἰκητόρων καὶ πολυολβία καὶ πολιτείας εὐγένεια καὶ τεχνῶν ἀσκήσεις καὶ ἀγορᾶς δαψίλεια πάντων πᾶσα, εὐεμπορώτατόν τε εἰ δή τι καὶ ἄλλο μάλιστα πρὸς ἅπαντα πλοῦν καὶ θαλάσσης ἅπαντα μέρη θέσεως[7]) εὖ ἔχον· καὶ τοίνυν πολὺ τὸ τῶν οἰκούντων ἐνταῦθα ἱκανόπλοον καὶ θαλαττουργόν, ῥωμαλαιότης τε καὶ φρόνημα δραστικόν τε καὶ ἐμπράκτον καὶ (τὸ κάλλιστον τῶν ἄλλων) μάλιστα ἡ πρὸς τὴν βασιλείαν μου ἔνεργός τε καὶ ἄτρεπτος παντάπασιν εὔνοια καὶ ἡ πρὸς τὸ γένος ἀναφορά τε καὶ κοινωνία πάντων ἀνάλωτος καιρῶν τε καὶ πραγμάτων, εὖ τε καὶ ἄλλως ἐχόντων, ἐν πολλοῖς ἤδη τῶν προλαβόντων χρόνων τὴν πεῖραν δοῦσα καὶ τὸ πιστὸν καθάπαξ ἄσειστον ἐγγυωμένη[8]), καὶ τὰ μὲν τοῦ ἄστεος, ὡς ἐν ὀλίγοις, οὕτω, φεύγοντι τῷ λόγῳ τὸ μῆκος. ξυλλαγχάνει[9]) δ' ἔτι καὶ τοῦτο νῦν εἶναι θαυμάσιον οἷον, ὅτι τῆς κατ' αὐτὸ πάντως ἁγιωτάτης ἐκκλησίας[10]) ποιμὴν[11]) ἀρτίως πάντ' ἄριστος, πολὺς τοῖς κατὰ θεὸν ἐκ νέου πάνυ τοι καὶ εἰς γῆρας ἤδη βαθὺ[12]) τοῦτο, νῦν ἤδη καμάτοις ἐγκαρτερήσας καὶ κατακεκοσμημένος εἰς ἄκρον τῆς μονήρους[13]) αὐτῆς βιοτῆς, ἀτρέπτως εἰς[14]) τοσοῦτο τῆς ἐξ ἀρχῆς ἐνστάσεως καὶ παντάπασιν ἀνενδότως, καὶ ὥσπερ εἴ τις νέος θερμῶς[15]) ἅπτοιτο, καὶ μὴ παρὰ τοσοῦτο προκόψας τι καὶ προηνυκὼς καὶ μὲν[16]) πλεῖστον ὅσον ὑπὸ τῆς οὕτω χρονίου καὶ πολυετοῦς καὶ βιαίου σφόδρα κατὰ τὸν θεῖον

---

[1]) ἑαυτῆς Z. [2]) ἐφ' ἑαυτῆς κεκίνηκεν ἂν ἢ μ. ἐναργῶς δι' ἑαυτῆς B. [3]) ταύτην B. [4]) τῶν ταύτῃ γε ἄλλων λείπεσθαι ξ. Z. reliqua omisit. [5]) δεόμενον καὶ παμμήκους τῆς εὐφ. Fl. B. [6]) εἴη B. [7]) θέας B. [8]) καθάπερ ἄλλοτε ἐγνωσμένη Z. R. καθάπαξ ἀσφαλὲς ἐγγυουμένη B. [9]) ξυλλαγχάνοντα τοῦτο B. [10]) τῇ . . . ἁγιωτάτῃ ἐκκλησίᾳ Fl. [11]) deest Z. R. [12]) ἐς γῆρας ἠδ . . . Z. R. ἤδη B. [13]) μακαρίας Z. R. B. [14]) ἐς Z. [15]) νηὸς ἱερᾶς addit B. [16]) καὶ μὴ παρὰ καὶ μὴν πλεῖστον R. Z. καὶ . . . παράδοξον B.

λόγον[1]) βιώσεως[2]) καὶ σωματικῆς δαπανήσεως καὶ προσταλαιπωρίας ἁπάσης ἐνηθληκὼς καὶ σφόδρα ἐκτετηγμένος[3]) οὐ τῷ γήρᾳ μᾶλλον ἢ τοῖς γε τοιούτοις πόνοις, ἔτι θαυμαστῶς ἐμμένει καὶ διακαρτερεῖ τὴν ἐξ ἀρχῆς ἀκλινῆ γνώμην, καὶ ὥσπερ νῦν μᾶλλον ἐπειγόμενος καὶ σπουδάζων δῆλός ἐστιν, ἀλλ' οὐχ ὡς ἂν ἤδη τοσοῦτο προλαβὼν καὶ καταστὰς[4]) ἤδη πως ἀσφαλῶς[5]) ἐν λιμένι καὶ γαλήνῃ· ἀμέλει καὶ τῆς περὶ τὸ ἀγαθὸν τοσαύτης ἕξεως καὶ σφόδρα ὑπ' ἀμφοῖν, τοῦ τε πανσέμνου τοῦδε γήρως, ὡς εἴρηται, καὶ τῶν τοσούτων καμάτων καὶ ἀσκητικῶν ἱδρώτων τὸ σῶμα κατακαμπτόμενος, οὐκ ἔπειθ' ὅμως κάμπτεται[6]) τὴν καλλίστην ταύτην γνώμην, οὐδὲ χαλᾷ κατὰ βραχὺ καὶ τῶν τόνων οὐκ ἐνδίδωσιν, οὐδὲ νικᾶται τὸ φρόνημα, ἀλλὰ τὸ μὲν σῶμα ἥττηται ἤδη, καὶ νῶτα δίδωσί τε καὶ τρέπεται ἐπὶ τοσούτων τῶν προλαβόντων καὶ πόνων καὶ χρόνων, ὁ λογισμὸς δὲ ἀήττητος κόρον οὐκ ἔχειν οὐδέπω τῶν καλῶν ἀξιοῖ, οἷα δὴ ἐπὶ πάντων γίγνεται, καὶ μόνον τὸν ἐπὶ τούτοις ἔρον ἀδαπάνητόν τε καὶ παντάπασιν ἀκάματόν τε καὶ ἀνεπίστροφον οἴεται δεῖν εἶναι. ταῦτ' ἄρα καὶ τοσαύτην καὶ ἐπὶ τοσούτοις ἤδη τοῖς ἔτεσι συλλεξάμενος τὴν πνευματικήν, ὡς ἔφην, κατάστασιν καὶ προειληφὼς οὕτω πάνυ τοι πόρρω καὶ καταπεράνας εὖ μάλα τελεσιουργὸν τοῦ βίου τὴν πρόθεσιν ἀσφαλῶς τε καὶ γενικῶς, ὡς καὶ τοῦ βίου τοῦδε καὶ τῆς ὑψηλῆς ταυτησὶ παιδείας παράδειγμα καὶ τύπος ἔμψυχος περιπολεῖν, ὡς ἀληθῶς δὲ καὶ εἶναι καὶ τοῖς πολλοῖς ὑπειλῆφθαι οὐκ ἀγαπᾷ τοῦ λοιποῦ. ὁ δὲ διὰ παντὸς ἐν τοῖς αὐτοῖς ἔχει, καὶ ὥσπερ οἱ πλείους καὶ βελτίους μὲν οὖν τῶν εἰσαγωγῇ χρωμένων νῦν εἶναι δὴ καὶ χθὲς καὶ πρότριτα[7]) καὶ αὐτὸς ἀεὶ παρασκευάζεται, καὶ ἔοικεν ὥσπερ ἀγωνιζομένῳ καὶ δεδιότι καὶ προσδραμεῖν[8]) σπουδάζοντι, καταγυμναζόμενος τὸν ἅπαντα χρόνον καὶ κατατρύχων ἀπέραντα, κάμνων τὸ σῶμα πόνοις ἀνενδότοις ἀσιτίαις τε καὶ ἀγρυπνίαις καὶ στάσεσι συντόνοις καὶ τίνι τῶν εἰθισμένων καὶ καλλίστων ἀγώνων οὔ; καὶ νομίμως[9]), μᾶλλον δὲ καὶ πλέον ἢ τέως νομίζεται τοῖς καλῶς ἠργμένοις καὶ περὶ τὸν πνευματικὸν δρόμον ἀκμάζουσιν αὐτὸς ἔτι πω καὶ νῦν ἐπὶ τοσούτων τῶν ἐτῶν κατατεινόμενος. καὶ μὴν καὶ τἄλλα κατὰ τὸ ἦθος ἅπαντα τοῦ θαυμασίου τοῦδε ποιμένος ἀναλογεῖ τε καὶ συμβαίνει πρὸς ταὐτά τε καὶ πρὸς ἄλληλα, οἷον ἡ τῆς ἀγάπης πρὸς ἅπαντας ἐλευθεριότης, τὸ ἀόργητον θαυμάσιον οἷον, τὸ φιλοικτον, ἡ τῆς ψυχῆς γαλήνη, τὸ μήτε λογισμοῖς μήτε λόγοις μήτ' οἴεσθαι μήτε λέγειν περὶ ὁτιοῦν φλαῦρον οὐδέν, ἀλλὰ περὶ πάντων καὶ βούλεσθαι καὶ δοκεῖν καὶ λέγειν πάντ' ἀγαθά, ἐκ τῶν οἴκοι θη-

---

1) κατὰ τὸν θ. λ. desunt R. Z. 2) βιαίας B. 3) σωμ. δαπ. καὶ πρὸς ἅπαντα πόνον καὶ μόχθον σφόδρα Z. καὶ πρὸς καὶ R. 4) καταστῆναι Z. R. 5) ἀσφαλεῖ Z. 6) κάμπεται Z. 7) πρὸ τρίτης R. 8) προσδ. R. Z. B. 9) νομίμων Fl. B.

σαυρῶν, ὡς ἔοικε[1]), τὸ πιστὸν ἔχοντα· καὶ τἄλλ' ὁμοῦ καθόλου συνελεῖν, ἅπαντα, ὡς[2]) μεγίστης ὄντως ἐκκλησίας καὶ πολυθρέμμονος ἀρχιερεῖ καὶ ποιμένι δεῖ, καὶ ἐστὶν ἐργωδέστατον ὁμοῦ καὶ σφόδρα σπάνιον ἑνὶ ξυλλαχεῖν, ὥσπερ ἐπ' αὐτῷ δὴ προδήλως, περὶ οὗ νῦν ὁ λόγος ἐστίν· καὶ μηκύνειν, ὡς ἔοικεν, οὐ δεῖ περαιτέρω. πλὴν ὅπερ ἄνωθεν ὁ λόγος ξυνεωραμένος ἀπεφήνατο. τοσαῦτα δὴ τά τε τοῦ ἀνδρὸς κατὰ θεὸν εὐδοκιμήματα καὶ τὸ τῆς πολιτείας καὶ τοῦ βίου περιφανὲς καὶ ὑπερηρμένον καὶ σχεδὸν ἀπαράμιλλον. καὶ τοῦ γε τῆς ὑπ' αὐτὸν ἐκκλησίας ἄστεος αὖθις τὰ προσόντα παντοῖα καλά, ὥστε κἂν μόνα δῆτ' ἴσως κινῆσαι ταῦτα τὴν βασιλείαν μου πρὸς τὸ μεταποιῆσαι καὶ προβιβάσαι τὴν τοιαύτην ὑπ' αὐτὸν ἁγιωτάτην ἐκκλησίαν εἰς κρείττω τινὰ καὶ ὑψηλοτέραν κατάστασιν καὶ ἀξίαν καὶ βαθμὸν ὑπερκείμενον, κἂν εἰ[3]) μήπω πρότερον, ὡς εἴρηται, τοιαῦτα παραπλήσια καὶ γεγένητο καὶ νενόμιστο γίγνεσθαι. καὶ ταῦτ' ἴσως, ἧπερ ἔφην, ἱκανῶς ἂν εἶχεν ἀφορμήν τε δοῦναι καὶ ὑποφῆναι τὸν ἐν τούτοις τύπον καὶ νόμον, ὃ δῆτα καὶ παραπλήσια ἄττα ἴσως ἕτερα πρότερον, ὡς ἔοικε, καὶ εἴργασται καὶ τὴν ἐν τούτοις ἀρχὴν δέδωκεν. ἐπεὶ δὲ ὅ τε περὶ τούτων βασίλειος νόμος προλαβών, ὡς ἔφην, ἐπαίρει καὶ δίδωσι καὶ αὐτὰ δὴ ταῦθ'[4]), ἅπερ εἴρηται, σφόδρα κινεῖ, σὺν θεῷ δ' εἰρήσθω, καὶ τὸ τῆς ἡμετέρας βασιλείας φιλόκαλον τὸ πλεῖστον ἐν τούτῳ μάλιστα συναίρεται, καὶ ἡ περὶ τὰ κάλλιστα καὶ θεοφιλῆ τῶν ἔργων χάριτι τοῦ θεοῦ καὶ προμήθεια[5]) ταύτης συνειδεῖν τὰ δέοντα καὶ βουλεῦσαι καὶ προθυμία τε καὶ σπουδὴ μάλα ἐνεργὸς[6]) ἐκτελέσαι τε καὶ περᾶναι. ἐκ πάντων ἄρα τούτων τὸ καινίσαι τι[7]) πρὸς τὸ κρεῖττον καὶ προβιβάσαι τὰ τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας Μονεμβασίας ἐδοκιμάσθη τῇ βασιλείᾳ μου. καὶ τοίνυν φθάνει μὲν ἤδη πρότερον προθεσπίσασα καὶ βαθμόν τινα τῶν ὑψηλοτέρων ἔχειν ταύτην δὴ τὴν ἁγιωτάτην μητρόπολιν καὶ τόπον τινὰ ἐκκλησίας ἑτέρας καὶ τάξιν προεσβεσμένης καὶ ὡσπερεὶ παρελθούσης, οὐ μὴν ἀλλὰ καὶ μεγίστης ἐνορίας[8]) ἐξαρχίαν τε καὶ ἐπισκοπὰς ἀναλόγως διαταξαμένη τε καὶ προσηκόντως. ἐπὶ δὲ αὐτὰ δὴ ταῦτα καὶ χρυσοβούλλῳ βεβαιωθῆναι καὶ τὸ πιστὸν λαβεῖν καὶ ἄτρεπτον ἐξῃτήσατο ὁ ἀνωτέρω εἰρημένος ἱερώτατος τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερεὺς[9]) ἑτοίμως τε ἡ βασιλεία μου καὶ τὰ τῆς τοιαύτης αἰτήσεως προσεδέξατο καὶ πρὸς πέρας ἀγαγεῖν ηὐδόκησε. καὶ τοίνυν τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς[10]) ἀπολύει, δι' οὗ καὶ βούλεται σὺν θεῷ καὶ εὐδοκεῖ καὶ θεσπίζει, τόν τε, ὡς εἴρηται, νῦν προϊστά-

---

1) αὐτοῦ om. ὡς ἔοικε R. Z. ὡς ἀληθῶς B. 2) ὧν Z. 3) εἰ deest R. B. Z. 4) ταῦτα Z. 5) προμηθεία C. 6) ἐνεργόν R. An ἐνεργῶς? 7) τε B. 8) μεγίστην ἐνορίαν Pandora. 9) ἀρχιερατικῶς προϊστάμενος alii editores, apud quos deest sequens ἑτοίμως γε. 10) αὐτῆς Z., B. pro αὐτῆς habet τό γε νῦν.

μενον ἀρχιερατικῶς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Μονεμβασίας καὶ τοὺς καθεξῆς τὸν αὐτῆς διαδεξομένους θρόνον ἐπαπολαύειν τῆς ἀνηκούσης τῷ τοῦ Σίδης θρόνῳ τιμῆς ἐν ἅπασι, καθέδραις τε δηλαδὴ καὶ προελεύσεσί[1]) τε καὶ στάσεσι, γραφαῖς τε καὶ ὅλως τοῖς ἐθίμοις[2]) ἔργοις ἀρχιερατικοῖς καὶ λειτουργήμασιν ἅπασι· φορεῖν δὲ καὶ σάκκον ἐν ταῖς θείαις ἱεροτελεστίαις, ὁμοίως δὲ καὶ διβάμπουλον, καὶ ἁπλῶς πάντα τὰ ἐκείνης προνόμια καὶ δίκαια ἔχειν· ἔξαρχόν τε καὶ εἶναι καὶ λέγεσθαι τὸν τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερατικῶς προϊστάμενον καὶ πάσης δὴ τῆς Πελοποννήσου[3]) καὶ τῆς ἐντεῦθεν τιμῆς προσαπολαύοντα[4]), ᾗ δὴ καὶ τοῖς ἄλλοις εἴθισται τῶν ἱερωτάτων ἀρχιερέων τοῖς ἠξιωμένοις διαφόρων[5]) ἐξαρχεύειν θεμάτων τε καὶ χωρῶν. ὡσαύτως δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο θεσπίζει καὶ παρακελεύεται, πάντας δηλαδὴ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ἔν τε φήμαις καὶ γραφαῖς παναγιώτατον προσαγορεύειν [τε] καὶ ὀνομάζεσθαι, αὐτὸν δὲ πάλιν ἐν τοῖς σημειώμασι καὶ γράμμασιν ἰνδικτιῶνα ἐμφαίνειν πρὸς αὐτοὺς καὶ πρὸς πᾶσαν τὴν αὐτοῦ ἐπαρχίαν ἀνθ' ἑτέρας ὑποσημάνσεως. ἐπεὶ δὲ ἔφθασαν προστεθῆναι πρότερον τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει καὶ ἐπισκοπαὶ αὗται, ἡ τῆς Κυνουρίας[6]), ἡ τοῦ Ἕλους, ἡ τῆς Μαΐνης καὶ ἡ τοῦ Ῥέοντος καὶ ἡ τοῦ Ζεμενοῦ, προσβεβαιοῖ μὲν προηγουμένως καὶ προσεδράζει[7]) ταύτας αὐτῇ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς[8]) ἡ βασιλεία μου, καὶ θεσπίζει καὶ διατάττεται καὶ εἰς τὸ ἑξῆς ὑπ' αὐτὴν εἶναι, καθὼς εὑρίσκονται μέχρι καὶ εἰς τὸ νῦν. ἔτι μέντοι δι' αὐτοῦ δὴ τούτου τὸ φιλότιμον προσεπαύξουσά τε ταύτῃ καὶ προσεπιτείνουσα εὐδοκεῖ καὶ παρακελεύεται ὑπ' αὐτὴν εἶναι καὶ ἑτέρας ἐπισκοπὰς ταύτας· ἤγουν τὴν τῆς Κορώνης, τὴν τῆς Μεθώνης καὶ τὴν τῆς Ἀνδρούσης καὶ ὑποκεῖσθαι ὁμοίως καὶ ταύτας τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς Μονεμβασίας, ὡς καὶ τὰς ἄλλας, ὡς ἄρα μητροπόλει αὐτῶν καὶ δέχεσθαι εἰς ἀρχιερεῖς ἑαυτῶν, οὓς ἂν ὁ ἐν τῇ εἰρημένῃ ἁγιωτάτῃ μητροπόλει εὑρισκόμενος ἀρχιερεὺς χειροτονῆσαι διακρίνοι καὶ ἐγκαταστῆσαι ἐπ' αὐταῖς. ἡ δὲ τῆς ἐπαρχίας ταύτης περίοδος, ὡς ἐν τύπῳ περιγραφικῷ ἔχει οὕτως. πρῶτον μὲν οὖν Ἐπίδαυρος ἀρχαία, ἡ καλουμένη Λιμηρά· μετὰ δὲ ταύτην ἐπὶ ἑῴαν προϊόντι ὁ Ζάραξ· προελθόντι δὲ ἀπὸ Ζάρακος παρὰ τὴν θάλατταν κατιόντι [κώμη][9]) ἡ Κυπαρισσία· εἶτα ναὸς τοῦ ἁγίου Λεωνίδου· μετὰ δὲ τὸ τοῦ ἁγίου θεῖον τέμενος, τὸ καλούμενον Ἄστρος· ἐπαναβάντι δὲ κώμη ἡ καλουμένη Καστάνιτζα· μετὰ δὲ ταύτην ἀπέρχεται καὶ

---

[1]) προεδρεύσεσι B. [2]) ἐθισμένοις B. ὅλοις? [3]) ἐξ. τοῦτον μόνον εἶναί τε καὶ λέγεσθαι πάσης Πελ. τὸν τῆς τοιαύτης ἁγιωτάτης ἀρχιερατικῶς ἐκκλ. προϊστ. alii edit. [4]) ἀπολαύοντα edit. [5]) διαφόρως R. [6]) Sic R., alii editores Κυθουρίας. [7]) προσεδράζεται B. [8]) αὐτῆς Z. [9]) πόλισμά τι B.

ἄρχοντα διαμένῃ, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιαπομπῆται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν πάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλομεν, ἐκθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν ἱερὸν τόμον, ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις περὶ τῆς εἰς τὸ ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων καὶ τῆς δυνατῆς ἀντιλήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεὰν καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενά ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως. καὶ [οὕτω] καὶ περὶ τοῦ ἐν τῇ ἐπισκοπῇ Ταλαντίου καὶ Διαυλείας ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ, ἐπικεκλημένου τοῦ Στηριώτου· ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Νεοφύτου τοῦ παλαιοῦ ἀποδεικτικόν, ὅτι τὸ μοναστήριον τοῦτο μετὰ τῶν ὁρίων, μετοχίων, ἐξωκλησίων καὶ ἐνοριακῶν παντοίων μελλείων, ἅπερ εἰσὶ ταῦτα· ὁ ἅγιος Θεόδωρος, ἡ Παναγία Καλαμιώτισσα, τὸ μετόχιον εἰς τὸν Αἰγιαλόν, ὁ ἅγιος Νικόλαος ἐν Σπήρτοις μέχρι τοῦ Ἄσπρου Ὀσπιτίου καὶ τοῦ ἁγίου Γεωργίου εἰς τὸ Περιβόλιον, τὸ ἁλώνιον εἰς τὴν Σκλιβινίτζα, ὁ ἅγιος Ἠλίας, τὰ Ζευγνά, ἐν οἷς ὑπάρχει ὁ ἅγιος Ἀθανάσιος καὶ ἡ βρύσις· μετὰ ταῦτα ἐν τοῖς κάτω μέρεσι ὁ βασιλικὸς μύλος, ἡ Ἀλογοπατημία εἰ τὴν Στενήν, ὁ ἅγιος Παντελεήμων, ὁ ἅγιος Ἠλίας, τὸ Τρύπιον Λιθάρι, ὁ σχοῖνος, τὸ Μακρὶ Λιθάρι, τὸ Μαῦρον Λιθάρι, τὸ Ἀνατολικόν, ἡ Παναγία Πανίτζα μέχρι τοῦ Κάβου τῆς Ἁγίας, ὁ ἅγιος Ἰωάννης, ἡ Μάσκλερα, ἡ Παναγία Μεραλίτζα, ὁ ἅγιος Νικόλαος εἰς τὰ Καμπιά, ἡ Παναγία τοῦ Μύρου, ὁ ἅγιος Νικόλαος τῆς Συκῆς, τὸ Μαρυδάκι, ἡ Σάρρα εἰς τοῦ Μιζίκα καὶ ὅσα ἐμπεριέχονται οἰκήματα, ἀμπέλια, κῆποι, χωράφια, μετὰ τούτων οὖν καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ ὑπάρχει σταυροπήγιον. εἰς ἀνακαίνιον οὖν τούτου γράφοντες διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους ἐν μεμβράναις γράμματος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τὸ ἐν τῇ ἐπισκοπῇ Ταλαντίου καὶ Διαυλείας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ, ἐπικεκλημένον τοῦ Στηριώτου, μετὰ τῶν ἀνωτέρω ἀπηριθμημένων ὁρίων, μετοχίων, ἐξωκλησίων καὶ ἐνοριακῶν παντοίων μελλείων καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν

τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰς ἔπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γιγνώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον παρ' οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος, ἔχοι καὶ τὸ προνόμιον κατὰ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν προχειριζόμενον καὶ πατερίτζαν. καὶ πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας· δεύτερον δὲ λόγῳ ὑποταγῆς ἀποδιδῷ καθ' ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια τριακόσια εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ λαμβάνῃ ἐξωφλητικὴν ἀπόδειξιν αὐτοῦ κατὰ τὸ ὕφος τῶν ἐπαρχιῶν καὶ οὕτως ἀναλαβὸν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον καὶ καλῶς διοικούμενον καὶ μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ οἱ ἀρχιερεῖς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι· τρίτον διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδικι τῆς ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ τὸ τοῦ ἡγουμένου ὄνομα· τέταρτον δὲ τὸ σιγίλλιον αὐτοῦ ἔχῃ μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενόν ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς· πέμπτον μηδεὶς τοῦ λοιποῦ γένηται ἐν αὐτῷ ἡγούμενος ἄνευ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ, ἀλλ' ἐπειδὰν ἕλωνται αὐτὸν γνώμῃ κοινῇ οἱ συγκοινοβιᾶται πατέρες, τότε ἀποστέλληται παρ' αὐτῶν κοινὴ ἐνυπόγραφος καὶ ἐνσφράγιστος ἀναφορὰ περὶ τῆς τοιαύτης ἐκλογῆς πρὸς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην καὶ οὕτω δι' ἐκκλησιαστικοῦ γράμματος ἀποκαθιστῶται ὁ ἡγούμενος τοῦ μοναστηρίου τούτου, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδικι, ὀφείλων κατ' ἔτος ἐξαποστέλλειν ἀκριβῆ ἐνυπόγραφον καὶ ἐνσφράγιστον καταγραφὴν τῶν τοῦ ἔτους ἐκείνου μοναστηριακῶν εἰσόδων καὶ ἐξόδων· ἕκτον ἡ σφραγὶς τοῦ μοναστηρίου διαιρεθῇ εἰς τμήματα τέσσαρα καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων· ἕβδομον οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτοτέρων ἐν τοῖς συγκοινοβιάταις ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν, αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομί-

ζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφαγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριεχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας, οὗτοι δέ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας ἐπιτιμᾶν, σωφρονίζειν [καὶ] ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας καὶ τοὺς ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἄθλον τῆς ἀσκήσεως καὶ μὴ πειθομένους, τελευταῖον διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ· ὄγδοον μηδεὶς τοῦ μοναστηρίου τούτου δύνηται τοῦ λοιποῦ πωλεῖν μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτοῦ χρείας· ἔννατον ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐκτελεῖν αὐτὴν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως· δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι [γράμματι] ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντὸς καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτοῦ καὶ τὴν κατὰ θεὸν διαγωγὴν καὶ πολιτείαν καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ μοναστηρίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν διατύπωσιν ἀπαράτρεπτον· ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν, ἱερωμένος ἢ λαϊκὸς ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσει παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα καὶ ἀνατρέψῃ τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς μεγάλης ἐκκλησίας τῷ ἐπ' αὐτῷ τούτῳ διορισθέντι, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ ὀγδόῳ κατὰ μῆνα ἰανουάριον ἐπινεμήσεως πρώτης †.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὁ Ἐφέσου Σαμουήλ †.

† Ὁ . . . . . .

† Ὁ Κυζίκου Ἰωακείμ †.

† Ὁ Νικομηδείας Ἀθανάσιος †.

† Ὁ Νικαίας Καλλίνικος †.

† Ὁ Ἀγκύρας (?) Γεώργιος †.

† Ὁ Δέρκων Μακάριος †.

† Ὁ Θεσσαλονίκης Γερμανός †.

† Ὁ Προύσης Ἄνθιμος †.

† Ὁ Νεοκαισαρείας Ἡσαΐας †.

† Ὁ Λαρίσσης Διόνυσος †.

Archet. membraneum, doc. habet bullam plumbeam cum imagine τῆς Παναγίας. *Documenta nobis humanissime concessit amicus vir Georgius Cremus, Athenis. Subscriptiones lectu difficillimae sunt.*

VII.

Diplomata et acta ecclesiae et civitatis Monembasiensis.

I. 6792—1284, mense augusto, ind. XII.

Imperator Andronicus II. Palaeologus civibus Monembasiae confirmat possessiones et exemptiones eis concessas a Michaële Palaeologo.

Χρυσόβουλλον τῆς χώρας Μονεμβασίας.

† Οὐκ ἦν ἄρα καὶ τὴν τῆς Μονεμβασίας πόλιν τῶν ἐκ τοῦ χρόνου μεῖναι τὸ παράπαν ἀπείρατον, οὐδ' ἐπὶ τῶν αὐτῶν ἑστάναι, τῶν ἄλλων πάντων δεξαμένων μεταβολὴν καὶ γευσαμένων, τῆς τούτου παλινστρόφου κινήσεως μέντοι γε οὐδὲ τῆς αὐτοῦ παντάπασιν ἔξω γεγένηται φύσεως, ἀλλ' ἅπτεται καὶ ταύτης, ὡς καὶ πάντων, μεταβολὴ χρόνοις πρότερον ἤδη συχνοῖς καὶ κινεῖται πλὴν τὴν πρὸς τὰ χείρω κίνησιν, ὡς μὴ ὤφελε· λαμπρὰ γὰρ οὖσα τὸ πρὶν καὶ πολλοῖς εὐθηνουμένη τοῖς ἀγαθοῖς ὑπὸ τὰ Ῥωμαίων σκῆπτρα τῆς εὐδαιμονίας ἀπέλαυεν, ἀλλ' ὁ χρόνος, ὥσπερ οὐκ ἐνεγκὼν τηρῆσαι τὴν περιφάνειαν[1]), τῆς μὲν [τῶν] Ῥωμαίων ταύτην ἀποσπάσαι ἔγνω χειρός, δουλείας δὲ φέρων ἰταλικῆς ζυγὸν αὐτῇ ἐπιτίθησιν. ἐντεῦθεν καὶ πᾶν ὁμοῦ τῆς πόλεως τὸ λαμπρὸν ἀποσβέννυσι καὶ τὴν ὄντως[2]) πρώην καλλίστην ἐν πόλεσιν μετὰ βραχὺ πολλοῦ τοῦ αἴσχους ἐμπίπλησιν. ἀλλ' οὐκ ἦν εἰς τέλος τοὺς αὐτῆς πολίτας οὕτω τῆς τῶν τρόπων χρηστότητος ἔχοντας, οὕτω συχνοῖς κεκοσμημένους τοῖς ἀγαθοῖς περιοφθῆναι παρὰ Θεοῦ καὶ τὴν ταλαιπωρίαν φέρειν ἐπὶ πάνυ μακρόν. οὔκουν οὐδὲ θείας ἀμοιροῦσιν ἐπισκοπῆς, ἀλλ' ἐφορᾷ καὶ πάλιν ἵλεων ἐπ' αὐτοὺς ὁ πάντα ἐφορῶν ὀφθαλμὸς καὶ τῆς μὲν ἀλλογενοῦς αὐτίκα ουλδείας δέχονται τὴν ἀπαλλαγήν, πρὸς δὲ τὴν προτέραν[3]) ἐκείνην εὐθὺς εὐδαιμονίαν ἀναχωροῦσι καὶ περιφάνειαν ὑπὸ Ῥωμαίοις αὖθις καὶ τῇ τούτων ἀρχῇ τελεῖν ὡς πρώην ἐπευτυχήσαντες. ὅτε δὴ πρὸς ἄλλοις τῶν ἀγαθῶν (οὐδ' ὅσοις ῥᾴδιον ἀριθμεῖν) καὶ χρυσοβούλλου ἐπὶ τοῖσδε τυγχάνουσι παρὰ τοῦ ἀοιδίμου βασιλέως τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου, τῷ τε δηλαδὴ ἐξκουσσείας

---

[1]) ἐπιφ. cod. et Zach. [2]) οὔπω cod. et Zach. Lectionem ὄντως proposuit Miller.
[3]) πρίν cod. et Zach.

πάσης καὶ ἐλευθερίας ἀπολαύειν αὐτοὺς καὶ πάντα τὰ προσόντα γονικόθεν αὐτοῖς ἀνώτερα κεκτῆσθαι τέλους καὶ βάρους ὁποιουδήτινος καὶ κομμερκίου χάριν ἀκαταζητήτους τετηρῆσθαι παντάπασιν, ἐφ' αἷς ἂν ποιεῖν ἐθέλωσι πραγματείαις ἐν τῇ εἰρημένῃ πόλει τῆς Μονεμβασίας. ὅθεν, ἐπειδὴ καὶ νῦν ὑπὲρ τούτων τυχεῖν ἐξητήσαντο καὶ χρυσοβούλλου τῆς βασιλείας μου, εὐμενῶς τε ἄγαν καὶ ἑτοίμως τῇ τοιαύτῃ αὐτῶν παρακλήσει συννεύσασα τὸν παρόντα ταύτης πρὸς αὐτοὺς ἐπιβραβεύει χρυσόβουλλον λόγον, δι' οὗ προστάσσει καὶ διορίζεται ἐπαπολαύειν καὶ εἰς τὸ ἑξῆς τοὺς οἰκήτορας τῆς τοιαύτης πόλεως Μονεμβασίας τῆς προσούσης αὐτοῖς μέχρι τοῦ νῦν τοιαύτης ἐξκουσσίας τε καὶ ἀνενοχλησίας καὶ διατηρεῖσθαι μὲν τά τε γονικὰ καὶ ὑποστατικὰ αὐτῶν ἀδιάσειστα πάντη καὶ ἐλεύθερα καὶ παντὸς βάρους καὶ τέλους ἀνώτερα, ἅπερ εὑρίσκονται κεκτημένοι μετὰ τῆς τοιαύτης ἐλευθερίας μέχρι τῆς σήμερον, διαμένειν δὲ αὐτοὺς καὶ ἀπὸ τῆς τοῦ κομμερκίου δόσεως ἀκαταζητήτους τε καὶ ἀνενοχλήτους παντάπασιν, ἐφ' αἷς ἂν δηλονότι ποιῶνται πραγματείαις ἐν τῇ τοιαύτῃ πόλει τῆς Μονεμβασίας· βούλεται γὰρ ἡ βασιλεία μου τελείας ἀπολαύειν αὐτοὺς ἅπαντας τῆς ἐπὶ τούτοις ἐλευθερίας καὶ ἀνέσεως τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καὶ μὴ εὑρίσκειν ὑπὲρ τούτων τὴν οἱανδήτινα διενόχλησιν καὶ συζήτησιν. ἐπὶ τούτῳ γὰρ γεγονὼς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη αὐτοῖς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης ιβ' ἰνδ. τοῦ ϛ ἑπτακοσιοστοῦ ἐνενηκοστοῦ β' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Edidit E. Miller in catalogo Mss. graec. bibliothecae Scorialensis p. 59 et Zachariae, Jus graeco rom. III. p. 605.

II. 6801—1293, mense iunio, ind. VI.

Imperator Andronicus II. metropolitae Monembasiae concedit dignitatem exarchi totius Peloponnesi confirmatque jura, privilegia et possessiones ecclesiae.

† Κἂν εἰ μήπω πρότερον ἔφθη πλεῖστα δὴ παραπλήσια γενέσθαι βασιλεῦσί τε καὶ ἄλλοις, καὶ οὐχ ἧττον ἡμῖν, καὶ νομισθῆναι τοῦ λοιποῦ γίγνεσθαι, ἴσως ἂν ἴσως ἥ γε νῦν αὕτη παροῦσά τε καὶ προτεθειμένη τῇ βασιλείᾳ μου πρᾶξις ἐφεῦρε τὸν τοιοῦτου καλοῦ τύπον· ἀμέλει καὶ ἐφ' ἑαυτῇ κείμενον ἂν ἡ μᾶλλον ἐρεῖν, δι'

ἑαυτὴν[1]) ἐκαίνισε πάντως, ἀρχὴν οὕτω λαβόντα καλλίστην πρὸς τὸν ἑξῆς ἔπειτα χρόνον ἐνεργῆ[2]) δείκνυσθαι· οὕτω πολὺ πάντοθεν ἔχει τὸ πεῖθον αὕτη καὶ καταναγκάζον εὔλογον· τὸ γὰρ δὴ κατὰ τὴν Πελοπόννησον περιώνυμον ἄστυ Μονεμβασίας ἐστὶ μὲν ὡς ἀληθῶς τῶν κατ' αὐτὴν δὴ πάντων[3]) μακρῷ προέχον καὶ τὰ πρῶτα δὴ σαφῶς ἁπάντων φερόμενον, ὡς μηδένα μηδενὶ τῶν ταύτῃ γε ἄλλων ἄλλῃ πάντων πάντη καλλίστων ἐπιδήλως ἐναρίθμιον καὶ μὴ πολλῶν λείπεσθαι ξυγχωροῦν[4])· νέον μὲν ἐπιεικῶς ὄνομα καὶ κλέος καὶ οὐ πόρρωθεν τῶν ὄπισθεν χρόνων ἦκον, μυρίας δὲ ὅμως καὶ παμμήκεις τὰς εὐφημίας[5]) καὶ πανταχοῦ πομπεῦον, ὡς εἴ τι[6]) καὶ ἄλλο τῶν ἐπιφανῶν καὶ περιδόξων ἀκούειν, οὐκ ἐπὶ μόνης τῆς βασιλικῆς ἡγεμονίας τῆς ἡμετέρας, ἀλλὰ καὶ σχεδὸν τῆς ἀλλοτρίας ἁπάσης. καὶ γὰρ δὴ τά τε ἄλλα κοσμεῖ τὸ ἄστυ, καὶ θέσεως εὐκαιρία καὶ πρὸς ἀσφάλειαν ἐρυμνότης καὶ πλῆθος μάλιστα οἰκητόρων καὶ πολυολβία καὶ πολιτείας εὐγένεια καὶ τεχνῶν ἀσκήσεις καὶ ἀγορᾶς δαψίλεια πάντων πᾶσα, εὐεμπορώτατόν τε εἰ δή τι καὶ ἄλλο μάλιστα πρὸς ἅπαντα πλοῦν καὶ θαλάσσης ἅπαντα μέρη θέσεως[7]) εὖ ἔχον· καὶ τοίνυν πολὺ τὸ τῶν οἰκούντων ἐνταῦθα ἱκανόπλοον καὶ θαλαττουργόν, ῥωμαλαιότης τε καὶ φρόνημα δραστικόν τε καὶ ἐμπράκτον καὶ (τὸ κάλλιστον τῶν ἄλλων) μάλιστα ἡ πρὸς τὴν βασιλείαν μου ἔνεργός τε καὶ ἄτρεπτος παντάπασιν εὔνοια καὶ ἡ πρὸς τὸ γένος ἀναφορά τε καὶ κοινωνία πάντων ἀνάλωτος καιρῶν τε καὶ πραγμάτων, εὖ τε καὶ ἄλλως ἐχόντων, ἐν πολλοῖς ἤδη τῶν προλαβόντων χρόνων τὴν πεῖραν δοῦσα καὶ τὸ πιστὸν καθάπαξ ἄσειστον ἐγγυωμένη[8]), καὶ τὰ μὲν τοῦ ἄστεος, ὡς ἐν ὀλίγοις, οὕτω, φεύγοντι τῷ λόγῳ τὸ μῆκος. ξυλλαγχάνει[9]) δ' ἔτι καὶ τοῦτο νῦν εἶναι θαυμάσιον οἷον, ὅτι τῆς κατ' αὐτὸ πάντως ἁγιωτάτης ἐκκλησίας[10]) ποιμὴν[11]) ἀρτίως πάντ' ἄριστος, πολὺς τοῖς κατὰ θεὸν ἐκ νέου πάνυ τοι καὶ εἰς γῆρας ἤδη βαθὺ[12]) τοῦτο, νῦν ἤδη καμάτοις ἐγκαρτερήσας καὶ κατακεκοσμημένος εἰς ἄκρον τῆς μονήρους[13]) αὐτῆς βιοτῆς, ἀτρέπτως εἰς[14]) τοσοῦτο τῆς ἐξ ἀρχῆς ἐνστάσεως καὶ παντάπασιν ἀνενδότως, καὶ ὥσπερ εἴ τις νέος θερμῶς[15]) ἅπτοιτο, καὶ μὴ παρὰ τοσοῦτο προκόψας τι καὶ προηνυκὼς καὶ μὲν[16]) πλεῖστον ὅσον ὑπὸ τῆς οὕτω χρονίου καὶ πολυετοῦς καὶ βιαίου σφόδρα κατὰ τὸν θεῖον

---

1) ἑαυτῆς Z. 2) ἐφ' ἑαυτῆς κεκίνηκεν ἂν ἢ μ. ἐναργῶς δι' ἑαυτῆς B. 3) ταύτην B. 4) τῶν ταύτῃ γε ἄλλων λείπεσθαι ξ. Z. reliqua omisit. 5) δεόμενον καὶ παμμήκους τῆς εὐφ. Fl. B. 6) εἴη B. 7) θέας B. 8) καθάπερ ἄλλοτε ἐγνωσμένη Z. R. καθάπαξ ἀσφαλὲς ἐγγυουμένη B. 9) ξυλλαγχάνοντα τοῦτο B. 10) τῇ . . . ἁγιωτάτῃ ἐκκλησίᾳ Fl. 11) deest Z. R. 12) ἐς γῆρας ἠδ . . . Z. R. ἤδη B. 13) μακαρίας Z. R. B. 14) ἐς Z. 15) νηὸς ἱερᾶς addit B. 16) καὶ μὴ παρὰ καὶ μὴν πλεῖστον R. Z. καὶ . . . παράδοξον B.

λόγον[1]) βιώσεως[2]) καὶ σωματικῆς δαπανήσεως καὶ προσταλαιπωρίας ἁπάσης ἐνηθληκὼς καὶ σφόδρα ἐκτετηγμένος[3]) οὐ τῷ γήρᾳ μᾶλλον ἢ τοῖς γε τοιούτοις πόνοις, ἔτι θαυμαστῶς ἐμμένει καὶ διακαρτερεῖ τὴν ἐξ ἀρχῆς ἀκλινῆ γνώμην, καὶ ὥσπερ νῦν μᾶλλον ἐπειγόμενος καὶ σπουδάζων δῆλός ἐστιν, ἀλλ' οὐχ ὡς ἂν ἤδη τοσοῦτο προλαβὼν καὶ καταστὰς[4]) ἤδη πως ἀσφαλῶς[5]) ἐν λιμένι καὶ γαλήνῃ· ἀμέλει καὶ τῆς περὶ τὸ ἀγαθὸν τοσαύτης ἕξεως καὶ σφόδρα ὑπ' ἀμφοῖν, τοῦ τε πανσέμνου τοῦδε γήρως, ὡς εἴρηται, καὶ τῶν τοσούτων καμάτων καὶ ἀσκητικῶν ἱδρώτων τὸ σῶμα κατακαμπτόμενος, οὐκ ἔπειθ' ὅμως κάμπτεται[6]) τὴν καλλίστην ταύτην γνώμην, οὐδὲ χαλᾷ κατὰ βραχὺ καὶ τῶν τόνων οὐκ ἐνδίδωσιν, οὐδὲ νικᾶται τὸ φρόνημα, ἀλλὰ τὸ μὲν σῶμα ἥττηται ἤδη, καὶ νῶτα δίδωσί τε καὶ τρέπεται ἐπὶ τοσούτων τῶν προλαβόντων καὶ πόνων καὶ χρόνων, ὁ λογισμὸς δὲ ἀήττητος κόρον οὐκ ἔχειν οὐδέπω τῶν καλῶν ἀξιοῖ, οἷα δὴ ἐπὶ πάντων γίγνεται, καὶ μόνον τὸν ἐπὶ τούτοις ἔρον ἀδαπάνητόν τε καὶ παντάπασιν ἀκάματόν τε καὶ ἀνεπίστροφον οἴεται δεῖν εἶναι. ταῦτ' ἄρα καὶ τοσαύτην καὶ ἐπὶ τοσούτοις ἤδη τοῖς ἔτεσι συλλεξάμενος τὴν πνευματικήν, ὡς ἔφην, κατάστασιν καὶ προειληφὼς οὕτω πάνυ τοι πόρρω καὶ καταπεράνας εὖ μάλα τελεσιουργὸν τοῦ βίου τὴν πρόθεσιν ἀσφαλῶς τε καὶ γενικῶς, ὡς καὶ τοῦ βίου τοῦδε καὶ τῆς ὑψηλῆς ταυτησὶ παιδείας παράδειγμα καὶ τύπος ἔμψυχος περιπολεῖν, ὡς ἀληθῶς δὲ καὶ εἶναι καὶ τοῖς πολλοῖς ὑπειλῆφθαι οὐκ ἀγαπᾷ τοῦ λοιποῦ. ὁ δὲ διὰ παντὸς ἐν τοῖς αὐτοῖς ἔχει, καὶ ὥσπερ οἱ πλείους καὶ βελτίους μὲν οὖν τῶν εἰσαγωγῇ χρωμένων νῦν εἶναι δὴ καὶ χθὲς καὶ πρότριτα[7]) καὶ αὐτὸς ἀεὶ παρασκευάζεται, καὶ ἔοικεν ὥσπερ ἀγωνιζομένῳ καὶ δεδιότι καὶ προσδραμεῖν[8]) σπουδάζοντι, καταγυμναζόμενος τὸν ἅπαντα χρόνον καὶ κατατρύχων ἀπέραντα, κάμνων τὸ σῶμα πόνοις ἀνενδότοις ἀσιτίαις τε καὶ ἀγρυπνίαις καὶ στάσεσι συντόνοις καὶ τίνι τῶν εἰθισμένων καὶ καλλίστων ἀγώνων οὔ; καὶ νομίμως[9]), μᾶλλον δὲ καὶ πλέον ἢ τέως νομίζεται τοῖς καλῶς ἠργμένοις καὶ περὶ τὸν πνευματικὸν δρόμον ἀκμάζουσιν αὐτὸς ἔτι πω καὶ νῦν ἐπὶ τοσούτων τῶν ἐτῶν κατατεινόμενος. καὶ μὴν καὶ τἄλλα κατὰ τὸ ἦθος ἅπαντα τοῦ θαυμασίου τοῦδε ποιμένος ἀναλογεῖ τε καὶ συμβαίνει πρὸς ταὐτά τε καὶ πρὸς ἄλληλα, οἷον ἡ τῆς ἀγάπης πρὸς ἅπαντας ἐλευθεριότης, τὸ ἀόργητον θαυμάσιον οἷον, τὸ φιλοικτον, ἡ τῆς ψυχῆς γαλήνη, τὸ μήτε λογισμοῖς μήτε λόγοις μήτ' οἴεσθαι μήτε λέγειν περὶ ὁτιοῦν φλαῦρον οὐδέν, ἀλλὰ περὶ πάντων καὶ βούλεσθαι καὶ δοκεῖν καὶ λέγειν πάντ' ἀγαθά, ἐκ τῶν οἴκοι θη-

---

[1]) κατὰ τὸν θ. λ. desunt R. Z. [2]) βιαίας B. [3]) σωμ. δαπ. καὶ πρὸς ἅπαντα πόνον καὶ μόχθον σφόδρα Z. καὶ πρὸς καὶ R. [4]) καταστῆναι Z. R. [5]) ἀσφαλεῖ Z. [6]) κάμπεται Z. [7]) πρὸ τρίτης R. [8]) προσδ. R. Z. B. [9]) νομίμων Fl. B.

σαυρῶν, ὡς ἔοικε[1]), τὸ πιστὸν ἔχοντα· καὶ τἆλλ' ὁμοῦ καθόλου συνελεῖν, ἅπαντα, ὡς[2]) μεγίστης ὄντως ἐκκλησίας καὶ πολυθρέμμονος ἀρχιερεῖ καὶ ποιμένι δεῖ, καὶ ἐστὶν ἐργωδέστατον ὁμοῦ καὶ σφόδρα σπάνιον ἑνὶ ξυλλαχεῖν, ὥσπερ ἐπ' αὐτῷ δὴ προδήλως, περὶ οὗ νῦν ὁ λόγος ἐστίν· καὶ μηκύνειν, ὡς ἔοικεν, οὐ δεῖ περαιτέρω, πλὴν ὅπερ ἄνωθεν ὁ λόγος ξυνεωραμένος ἀπεφήνατο. τοσαῦτα δὴ τά τε τοῦ ἀνδρὸς κατὰ θεὸν εὐδοκιμήματα καὶ τὸ τῆς πολιτείας καὶ τοῦ βίου περιφανὲς καὶ ὑπερηρμένον καὶ σχεδὸν ἀπαράμιλλον. καὶ τοῦ γε τῆς ὑπ' αὐτὸν ἐκκλησίας ἄστεος αὖθις τὰ προσόντα παντοῖα καλά, ὥστε κἂν μόνα δῆτ' ἴσως κινῆσαι ταῦτα τὴν βασιλείαν μου πρὸς τὸ μεταποιῆσαι καὶ προβιβάσαι τὴν τοιαύτην ὑπ' αὐτὸν ἁγιωτάτην ἐκκλησίαν εἰς κρείττω τινὰ καὶ ὑψηλοτέραν κατάστασιν καὶ ἀξίαν καὶ βαθμὸν ὑπερκείμενον, κἂν εἰ[3]) μήπω πρότερον, ὡς εἴρηται, τοιαῦτα παραπλήσια καὶ γεγένητο καὶ νενόμιστο γίγνεσθαι. καὶ ταῦτ' ἴσως, ἧπερ ἔφην, ἱκανῶς ἂν εἶχεν ἀφορμήν τε δοῦναι καὶ ὑποφῆναι τὸν ἐν τούτοις τύπον καὶ νόμον, ὃ δῆτα καὶ παραπλήσια ἄττα ἴσως ἕτερα πρότερον, ὡς ἔοικε, καὶ εἴργασται καὶ τὴν ἐν τούτοις ἀρχὴν δέδωκεν. ἐπεὶ δὲ ὅ τε περὶ τούτων βασίλειος νόμος προλαβών, ὡς ἔφην, ἐπαίρει καὶ δίδωσι καὶ αὐτὰ δὴ ταῦθ'[4]), ἅπερ εἴρηται, σφόδρα κινεῖ, σὺν θεῷ δ' εἰρήσθω, καὶ τὸ τῆς ἡμετέρας βασιλείας φιλόκαλον τὸ πλεῖστον ἐν τούτῳ μάλιστα συναίρεται, καὶ ἡ περὶ τὰ κάλλιστα καὶ θεοφιλῆ τῶν ἔργων χάριτι τοῦ θεοῦ καὶ προμήθεια[5]) ταύτης συνειδεῖν τὰ δέοντα καὶ βουλεῦσαι καὶ προθυμία τε καὶ σπουδῇ μάλα ἐνεργὸς[6]) ἐκτελέσαι τε καὶ περᾶναι. ἐκ πάντων ἄρα τούτων τὸ καινίσαι τι[7]) πρὸς τὸ κρεῖττον καὶ προβιβάσαι τὰ τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας Μονεμβασίας ἐδοκιμάσθη τῇ βασιλείᾳ μου. καὶ τοίνυν φθάνει μὲν ἤδη πρότερον προθεσπίσασα καὶ βαθμόν τινα τῶν ὑψηλοτέρων ἔχειν ταύτην δὴ τὴν ἁγιωτάτην μητρόπολιν καὶ τόπον τινὰ ἐκκλησίας ἑτέρας καὶ τάξιν προεσβεσμένης καὶ ὡσπερεὶ παρελθούσης, οὐ μὴν ἀλλὰ καὶ μεγίστης ἐνορίας[8]) ἐξαρχίαν τε καὶ ἐπισκοπὰς ἀναλόγως διαταξαμένη τε καὶ προσηκόντως. ἐπὶ δὲ αὐτὰ δὴ ταῦτα καὶ χρυσοβούλλῳ βεβαιωθῆναι καὶ τὸ πιστὸν λαβεῖν καὶ ἄτρεπτον ἐξῃτήσατο ὁ ἀνωτέρω εἰρημένος ἱερώτατος τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερεὺς[9]) ἑτοίμως τε ἡ βασιλεία μου καὶ τὰ τῆς τοιαύτης αἰτήσεως προσεδέξατο καὶ πρὸς πέρας ἀγαγεῖν ηὐδόκησε. καὶ τοίνυν τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς[10]) ἀπολύει, δι' οὗ καὶ βούλεται σὺν θεῷ καὶ εὐδοκεῖ καὶ θεσπίζει, τόν τε, ὡς εἴρηται, νῦν προϊστά-

---

1) αὐτοῦ om. ὡς ἔοικε R. Z. ὡς ἀληθῶς B. 2) ὧν Z. 3) εἰ deest R. B. Z. 4) ταῦτα Z. 5) προμηθεία C. 6) ἐνεργόν R. An ἐνεργῶς? 7) τε B. 8) μεγίστην ἐνορίαν Pandora. 9) ἀρχιερατικῶς προϊστάμενος alii editores, apud quos deest sequens ἑτοίμως γε. 10) αὐτῆς Z., B. pro αὐτῆς habet τό γε νῦν.

μενον ἀρχιερατικῶς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Μονεμβασίας καὶ τοὺς καθεξῆς τὸν αὐτῆς διαδεξομένους θρόνον ἐπαπολαύειν τῆς ἀνηκούσης τῷ τοῦ Σίδης θρόνῳ τιμῆς ἐν ἅπασι, καθέδραις τε δηλαδὴ καὶ προελεύσεσί[1]) τε καὶ στάσεσι, γραφαῖς τε καὶ ὅλως τοῖς ἐθίμοις[2]) ἔργοις ἀρχιερατικοῖς καὶ λειτουργήμασιν ἅπασι· φορεῖν δὲ καὶ σάκκον ἐν ταῖς θείαις ἱεροτελεστίαις, ὁμοίως δὲ καὶ διβάμπουλον, καὶ ἁπλῶς πάντα τὰ ἐκείνης προνόμια καὶ δίκαια ἔχειν· ἔξαρχόν τε καὶ εἶναι καὶ λέγεσθαι τὸν τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερατικῶς προϊστάμενον καὶ πάσης δὴ τῆς Πελοποννήσου[3]) καὶ τῆς ἐντεῦθεν τιμῆς προσαπολαύοντα[4]), ᾗ δὴ καὶ τοῖς ἄλλοις εἴθισται τῶν ἱερωτάτων ἀρχιερέων τοῖς ἠξιωμένοις διαφόρων[5]) ἐξαρχεύειν θεμάτων τε καὶ χωρῶν. ὡσαύτως δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο θεσπίζει καὶ παρακελεύεται, πάντας δηλαδὴ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ἔν τε φήμαις καὶ γραφαῖς παναγιώτατον προσαγορεύειν [τε] καὶ ὀνομάζεσθαι, αὐτὸν δὲ πάλιν ἐν τοῖς σημειώμασι καὶ γράμμασιν ἰνδικτιῶνα ἐμφαίνειν πρὸς αὐτοὺς καὶ πρὸς πᾶσαν τὴν αὐτοῦ ἐπαρχίαν ἀνθ' ἑτέρας ὑποσημάνσεως. ἐπεὶ δὲ ἔφθασαν προστεθῆναι πρότερον τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει καὶ ἐπισκοπαὶ αὗται, ἡ τῆς Κυνουρίας[6]), ἡ τοῦ Ἕλους, ἡ τῆς Μαΐνης καὶ ἡ τοῦ Ῥέοντος καὶ ἡ τοῦ Ζεμενοῦ, προσβεβαιοῖ μὲν προηγουμένως καὶ προσεδράζει[7]) ταύτας αὐτῇ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς[8]) ἡ βασιλεία μου, καὶ θεσπίζει καὶ διατάττεται καὶ εἰς τὸ ἑξῆς ὑπ' αὐτὴν εἶναι, καθὼς εὑρίσκονται μέχρι καὶ εἰς τὸ νῦν. ἔτι μέντοι δι' αὐτοῦ δὴ τούτου τὸ φιλότιμον προσεπαύξουσά τε ταύτῃ καὶ προσεπιτείνουσα εὐδοκεῖ καὶ παρακελεύεται ὑπ' αὐτὴν εἶναι καὶ ἑτέρας ἐπισκοπὰς ταύτας· ἤγουν τὴν τῆς Κορώνης, τὴν τῆς Μεθώνης καὶ τὴν τῆς Ἀνδρούσης καὶ ὑποκεῖσθαι ὁμοίως καὶ ταύτας τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς Μονεμβασίας, ὡς καὶ τὰς ἄλλας, ὡς ἄρα μητροπόλει αὐτῶν καὶ δέχεσθαι εἰς ἀρχιερεῖς ἑαυτῶν, οὓς ἂν ὁ ἐν τῇ εἰρημένῃ ἁγιωτάτῃ μητροπόλει εὑρισκόμενος ἀρχιερεὺς χειροτονῆσαι διακρίνοι καὶ ἐγκαταστῆσαι ἐπ' αὐταῖς. ἡ δὲ τῆς ἐπαρχίας ταύτης περίοδος, ὡς ἐν τύπῳ περιγραφικῷ ἔχει οὕτως. πρῶτον μὲν οὖν Ἐπίδαυρος ἀρχαία, ἡ καλουμένη Λιμηρά· μετὰ δὲ ταύτην ἐπὶ ἑῴαν προϊόντι ὁ Ζάραξ· προελθόντι δὲ ἀπὸ Ζάρακος παρὰ τὴν θάλατταν κατιόντι [κώμη][9]) ἡ Κυπαρισσία· εἶτα ναὸς τοῦ ἁγίου Λεωνίδου· μετὰ δὲ τὸ τοῦ ἁγίου θεῖον τέμενος, τὸ καλούμενον Ἄστρος· ἐπαναβάντι δὲ κώμη ἡ καλουμένη Καστάνιτζα· μετὰ δὲ ταύτην ἀπέρχεται καὶ

---

1) προεδρεύσεσι B. 2) ἐθισμένοις B. ὅλοις? 3) ἐξ. τοῦτον μόνον εἶναί τε καὶ λέγεσθαι πάσης Πελ. τὸν τῆς τοιαύτης ἁγιωτάτης ἀρχιερατικῶς ἐκκλ. προϊστ. alii edit. 4) ἀπολαύοντα edit. 5) διαφόρως R. 6) Sic R., alii editores Κυθουρίας. 7) προσεδράζεται B. 8) αὐτῆς Z. 9) πόλισμά τι B.

ἄρχοντα διαμένῃ, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιαπομπῆται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν πάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλομεν, ἐκθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν ἱερὸν τόμον, ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις περὶ τῆς εἰς τὸ ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων καὶ τῆς δυνατῆς ἀντιλήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεὰν καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενά ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως. καὶ [οὕτω] καὶ περὶ τοῦ ἐν τῇ ἐπισκοπῇ Ταλαντίου καὶ Διαυλείας ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ, ἐπικεκλημένου τοῦ Στηριώτου· ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Νεοφύτου τοῦ παλαιοῦ ἀποδεικτικόν, ὅτι τὸ μοναστήριον τοῦτο μετὰ τῶν ὁρίων, μετοχίων, ἐξωκλησίων καὶ ἐνοριακῶν παντοίων μελλείων, ἅπερ εἰσὶ ταῦτα· ὁ ἅγιος Θεόδωρος, ἡ Παναγία Καλαμιώτισσα, τὸ μετόχιον εἰς τὸν Αἰγιαλόν, ὁ ἅγιος Νικόλαος ἐν Σπήρτοις μέχρι τοῦ Ἄσπρου Ὀσπιτίου καὶ τοῦ ἁγίου Γεωργίου εἰς τὸ Περιβόλιον, τὸ ἁλώνιον εἰς τὴν Σκλιβινίτζα, ὁ ἅγιος Ἠλίας, τὰ Ζευγνά, ἐν οἷς ὑπάρχει ὁ ἅγιος Ἀθανάσιος καὶ ἡ βρύσις· μετὰ ταῦτα ἐν τοῖς κάτω μέρεσι ὁ βασιλικὸς μύλος, ἡ Ἀλογοπατημία εἰ τὴν Στενήν, ὁ ἅγιος Παντελεήμων, ὁ ἅγιος Ἠλίας, τὸ Τρύπιον Λιθάρι, ὁ σχοῖνος, τὸ Μακρὶ Λιθάρι, τὸ Μαῦρον Λιθάρι, τὸ Ἀνατολικόν, ἡ Παναγία Πανίτζα μέχρι τοῦ Κάβου τῆς Ἁγίας, ὁ ἅγιος Ἰωάννης, ἡ Μάσκλερα, ἡ Παναγία Μεραλίτζα, ὁ ἅγιος Νικόλαος εἰς τὰ Καμπιά, ἡ Παναγία τοῦ Μύρου, ὁ ἅγιος Νικόλαος τῆς Συχῆς, τὸ Μαρυδάκι, ἡ Σάρρα εἰς τοῦ Μιζίκα καὶ ὅσα ἐμπεριέχονται οἰκήματα, ἀμπέλια, κῆποι, χωράφια, μετὰ τούτων οὖν καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ ὑπάρχει σταυροπήγιον. εἰς ἀνακαίνιον οὖν τούτου γράφοντες διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους ἐν μεμβράναις γράμματος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τὸ ἐν τῇ ἐπισκοπῇ Ταλαντίου καὶ Διαυλείας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ, ἐπικεκλημένον τοῦ Στηριώτου, μετὰ τῶν ἀνωτέρω ἀπηριθμημένων ὁρίων, μετοχίων, ἐξωκλησίων καὶ ἐνοριακῶν παντοίων μελλείων καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν

τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰς ἔπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γιγνώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον παρ' οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος, ἔχοι καὶ τὸ προνόμιον κατὰ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν προχειριζόμενον καὶ πατερίτζαν. καὶ πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας· δεύτερον δὲ λόγῳ ὑποταγῆς ἀποδιδῷ καθ' ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια τριακόσια εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ λαμβάνῃ ἐξωφλητικὴν ἀπόδειξιν αὐτοῦ κατὰ τὸ ὕφος τῶν ἐπαρχιῶν καὶ οὕτως ἀναλαβὸν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον καὶ καλῶς διοικούμενον καὶ μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ οἱ ἀρχιερεῖς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι· τρίτον διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδικι τῆς ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ τὸ τοῦ ἡγουμένου ὄνομα· τέταρτον δὲ τὸ σιγίλλιον αὐτοῦ ἔχῃ μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενόν ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς· πέμπτον μηδεὶς τοῦ λοιποῦ γένηται ἐν αὐτῷ ἡγούμενος ἄνευ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ, ἀλλ' ἐπειδὰν ἕλωνται αὐτὸν γνώμῃ κοινῇ οἱ συγκοινοβιάται πατέρες, τότε ἀποστέλληται παρ' αὐτῶν κοινὴ ἐνυπόγραφος καὶ ἐνσφράγιστος ἀναφορὰ περὶ τῆς τοιαύτης ἐκλογῆς πρὸς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην καὶ οὕτω δι' ἐκκλησιαστικοῦ γράμματος ἀποκαθιστῶται ὁ ἡγούμενος τοῦ μοναστηρίου τούτου, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδικι, ὀφείλων κατ' ἔτος ἐξαποστέλλειν ἀκριβῆ ἐνυπόγραφον καὶ ἐνσφράγιστον καταγραφὴν τῶν τοῦ ἔτους ἐκείνου μοναστηριακῶν εἰσόδων καὶ ἐξόδων· ἕκτον ἡ σφραγὶς τοῦ μοναστηρίου διαιρεθῇ εἰς τμήματα τέσσαρα καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων· ἕβδομον οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτοτέρων ἐν τοῖς συγκοινοβιάταις ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν, αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομί-

ζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφαγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριεχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας, οὗτοι δέ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας ἐπιτιμᾶν, σωφρονίζειν [καὶ] ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας καὶ τοὺς ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἄθλον τῆς ἀσκήσεως καὶ μὴ πειθομένους, τελευταῖον διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ· ὄγδοον μηδεὶς τοῦ μοναστηρίου τούτου δύνηται τοῦ λοιποῦ πωλεῖν μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτοῦ χρείας· ἔννατον ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐκτελεῖν αὐτὴν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως· δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι [γράμματι] ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντὸς καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτοῦ καὶ τὴν κατὰ θεὸν διαγωγὴν καὶ πολιτείαν καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ μοναστηρίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν διατύπωσιν ἀπαράτρεπτον· ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν, ἱερωμένος ἢ λαϊκὸς ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσει παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα καὶ ἀνατρέψῃ τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς μεγάλης ἐκκλησίας τῷ ἐπ' αὐτῷ τούτῳ διορισθέντι, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ ὀγδόῳ κατὰ μῆνα ἰανουάριον ἐπινεμήσεως πρώτης †.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὁ Ἐφέσου Σαμουὴλ †.
† Ὁ . . . . . .
† Ὁ Κυζίκου Ἰωακείμ †.
† Ὁ Νικομηδείας Ἀθανάσιος †.
† Ὁ Νικαίας Καλλίνικος †.
† Ὁ Ἀγκύρας (?) Γεώργιος †.

† Ὁ Δέρκων Μακάριος †.
† Ὁ Θεσσαλονίκης Γερμανός †.
† Ὁ Προύσης Ἄνθιμος †.
† Ὁ Νεοκαισαρείας Ἡσαΐας †.
† Ὁ Λαρίσσης Διόνυσος †.

Archet. membraneum, doc. habet bullam plumbeam cum imagine τῆς Παναγίας. *Documenta nobis humanissime concessit amicus vir Georgius Cremus, Athenis. Subscriptiones lectu difficillimae sunt.*

VII.

Diplomata et acta ecclesiae et civitatis Monembasiensis.

I. 6792—1284, mense augusto, ind. XII.

Imperator Andronicus II. Palaeologus civibus Monembasiae confirmat possessiones et exemptiones eis concessas a Michaële Palaeologo.

Χρυσόβουλλον τῆς χώρας Μονεμβασίας.

† Οὐκ ἦν ἄρα καὶ τὴν τῆς Μονεμβασίας πόλιν τῶν ἐκ τοῦ χρόνου μεῖναι τὸ παράπαν ἀπείρατον, οὐδ' ἐπὶ τῶν αὐτῶν ἑστάναι, τῶν ἄλλων πάντων δεξαμένων μεταβολὴν καὶ γευσαμένων, τῆς τούτου παλινστρόφου κινήσεως μέντοι γε οὐδὲ τῆς αὐτοῦ παντάπασιν ἔξω γεγένηται φύσεως, ἀλλ' ἅπτεται καὶ ταύτης, ὡς καὶ πάντων, μεταβολὴ χρόνοις πρότερον ἤδη συχνοῖς καὶ κινεῖται πλὴν τὴν πρὸς τὰ χείρω κίνησιν, ὡς μὴ ὤφελε· λαμπρὰ γὰρ οὖσα τὸ πρὶν καὶ πολλοῖς εὐθηνουμένη τοῖς ἀγαθοῖς ὑπὸ τὰ Ῥωμαίων σκῆπτρα τῆς εὐδαιμονίας ἀπέλαυεν, ἀλλ' ὁ χρόνος, ὥσπερ οὐκ ἐνεγκὼν τηρῆσαι τὴν περιφάνειαν[1]), τῆς μὲν [τῶν] Ῥωμαίων ταύτην ἀποσπάσαι ἔγνω χειρός, δουλείας δὲ φέρων ἰταλικῆς ζυγὸν αὐτῇ ἐπιτίθησιν. ἐντεῦθεν καὶ πᾶν ὁμοῦ τῆς πόλεως τὸ λαμπρὸν ἀποσβέννυσι καὶ τὴν ὄντως[2]) πρῴην καλλίστην ἐν πόλεσιν μετὰ βραχὺ πολλοῦ τοῦ αἴσχους ἐμπίπλησιν. ἀλλ' οὐκ ἦν εἰς τέλος τοὺς αὐτῆς πολίτας οὕτω τῆς τῶν τρόπων χρηστότητος ἔχοντας, οὕτω συχνοῖς κεκοσμημένους τοῖς ἀγαθοῖς περιοφθῆναι παρὰ θεοῦ καὶ τὴν ταλαιπωρίαν φέρειν ἐπὶ πάνυ μακρόν. οὔκουν οὐδὲ θείας ἀμοιροῦσιν ἐπισκοπῆς, ἀλλ' ἐφορᾷ καὶ πάλιν ἵλεων ἐπ' αὐτοὺς ὁ πάντα ἐφορῶν ὀφθαλμὸς καὶ τῆς μὲν ἀλλογενοῦς αὐτίκα ουλδείας δέχονται τὴν ἀπαλλαγήν, πρὸς δὲ τὴν προτέραν[3]) ἐκείνην εὐθὺς εὐδαιμονίαν ἀναχωροῦσι καὶ περιφάνειαν ὑπὸ Ῥωμαίοις αὖθις καὶ τῇ τούτων ἀρχῇ τελεῖν ὡς πρῴην ἐπευτυχήσαντες. ὅτε δὴ πρὸς ἄλλοις τῶν ἀγαθῶν (οὐδ' ὅσοις ῥᾴδιον ἀριθμεῖν) καὶ χρυσοβούλλου ἐπὶ τοῖσδε τυγχάνουσι παρὰ τοῦ ἀοιδίμου βασιλέως τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου, τῷ τε δηλαδὴ ἐξκουσσείας

---

[1]) ἐπιφ. cod. et Zach. [2]) οὕπω cod. et Zach. Lectionem ὄντως proposuit Miller. [3]) πρὶν cod. et Zach.

πάσης καὶ ἐλευθερίας ἀπολαύειν αὐτοὺς καὶ πάντα τὰ προσόντα γονικόθεν αὐτοῖς ἀνώτερα κεκτῆσθαι τέλους καὶ βάρους ὁποιουδήτινος καὶ κομμερκίου χάριν ἀκαταζητήτους τετηρῆσθαι παντάπασιν, ἐφ' αἷς ἂν ποιεῖν ἐθέλωσι πραγματείαις ἐν τῇ εἰρημένῃ πόλει τῆς Μονεμβασίας. ὅθεν, ἐπειδὴ καὶ νῦν ὑπὲρ τούτων τυχεῖν ἐξῃτήσαντο καὶ χρυσοβούλλου τῆς βασιλείας μου, εὐμενῶς τε ἄγαν καὶ ἑτοίμως τῇ τοιαύτῃ αὐτῶν παρακλήσει συννεύσασα τὸν παρόντα ταύτης πρὸς αὐτοὺς ἐπιβραβεύει χρυσόβουλλον λόγον, δι' οὗ προστάσσει καὶ διορίζεται ἐπαπολαύειν καὶ εἰς τὸ ἑξῆς τοὺς οἰκήτορας τῆς τοιαύτης πόλεως Μονεμβασίας τῆς προσούσης αὐτοῖς μέχρι τοῦ νῦν τοιαύτης ἐξκουσσίας τε καὶ ἀνενοχλησίας καὶ διατηρεῖσθαι μὲν τά τε γονικὰ καὶ ὑποστατικὰ αὐτῶν ἀδιάσειστα πάντῃ καὶ ἐλεύθερα καὶ παντὸς βάρους καὶ τέλους ἀνώτερα, ἅπερ εὑρίσκονται κεκτημένοι μετὰ τῆς τοιαύτης ἐλευθερίας μέχρι τῆς σήμερον, διαμένειν δὲ αὐτοὺς καὶ ἀπὸ τῆς τοῦ κομμερκίου δόσεως ἀκαταζητήτους τε καὶ ἀνενοχλήτους παντάπασιν, ἐφ' αἷς ἂν δηλονότι ποιῶνται πραγματείαις ἐν τῇ τοιαύτῃ πόλει τῆς Μονεμβασίας· βούλεται γὰρ ἡ βασιλεία μου τελείας ἀπολαύειν αὐτοὺς ἅπαντας τῆς ἐπὶ τούτοις ἐλευθερίας καὶ ἀνέσεως τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καὶ μὴ εὑρίσκειν ὑπὲρ τούτων τὴν οἱανδήτινα διενόχλησιν καὶ συζήτησιν. ἐπὶ τούτῳ γὰρ γεγονὼς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη αὐτοῖς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης ιβ' ἰνδ. τοῦ ͵ς ἑπτακοσιοστοῦ ἐνενηκοστοῦ β' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Edidit E. Miller in catalogo Mss. graec. bibliothecae Scorialensis p. 59 et Zachariae, Jus graeco rom. III. p. 605.

II. 6801—1293, mense iunio, ind. VI.

Imperator Andronicus II. metropolitae Monembasiae concedit dignitatem exarchi totius Peloponnesi confirmatque jura, privilegia et possessiones ecclesiae.

† Κἂν εἰ μήπω πρότερον ἔφθη πλεῖστα δὴ παραπλήσια γενέσθαι βασιλεῦσί τε καὶ ἄλλοις, καὶ οὐχ ἧττον ἡμῖν, καὶ νομισθῆναι τοῦ λοιποῦ γίγνεσθαι, ἴσως ἂν ἴσως ἥ γε νῦν αὕτη παροῦσά τε καὶ προτεθειμένη τῇ βασιλείᾳ μου πρᾶξις ἐφεῦρε τὸν τοιούτου καλοῦ τύπον· ἀμέλει καὶ ἐφ' ἑαυτῇ κείμενον ἂν ἡ μᾶλλον ἐρεῖν, δι'

ἑαυτὴν[1]) ἐκαίνισε πάντως, ἀρχὴν οὕτω λαβόντα καλλίστην πρὸς τὸν ἑξῆς ἔπειτα χρόνον ἐνεργῆ[2]) δείκνυσθαι· οὕτω πολὺ πάντοθεν ἔχει τὸ πεῖθον αὕτη καὶ καταναγκάζον εὔλογον· τὸ γὰρ δὴ κατὰ τὴν Πελοπόννησον περιώνυμον ἄστυ Μονεμβασίας ἐστὶ μὲν ὡς ἀληθῶς τῶν κατ' αὐτὴν δὴ πάντων[3]) μακρῷ προέχον καὶ τὰ πρῶτα δὴ σαφῶς ἁπάντων φερόμενον, ὡς μηδένα μηδενὶ τῶν ταύτῃ γε ἄλλων ἄλλῃ πάντων πάντῃ καλλίστων ἐπιδήλως ἐναρίθμιον καὶ μὴ πολλῶν λείπεσθαι ξυγχωροῦν[4])· νέον μὲν ἐπιεικῶς ὄνομα καὶ κλέος καὶ οὐ πόρρωθεν τῶν ὄπισθεν χρόνων ἧκον, μυρίας δὲ ὅμως καὶ παμμήκεις τὰς εὐφημίας[5]) καὶ πανταχοῦ πομπεῦον, ὡς εἴ τι[6]) καὶ ἄλλο τῶν ἐπιφανῶν καὶ περιδόξων ἀκούειν, οὐκ ἐπὶ μόνης τῆς βασιλικῆς ἡγεμονίας τῆς ἡμετέρας, ἀλλὰ καὶ σχεδὸν τῆς ἀλλοτρίας ἁπάσης. καὶ γὰρ δὴ τά τε ἄλλα κοσμεῖ τὸ ἄστυ, καὶ θέσεως εὐκαιρία καὶ πρὸς ἀσφάλειαν ἐρυμνότης καὶ πλῆθος μάλιστα οἰκητόρων καὶ πολυολβία καὶ πολιτείας εὐγένεια καὶ τεχνῶν ἀσκήσεις καὶ ἀγορᾶς δαψίλεια πάντων πᾶσα, εὐεμπορώτατόν τε εἰ δή τι καὶ ἄλλο μάλιστα πρὸς ἅπαντα πλοῦν καὶ θαλάσσης ἅπαντα μέρη θέσεως[7]) εὖ ἔχον· καὶ τοίνυν πολὺ τὸ τῶν οἰκούντων ἐνταῦθα ἱκανόπλοον καὶ θαλαττουργόν, ῥωμαλαιότης τε καὶ φρόνημα δραστικόν τε καὶ ἐμπράκτον καὶ (τὸ κάλλιστον τῶν ἄλλων) μάλιστα ἡ πρὸς τὴν βασιλείαν μου ἔνεργός τε καὶ ἄτρεπτος παντάπασιν εὔνοια καὶ ἡ πρὸς τὸ γένος ἀναφορά τε καὶ κοινωνία πάντων ἀνάλωτος καιρῶν τε καὶ πραγμάτων, εὖ τε καὶ ἄλλως ἐχόντων, ἐν πολλοῖς ἤδη τῶν προλαβόντων χρόνων τὴν πεῖραν δοῦσα καὶ τὸ πιστὸν καθάπαξ ἄσειστον ἐγγυωμένη[8]), καὶ τὰ μὲν τοῦ ἄστεος, ὡς ἐν ὀλίγοις, οὕτω, φεύγοντι τῷ λόγῳ τὸ μῆκος. ξυλλαγχάνει[9]) δ' ἔτι καὶ τοῦτο νῦν εἶναι θαυμάσιον οἷον, ὅτι τῆς κατ' αὐτὸ πάντως ἁγιωτάτης ἐκκλησίας[10]) ποιμὴν[11]) ἀρτίως πάντ' ἄριστος, πολὺς τοῖς κατὰ θεὸν ἐκ νέου πάνυ τοι καὶ εἰς γῆρας ἤδη βαθὺ[12]) τοῦτο, νῦν ἤδη καμάτοις ἐγκαρτερήσας καὶ κατακεκοσμημένος εἰς ἄκρον τῆς μονήρους[13]) αὐτῆς βιοτῆς, ἀτρέπτως εἰς[14]) τοσοῦτο τῆς ἐξ ἀρχῆς ἐνστάσεως καὶ παντάπασιν ἀνενδότως, καὶ ὥσπερ εἴ τις νέος θερμῶς[15]) ἅπτοιτο, καὶ μὴ παρὰ τοσοῦτο προκόψας τι καὶ προηνυκὼς καὶ μὲν[16]) πλεῖστον ὅσον ὑπὸ τῆς οὕτω χρονίου καὶ πολυετοῦς καὶ βιαίου σφόδρα κατὰ τὸν θεῖον

---

1) ἑαυτῆς Z. 2) ἐφ' ἑαυτῆς κεκίνηκεν ἂν ᾖ μ. ἐναργῶς δι' ἑαυτῆς B. 3) ταύτην B. 4) τῶν ταύτῃ γε ἄλλων λείπεσθαι ξ. Z. reliqua omisit. 5) δεόμενον καὶ παμμήκους τῆς εὐφ. Fl. B. 6) εἴη B. 7) θέας B. 8) καθάπερ ἄλλοτε ἐγνωσμένη Z. R. καθάπαξ ἀσφαλὲς ἐγγυουμένη B. 9) ξυλλαγχάνοντα τοῦτο B. 10) τῇ . . . ἁγιωτάτῃ ἐκκλησίᾳ Fl. 11) deest Z. R. 12) ἐς γῆρας ἠδ . . . Z. R. ἤδη B. 13) μακαρίας Z. R. B. 14) ἐς Z. 15) νηὸς ἱερᾶς addit B. 16) καὶ μὴ παρὰ καὶ μὴν πλεῖστον R. Z. καὶ . . . παράδοξον B.

λόγον[1]) βιώσεως[2]) καὶ σωματικῆς δαπανήσεως καὶ προσταλαιπωρίας ἁπάσης ἐνηθληκὼς καὶ σφόδρα ἐκτετηγμένος[3]) οὐ τῷ γήρᾳ μᾶλλον ἢ τοῖς γε τοιούτοις πόνοις, ἔτι θαυμαστῶς ἐμμένει καὶ διακαρτερεῖ τὴν ἐξ ἀρχῆς ἀκλινῆ γνώμην, καὶ ὥσπερ νῦν μᾶλλον ἐπειγόμενος καὶ σπουδάζων δῆλός ἐστιν, ἀλλ' οὐχ ὡς ἂν ἤδη τοσοῦτο προλαβὼν καὶ καταστὰς[4]) ἤδη πως ἀσφαλῶς[5]) ἐν λιμένι καὶ γαλήνῃ· ἀμέλει καὶ τῆς περὶ τὸ ἀγαθὸν τοσαύτης ἕξεως καὶ σφόδρα ὑπ' ἀμφοῖν, τοῦ τε πανσέμνου τοῦδε γήρως, ὡς εἴρηται, καὶ τῶν τοσούτων καμάτων καὶ ἀσκητικῶν ἱδρώτων τὸ σῶμα κατακαμπτόμενος, οὐκ ἔπειθ' ὅμως κάμπτεται[6]) τὴν καλλίστην ταύτην γνώμην, οὐδὲ χαλᾷ κατὰ βραχὺ καὶ τῶν τόνων οὐκ ἐνδίδωσιν, οὐδὲ νικᾶται τὸ φρόνημα, ἀλλὰ τὸ μὲν σῶμα ἥττηται ἤδη, καὶ νῶτα δίδωσί τε καὶ τρέπεται ἐπὶ τοσούτων τῶν προλαβόντων καὶ πόνων καὶ χρόνων, ὁ λογισμὸς δὲ ἀήττητος κόρον οὐκ ἔχειν οὐδέπω τῶν καλῶν ἀξιοῖ, οἷα δὴ ἐπὶ πάντων γίγνεται, καὶ μόνον τὸν ἐπὶ τούτοις ἔρον ἀδαπάνητόν τε καὶ παντάπασιν ἀκάματόν τε καὶ ἀνεπίστροφον οἴεται δεῖν εἶναι. ταῦτ' ἄρα καὶ τοσαύτην καὶ ἐπὶ τοσούτοις ἤδη τοῖς ἔτεσι συλλεξάμενος τὴν πνευματικήν, ὡς ἔφην, κατάστασιν καὶ προειληφὼς οὕτω πάνυ τοι πόρρω καὶ καταπεράνας εὖ μάλα τελεσιουργὸν τοῦ βίου τὴν πρόθεσιν ἀσφαλῶς τε καὶ γενικῶς, ὡς καὶ τοῦ βίου τοῦδε καὶ τῆς ὑψηλῆς ταυτησὶ παιδείας παράδειγμα καὶ τύπος ἔμψυχος περιπολεῖν, ὡς ἀληθῶς δὲ καὶ εἶναι καὶ τοῖς πολλοῖς ὑπειλῆφθαι οὐκ ἀγαπᾷ τοῦ λοιποῦ. ὁ δὲ διὰ παντὸς ἐν τοῖς αὐτοῖς ἔχει, καὶ ὥσπερ οἱ πλείους καὶ βελτίους μὲν οὖν τῶν εἰσαγωγῇ χρωμένων νῦν εἶναι δὴ καὶ χθὲς καὶ πρότριτα[7]) καὶ αὐτὸς ἀεὶ παρασκευάζεται, καὶ ἔοικεν ὥσπερ ἀγωνιζομένῳ καὶ δεδιότι καὶ προσδραμεῖν[8]) σπουδάζοντι, καταγυμναζόμενος τὸν ἅπαντα χρόνον καὶ κατατρύχων ἀπέραντα, κάμνων τὸ σῶμα πόνοις ἀνενδότοις ἀσιτίαις τε καὶ ἀγρυπνίαις καὶ στάσεσι συντόνοις καὶ τίνι τῶν εἰθισμένων καὶ καλλίστων ἀγώνων οὔ; καὶ νομίμως[9]), μᾶλλον δὲ καὶ πλέον ἢ τέως νομίζεται τοῖς καλῶς ἠργμένοις καὶ περὶ τὸν πνευματικὸν δρόμον ἀκμάζουσιν αὐτὸς ἔτι πω καὶ νῦν ἐπὶ τοσούτων τῶν ἐτῶν κατατεινόμενος. καὶ μὴν καὶ τἄλλα κατὰ τὸ ἦθος ἅπαντα τοῦ θαυμασίου τοῦδε ποιμένος ἀναλογεῖ τε καὶ συμβαίνει πρὸς ταὐτά τε καὶ πρὸς ἄλληλα, οἷον ἡ τῆς ἀγάπης πρὸς ἅπαντας ἐλευθεριότης, τὸ ἀόργητον θαυμάσιον οἷον, τὸ φιλοικτον, ἡ τῆς ψυχῆς γαλήνη, τὸ μήτε λογισμοῖς μήτε λόγοις μήτ' οἴεσθαι μήτε λέγειν περὶ ὁτιοῦν φλαῦρον οὐδέν, ἀλλὰ περὶ πάντων καὶ βούλεσθαι καὶ δοκεῖν καὶ λέγειν πάντ' ἀγαθά, ἐκ τῶν οἴκοι θη-

---

1) κατὰ τὸν θ. λ. desunt R. Z. 2) βιαίας B. 3) σωμ. δαπ. καὶ πρὸς ἅπαντα πόνον καὶ μόχθον σφόδρα Z. καὶ πρὸς καὶ R. 4) καταστῆναι Z. R. 5) ἀσφαλεῖ Z. 6) κάμπεται Z. 7) πρὸ τρίτης R. 8) προσδ. R. Z. B. 9) νομίμων Fl. B.

σαυρῶν, ὡς ἔοικε[1]), τὸ πιστὸν ἔχοντα· καὶ τἄλλ' ὁμοῦ καθόλου συνελεῖν, ἅπαντα, ὡς[2]) μεγίστης ὄντως ἐκκλησίας καὶ πολυθρέμμονος ἀρχιερεῖ καὶ ποιμένι δεῖ, καὶ ἐστὶν ἐργωδέστατον ὁμοῦ καὶ σφόδρα σπάνιον ἑνὶ ξυλλαχεῖν, ὥσπερ ἐπ' αὐτῷ δὴ προδήλως, περὶ οὗ νῦν ὁ λόγος ἐστίν· καὶ μηκύνειν, ὡς ἔοικεν, οὐ δεῖ περαιτέρω, πλὴν ὅπερ ἄνωθεν ὁ λόγος ξυνεωραμένος ἀπεφήνατο. τοσαῦτα δὴ τά τε τοῦ ἀνδρὸς κατὰ θεὸν εὐδοκιμήματα καὶ τὸ τῆς πολιτείας καὶ τοῦ βίου περιφανὲς καὶ ὑπερηρμένον καὶ σχεδὸν ἀπαράμιλλον. καὶ τοῦ γε τῆς ὑπ' αὐτὸν ἐκκλησίας ἄστεος αὖθις τὰ προσόντα παντοῖα καλά, ὥστε κἂν μόνα δῆτ' ἴσως κινῆσαι ταῦτα τὴν βασιλείαν μου πρὸς τὸ μεταποιῆσαι καὶ προβιβάσαι τὴν τοιαύτην ὑπ' αὐτὸν ἁγιωτάτην ἐκκλησίαν εἰς κρείττω τινὰ καὶ ὑψηλοτέραν κατάστασιν καὶ ἀξίαν καὶ βαθμὸν ὑπερκείμενον, κἂν εἰ[3]) μήπω πρότερον, ὡς εἴρηται, τοιαῦτα παραπλήσια καὶ γεγένητο καὶ νενόμιστο γίγνεσθαι. καὶ ταῦτ' ἴσως, ἧπερ ἔφην, ἱκανῶς ἂν εἶχεν ἀφορμήν τε δοῦναι καὶ ὑποφῆναι τὸν ἐν τούτοις τύπον καὶ νόμον, ὃ δῆτα καὶ παραπλήσια ἄττα ἴσως ἕτερα πρότερον, ὡς ἔοικε, καὶ εἴργασται καὶ τὴν ἐν τούτοις ἀρχὴν δέδωκεν. ἐπεὶ δὲ ὅ τε περὶ τούτων βασίλειος νόμος προλαβών, ὡς ἔφην, ἐπαίρει καὶ δίδωσι καὶ αὐτὰ δὴ ταῦθ'[4]), ἅπερ εἴρηται, σφόδρα· κινεῖ, σὺν θεῷ δ' εἰρήσθω, καὶ τὸ τῆς ἡμετέρας βασιλείας φιλόκαλον τὸ πλεῖστον ἐν τούτῳ μάλιστα συναίρεται, καὶ ἡ περὶ τὰ κάλλιστα καὶ θεοφιλῆ τῶν ἔργων χάριτι τοῦ θεοῦ καὶ προμήθεια[5]) ταύτης συνειδεῖν τὰ δέοντα καὶ βουλεῦσαι καὶ προθυμία τε καὶ σπουδὴ μάλα ἐνεργὸς[6]) ἐκτελέσαι τε καὶ περᾶναι. ἐκ πάντων ἄρα τούτων τὸ καινίσαι τι[7]) πρὸς τὸ κρεῖττον καὶ προβιβάσαι τὰ τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας Μονεμβασίας ἐδοκιμάσθη τῇ βασιλείᾳ μου. καὶ τοίνυν φθάνει μὲν ἤδη πρότερον προθεσπίσασα καὶ βαθμόν τινα τῶν ὑψηλοτέρων ἔχειν ταύτην δὴ τὴν ἁγιωτάτην μητρόπολιν καὶ τόπον τινὰ ἐκκλησίας ἑτέρας καὶ τάξιν προεσβεσμένης καὶ ὡσπερεὶ παρελθούσης, οὐ μὴν ἀλλὰ καὶ μεγίστης ἐνορίας[8]) ἐξαρχίαν τε καὶ ἐπισκοπὰς ἀναλόγως διαταξαμένη τε καὶ προσηκόντως. ἐπὶ δὲ αὐτὰ δὴ ταῦτα καὶ χρυσοβούλλῳ βεβαιωθῆναι καὶ τὸ πιστὸν λαβεῖν καὶ ἄτρεπτον ἐξῃτήσατο ὁ ἀνωτέρω εἰρημένος ἱερώτατος τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερεὺς[9]) ἑτοίμως τε ἡ βασιλεία μου καὶ τὰ τῆς τοιαύτης αἰτήσεως προσεδέξατο καὶ πρὸς πέρας ἀγαγεῖν ηὐδόκησε. καὶ τοίνυν τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς[10]) ἀπολύει, δι' οὗ καὶ βούλεται σὺν θεῷ καὶ εὐδοκεῖ καὶ θεσπίζει, τόν τε, ὡς εἴρηται, νῦν προϊστά-

---

1) αὐτοῦ om. ὡς ἔοικε R. Z. ὡς ἀληθῶς B. 2) ὢν Z. 3) εἰ deest R. B. Z. 4) ταῦτα Z. 5) προμηθεία C. 6) ἐνεργὸν R. An ἐνεργῶς? 7) τε B. 8) μεγίστην ἐνορίαν Pandora. 9) ἀρχιερατικῶς προϊστάμενος alii editores, apud quos deest sequens ἑτοίμως γε. 10) αὐτῆς Z., B. pro αὐτῆς habet τό γε νῦν.

μενον ἀρχιερατικῶς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Μονεμβασίας καὶ τοὺς καθεξῆς τὸν αὐτῆς διαδεξομένους θρόνον ἐπαπολαύειν τῆς ἀνηκούσης τῷ τοῦ Σίδης θρόνῳ τιμῆς ἐν ἅπασι, καθέδραις τε δηλαδὴ καὶ προελεύσεσί[1]) τε καὶ στάσεσι, γραφαῖς τε καὶ ὅλως τοῖς ἐθίμοις[2]) ἔργοις ἀρχιερατικοῖς καὶ λειτουργήμασιν ἅπασι· φορεῖν δὲ καὶ σάκκον ἐν ταῖς θείαις ἱεροτελεστίαις, ὁμοίως δὲ καὶ διβάμπουλον, καὶ ἁπλῶς πάντα τὰ ἐκείνης προνόμια καὶ δίκαια ἔχειν· ἔξαρχόν τε καὶ εἶναι καὶ λέγεσθαι τὸν τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερατικῶς προϊστάμενον καὶ πάσης δὴ τῆς Πελοποννήσου[3]) καὶ τῆς ἐντεῦθεν τιμῆς προσαπολαύοντα[4]), ᾗ δὴ καὶ τοῖς ἄλλοις εἴθισται τῶν ἱερωτάτων ἀρχιερέων τοῖς ἠξιωμένοις διαφόρων[5]) ἐξαρχεύειν θεμάτων τε καὶ χωρῶν. ὡσαύτως δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο θεσπίζει καὶ παρακελεύεται, πάντας δηλαδὴ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ἔν τε φήμαις καὶ γραφαῖς παναγιώτατον προσαγορεύειν [τε] καὶ ὀνομάζεσθαι, αὐτὸν δὲ πάλιν ἐν τοῖς σημειώμασι καὶ γράμμασιν ἰνδικτιῶνα ἐμφαίνειν πρὸς αὐτοὺς καὶ πρὸς πᾶσαν τὴν αὐτοῦ ἐπαρχίαν ἀνθ' ἑτέρας ὑποσημάνσεως. ἐπεὶ δὲ ἔφθασαν προστεθῆναι πρότερον τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει καὶ ἐπισκοπαὶ αὗται, ἡ τῆς Κυνουρίας [6]), ἡ τοῦ Ἕλους, ἡ τῆς Μαΐνης καὶ ἡ τοῦ Ῥέοντος καὶ ἡ τοῦ Ζεμενοῦ, προσβεβαιοῖ μὲν προηγουμένως καὶ προσεδράζει[7]) ταύτας αὐτῇ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς[8]) ἡ βασιλεία μου, καὶ θεσπίζει καὶ διατάττεται καὶ εἰς τὸ ἑξῆς ὑπ' αὐτὴν εἶναι, καθὼς εὑρίσκονται μέχρι καὶ εἰς τὸ νῦν. ἔτι μέντοι δι' αὐτοῦ δὴ τούτου τὸ φιλότιμον προσεπαύξουσά τε ταύτῃ καὶ προσεπιτείνουσα εὐδοκεῖ καὶ παρακελεύεται ὑπ' αὐτὴν εἶναι καὶ ἑτέρας ἐπισκοπὰς ταύτας· ἤγουν τὴν τῆς Κορώνης, τὴν τῆς Μεθώνης καὶ τὴν τῆς Ἀνδρούσης καὶ ὑποκεῖσθαι ὁμοίως καὶ ταύτας τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς Μονεμβασίας, ὡς καὶ τὰς ἄλλας, ὡς ἄρα μητροπόλει αὐτῶν καὶ δέχεσθαι εἰς ἀρχιερεῖς ἑαυτῶν, οὓς ἂν ὁ ἐν τῇ εἰρημένῃ ἁγιωτάτῃ μητροπόλει εὑρισκόμενος ἀρχιερεὺς χειροτονῆσαι διακρίνοι καὶ ἐγκαταστῆσαι ἐπ' αὐταῖς. ἡ δὲ τῆς ἐπαρχίας ταύτης περίοδος, ὡς ἐν τύπῳ περιγραφικῷ ἔχει οὕτως. πρῶτον μὲν οὖν Ἐπίδαυρος ἀρχαία, ἡ καλουμένη Λιμηρά· μετὰ δὲ ταύτην ἐπὶ ἑῴαν προϊόντι ὁ Ζάραξ· προελθόντι δὲ ἀπὸ Ζάρακος παρὰ τὴν θάλατταν κατιόντι [κώμη][9]) ἡ Κυπαρισσία· εἶτα ναὸς τοῦ ἁγίου Λεωνίδου· μετὰ δὲ τὸ τοῦ ἁγίου θεῖον τέμενος, τὸ καλούμενον Ἄστρος· ἐπαναβάντι δὲ κώμη ἡ καλουμένη Καστάνιτζα· μετὰ δὲ ταύτην ἀπέρχεται καὶ

1) προεδρεύσεσι B. 2) ἐθισμένοις B. ὅλοις? 3) ἐξ. τοῦτον μόνον εἶναί τε καὶ λέγεσθαι πάσης Πελ. τὸν τῆς τοιαύτης ἁγιωτάτης ἀρχιερατικῶς ἐκκλ. προϊστ. alii edit. 4) ἀπολαύοντα edit. 5) διαφόρως R. 6) Sic R., alii editores Κυθουρίας. 7) προσεδράζεται B. 8) αὐτῆς Z. 9) πόλισμά τι B.

εἰς ἑτέραν κώμην λεγόμενα Ζίντζινα· εἶτα εἰς ναὸν τῶν ἁγίων Ἀναργύρων· ἔπειτα εἰς τὰς Ἅλως τὰς ἀρχαίας καὶ εἰς τὸ Ξηρὸν Φρέαρ, μεθ' ὃ κατέρχεται εἰς ναὸν τοῦ ἁγίου Εὐθυμίου· εἶθ' οὕτως εἰς τὴν σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ ἁγίου Γεωργίου καὶ ἐπικεκλημένην τοῦ Λυκοβουνοῦ[1])· ἀπὸ δὲ ταύτης τῆς σεβασμίας μονῆς διέρχεται διὰ τοῦ πεδίου καὶ καταντᾷ εἰς τὴν ἀπέναντι θείαν μονὴν τῆς ὑπεραγίας Θεοτόκου, τὴν εἰς ὄνομα τιμωμένην καὶ αὐτὴν τῆς Ἐλεούσης, οὖσαν πλησίον τῆς κώμης τοῦ Ἀρκασᾶ· εἶτα ἀπέρχεται εἰς ἑτέραν κώμην ὀνομαζομένην Σοχὰ πρὸς τοῖς ποσὶ τοῦ ὄρους τοῦ Ταϋγέτου· κἀκεῖθεν ἀνέρχεται εἰς τὴν τούτου κορυφήν, ἔνθα ἦν εὐκτήριον τοῦ προφήτου Ἠλιού, ἐπικεκλημένον Πεντεδάκτυλον· καὶ πάλιν κατέρχεται κατὰ δεξιὰν εἰς εὐκτήριον ἕτερον τοῦ αὐτοῦ προφήτου Ἠλιού, ὃ ἐπίκειται πρὸς τῷ τέλει τῆς κοιλάδος[2]) κατὰ[3]) φάραγγος τῆς σκληρᾶς καὶ δυσβάτου, ἐν ᾧ καὶ ὕδωρ ῥεῖ· μετὰ δὲ τὸ εἰρημένον εὐκτήριον αὖθις κατὰ δεξιὸν μέρος τῷ καταβαίνοντι εἰσὶ ταῦτα τὰ λεχθησόμενα χωρία τε καὶ πολίσματα· Δυρράχιον, πόλισμα[4]) ἀρχαῖον οὕτω καλούμενον· μετὰ δὲ τοῦτο κατέρχεται εἰς τὸν σωρὸν τῆς ὀνομαζομένης Γραός· εἶτα διέρχεται τῆς βασιλικῆς ὁδοῦ καὶ καταντᾷ εἰς τοὺς Χοιρολάκκους· ἔπειτα ἀνέρχεται εἰς τὴν Βουλκάνην καὶ διέρχεται εἰς τοῦ Βουνοῦ τὴν λεγομένην Ὀπήν· εἶθ' οὕτως εἰς τὸ ὄρος τὸ Ὄρθριον· καὶ κατέρχεται εἰς τὴν Πύλον, τὸν καλούμενον Ἀβαρῖνον, ἐν ᾧ καὶ λιμὴν μέγας. πάντα ταῦτα καὶ ὅσα οἱ εἰρημένοι τόποι πρός γε τὰ νότια μέρη περικυκλοῦσι καὶ διορίζουσιν, οὗτός ἐστιν, ὡς εἴρηται, ὁ τῆς ἐπαρχίας περιοδικὸς τύπος, ὡς ἐν συνόψει τῆς ἁγιωτάτης μητροπόλεως Μονεμβασίας, ἄνευ τῶν δύο ἐπισκοπῶν τῆς Κυνουρίας καὶ τῆς Ζεμενᾶς, πλὴν εἰ καὶ ἀρτίως εὑρίσκονταί τινες τῶν εἰρημένων ἁγιωτάτων ἐπισκοπῶν εἰς τὸ μέρος τῶν Λατίνων, ἀλλ' οὖν καὶ νῦν καὶ ὁπηνίκα θεὸς εὐδοκήσειεν ἐπανελθεῖν καὶ ἀνασωθῆναι αὖθις ταύτας εἰς τὸ μέρος τῆς βασιλείας [μου], ὑπὸ τὴν τοιαύτην ἔσονται ἁγιωτάτην μητρόπολιν τῆς Μονεμβασίας, ἐπ' ἀδείας τε ἕξει μετὰ τοῦ ἀνήκοντος ἀρχιερεῦσι δικαίου ὁ ταύτης δὴ προϊστάμενος χειροτονεῖν ἐπισκόπους ἐν αὐταῖς, ὡς καὶ ἐν ταῖς δηλωθείσαις ἑτέραις ἐπισκοπαῖς. οὕτω γὰρ δὴ περὶ τούτων καὶ δεδοκίμακεν ἡ βασιλεία μου, καὶ διὰ τῆς δεδομένης ταύτῃ χάριτι τοῦ Χριστοῦ περὶ τῶν τοιούτων ἐννόμου καὶ θείας ὄντως ἀδείας τε καὶ ἐξουσίας παρεκελεύσατο, προηγουμένως μὲν δηλαδή, ὡς εἴρηται, τὸν τόπον ἔχειν τῆς πρεσβευομένης καὶ πρὸ χρόνων ἀπολομένης ἐκκλησίας τοῦ Σίδης τὸν ταύτης δὴ τῆς ἁγιωτάτης μητροπόλεως Μονεμβασίας ἀρχιε-

---

1) Λυκοβούση B. 2) πεδιάδος B. 3) καί reliqui editores praeter B. 4) που B. πόλις καλουμένη alii edit.

ρατικῶς προϊστάμενον καὶ τῆς τῷ τοιούτῳ θρόνῳ ἀνηκούσης, ὡς δεδήλωται, πάντη τε καὶ πάσης καὶ διὰ πάντων ἀπολαύειν τιμῆς, ἔτι γε μὴν καὶ ἐξαρχεύειν ἁπάσης τῆς Πελοποννήσου, ὡς ἄρα δὴ καὶ τοῦτο δεδήλωται. πρὸς δ' ἄρα τούτῳ καὶ ὑπ' αὐτὸν ἔχειν καὶ τὰς ἀνωτέρω διαληφθείσας ἐπισκοπάς, ἅς τε δηλαδὴ πρότερον ὑποτεταγμένας εἶχε, καὶ ἃς νῦν ἐπιλοίπους προσεκύρωσεν ἡ βασιλεία μου καὶ κατ' ὄνομα καὶ περιγραφικῶς πᾶσαι δεδήλωνται· εἰς γὰρ δὴ τὴν περὶ τούτων ἁπάντων βεβαίωσιν, ἀσφάλειάν τε καὶ διαμονὴν ἄτρεπτον, ὥστε διὰ παντὸς ἀμεταποιήτως οὕτω στέργειν καὶ μὴ κατὰ βραχὺ μετατραπῆναι καὶ μεταβολὴν ἥντιναοῦν ἐπ' αὐτοῖς συμβῆναι καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐπεβραβεύθη καὶ ἐπεχορηγήθη τῷ τε νῦν ἱερωτάτῳ μητροπολίτῃ τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας Μονεμβασίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Πελοποννήσου καὶ τὸν τόπον τοῦ Σίδης ἐπέχοντι, ἀλλὰ δὴ καὶ τοῖς μετ' αὐτὸν διαδεξομένοις τὸν αὐτὸν θρόνον, ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης ἕκτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ [πρώτου] ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Orig. in membr. extat in bibl. universitatis Atheniensis. Primus edidit Flaminius Cornelius in libro: Catharus, Dalmatiae civitas in ecclesiastico et civili statu. Patavii 1749. p. 118; iterum Rhalles et Potles in Coll. Can. V. p. 333; Buchon, Recherches, Paris. 1845 I. p. LXXXI; in ephemeride Pandora, Athenis. 1853, Tom. IV. p. 85; Zachariae, Jus graeco-romanum III. p. 608. Extat etiam in cod. bibliothecae Neapolitanae II. C. 36.

III. 6809—1301, mense iunio, ind. XIV.

Imperator Andronicus II. Palaeologus confirmat possessiones ecclesiae Monembasiensis.

† Ὁ μὲν δὴ μέγας καὶ θεῖος τῆς ἀληθείας κήρυξ καὶ τοῦ κοινοῦ δεσπότου καὶ σωτῆρος ἀπόστολος, μὴ μέγα, φησίν, εἶναι, εἰ αὐτοί γε δὴ τῆς εὐσεβείας ἡμῖν οἱ ἡγεμόνες καὶ τῶν εὐαγγελικῶν σπερμάτων τε καὶ δογμάτων γεωργοὶ καὶ νομεῖς τὰ πνευματικὰ σπείραντες ἡμῖν παρ' ἡμῶν αὐτοὶ τὰ σωματικὰ θερίσουσι. καὶ γὰρ οὐδ' ἐστὶν οὕτως ἀξιόχρεω τοῖς ἐκείνων ταῦτα δὴ παραβάλλειν, καὶ μέγα πρὸς ταῦτ' οὐδὲν ἦν [1]), ὅσα τις εὖ μάλ' ἀνύτων [2]) καὶ σπουδάζων ἀντιδιδῷ, ὅτι μηδ' ἔχει

---

[1]) Cod. et M. ἥν. Emendavit Zach. [2]) μάλλ' ἀνύτων cod. μάλ' ἀνύττων Miller et Zach.

τις ἀντάλλαγμα τῆς ψυχῆς, τὰ ἱερὰ λόγιά φασιν, ἰσοστάσιον, ἣν ἄρα δὴ χωρὶς τῆς τοῦ πνεύματος γεωργίας προκειμένην εἰς ὄλεθρον καὶ πάντως κινδυνεῦσαι μέλλουσαν καὶ τὴν ἐσχάτην ὑποστῆναι ζημίαν, καὶ ἧς οὐδ' αὐτὸς ὁ κόσμος ὅλως ἀντάξιος, αἱ τῶν ἀποστολικῶν καὶ θείων σπερμάτων ἀρόσεις τε καὶ καταβολαὶ σώζουσί τε καὶ εὔχρηστον κατορθοῦσι καὶ καρποφόρον ἀγαθῶν καὶ ἀζήμιον. τοιγαροῦν κατ'[1]) ἄρα δὴ τὸν ἀποστολικὸν τόνδε καὶ θεῖον λόγον οὐ μέγα οὐδέν, ὅστις ἀντὶ τῆς τοσαύτης εὐποιίας, ἀντὶ τῶν ψυχικῶν ἀγαθῶν καὶ τῆς τῶν θείων αὐτῶν μεταδόσεώς τε καὶ μεταλήψεως καὶ κοινωνίας καὶ χάριτος, ἧς πορίζεται καὶ τρέφεται καὶ συντηρεῖται καὶ αὔξει καὶ τελειοῦται, μᾶλλον δὲ τελεῖται τὰ κρείττω καὶ εὐαγῆ τε καὶ πάνσεμνα, ἀντισυντελοίη τι καὶ αὐτὸς ἀντιδιδοίη ὁτιποτοῦν. πάνυ μὲν οὖν πλεῖστον τῶν κατ' αὐτὸν[2]) καὶ σωματικῶν, ὥς γε αὐτῷ δοκοῦν καὶ τοῖς ἄλλοις, μέγα μὴν οὐδὲν τοῦθ' ὡς ἀληθῶς οὕτω, μέγα δὲ ὄντως τοῦτο καὶ εὔδαιμον, ὅτῳ ἔδωκεν ὁ θεὸς πράγμασι[3]) ξυλλαχεῖν, ὥστ' ἔχειν παραδεικνῦναι τὴν γνώμην ἐθελόκαλόν τε καὶ πεφυκυῖαν εὖ πρὸς τὰ βελτίω, καὶ τἀγαθὸν κρίνουσάν τε καὶ αἱρουμένην εὖ μάλα τελεσιουργόν, καὶ μὴ ζημιουμένην τὸ περὶ τὴν ὕλην αὐτὴν δραστικὸν μηδ' ἀποστρεφομένην τῶν πραγμάτων ὑπ' ἀνάγκην ἀργόν τε καὶ ἀνόνητον ἑαυτῆς. μήποτε δ' ἄρα καὶ τοῦτ' ἂν εἴη τῆς σοφῆς καὶ πανταρίστης καὶ παντελείου θεϊκῆς προνοίας, καὶ ὁρᾶν ἔξεστιν ἐπιδήλως ἑκάστοτε γιγνόμενον, τὰς φιλοκάλους αὐτὰς φύσεις, καὶ αἷς ἄρα πλεῖστος ὁ περὶ τῶν καλῶν καὶ θείων ἔρως ἔνθεν ἐκ ψυχῆς ἀδάπανος φλέγει, ἱστᾶν ἐπὶ τῶν πραγμάτων ἀξίων τῆς γνώμης καὶ ὑποθέσεις διδόναι πρεπούσας καὶ χωρούσας ἀμέλει τὸ φρόνημα, ὡς ἂν ἅμα μὲν ἰσχύι τὰ κρείττω καὶ δημιουργεῖσθαι καὶ πολιτεύεσθαι κατ' ἀνθρώπους, ἅμα δὲ καὶ ζῆλον ὡς εἰκὸς προσλαμβάνεσθαι καὶ προκόπτεσθαι[4]) καὶ προάγεσθαι τῷ ὄντι. καὶ γὰρ καὶ κάλλιστον οἷον ἔοικεν εἶναι, καὶ οὐ μόνον λυσιτελέστατον αὐτῷ τινι μόνῳ, ἀλλ' ἄρα τό γε δὴ καὶ βιωφελέστατον εἰς αὐτὰ καθόλου τἀνθρώπεια κατὰ τὸν βίον ἅπαντα, ὅστις ἐπὶ πραγμάτων ξυντυχὼν ἀμεινόνων ἢ κατὰ τοὺς πολλοὺς καὶ διδόντων ἐπιεικῶς εὖ μάλα ἀγαθουργὸν ἀφορμὴν οἷός τ' ἂν ἔπειτα γένοιτο αἰσθέσθαι τὴν ἀγαθὴν ξυγκυρίαν καὶ πειρᾶσθαι ἑαυτοῦ καὶ χρῆσθαι, ᾗ δοκεῖ βέλτιστον, καὶ ὅστις γνώμης εὖ ἔχων, κρίσεως, ὁρμῆς[5]) καὶ ἔρωτος περὶ τὰ μέγιστα καὶ θεῖα, ἐφ' ἡγεμονίας τινὸς καὶ ἀρχικῆς ἐπιστασίας γενόμενος αὐτοκρατοῦς καὶ ἰσχυούσης, ἔχει πως ἑαυτῷ χρῆσθαι κάλλιστα, ἔχει δεικνῦναι τὴν φύσιν, ἔχει μὴ μένειν ἀργός, ἔχει τελεῖν τὰ βελτίω

---

1) Cod. καί τ'. em. M. 2) Cod. et M. αὐτῶν. Recepimus conjecturam propositam a Z. 3) Z. scribendum putat πράγματα. 4) Recepimus conjecturam Zach.: cod., M. et Z. προσλαμβάνοντα καὶ προκόπτοντα. 5) εὖ ὁρμῆς M. Z.

δόγματα, καὶ μὴ μόνον ἀντιδιδόναι πολλῶν καὶ μεγάλων, ὧν προειληφὼς[1]) ἔχει τῇδε τε κατὰ τὸν βίον ἀμέλει καὶ κατὰ ψυχὴν μάλιστα, τὸ δίκαιόν τε καὶ γιγνόμενον ὄφλημα, βραχὺ μὲν οὖν καὶ ὀλιγαρκὲς ὄντως πρὸς τὴν τοσαύτην εὐποιίαν, ἀλλὰ καὶ πραγματεύεσθαι περαιτέρω καὶ ἀντωνεῖσθαι σοφῶς διὰ τῶν παρόντων τῶνδε καὶ ῥεόντων τὰ μέλλοντά τε καὶ μένοντα, καὶ διὰ τῆς ἐν τούτοις φιλοθέου καὶ εὐγενοῦς οἰκονομίας καὶ ἐλευθεριότητος τοῖς ἀβεβαίοις μὲν ὡς τὰ πολλά, πάντως δὲ μετ᾽ ὀλίγον ἀπολουμένοις, ἅ γε δὴ καὶ αὐτὰ προῖκα προειληφὼς ἔχοι, κατακτᾶσθαι τὰ διαιωνίζοντά τε καὶ ἄτρεπτα. εἰ δ᾽ ἄρα δὴ καὶ ἡ ἡμετέρα βασιλεία περὶ τούτων οὐ μόνον εὖ τε ξυνεώραται καὶ ἔγνω, ἀλλ᾽ ἀνεκτῶς γε καὶ ἀνεμεσίτως ἐρεῖν καὶ διαπέπρακται, πολλά τε ἄλλα (σὺν θεῷ δ᾽ ὁ λόγος) μαρτύρεται καὶ τὸ νῦν γε ἤδη δηλώσειε· πολλὰ γὰρ δὴ τῇ[2]) κατὰ τὴν Πελοπόννησον Μονεμβασίας ἁγιωτάτῃ μητροπόλει παρ᾽ αὐτῆς ἐνήργηταί τε καὶ ἐπιδέδεικται λόγου τε ἄξια καὶ ἐπαίνων τῇ τοῦ Χριστοῦ χάριτι, τοῦτο μὲν ὅσα εἰς τιμήν τινα φέρει καὶ προβάθμιον τάξιν καὶ περιφανὲς ἀξίωμα καὶ τόπον πλείω[3]) ἢ πρότερον, τοῦτο δὲ καὶ ὅσα εἰς εὐπορίαν τε καὶ φιλοδωρίαν τῶν προσόντων αὐτῇ πραγμάτων τε καὶ κτημάτων· ἃ δὴ καὶ κατὰ μέρος ἕτερα διάφορα ταύτης ὑποδείκνυσι θεσπίσματα. ἐπεὶ δὲ ἀρτίως ᾐτήσατο τὴν βασιλείαν μου ὁ τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως ἀρχιερεύς, πάντα ὢν ἄριστος καὶ ἱκανώτατος τῇ τοιαύτῃ γε ἀξίᾳ, ὡς συνελόντ᾽ ἐρεῖν, καὶ δι᾽ αὐτὸ δὴ τοῦτ᾽ ἄρα καὶ πάντα πείθειν ἱκανὸς ὢν τὴν βασιλείαν μου καὶ περὶ πάντων αἰτούμενος, ἐπεὶ δ᾽ οὖν οὗτος[4]), ὡς εἴρηται, ᾐτήσατο καὶ χρυσόβουλλον αὐτῆς προβῆναι περὶ τῶν προσόντων κτημάτων τῇ κατ᾽ αὐτὸν τοιαύτῃ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἤδη καὶ εἰς τοῦτο ἐπινεύει τῇ αὐτοῦ αἰτήσει καὶ ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τόνδε τὸν χρυσόβουλλον λόγον αὐτῆς, δι᾽ οὗ καὶ εὐδοκεῖ[5]) καὶ προστάσσει καὶ διορίζεται, κατέχειν καὶ εἰς τὸ ἑξῆς τὴν διαληφθεῖσαν ἁγιωτάτην μητρόπολιν Μονεμβασίας πάντα τὰ προσόντα αὐτῇ κτήματά τε καὶ δίκαια, ἃ καὶ μέχρι τοῦ παρόντος παρ᾽ αὐτῆς εἰσὶ κατεχόμενα, νέμεσθαί τε αὐτὰ ἐκτὸς πάσης ἐπηρείας καὶ ἐνοχλήσεως καὶ παντάπασιν ἀναφαιρέτως, διασεισμοῦ τε παντὸς ἀπηλλαγμένα τε καὶ ἀνώτερα, ἃ δὴ καὶ κατ᾽ ὄνομα οὕτως ἔχουσι· χωρίον ὁ Γαγκανέας μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν καὶ πάντων τῶν δικαίων καὶ πάσης [τῆς] νομῆς αὐτοῦ· κτῆμα τὸ εἰς τὸ χωρίον τὰ Νόμια μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ τῶν εἰς τὸ αὐτὸ χωρίον καὶ εἰς τὰ Ταίρεια αὐτουργίων· ἀγρίδιον τὰ Λυρὰ μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ

---

1) M. mavult προσειλ. 2) Emend. Z.; cod. τοῖς, M. τῆς. 3) Proposuit Z. in notis, cod., M., Z. πλήν. 4) Conjecit Z.; cod., M. et Z. οὕτως. 5) Cod. εὐλογεῖ.

ὑποστατικῶν, ἔτι δὲ καὶ τὸ τῶν Μουντουσῶν, ἀλλὰ δὴ καὶ τὸ εἰς τὴν Σιὼν αὐτούργιον· χωρίον εἰς τὸν Κάμπον λεγόμενον τὰ Ἐπισκοπεῖα μετὰ τῶν ἐν αὐτῷ παροίκων, τῆς διαφερούσης τῇ ἐκκλησίᾳ γῆς καὶ τῶν λοιπῶν ὑποστατικῶν, ἔτι δὲ καὶ τοῦ δρυμῶνος τοῦ ἰδιοπεριορίστως προσόντος μέχρι τοῦ παρόντος τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ὡς τοῦ λοιποῦ παντὸς δρυμῶνος τοῦ ὑποκειμένου τῷ δημοσίῳ, ὀφείλοντος εἶναι αὖθις ὑπὸ τὸν δημόσιον· χωράφια ἐν διαφόροις τόποις τοῦ Ἕλους μετὰ τῶν ἐν αὐτοῖς τεσσάρων ὑδρομυλώνων τῶν ἀνεγερθέντων παρὰ τοῦ μέρους τῆς ἐκκλησίας καὶ τοῦ ἀμπελῶνος· ἀγρίδιον λεγόμενον τοῦ ἁγίου Κουρνούτου μετὰ τῶν ἐν αὐτῷ παροίκων· ἕτερον ἀγρίδιον τοῦ Καμαρᾶ μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν· ἡ μονὴ τοῦ ἁγίου Γεωργίου ἡ τοῦ Πρινίκου μετὰ τῶν ὑπ᾽ αὐτὴν παροίκων καὶ αὐτουργίων καὶ τῆς λίμνης τῆς προσούσης τῇ τοιαύτῃ μονῇ τοῦ Πρινίκου, ἔτι δὲ καὶ τῆς συνεισφορᾶς ἁπάσης[1]) τοῦ βαλανιδίου· προκατείχετο μὲν γὰρ πρότερον ἡ ἡμίσεια συνεισφορὰ ταύτης παρὰ τοῦ μέρους τῆς τοιαύτης ἐκκλησίας, ἡ δὲ ἑτέρα ἡμίσεια ταύτης παρὰ τοῦ δημοσίου· ἀρτίως δὲ εὐδοκεῖ ἡ βασιλεία μου καὶ παρακελεύεται τὴν ἅπασαν ταύτην τοῦ βαλανιδίου συνεισφορὰν παρὰ τοῦ μέρους κατέχεσθαι τῆς τοιαύτης ἁγιωτάτης μονῆς ἀνενοχλήτως καὶ ἀδιασείστως· χωρίον οἱ Πεζιάμενοι μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν καὶ πάντων τῶν δικαίων καὶ πάσης τῆς νομῆς αὐτοῦ· χωρίον τὸ Φιλόδενδρον μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ὑποστατικῶν· ἡ μονὴ τοῦ τιμίου Προδρόμου ἡ τοῦ Σαραφῶνος μετὰ τῶν ὑπ᾽ αὐτὴν παροίκων καὶ λοιπῶν δικαίων· ὁ εἰς τὰ Φῶτα ἀμπελών· ἡ ἐν τῷ χωρίῳ τῶν Πολλῶν Ξενίων ποσότης τῶν εἰκοσιπέντε ὑπερπέρων· τὰ ἐντὸς τῆς Μονεμβασίας ὀσπήτια, ἅπερ εἶχέ ποτε ὁ Ἀρῆς· ἀγρίδιον αἱ Ῥιπίαι σὺν τῷ πλησίῳ τούτου τόπῳ τῷ Καλαμίῳ καὶ τῷ τῶν Δικαστηρίων· προάστειον τῶν Λαιμόνων[2])· ἔτι δὲ καὶ τὰ αὐτούργια, ὅσα μέχρι τοῦ νῦν εὑρίσκεται κατέχουσα καὶ νεμομένη ἡ αὐτὴ ἁγιωτάτη ἐκκλησία εἴς τε τὸν Σώρακα, τὴν Κουλενδίαν, τὴν Κουμαραίαν, τὴν Βουλκάνην καὶ Μέσιν καὶ Δωδαίαν, ἀλλὰ δὴ καὶ εἰς τὴν Νόδυν καὶ εἰς τὴν λίμνην καὶ τὸν πύργον καὶ τὸ παλαιόκαστρον. ἃ δὴ πάντα, ὅσα ἀνωτέρω[3]) διαλαμβάνεται, καθέξει καὶ νεμεθήσεται τὸ μέρος τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας μετὰ τῶν προσηρμοσμένων αὐτοῖς[4]) μέχρι τοῦ νῦν, ὡς[5]) εἴρηται, δικαίων, ἤγουν γῆς, ἀμπελώνων, μυλώνων, δένδρων διαφόρων, περιβολίων καὶ λοιπῶν. πρὸς τούτοις δὲ ἕξει ἐπ᾽ ἀδείας τὸ μέρος τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἐξωνεῖσθαι καὶ τὸ πρινοκόκκιον, ὅπερ οἱ τῆς ῥηθείσης μονῆς

---

[1]) Cod. τὰς συνεισφοράς, quapropter M. ἁπάσας legi vult. Z. [2]) M. legi vult Λειμόνων. [3]) Cod. ἀνώτερα, om. M. [4]) αὐτῆς M. [5]) deest M.

τοῦ Σαραφῶνος καὶ οἱ τοῦ δηλωθέντος χωρίου τοῦ Γαγκανέα πάροικοι ἐπισυνάγουσιν ἀπὸ τοῦ τόπου τοῦ διαφέροντος τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ. ὅσον μέντοι πρινοκόκκιον ἐπισυνάξουσιν οἱ τοιοῦτοι πάροικοι τῆς ἐκκλησίας ἀπὸ δημοσιακοῦ τόπου, ὀφείλει ἐξωνεῖσθαι τοῦτο ὁ δημόσιος. ταῦτ' ἄρα καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου μενοῦσι, καὶ διατηρηθήσονται τὰ τοιαῦτα ἅπαντα κτήματα καὶ αὐτούργια τῆς διαληφθείσης ἁγιωτάτης ἐκκλησίας Μονεμβασίας ἀνενόχλητα πάντη καὶ ἀναφαίρετα κατὰ τὴν νομὴν καὶ κατοχήν, ἣν εὑρίσκεται κεκτημένη, ὡς δεδήλωται, μέχρι τοῦ νῦν ἐπ' αὐτοῖς, ἔτι δὲ ἀπηλλαγμένα τε καὶ ἀνώτερα πάσης καὶ παντοίας ἐπηρείας καὶ ἐπιθέσεως. καὶ γὰρ οὐδεὶς τῶν ἁπάντων ὀφείλει ἐπάγειν αὐτοῖς οἱανδήτινα λύμην ἢ ὅλως κατατριβήν, οὔτε μὴν ἐπὶ διασεισμῷ καὶ ἀδικίᾳ τινὶ κατ' αὐτῶν ἐπιτίθεσθαι καί τινι τρόπῳ δι' ὄχλου γίνεσθαι· ἐπεὶ καὶ πᾶς ὁ τοιοῦτόν τι πειραθησόμενος τούτοις ἐπαγαγεῖν ἀποπεμφθήσεται πάμπαν καὶ ἀποσοβηθήσεται καὶ καθάπαξ ἀποτραπήσεται, ὡς ἄρα ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου διατάττεται· ὃς καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ Μονεμβασίας, ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης ιδ'. ἰνδ. τοῦ ͵ςω' ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Edid. E. Miller in Catalogue des Msc. grecs de la bibliothèque de l'Escurial p. 61; Zachariae, Jus graeco-romanum III. p. 617.

IV. 6825—1317, mense novembri, ind. XV.

Andronicus II. Palaeologus confirmat mercatoribus civitatis Monembasiae privilegia et exemptiones a praedecessoribus suis concessas.

† Ἐπεὶ οἱ Μονεμβασιῶται, οἵ τε ἀπὸ τῆς θεοσώστου πόλεως Μονεμβασίας καὶ ἀπὸ τῶν Πηγῶν εὑρισκόμενοι, καὶ κατοικοῦντες ἀρτίως εἴς τε τὴν θεοδόξαστον καὶ θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν, ἀλλὰ δὴ καὶ εἰς ἄλλας πόλεις καὶ χώρας τῆς βασιλείας μου, εἰσὶν ἀποτεταγμένοι διὰ χρυσοβούλλων καὶ προσταγμάτων τῶν ἁγίων, ἀοιδίμων καὶ μακαρίων μου αὐθεντῶν καὶ βασιλέων, τοῦ τε πατρὸς καὶ πάππου καὶ προπάππου τῆς βασιλείας μου, ἵνα ἐφ' αἷς ἂν ποιῶσι πραγματείαις εἰς τὴν θεοδόξαστον Κωνσταντινούπολιν, τὴν Σηλυμβρίαν, τὴν Ἡρακλείαν, τὸ Ῥαιδεστόν[1]), τὴν Καλλιούπολιν καὶ τὰς ἄλλας τῆς Μακεδονίας καὶ

---

1) Ῥοδοστό Zach.

[Θράκης][1]) διδῶσι[2]) χάριν κομμερκίου εἰς ποσότητα νομισμάτων[3]) ρ' νομίσματα β', εἰς δὲ τοὺς λοιποὺς πάντας τόπους καὶ χώρας καὶ σκάλας τῆς βασιλείας μου διαμένωσιν ἀνώτεροι ἀπαιτήσεως κομμερκίου παντελῶς, διατηρῶνται δὲ καὶ ἔνθα ἂν εὑρίσκωνται καὶ κατοικῶσιν ἀνενόχλητοι καὶ ἀπὸ πασῶν ἄλλων δόσεων καὶ ἀπαιτήσεων· παρεκάλεσαν δέ, ἵνα τύχωσι καὶ ἐκ νέου εὐεργεσίας ἰδίας παρὰ τῆς βασιλείας μου, δι' ἣν ἔχει αὐτοῖς τῆς χάριτος[4]) ἔφεσιν καὶ ὄρεξιν εὐεργετεῖν πάντας τοὺς εἰς αὐτὴν ἀναφερομένους πιστοὺς καὶ εὐϋπολήπτους· προστάσσει καὶ διορίζεται ἤδη ἡ βασιλεία μου ἀπολύουσα τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς[5]), ἵνα πάντες οἱ Μονεμβασιῶται, οἵ τε ἐν τῇ θεοσώστῳ πόλει Μονεμβασίας κατοικοῦντες, ἀλλὰ δὴ καὶ [οἱ] ἐκ τῶν Πηγῶν, καὶ ὅπου ἄρα εὑρίσκωνται καὶ κατοικῶσιν, εἴς τε τὴν θεοδόξαστον Κωνσταντινούπολιν, εἴτε καὶ ἀλλαχοῦ, ἀπολαύωσι μὲν τῆς ἣν[6]) εἶχον προτέρας ἐξκουσσείας[7]) καὶ δεφενδεύσεως διὰ τῶν ῥηθέντων χρυσοβούλλων καὶ προσταγμάτων ὧν εἶχον οἱ ἀπὸ τῶν Πηγῶν καὶ[8]) [οἱ] ῥηθέντες Μονεμβασιῶται· καὶ ἐπέκεινα[9]) δὲ τῆς τοιαύτης ἐξκουσσείας εὐεργετεῖ ἡ βασιλεία μου αὐτοὺς[10]) κοινῶς ὅλους τοὺς Μονεμβασιώτας, τούς τε ἐκ τῶν Πηγῶν καὶ τοὺς ἐκ Μονεμβασίας, ἵνα ἐφ' αἷς ἂν ποιῶσι πραγματείαις διδῶσιν[11]) εἰς τὸ κομμέρκιον τῆς θεοδοξάστου Κωνσταντινουπόλεως ὑπὲρ ἐκβολῆς ποσότητος νομισμάτων ρ' νόμισμα α', καὶ ὑπὲρ ἐκβολῆς καὶ[12]) ἀγορᾶς ἑτέρας πραγματείας ποσότητος νομισμάτων ρ' νόμισμα α', εἴτε δηλονότι διὰ σίτου ἐν τῷ προσφορίῳ[13]) καὶ ἀλλαχοῦ ἔνθα βούλωνται, εἴτε διὰ οἴνου, ἐὰν οἱασδήποτε χώρας διακομίσωσι τοῦτον, ἢ διὰ προσφαγίων παστῶν ἢ τομαρίων[14]) ἢ πετζίων ἢ πανίου ἢ λινοκόκκου ἢ τζοχαρικῆς ἢ τετραπόδων ἢ ἑτέρων εἰδῶν ὧν ἂν βούλωνται· μηδ' ὅλως παρὰ μηδενὸς κωλυόμενοι ἐπὶ ταῖς διαπράσεσι τῶν τοιούτων πραγματειῶν αὐτῶν, ἢ καθελκόμενοι εἰς ἀπαιτήσεις καμπανιστικοῦ, μεσιτικοῦ, ζυγαστικοῦ, μετριατικοῦ[15]), παχιατικοῦ, γομεριατικοῦ[16]), ὀψωνίου, σκαλιατικοῦ, βιγλιατικοῦ, δεκατίας, ἁλιευτικῆς τετραμοιρίας, ξυλαχύρου, ὀρεινῆς[17]), τῆς ἐνιάδος εἰς τὰς εἰς αὐτοὺς[18]) περὶ αὐτὴν ἁπάσας σκάλας, ἀλλὰ δὴ [καὶ] καστροκτισίας, κατεργοκτισίας, μαγειρίας, ἀντιναύλου, ἐξωπρασίας, κοσμιατικοῦ, καπηλιατικοῦ, μηνιατικοῦ, ἐργαστηριακοῦ, μεταξιατικοῦ, τῆς ἀπαιτήσεως τοῦ πανίου τοῦ ἐν τῷ φόρῳ πωλουμένου, ἔτι δὲ καὶ τοῦ κεφαλαίου τοῦ σιταρίου τοῦ εἰσαποταχθέντος ἀπαιτεῖσθαι ἀπὸ τῶν καραβίων, ἢ ἑτέρου τινὸς κεφαλαίου τῶν

---

1) **Deest in editione Bonnensi.** 2) δίδωσι **B.** 3) νομ. **id.** 4) αὐτῇ τῇ χάριτι **id.** 5) αὐτοῖς **Z.** 6) ἧς **Z.** 7) **Edit.** ἐξουσίας. **Emendationem in nóta proposuit Z.** 8) καὶ **addit ed. B.** 9) κἀτεπέκεινα **B.** 10) αὐτοῖς **Z.** 11) δίδωσιν **B.** 12) καὶ **add. B.** 13) προφ. **edit.** 14) ἤτοι μερίων **Z.** 15) μετρητικοῦ **B.** 16) γομαρ. **Z.** 17) ὀρειμῆς **edit.** 18) εἰς αὐτ. **addit B.**

νῦν ἐνεργουμένων ἢ καὶ εἰς τὸ ἑξῆς μελλόντων ἐπινοηθήσεσθαι, ἀλλὰ διατηρῶνται ἁπάντων τούτων ἀνενόχλητοι καὶ ἀδιάσειστοι παντελῶς. ὡσαύτως οὐδὲ οἱ πωλοῦντες πρὸς αὐτοὺς ἢ ἐξωνούμενοι ἀπὸ τῶν πραγματειῶν αὐτῶν, εἴτε ζῷά εἰσιν, εἴτε γεννηματικὰ εἴδη ἢ καὶ ἄλλο τί, ἢ ἐν τῇ θεοδοξάστῳ Κωνσταντινουπόλει ἢ ἐν ἑτέροις τόποις τῆς βασιλείας μου ἀπαιτοῦνται χάριν κομμερκίου, ἕνεκεν δηλονότι τῆς δεφενδεύσεως τῶν τοιούτων Μονεμβασιωτῶν. ἔτι[1]) δὲ καὶ ὅταν διακομίζωσι διὰ καραβίων τὰς τούτων πραγματείας, εἴτε ἀπὸ τῆς ἄνω θαλάσσης, εἴτε καὶ ἀπὸ τῆς κάτω[2]), εἴτε ἀπὸ [τῶν] τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως κόλπων[3]) εἴτε σῖτος ἔνι, εἴτε οἶνος, εἴτε ἕτερόν τι εἶδος, ἰσάζωνται[4]) μὲν οἱ δηλωθέντες Μονεμβασιῶται ἐν τῷ [κομ]μερκίῳ τῆς θεοφυλάκτου Κωνσταντινουπόλεως καὶ ἵνα διδῶσιν, ὅσον ἀνωτέρω διορίζεται ἡ βασιλεία μου, οἱ δὲ ἔχοντες τὰ καράβια διαμένωσιν ἀνενόχλητοι χάριν τῶν τοιούτων πραγματειῶν αὐτῶν, μήτε τετραμοιρίαν[5]) ἢ ἄλλην ἀπαίτησίν τινα χάριν τῆς τοιούτων ἐξκουσσείας παρά τινος ἀπαιτούμενοι. ἐὰν δὲ διέρχωνται μετὰ πραγματειῶν αὐτῶν ἢ ἀπὸ δύσεως εἰς ἀνατολήν, ἢ ἀπὸ ἀνατολῆς εἰς δύσιν, ἢ ἀπὸ μέρους τῆς Ζαγορᾶς[6]) διαβιβάζοντες ζῷα ἢ ἄλλο τί, εἴτε εἰς τὴν Σωζόπολιν ἢ εἰς τὴν Ἀγαθόπολιν ἢ εἰς τὴν [Νικο]μηδίαν[7]) καὶ τὰς λοιπὰς χώρας τῆς βασιλείας μου, ὀφείλουσι διατηρεῖσθαι ἀνενόχλητοι καὶ ἀδιάσειστοι παντελῶς ἀπό τε τῆς ἀπαιτήσεως τοῦ κομμερκίου, τοῦ διαβατικοῦ καὶ τοῦ ποριατικοῦ παρά τε τῶν κατὰ καιροὺς εὑρισκομένων εἰς κεφαλὴν τῶν εἰρημένων κάστρων καὶ παρὰ τῶν ἐκεῖσε τὰ δημόσια διενεργούντων, ἐφ' αἷς δ' ἂν[8]) ποιῶσι πραγματείαις, ἐν ἑτέροις τόποις τῆς βασιλείας μου γεννηματικαῖς τε καὶ λοιπαῖς[9]), εἴτε κατὰ ἀνατολήν, εἴτε κατὰ δύσιν, εἴτε ἐν νήσοις, εἴτε κατ' ἤπειρον, εἴτε ἐν κάστροις καὶ πανηγύρεσιν, εἴτε ἐν ἄλλοις τόποις. ἔτι δὲ καὶ εἰς τὰς τῆς Πελοποννήσου ἁπάσας χώρας καὶ [τὰ] κάστρα τῆς βασιλείας μου γινομένας[10]) πανηγύρεις ὀφείλουσι διατηρεῖσθαι μὲν καὶ ἀπὸ τῶν κεφαλαίων πάντων ἀνώτεροι, διατηρεῖσθαι δὲ καὶ παντελῶς ἀνενόχλητοι καὶ χάριν δόσεως κομμερκίου, μηδὲ ἕνεκεν ποριατικοῦ διδόντες τὸ τυχόν. ὅθεν ὀφείλουσι διατηρεῖν αὐτοὺς εἰς τὴν τοιαύτην ἀνενοχλησίαν καὶ δεφένδευσιν οἵ τε εἰς τὸ κομμέρκιον τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως καὶ οἱ εἰς τὰς ἄλλας σκάλας πάσας[11]) καὶ χώρας καὶ κάστρα τῆς βασιλείας μου ἐνοχοποιούμενοι κατὰ καιρούς, ἀλλὰ δὴ καὶ πάντες, ὅσοι ἐπικρατῶσι κτήματα ἢ ζευγηλατεῖα[12]) ἢ κάστρα ὁρισμῷ τῆς

---

1) ἔσται edit.; corr. Z. 2) εἴτε ἀπὸ τῆς κάτω desunt B. 3) κόλπων deest B. 4) ἰσάζονται B. 5) τετραμοιρίου Z. 6) ἀγορᾶς Z. 7) Sic scripsimus ex conjectura Z., edit. μηδίαν. 8) deest B. 9) γεννηματικὰς . . . λοιπάς B. 10) γινωσκομένας edit. 11) addit B. 12) ζευγαλάτια edit.

βασιλείας μου, εἴτε τῆς περιποθήτου μου αὐγούστης εἰσὶν οὗτοι, εἴτε τοῦ ἐρασμιωτάτου υἱοῦ τῆς βασιλείας μου [καὶ][1] βασιλέως, εἴτε τῶν προσγενῶν[2] ἀρχόντων τῆς βασιλείας μου καὶ τῶν λοιπῶν ἀρχόντων καὶ ἀρχοντοπούλων αὐτῆς, οὐδὲ αὐτοὶ ὀφείλουσι χάριν μαγειρείας ἢ ὀψωνίου ἢ ἄλλου τινὸς ζητήματος ἀπαιτεῖν τι ἐξ αὐτῶν ἢ ἄλλο τι ἐπάγειν αὐτοῖς ἐπιτίμιον καὶ ἐπιβλαβές. ἀλλὰ καὶ αὐτοὶ οἱ κατὰ καιρὸν μέλλοντες ἔχειν τὴν ἐνοχὴν τῆς θεοδοξάστου Κωνσταντινουπόλεως ἀφέξονται[3] τελείως τοῦ ἐπάγειν ἐπήρειαν[4] αὐτοῖς καὶ ἀπαίτησιν τὴν τυχοῦσαν ἢ ὀψωνίου ἢ μαγειρείας, ἢ συγκαταλέγειν αὐτοὺς τοῖς λοιποῖς ἐποίκοις ταύτης ἐπὶ ταῖς κατὰ καιροὺς γινομέναις[5] [διὰ] κοινωφελεῖς ἴσως χρείας συγκροτήσεσιν ἢ ἰδίως ὅλως ἀπαιτεῖν τούτους τῆς τοιαύτης συγκροτήσεως ἕνεκα, ἀλλ' οὐδὲ εἰς ἃς ἔχουσιν[6] οὗτοι ὑποθέσεις ἢ μετ' ἀλλήλων ἢ μεθ' ἑτέρων τινῶν κριθήσωνται παρ' αὐτῶν, ἀλλ' ἐν τῷ σεκρέτῳ τῆς βασιλείας μου. τῇ γοῦν ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου τὰ κατὰ μέρος περὶ αὐτῶν[7] διορίζεται. ἀπολαύσωσι ταύτης κατὰ τὸν ἴσον καὶ ὅμοιον τρόπον καὶ οἱ ἐξ ὀσφύος παῖδες καὶ ἀπόγονοι τούτων, μέχρι ἂν ἡ τοῦ γένους αὐτῶν διαρκῇ[8] σειρά. εἰς γὰρ τὴν περὶ τούτων ἁπάντων βεβαίωσιν [καὶ] ἀσφάλειαν[9] ἐγένετο καὶ ἐπιβραβεύθη καὶ ἐπεχορηγήθη αὐτοῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα νοέμβριον τῆς ἐνισταμένης ἰνδ. ιε' ἔτους ,ϛωκε', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Privilegium servavit Georgius Phrantzes in historia p. 400 ed. Bonnensis. Ex edit. Veneta p. 175 ed. Zachariae, Jus gr.-rom. III. p. 635.

V. 6914—1405, mense septembri, ind. XIV.

Imperator Manuel Palaeologus concedit ecclesiae Monembasiae possessionem Helicobuni.

† Ἡ βασιλεία μου ἀποδεχομένη καὶ ἔχουσα θέλημα, ἵνα ἡ ἁγιωτάτη μητρόπολις Μονεμβασίας κατέχῃ τὴν χώραν τοῦ Ἑλικοβουνοῦ ὁλοτελῶς καὶ ὁλοκλήρως εἰς τὸ ποιεῖν τοὺς κατὰ καιρὸν ταύτης ἀρχιερατικῶς προστατεύοντας λειτουργίας δύο καθ' ἑκάστην ἑβδομάδα, ἐν ταῖς τῆς τετράδος καὶ τοῦ σαββάτου ἡμέραις, ὑπὲρ

[1]) add. Z. [2]) προσμενῶν B. [3]) ἀφέξωνται B. [4]) ἐπηρείας Z. [5]) τὰς — γινομένας — χρείας B. [6]) ἔχωσιν B. [7]) αὐτῆς B. [8]) διαρκήσει Z. [9]) τῆς π. τ. ἀπ. βεβ. ἀσφαλείας Z.

τῶν ψυχῶν τῶν ἐκεῖσε ταφέντων παίδων τῆς βασιλείας μου, ὡς καὶ ὁ νῦν ἱερώτατος μητροπολίτης Μονεμβασίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου, κύριος Ἀκάκιος, ἔταξε κατὰ τὴν περίληψιν τοῦ ἐπὶ τούτῳ προβάντος ἀργυροβούλλου τοῦ περιποθήτου αὐταδέλφου τῆς βασιλείας μου, πανευτυχεστάτου δεσπότου τοῦ Πορφυρογεννήτου κῦρ Θεοδώρου τοῦ Παλαιολόγου· ἐπιχορηγεῖ αὕτη ἐπὶ τούτῳ καὶ ἐπιβραβεύει τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς, δι' οὗ εὐδοκεῖ, προστάσσει, θεσπίζει καὶ διορίζεται, ἵνα τὸ εἰρημένον ἀργυρόβουλλον τοῦ περιποθήτου αὐταδέλφου τῆς βασιλείας μου, πανευτυχεστάτου δεσπότου τοῦ Πορφυρογεννήτου, ἔχῃ τὸ στέργον, τὸ κῦρος καὶ βέβαιον, καὶ κατέχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἡ ἁγιωτάτη μητρόπολις Μονεμβασίας τὴν εἰρημένην χώραν τοῦ Ἑλικοβουνοῦ μετὰ τοῦ ἐν αὐτῇ πύργου καὶ πάσης τῆς περιοχῆς αὐτῆς ἀναφαιρέτως καὶ ἀναποσπάστως κατὰ τὴν περίληψιν καὶ ἰσχὺν καὶ δύναμιν τοῦ εἰρημένου ἀργυροβούλλου, καὶ καθὼς εὐλόγως δικαιοῦται ἐπ' αὐτῷ μὴ εὑρίσκουσα χάριν τούτου τὴν τυχοῦσαν ἐπήρειαν, ὀφειλόντων τῶν κατὰ καιροὺς ἀρχιερατικῶς προϊσταμένων τῆς τοιαύτης μητροπόλεως ἐκτελεῖν καὶ ποιεῖν καθ' ἑκάστην ἑβδομάδα δι' ὅλου τοῦ ἐνιαυτοῦ ἐν ταῖς τῆς τετράδος καὶ τοῦ σαββάτου ἡμέραις λειτουργίας δύο διηνεκῶς καὶ ἀνελλιπῶς ὑπὲρ τῶν ψυχῶν τῶν ἐκεῖσε ταφέντων παίδων τῆς βασιλείας μου, καθὼς καὶ νῦν ὁ ἱερώτατος μητροπολίτης τῆς αὐτῆς ἐκκλησίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου, κύριος Ἀκάκιος, ἔταξε τοῦτο ἀπαύστως ποιεῖν. τῇ γοῦν ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ἕξει ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τὸ εἰρημένον ἀργυρόβουλλον τοῦ περιποθήτου αὐταδέλφου τῆς βασιλείας μου, πανευτυχεστάτου δεσπότου τοῦ Πορφυρογεννήτου κῦρ Θεοδώρου τοῦ Παλαιολόγου, τὸ στέργον, τὸ κῦρος καὶ βέβαιον, καὶ καθέξει ἡ δηλωθεῖσα ἁγιωτάτη μητρόπολις Μονεμβασίας τὴν εἰρημένην χώραν τοῦ Ἑλικοβουνοῦ μετὰ τοῦ ἐν αὐτῇ πύργου καὶ πάσης τῆς περιοχῆς αὐτῆς ἀναφαιρέτως καὶ ἀναποσπάστως κατὰ τὴν περίληψιν καὶ ἰσχὺν καὶ δύναμιν τοῦ εἰρημένου ἀργυροβούλλου, καὶ καθὼς εὐλόγως δικαιοῦται ἐπ' αὐτῷ, μὴ εὑρίσκουσα χάριν τούτου τὴν τυχοῦσαν ἐπήρειαν, ὀφειλόντων τῶν κατὰ καιροὺς ἀρχιερατικῶς προϊσταμένων τῆς τοιαύτης μητροπόλεως ἐκτελεῖν καὶ ποιεῖν καθ' ἑκάστην ἑβδομάδα δι' ὅλου τοῦ ἐνιαυτοῦ ἐν ταῖς τῆς τετράδος καὶ τοῦ σαββάτου ἡμέραις λειτουργίας δύο διηνεκῶς καὶ ἀνελλιπῶς ὑπὲρ τῶν ψυχῶν τῶν ἐκεῖσε ταφέντων παίδων τῆς βασιλείας μου, καθὼς καὶ ὁ νῦν ἱερώτατος μητροπολίτης τῆς αὐτῆς ἐκκλησίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου, κύριος Ἀκάκιος, ἔταξε τοῦτο ἀπαύστως ποιεῖν. τούτου γὰρ χάριν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα σεπτέμβριον τῆς ἐνισταμένης ιδ' ἰνδ. τοῦ ἑξακισχιλιοστοῦ

ἐνναχοσιοστοῦ τεσσαρεσκαιδεκάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Μανουήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

Edid. Miller in Catal. des Msc. grecs de l'Escurial p. 65; Zachariae, Jus graeco-romanum III. p. 713.

VI. 6948—1440, mense februario, ind. III.

Demetrius Palaeologus, despota Peloponnesi, jubet vectigalia urbis Monembasiae impendi in munitionem civitatis.

Ἀργυρόβουλλον τοῦ δεσπότου κυροῦ Δημητρίου διὰ τὴν Μονεμβασίαν.

† Ἐπειδὴ εὑρίσκεται ἀπὸ παλαιᾶς συνηθείας καὶ νομῆς, ὅτι ἀπαιτεῖται εἰς τὴν θεόσωστον πόλιν τῆς Μονεμβασίας κομμέρκιον καὶ δίδεται παρὰ πάντων μέχρι τοῦ νῦν, καὶ ἀναδραμόντες εἰς τὴν βασιλείαν μου οἱ ἔποικοι αὐτῆς πάντες ἀνέφερον καὶ παρεκάλεσαν, ἵνα εὐεργετηθῇ τὸ τοιοῦτον καθόλου κομμέρκιον [εἰς] τὸ κάστρον[1]) αὐτῶν καὶ καταναλίσκηται[2]) εἰς τὸ τοιοῦτον τεῖχος τοῦ κάστρου αὐτῶν[3]) μετὰ καὶ τῆς ἀπαιτήσεως τοῦ ἀβιωτικίου καὶ τῶν ἄλλων [ἃ] ἔχωσι ἐκεῖσε δικαίων καὶ ἀποτεταγμένων ἕνεκα τῆς κτίσεως τοῦ τοιούτου τείχους, καὶ ἐδεήθησαν περὶ τούτου [τυχεῖν ὁρισμοῦ τῆς βασιλείας μου][4]), ἡ βασιλεία μου τὴν τοιαύτην αὐτῶν ζήτησιν καὶ παράκλησιν εὔλογον κρίνασα τὸν παρόντα ἀργυρόβουλλον ὁρισμὸν αὐτῆς ἀπολύει, δι' οὗ δὴ καὶ διορίζεται καὶ εὐεργετεῖ πρὸς τὴν τοιαύτην πόλιν τῆς Μονεμβασίας, ὡσὰν ἔχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς πάντοτε τὴν τοιαύτην καθόλου δόσιν τοῦ κομμερκίου εἰς τὸ καταναλίσκεσθαι καὶ αὐτὴν μετὰ καὶ τῆς ἀπαιτήσεως τοῦ ἀβιωτικίου καὶ τῶν ἄλλων ὧν ἔχωσι δικαίων καὶ ἀποτεταγμένων ἕνεκα τῆς κτίσεως τοῦ τοιούτου τείχους τοῦ κάστρου αὐτῶν. ὀφείλουσι τοίνυν οἱ κατὰ καιρὸν εὑρισκόμενοι ἐπίτροποι καὶ διενεργοῦντες τὴν τοιαύτην δουλείαν τοῦ ἀβιωτικίου, ἵνα ἀπαιτῶσι καὶ ταύτην τὴν καθόλου δόσιν τοῦ κομμερκίου ἐπιμελῶς καὶ δικαίως καὶ καταναλίσκωνται[5]) καὶ ταύτην μετὰ καὶ τῶν ἄλλων εἰς τὸ τεῖχος τοῦ τοιούτου κάστρου αὐτῶν μετὰ βουλῆς καὶ θελήσεως[6]) τοῦ κατὰ καιροὺς εὑρισκομένου εἰς κεφαλὴν αὐτῶν, ὅστις ὀφείλει ἔχειν εἴδησιν ἐν τῇ ἀπαιτήσει καὶ ἐν τῇ ἀναλώσει τῶν τοι-

---

[1]) εἰς deest M. [2]) Cod. καταναλήσκεσθαι: M. καταναλίσκεσθαι. [3]) Cod. καὶ αὐτῶν: καὶ delendum videtur. [4]) Deest M., sed sic supplendum videtur ex aliis actis. [5]) Cod. καταναλίσκεσθαι. [6]) Cod. μεταβολῆς καὶ θελη.: emendavit Miller.

οὕτων πάντων, εἰς τὸ ἀπαιτεῖσθαι κατὰ τὸ δίκαιον καὶ ἀναλίσκεσθαι καὶ εἰς τὸ δέον, παρὰ μηδενὸς τῶν ἁπάντων εὑρίσκοντες οἱ κατὰ καιροὺς τοιοῦτοι ὑπηρέται τῆς τοιαύτης δουλείας τὴν οἱανδήτινα διενόχλησιν ἢ[1]) διασεισμὸν καὶ πειρασμόν, οὔτε παρὰ τῶν κατὰ καιροὺς ἐν τῇ τοιαύτῃ πόλει κεφαλατικευόντων, οὔτε μὴν παρ' ἑτέρου τινὸς τῶν ἁπάντων, ἀλλὰ ἀπολαύοντες πάσης ἀνενοχλησίας τῇ ἰσχύει καὶ δυνάμει τοῦ παρόντος ἀργυροβούλλου ὁρισμοῦ τῆς βασιλείας μου· βούλεται γὰρ ἡ βασιλεία μου καὶ διορίζεται, προνοίας ἀπολαύειν καὶ ἐπιμελείας τὴν ταιαύτην πόλιν τῆς Μονεμβασίας εἰς τὸ συνίστασθαι καὶ βελτιοῦσθαι αὐτὴν ὡς τῶν ὑπὸ τὴν βασιλείαν μου χρησιμωτάτων πόλεων καὶ ταύτην οὖσαν. καὶ εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν γέγονε καὶ ὁ παρὼν ἀργυρόβουλλος ὁρισμὸς τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα φεβρουάριον τῆς γ'[2]) ἰνδ. τοῦ ͵ςϡμη' ἔτους, ἐν ᾧ καὶ ἡ βασιλεία μου ὑπεσημήνατο †.

† Δημήτριος, ἐν Χριστῷ τῷ θεῷ εὐσεβὴς δεσπότης, Παλαιολόγος ὁ Πορφυρογέννητος †.

Ed. Miller in Catalogue etc. p. 60.

VII. Sine anno.

Theodorus II. Palaeologus [1407—1443], despota Peloponnesi, confirmat privilegia et exemptiones civium Monembasiae, qui in hanc civitatem redeunt aut in aliam partem regni se transferunt.

† Ἡ βασιλεία μου τὸν παρόντα ἀργυρόβουλλον ὁρισμὸν αὐτῆς ἀπολύει, δι' οὗ δὴ καὶ διορίζεται, καὶ διατηρεῖσθαι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς πάντας τοὺς Μονεμβασιώτας, ὅσοι ἐθελήσουσιν ἐπανελθεῖν καὶ εὑρίσκεσθαι καὶ κατοικεῖν ἐν τῇ Μονεμβασίᾳ, καὶ τοὺς ἄλλους ἅπαντας, ὅσοι προσέλθουσι καὶ κατοικήσουσιν ἐν αὐτῇ, κἂν ὁποῖοι ἄρα [καὶ] εἰσὶν καὶ ὅθεν ἂν ἔλθωσιν, ἐλευθέρους παντελῶς καὶ ἀκαταδουλώτους, αὐτούς τε καὶ τὰ προσόντα τούτοις κτήματά τε καὶ πράγματα, καὶ ἀνωτέρους πάσης καὶ παντοίας δόσεως τῆς τε τοῦ κουμερκίου ἔν τε τῇ δηλωθείσῃ Μονεμβασίᾳ καὶ πάσαις ταῖς ἄλλαις χώραις καὶ [τοῖς] κάστροις τῆς βασιλείας μου, τοῖς εὑρισκομένοις ὑπὸ τὸν ὁρισμόν, τὴν εὐπείθειαν καὶ τὴν δουλωσύνην αὐτῆς, καὶ τῶν ἄλλων ἀπαιτήσεων καὶ δόσεων τῶν γινομένων ἐν ταῖς κατ' ἔτος γινομέναις πανηγύρεσιν εἰς τὰ τοιαῦτα κάστρα[3]) καὶ [τὰς] χώρας τῆς βασιλείας μου,

---

[1]) Cod. εἰ. [2]) Cod. ιγ', sed corrigendum est, nam anni 1440 est indictio tertia. [3]) κάστρη cod.: τὰς supplevimus.

ἀλλὰ δὴ καὶ πάσης ἄλλης συζητήσεως ἢ δόσεως καὶ συγκροτήσεως τῶν τε νῦν γινομένων καὶ τῶν ὕστερον ἐπινοηθησομένων, καὶ μὴ ἔχειν ποτὲ ἐπ' ἀδείας τινά, κἂν τε κεφαλὴ ἔνι, κἂν τε ἄρχων, κἂν ἄλλος τις αὐθεντικὸς ἄνθρωπος, ποιῆσαι ἀγγαρείαν χαμμίαν οὔτε εἰς αὐτούς, οὔτε εἰς τὰ ζῷα αὐτῶν, οὔτε εἰς τὰ τούτων πλευσίματα, οὐδὲ χεῖρα ἐπιβαλεῖν διὰ κἂν ἕναν τρόπον, μαγειρείας χάριν ἢ ὀψωνίου ἢ ἄλλου τινὸς καὶ ἀφελέσθαι ἢ κρέας ἐξ αὐτῶν ἢ κρασὶν ἢ ψάριον ἢ ἄλλο τὶ κἂν ἕνα πρᾶγμα ἀφ' ὧν πωλεῖν μέλλουσιν, ἀλλ' ἐξωνεῖσθαι καὶ αὐτούς, τὰ βούλονται ἐξ αὐτῶν, καθὼς ἐν τῇ χώρᾳ πωλεῖται, κληρονομεῖν τε τοὺς κατὰ διαδοχὴν κληρονόμους αὐτῶν πᾶν πρᾶγμα, ὅπερ εὑρίσκονται κεκτημένοι καὶ ὅπερ προσκτήσονται καὶ ἀγοράσουσι καὶ ὅπερ ὑποκτήσονται κινητὸν καὶ ἀκίνητον· καὶ μηδὲ κριτικὸν καὶ τυχὸν διδόναι τοὺς τοιούτους ποτέ, ἀλλὰ νὰ γένηται σεκρέτον ἐν τῇ ῥηθείσῃ χώρᾳ τῆς Μονεμβασίας, ὥστε κρίνεσθαι τούτους ἐν αὐτῷ, ἔχειν τε ἄδειαν τὸν βουληθέντα ἐξ αὐτῶν ἐξελθεῖν ποτε τῆς τοιαύτης Μονεμβασίας καὶ ἀπελθεῖν ἀλλαχοῦ, πωλεῖν, χαρίζειν, ἀνταλλάττειν καὶ ἁπλῶς ποιεῖν, καθὼς ἂν βούλοιτο εἰς πᾶν πρᾶγμα, ὅπερ θέλει ἔχειν κινητὸν καὶ ἀκίνητον, ἔχειν τε ἐπ' ἀδείας ὡσαύτως καὶ πάντας τοὺς βουλομένους ἐξελθεῖν ἐκ τοῦ ἄλλου τόπου τῆς βασιλείας μου καὶ ἀπελθεῖν καὶ εὑρίσκεσθαι ἐν τῇ Μονεμβασίᾳ καὶ κατοικεῖν, εἴτε πάροικοί εἰσιν, εἴτε ἐλεύθεροι, εἴτε ἄλλοι ὁποῖοί εἰσιν, ποιῆσαι εἰς πᾶν ὅπερ ἔχουσι κινητὸν καὶ ἀκίνητον, ὡς βούλονται ἐπ' αὐτοῖς, οἷον πωλεῖν, χαρίζειν, ἀνταλλάττειν καὶ ἁπλῶς, ὅπερ ἂν βούλωνται, ἢ καὶ κατέχειν ταῦτα, ὁποῖά εἰσι καὶ ἔνθα εὑρίσκονται, ἐκτὸς βάρους καὶ τέλους τινός· καὶ διατηρεῖσθαι καὶ αὐτοὺς ἐλευθέρους παντελῶς καὶ ἀκαταδουλώτους, ὥσπερ καὶ τοὺς ἄνωθεν εἰρημένους, καὶ μὴ εὑρίσκειν αὐτοὺς παρά τινος τῶν ἁπάντων δι' οὐδένα τῶν ἁπάντων τρόπων καταδυναστείαν τινὰ ἢ διενόχλησιν καὶ διασεισμὸν ἐπὶ τούτοις, χωρὶς μόνων τῶν ἐποίκων τῆς περιοχῆς τῶν Βατίκων, τῆς Τζακονίας, τῶν Μολάων, τοῦ Ἐσοποῦ, τοῦ Ἕλους, τοῦ Ἱερακίου, τῶν Ἀπιδέων, τοῦ Σεραφῶνος, τῶν Τζιντζίνων, τοῦ Ῥέοντος, τοῦ Πραστοῦ, τῆς Καστάνιτζας καὶ τοῦ Ἁγίου Λεωνίδου. οἷος δὲ ἐξ αὐτῶν βουληθῇ ἐλθεῖν εἰς τὴν Μονεμβασίαν, ἵνα ἀναφέρῃ καὶ ἐρωτᾷ πρῶτον περὶ τούτου τὴν βασιλείαν μου, καὶ καθὼς ὁρίζει αὐτή, νὰ γίνηται. ὅθεν τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος ἀργυροβούλλου ὁρισμοῦ τῆς βασιλείας μου διατηρῶνται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς πάντες οἱ Μονεμβασιῶται, ὅσοι ἐθελήσουσιν ἐπανελθεῖν καὶ εὑρίσκεσθαι καὶ κατοικεῖν ἐν τῇ Μονεμβασίᾳ καὶ οἱ ἄλλοι πάντες, ὅσοι προσέλθουσι καὶ κατοικήσουσι ἐν τῇ Μονεμβασίᾳ καὶ οἱ ἄλλοι πάντες, ὅσοι προσέλθουσι καὶ κατοικήσουσι ἐν αὐτῇ, κἂν ὁποῖοί εἰσι καὶ ὅθεν ἂν ἔλθωσι, ἐλεύθεροι παντελῶς καὶ ἀκαταδούλωτοι αὐτοί τε καὶ τὰ προσόντα τούτοις κτήματά τε καὶ πράγματα, καὶ ἀνώτεροι πάσης καὶ παντοίας δόσεως τῆς τε

τοῦ κουμερκίου ἔν τε τῇ δηλωθείσῃ Μονεμβασίᾳ καὶ πάσαις ταῖς ἄλλαις χώραις καὶ κάστροις τῆς βασιλείας μου τοῖς εὑρισκομένοις ὑπὸ τὸν ὁρισμὸν καὶ τὴν εὐπείθειαν καὶ τὴν δουλωσύνην αὐτῆς, καὶ τῶν ἄλλων ἀπαιτήσεων καὶ δόσεων τῶν γινομένων ἐν ταῖς κατ' ἔτος γινομέναις πανηγύρεσιν εἰς τὰ τοιαῦτα κάστρα ἢ [τὰς] χώρας τῆς βασιλείας μου, καθὼς εἴρηται, ἀλλὰ δὴ καὶ πάσης ἄλλης ζητήσεως καὶ δόσεως καὶ συγκροτήσεως[1]) τῶν τε νῦν γινομένων καὶ τῶν ὕστερον ἐπινοηθησομένων· καὶ οὐδὲν ἔχῃ τις ἐπ' ἀδείας ποτέ, κἄν τε κεφαλὴ ἔνι, κἄν τε ἄρχων, κἄν τις ἄλλος αὐθεντικὸς ἄνθρωπος, ποιῆσαι ἀγγαρείαν οὔτε εἰς αὐτούς, οὔτε εἰς τὰ ζῷα αὐτῶν, οὔτε εἰς τὰ τούτων πλευσίματα, οὐδὲ χεῖρα ἐπιβαλεῖν διὰ κἂν ἕνα τρόπον καὶ ἀφελέσθαι ἢ κρέας ἐξ αὐτῶν[2]) ἢ κρασὶν ἢ ὀψάριον ἢ ἄλλο τὶ κἂν ἕνα πρᾶγμα ἀφ' ὧν πωλεῖν μέλλουσιν, ὡς δεδήλωται, ἀλλ' ἐξωνεῖσθαι καὶ αὐτοὺς τὸ βούλονται ἐξ αὐτῶν, καθὼς ἐν τῇ χώρᾳ πωλεῖται. κληρονομοῦσι δὲ οἱ κατὰ διαδοχὴν κληρονόμοι αὐτῶν πᾶν πρᾶγμα, ὅπερ εὑρίσκονται κεκτημένοι καὶ ὅπερ προσκτήσονται καὶ ἀγοράσουσι καὶ ὑποκτήσονται κινητὸν καὶ ἀκίνητον. καὶ οὐδὲ κριτικὸν τὸ τυχὸν δίδωσιν οἱ τοιοῦτοι αὐτοῖς, ἀλλ' ἵνα γένηται σεκρέτον ἐν τῇ ῥηθείσῃ χώρᾳ, ὡς κρίνεσθαι τούτους ἐν αὐτῷ· ἔχῃ τε ἄδειαν ὁ βουλόμενος ἐξελθεῖν ἐκ τῆς δηλωθείσης Μονεμβασίας καὶ ἀπελθεῖν ἀλλαχοῦ πωλεῖν, χαρίζειν, ἀνταλλάττειν, ὅπερ θέλει ἔχειν κινητὸν καὶ ἀκίνητον. ὡσαύτως ἵνα ἔχωσιν ἐπ' ἀδείας καὶ πάντες οἱ βουλόμενοι ἐξελθεῖν ἀπὸ τοῦ ἄλλου τόπου τῆς βασιλείας μου καὶ ἀπελθεῖν καὶ εὑρίσκεσθαι καὶ κατοικεῖν ἐν τῇ Μονεμβασίᾳ, εἴτε πάροικοι εἰσὶν εἴτε ἐλεύθεροι, εἴτε ἄλλοι ὁποῖοί εἰσιν, ποιῆσαι εἰς πᾶν, ὅπερ ἔχωσι κινητὸν καὶ ἀκίνητον, ὡς βούλονται ἐπ' αὐτοῖς, οἷον πωλεῖν, χαρίζειν, ἀνταλλάττειν καὶ ἁπλῶς, ὅπερ ἂν βούλοιντο, ἢ καὶ κατέχειν ταῦτα, ὁποῖά εἰσι καὶ ἔνθα εὑρίσκονται, ἐκτὸς βάρους καὶ τέλους τινός, καὶ διατηρῶνται αὐτοὶ ἐλεύθεροι πάντες καὶ ἀκαταδούλωτοι, ὥσπερ καὶ οἱ ἄνωθεν εἰρημένοι, καὶ οὐδὲν εὑρίσκωσι παρά τινος τῶν ἁπάντων δι' οὐδένα τῶν ἁπάντων τρόπων καταδυναστείαν τινὰ ἢ διενόχλησιν καὶ διασεισμὸν ἐπὶ τούτοις, χωρὶς μόνων τῶν ἐποίκων τῆς περιοχῆς τῶν Βατίκων, τῆς Τζακονίας, τῶν Μολάων[3]), τοῦ Ἐσωποῦ, τοῦ Ἕλους, τῶν Ἀπιδέων, τοῦ Ἱερακίου, τοῦ Σεραφῶνος, τοῦ Τζιτζίνου, τοῦ Ῥέοντος, τοῦ Πραστοῦ, τῆς Καστάνιτζας καὶ τοῦ Ἁγίου Λεωνίδου, ὡς εἴρηται. οἷος δὲ ἐξ αὐτῶν βουληθῇ ἐλθεῖν εἰς τὴν Μονεμβασίαν, ἵνα ἀναφέρῃ καὶ ἐρωτᾷ πρῶτον περὶ τούτου τὴν βασιλείαν μου, καὶ καθὼς ὁρίζει αὐτή, νὰ γένηται. ἐπιδιορίζεται ἡ βασιλεία μου, ἵνα κἂν ὁποῖον πταῖσμα συνέβη, νὰ

---

[1]) συγκρατήσεως hic et superius. [2]) Post ἐξ αὐτῶν L. habet: καθὼς ἐν τῇ χώρᾳ πωλεῖται. [κληρονομοῦσι], quae sunt delenda, ut apparet e superius scriptis, et errori scribae sunt tribuenda. [3]) Μουλάων L.: vide supra.

ἔπταισεν ἢ καὶ νὰ πταίσῃ χανεὶς καὶ προσδράμῃ καὶ καταφύγῃ εἰς τὴν Μονεμβασίαν, νὰ μηδὲν ἔχῃ ἄδειαν χανείς, ὁποῖος καὶ ἂν εἴη, οὔτε νὰ ἀποτρέψῃ τὸν ἄνθρωπον ἐκεῖνον, οὔτε νά τον κρίνῃ διὰ τὸ πταῖσμά του, οὐδὲ νά τον ἐπάρῃ, χωρὶς νὰ ἔνε τὸ πταῖσμά του πταῖσμα δημεγερσίας ἢ κατὰ τῆς βασιλείας μου ἢ τοῦ τόπου μου ἢ φουσάτου μου, ἂν δὲν κρατῇ ὁ πταίσης ἐκεῖνος ὁρισμὸν τῆς βασιλείας μου ἢ γράμμα μητροπολίτου ἢ γραφὴν τοῦ πνευματικοῦ τῆς βασιλείας μου, ἵνα οὐδὲ κατὰ τὴν ὁδὸν εὕρῃ ὁ τοιοῦτος παρά τινος ἐναντίον. ἐπεὶ καὶ εἰς τὴν περὶ τούτων μόνιμον καὶ διηνεκῆ καὶ βεβαίαν ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν ἀργυρόβουλλος ὁρισμὸς τῆς βασιλείας μου πρὸς τοὺς εἰρημένους πάντας ἐποίκους τῆς θεοσώστου πόλεως Μονεμβασίας, ἀπολυθεὶς κατὰ μῆνα . . . †.

† Θεόδωρος, ἐν Χριστῷ τῷ θεῷ εὐσεβὴς δεσπότης, ὁ Πορφυρογέννητος †.

Edidit Sp. Lambros in Ephemerid. Παρνασσός. *Athenis. 1883. Tom. VII. p. 473.*

VIII. 6951—1442, mense decembri, ind. VI.

Despota Peloponnesi (Theodorus II. Palaeologus) confirmat civitati Monembasiensi antiquam consuetudinem de successione bonorum.

† Ἐπεὶ ἀνέφερον καὶ ἐζήτησαν καὶ παρεκάλεσαν τὴν βασιλείαν μου οἱ ἔποικοι πάντες τοῦ κάστρου τῆς Μονεμβασίας εὐεργετηθῆναι αὐτούς, ἵνα τηρῆται περὶ τοῦ ἀβιωτικίου τῶν τελευτώντων ἐξ αὐτῶν ἀκλήρων καὶ ἀδιαθέτων, καὶ γίνεται, ὡς κατωτέρω κατὰ μέρος περὶ τούτου ῥηθήσεται, διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος αὐτῆς ὁρισμοῦ καὶ εὐεργητεῖ πρὸς αὐτούς, ὡς ἂν κατὰ τὴν εἰς τοῦτο ζήτησιν καὶ παράκλησιν αὐτῶν, ἵνα, ὁπόταν τελευτήσῃ τινὰς ἀπὸ τούτους ἄπαις καὶ ἀδιάθετος, κληρονομήσωσι τοῦτον οἱ ἀνιόντες καὶ κατιόντες αὐτοῦ κληρονόμοι· ὁμοίως καὶ οἱ ἐκ πλαγίου αὐτοῦ ἀδελφοὶ καὶ ἀδελφαὶ καὶ ἀνεψιοὶ καὶ ἀνεψιαὶ ἀπὸ ἀδελφοῦ ἢ ἀδελφῆς δηλονότι τοῦ τελευτήσαντος. εἰ δὲ ἐνδιαθήκως τελευτήσει, γενήσεται νομίμως, ὅσον ἂν ἐκεῖνος[1]) περὶ τοῦτο διατεθῇ. εἰ δὲ καὶ ἀπὸ τῶν τοιούτων αὐτοῦ κληρονόμων οὐχ εὑρεθῆναι [ἔχει] τινὰ[2]) καὶ τελευτήσει ἐνδιαθήκως ἢ καὶ ἀδιαθέτως, ἵνα οἱ ἀπὸ μακρόθεν συγγενεῖς αὐτοῦ λάβωσιν ἀπὸ τὸν βίον ἐκείνου τὸ δίμοιρον καὶ μόνον ἢ ὅσον καὶ περὶ τοῦτο διατεθῇ νομίμως· τὸ δὲ τρίτον μέρος τοῦ βίου ἐκείνου δίδωσιν ὑπὲρ τοῦ κάστρου. εἰ δὲ καὶ ἐκ μακρόθεν οὐχ

1) ἐκείνως L. 2) εὑρεθῆναί τινα L.

εὑρεθῆναι ἔχει[1]) τινὰ συγγενῆ, ἵνα τηρῆται ὁ βίος αὐτοῦ ἅπας παρὰ τῶν εἰς τοῦτο ἀποταχθέντων ὑπηρετῶν παρὰ τῆς βασιλείας μου μετὰ εἰδήσεως τοῦ τότε εὑρισκομένου εἰς κεφαλὴν αὐτῶν, καὶ εἰσκομίζηται[2]) παρ' αὐτῶν ὁ τοιοῦτος βίος εἰς ἀνάκτισιν καὶ ὀχύρωσιν[3]) καὶ ἀσφάλειαν τοῦ τοιούτου κάστρου τῆς Μονεμβασίας, καὶ ἐξετάζωνται οἱ τοιοῦτοι ὑπηρέται παρὰ τῆς κεφαλῆς καὶ ἀποδίδωσι πρὸς αὐτὸν λογαριασμὸν καὶ ἐξάντλησιν ὑπὲρ τούτου τοῦ βίου, καὶ μήτε εἰς τὸ βεστιάριον τῆς βασιλείας μου εἰσέρχηταί[4]) τι ἀπὸ τούτου, μήτε ἡ κεφαλὴ αὐτῶν, μήτε ἄλλος τις ἔχῃ ἐπ' ἀδείας λαβεῖν ἐξ αὐτοῦ διὰ κἂν ἕνα τρόπον, ἀλλ' εἰσκομίζηται[5]) παρὰ τῶν ὑπηρετῶν ὑπὲρ τοῦ κάστρου, ὡς δεδήλωται· ὁμοίως καὶ ὅσαι ζημίαι καὶ κρίσεις γένωνται πρός τινας εἰς τὴν χώραν ταύτην τῆς Μονεμβασίας, ἵνα ἀποδιδῶται[6]) καὶ αὕτη πρὸς τοὺς τοιούτους ὑπηρέτας εἰς ἀνάκτισιν καὶ ἀσφάλειαν τοῦ κάστρου, κατὰ τὴν εἰς τοῦτο ἄνωθεν καὶ ἐξ ἀρχῆς τάξιν τε καὶ συνήθειαν, καὶ ἀποδιδῶσι καὶ ὑπὲρ ταύτης λογαριασμὸν πρὸς τὴν κεφαλὴν αὐτῶν. καὶ εἰς τὴν περὶ τούτου δήλωσιν ἐγένετο πρὸς αὐτοὺς καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου μηνὶ δεκεμβρίῳ ἰνδ. ϛ' τοῦ ͵ϛϡνα' ἔτους †.

† Δεσπότης ὁ Πορφυρογέννητος †.

Edidit Sp. Lambros in Ephemerid. Παρνασσός. *Athenis. 1883. Tom. VII. p. 472.*

IX. 7078—1570, mense iulio, ind. XIII.

Synodus confirmat metropolitae Monembasiae antiqua jura et privilegia ecclesiae praesertim quoad episcopatus ei subjectos.

† Ἀλλὰ καὶ Μωυσῆς ὁ δημαγωγὸς ἐφιστᾷ μὲν τῷ λαῷ καὶ χιλιάρχους καὶ ἑκατοντάρχους καὶ τοὺς κρίνοντας, πλὴν εἴ τι ῥῆμα ὑπέρογκον καὶ Μωσαϊκῆς δεόμενον ἐπικρίσεως πάλιν πρὸς αὐτὸν ἀνεφέρετο, κἀκεῖθεν τὸ τέλος καὶ τὴν σύμβασιν ἀπελάμβανεν, οὕτως καὶ ὁ τῆς ἱεραρχίας θεσμὸς καὶ τοὺς ἐπισκοποῦντας μὲν ταῖς ἑκασταχοῦ τῆς οἰκουμένης ἁγιωτάταις ἐκκλησίαις ἐφίστησι καὶ δίδωσι τοὺς κηδεμόνας τῷ ἐκ Χριστοῦ παρονομαζομένῳ πληρώματι καὶ ἀρχιεπισκόποις πιστεύεται τοὺς πιστεύοντας· δίκαιον δ' ἂν εἴη πάντως, εἴ τι που ταῖς ἐκκλησίαις σκανδαλοποιὸν ἐγγίνετο καὶ ἀμφίμαχον καὶ τὴν τοῦ ἐπισκόπου ὑπερ-

---

1) ἔχειν L. 2) εἰσκομίζεται L. 3) ἀφύρωσιν L. 4) εἰσέρχεται L. 5) εἰσκομίζεται L. 6) ἀποδίδοται L.

βαῖνον ἐπίκρισιν, τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ τοῦτο ἀναφέρεσθαι, ὡς ἂν ἐντεῦθεν γένοιτό τις συνασπισμὸς καὶ οὕτως ἅπαν σκάνδαλον ἀπελαύνοιτο καὶ μέσαις ταῖς τῶν ἐκκλησιῶν πλατείαις εἰρήνη παρρησιάζοιτο. ἐπειδὴ ὁ πανιερώτατος μητροπολίτης Μονεμβασίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου καὶ τὸν τόπον ἐπέχων[1]) τοῦ Σίδης, κῦρ Μακάριος, ἔχων οὐκ ὀλίγην διαφορὰν καὶ διένεξιν μετὰ τοῦ πανιερωτάτου μητροπολίτου Χριστιανουπόλεως, κυροῦ Σωφρονίου, ὃς διακατέχειν βούλεταί τινας τῶν ἐπισκοπῶν διαφερουσῶν τῇ ἁγιωτάτῃ μητροπόλει Μονεμβασίας μετὰ τῶν περὶ αὐτὰς ἐνοριῶν, ἀναδραμὼν πρὸς ἡμᾶς συνοδικῶς προκαθημένους, οἳ ἐπιφέρομεν τὸ τοῦ παναγιωτάτου ἡμῶν [δεσπότου], κυροῦ Μητροφάνους, θεῖον πρόσωπον καὶ ἄδειαν ἔχομεν τὰ ἐκκλησιαστικὰ ὡς οἷόν τε ἐξετάζειν καὶ ἀνακρίνειν καὶ εἰς τὸν τοῦ δικαίου τόπον αὐτὰ καθιστᾶν, ἐνεφάνισεν ἡμῖν χρυσόβουλλα τῶν ἀοιδίμων καὶ μακαρίτων βασιλέων τοῦ τε κῦρ Ἀνδρονίκου Παλαιολόγου, κῦρ Ἰωάννου Καντακουζηνοῦ, κῦρ Μανουὴλ Παλαιολόγου καὶ κῦρ Ἰωάννου Παλαιολόγου, ἀργυρόβουλλα δεσποτῶν πολλῶν, ὡσαύτως καὶ σιγίλλια πατριαρχικά, τοῦ τε κῦρ Ἰωσὴφ πατριάρχου, [καὶ τοῦ] κῦρ Μητροφάνους, ἐν οἷς ἐν μέρει διαλαμβάνουσι ἐπικυροῦν προσήκει καὶ ἐπιβεβαιοῦν τὰ εἰρημένα τῶν ἀοιδίμων βασιλέων χρυσόβουλλα καὶ τὰ πατριαρχικὰ σιγίλλια, καλῶς καὶ νομίμως γραφέντα καὶ ἐπικυρωθέντα. τούτων οὖν τῶν θείων καὶ σεπτῶν χρυσοβούλλων καὶ τῶν λοιπῶν ἁπάντων, ὧν ἀνωτέρω ἔφημεν, ἐμφανισθέντων καὶ ἀναγνωσθέντων, ἐδεήθη καὶ παρ' ἡμῶν τυχεῖν συνοδικοῦ ἐπικυρωτικοῦ γράμματος παρέχοντος τὸ ἐνεργὸν καὶ βέβαιον τοῖς εἰρημένοις χρυσοβούλλοις· τοίνυν καὶ ἡμεῖς τὴν δέησιν αὐτοῦ εὐμενῶς ἀποδεξάμενοι κατὰ τὴν περίληψιν τῶν τοιούτων σεπτῶν χρυσοβούλλων καὶ τὸ παρὸν ἀπολύομεν γράμμα, δι' οὗ ἀποφαινόμεθα ἐξακολουθοῦντες πᾶσι τοῖς χρυσοβούλλοις, ἔχειν τὴν ῥηθεῖσαν ἁγιωτάτην μητρόπολιν Μονεμβασίας, ὅσας δὴ προκατεῖχεν ἐπισκοπάς, ἤγουν τὴν τῆς Κυθηρίας, τὴν τοῦ Ἕλους, τὴν τῆς Μαίνης, τὴν τοῦ Ῥέοντος, τὴν τῆς Ζεμενᾶς, τὴν τῆς Κορώνης, τὴν τῆς Μεθώνης καὶ τῆς Ἀνδρούσης καὶ ὑποκεῖσθαι ταύτας τῇ αὐτῇ μητροπόλει Μονεμβασίας ὡς γνησίᾳ μητροπόλει αὐτῶν εἰς τὸ ἑξῆς εἰς ἅπαντα καὶ διηνεκῆ χρόνον, δέχεσθαί τε ἐπισκόπους ἐν αὐταῖς, οὓς ἂν ὁ κατὰ καιροὺς εὑρισκόμενος ἀρχιερεὺς Μονεμβασίας ἐκλέξηται καὶ χειροτονήσει καὶ καταστήσει ἐν αὐταῖς, ἔτι δὲ ἔχειν τὸν κατὰ καιρὸν προϊστάμενον Μονεμβασίας καὶ τἄλλα δὴ προνόμια, ὅσα παρέχουσιν αὐτῇ τὰ εἰρημένα χρυσόβουλλα καὶ τὰ πατριαρχικὰ σιγίλλια, μηδενὸς τολμῶντος τῶν ἐν ἱερατικῷ καταλόγῳ ὄντων ἀντιστῆναι τοῖς προειρημένοις χρυσοβούλλοις ἐν

[1]) Cod. ἔχων.

βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου καὶ αἰωνίου τοῦ ἐκ θεοῦ, ἐπειδὴ μόνῃ τῇ βασιλείᾳ ἐφεῖται παρὰ τῶν ἱερῶν κανόνων ἀναψηλαφᾶν καὶ μετακινεῖν τὰ τοιαῦτα, ὥσπερ καὶ τὸ προτιθέναι καὶ ἀφαιρεῖν ἐπισκοπὰς καὶ προβιβάζειν ἔστιν ὅτε ὁμοίως καὶ ὑποβιβάζειν. ἐπὶ τούτῳ γὰρ ἀπολέλυται καὶ τὸ παρὸν ἡμέτερον συνοδικὸν γράμμα τῷ πανιερωτάτῳ μητροπολίτῃ Μονεμβασίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Πελοποννήσου καὶ τὸν τόπον ἔχοντι τοῦ Σίδης, κυρῷ Μακαρίῳ, καὶ μετ' αὐτὸν τῇ ἁγιωτάτῃ μητροπόλει Μονεμβασίας ἐπὶ τῷ προσεῖναι αὐτῇ εἰς μόνιμον καὶ διηνεκῆ χρόνον τὴν ἀσφάλειαν. κατὰ μῆνα ἰούλιον τῆς ιγ' ἰνδ. τοῦ ͵ζοη' ἔτους †.

† Πρὸς τούτοις δὲ ὀφείλουσι καὶ οἱ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ καὶ ταῖς αὐταῖς ἐπισκοπαῖς κατὰ τὰ βασιλικὰ χρυσόβουλλα καὶ τὰ πατριαρχικὰ σιγίλλια πείθεσθαι καὶ ὑποτάσσεσθαι αὐτῷ τῷ πανιερωτάτῳ μητροπολίτῃ Μονεμβασίας καὶ τῷ κατὰ καιροὺς λαχόντι καὶ οὐδενὶ ἄλλῳ ὡς γνησίῳ πατρὶ καὶ ποιμένι αὐτῶν, ἱερεῖς τε δηλαδὴ καὶ λαϊκοί, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου καὶ αἰωνίου †.

† Ὁ μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας, Ἀναστάσιος ἱερεὺς †.

† Ὁ μέγας ἐκκλησιάρχης τῆς μεγάλης ἐκκλησίας †.

† Ἱέραξ ὁ μέγας λογοθέτης τῆς μεγάλης ἐκκλησίας †.

† Ὁ μέγας χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.

† Ὁ σακελλαρίου τῆς μεγάλης ἐκκλησίας †.

† Ἀνδρέας, ὁ λογοθέτης τῆς μεγάλης ἐκκλησίας †.

† Ὁ μέγας πρωτοπαπᾶς τῆς μεγάλης ἐκκλησίας †.

† Ὁ πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας †.

† Ἐπειδ' ὁ πανιερώτατος μητροπολίτης Μονεμβασίας, κῦρ Μακάριος, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς ἡμῶν καὶ συλλειτουργός, δείξας ἡμῖν τὸ παρὸν συνοδικὸν τῆς μεγάλης ἐκκλησίας γράμμα τῶν τιμιωτάτων καὶ ἐπιτρόπων τοῦ οἰκουμενικοῦ πατριάρχου, κῦρ Μητροφάνους, κληρικῶν, ὑπεγράψαμεν καὶ ἡμεῖς, ὡς νομίμως καὶ εὐλόγως γραφὲν καὶ ἀκόλουθον ὂν τοῖς θείοις ἱεροῖς νόμοις τῶν ἀοιδίμων βασιλέων καὶ πατέρων, καὶ ἐπικυροῦμεν αὐτό, ὡς καὶ τὰ σεπτὰ γράμματα τοῦ παναγιωτάτου ἡμῶν [δεσπότου] καὶ οἰκουμενικοῦ πατριάρχου ἀκολουθοῦντα τοῖς θείοις χρυσοβούλλοις καὶ πατριαρχικοῖς σιγιλλίοις γράμμασι ἐπεκυρώσαντο πρότερον †.

† Ὁ Χαλκηδόνος Δωρόθεος †.

† Ὁ Λαρίσσης Ἱερεμίας †.

† Ὁ Ναυπάκτου καὶ Ἄρτης Ἰωακείμ †.

. . . . . . Θεόληπτος †.

† [Ὁ] Περιθεωρίου Φίλιππος †.

† Ὁ Τραπεζοῦντος Μάξιμος μητροπολίτης †.

† Ὁ Μεσημβρίας Ἰγνάτιος †. † Ὁ Φαναρίου Γρηγόριος †.
† [Ὁ] Κερνίτζης Θεοδόσιος †. † Ὁ Κιτροῦς Λουκιανός †.

Extat in codice bibliothecae Taurinensis gr. CCCXXXVI. B. VII. 29, ex quo minus accurate edidit Pasinius in Catalogo cod. graecorum ejusdem bibliothecae p. 417. Cod. est saec. XVI, olim fuit Gabrielis Severi.

X. 6652—1143, mense octobri, ind. VII.

Leon, episcopus Nauplii et Argorum, instituit monasterium virorum S. Mariae in loco Area, transfert moniales, quae antea habitabant monasterium, in coenobium erectum in loco dicto Buze editque regulam novi monasterii.

I. † Ὑπόμνημα τοῦ ταπεινοῦ Λέοντος καὶ εὐτελοῦς ἐπισκόπου Ἄργους καὶ Ναυπλίου ἐπὶ τῇ γεγονυίᾳ παρ' αὐτοῦ νέᾳ μονῇ ἐπ' ὀνόματι τῆς ὑπεραγίας θεοτόκου ἐν τῇ τοποθεσίᾳ τῆς Ἄρειας †.

† Ἔφθασε μὲν ἡ ἡμετέρα εὐτέλεια ἱερὸν δομήσασθαι φροντιστήριον ἐπ' ὀνόματι τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεομήτορος κατὰ τὴν τοποθεσίαν τῆς Ἄρειας, ἐν ᾧ τὸν μοναδικὸν βίον ἀνύειν ἔταξε γυναῖκας τὰς αἱρουμένας ὑπέχεσθαι τὸν ζυγὸν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν τὸν ἀριθμὸν τριάκοντα ἕξ, καὶ μέντοι καὶ πρὸς τῇ τῆς καταμονῆς ἀναπαύσει καὶ τὰ πρὸς ζωὴν ταύταις συνέταξεν, ὥστε εἰς τὸ ἀπέραντον ἔχειν αὐτάς, ὅθεν ταῦτα πορίσαιντο, ὡς μὴ τῇ τούτων ἐλλείψει διὰ τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν ἀτόνως τὸν μοναδικὸν ἀνύωσι δρόμον, καὶ δι' ὑπομνήματος δὴ αὐταῖς τὸ εἶναι τὸ τοιοῦτον σεμνεῖον ἐλεύθερον πάσης ἐκκλησιαστικῆς τε καὶ ἀρχοντικῆς χειρὸς εἰς τὸν αἰῶνα τὸν ἅπαντα διετάξατο· τί τὸ μετὰ ταῦτα; οὐ μακρός τις παρῳχήκει χρόνος, καὶ ὅπερ ἐστὶν ἰδεῖν τοὺς φυτοκόμους καὶ γεωργοὺς κατὰ τέχνην τὴν ἑαυτῶν ποιοῦντας, καὶ νῦν μὲν κλῶνα τινὸς φυτοῦ πηγνύντας τῇ γῇ καὶ μέχρι τινὸς θεραπεύοντας, ἔπειτα δὲ τοῦτον ἐκεῖθεν ἀποσπῶντας καὶ ἀλλαχόσε μεταφυτεύοντας, ὡς ἐντεῦθεν τοῦ φυτοῦ καὶ πρὸς σύμπηξιν ἑδραιοτέραν καὶ πρὸς αὔξησιν ἐλαύνοντος κρείττονα καὶ πρὸς καρποφορίαν πρωϊμωτέραν, τοιοῦτόν τι συμβέβηκε καὶ ἡμᾶς ἐργάσασθαι ἐπὶ τῷ τοιούτῳ σεμνείῳ, εἰ καὶ παρὰ τὴν ἡμῶν ἐξ ἀρχῆς πρόθεσιν τῶν τοῦτο συστησαμένων τὸ γεγονὸς ὑστάτως ἐτύγχανεν, ἀλλά γε τὸ τοῦ πράγματος ἀποτέλεσμα παρόμοιον ἀποδέδεκται τῇ ῥηθείσῃ προνοίᾳ τῶν φυτοκόμων· ἐπειδὴ γὰρ τὰ καθ' ἡμᾶς ταῦτα παράλια καθ' ὅλον τὸν ἐνιαυτὸν πλήρη τυγχάνουσι θαλαττίων λῃστῶν, κατὰ πᾶσαν ἄδειαν τὰ πάντα ληϊζομένων καὶ ὅ τι βούλονται ἄτοπον

δρώντων κατὰ παντὸς τοῦ εἰς σφῶν χεῖρας ἐμπίπτοντος, φόβος οὐκ ἀγενὴς ἡμᾶς ἐπέθραττε, μήποτε τὸ τοιοῦτον σεμνεῖον εὐάλωτον ὂν τοῖς τοιούτοις λῃσταῖς οἷα τῆς θαλάσσης οὐ πόρρω ἀφεστηκός, ὑπὸ τούτων ἀπόληται καὶ πρὸς ταῖς ἀφαιρέσεσι τῶν ἐνόντων τῇ μονῇ καὶ φθορὰ τῶν μοναζουσῶν ἐπιγίνοιτο, ἢ χαίρουσιν εἰς τὰ μάλιστα [οἱ] καθάπαξ τὸν θεῖον ἀπωσάμενοι φόβον καὶ τὸν λῃστρικὸν μετιόντες βίον· ἵν' οὖν μὴ τοιοῦτόν τι συμβῇ συνεργίᾳ τοῦ μισοκάλου σατὰν καὶ τὸ δόξαν ἡμῖν εὐσεβὲς σπούδασμα εἰς τοὐναντίον ἀντιπεριστῇ, πρὸς δευτέρους πόνους ἀπεδυσάμεθα καὶ σεμνεῖον ἕτερον ἐξ αὐτῶν κρηπίδων δομησάμενοι, πόρρω διακείμενον τῆς θαλάσσης περὶ τὴν τοποθεσίαν τοῦ Βούζη, ἐπ' ὀνόματι ἱδρυθὲν καὶ τοῦτο τῆς πανάγνου δεσποίνης ἡμῶν καὶ θεομήτορος, καὶ περὶ αὐτὸ κελλία τὰ πρὸς ἀνάπαυσιν τῶν μοναζουσῶν καὶ λοιπὰ τὰ χρειώδη τῷ τοιούτῳ σεμνείῳ ποιήσαντες, ἀλλὰ καὶ τὴν πρὸς σωματικὴν παντοίαν καὶ διηνεκῆ πρόνοιαν τῶν μοναζουσῶν ἀφιερώσαντες τῇ μονῇ, καὶ τὸ πάντοθεν ἐλεύθερον καὶ ἀδέσποτον εἰς τὸν αἰῶνα τὸν ἅπαντα περιποιησάμενοι ταύτῃ, δι' ὑπομνήματος ἡμῶν τῶν εὐτελῶν τῶν χρηματισάντων ταύτης κτητόρων, ἐνταῦθα τὰς μοναζούσας συνετάξαμέν τε καὶ συνηγάγομεν καὶ καθηγουμένην τούτων προεστησάμεθα. τὴν δέ γε προτέραν τούτων μονὴν εἰς ἀνδρῴαν μετεσκευάσαμεν συναγηοχότες αὐτάρκεις μοναχοὺς καὶ τούτους ταύτῃ ἐγκατοικίσαντες, οὓς καὶ τριάκοντα ἓξ βουλόμεθα εἶναι εἰς ἀεί, εἴτε καὶ πλείονας, ἐλάττονας δὲ οὐδαμῶς, καὶ διὰ σφραγῖδος ἡγούμενον ἐν αὐτοῖς κατεστήσαμεν. ἐπειδὴ τοίνυν ἐκ τοιούτων αἰτιῶν ἡ μετάθεσις ἀπὸ τῆς τοιαύτης μονῆς ἐπηκολούθησε τῶν μοναζουσῶν ἐφ' ἑτέραν, ἣν ἐκ βάθρων ἄρτι συνεστησάμεθα, εἰς ἀνδρῴαν δὲ τὴν προτέραν γυναικείαν μονὴν ἠμείψαμεν, ὡς ἂν ἑκατέρωθεν ὁ θεὸς δοξάζοιτο, καὶ ψυχαὶ ἀρρένων καὶ θηλειῶν ὡσαύτως σώζοιντο, διαταττόμεθα διὰ τοῦ παρόντος ἡμῶν ὑπομνήματος, πάντα τὰ ἀφιερωθέντα παρ' ἡμῶν τῇ προγενεστέρᾳ γυναικείᾳ μονῇ τῇ κατὰ τὴν Ἄρειαν διακειμένῃ τῇ ἐς ὕστερον ἀπὸ γυναικείας εἰς ἀνδρῴαν μεταμειφθείσῃ δι' ἃς ἔφαμεν αἰτίας, ἐπ' αὐτῇ τῇ νῦν γυναικείᾳ μονῇ τῇ ἐν τῇ τοποθεσίᾳ τοῦ Βούζη διακειμένῃ ἀπαράσπαστα εἶναι καὶ ἀμείωτα εἰς τὸν αἰῶνα τὸν ἅπαντα καὶ τὸ γεγονὸς παρ' ἡμῶν ἐπ' αὐτῇ ὑπόμνημα ἀπαράθραυστον μένειν πάντῃ καὶ ἀπαράβατον ἐπὶ πᾶσι τοῖς ἐμφερομένοις αὐτῷ, ὡς δοκεῖν τὰς αὐτὰς μοναζούσας ἐν αὐτῇ τῇ μονῇ τῆς Ἀρείας καὶ πάλιν παρεῖναι, κἂν ἐν τῇ μονῇ τοῦ Βούζη ποιῶνται τὴν οἴκησιν καὶ τὸν ἀσκητικὸν διανύωσι βίον, ἐγχωροῦμεν δὲ τὸν καθηγούμενον τῆς αὐτῆς ἀνδρῴας μονῆς ἐπ' ἀδείας ἔχειν ἐπιτηρεῖν τὸν οἰκονομοῦντα τὰ τῆς γυναικείας μονῆς, εἴπερ καὶ ἡ καθηγουμένη καὶ αἱ λοιπαὶ μοναχαὶ τοῦτο βούλοιντο· ὡς ἔφορον γὰρ αὐτὸν οἱονεὶ βουλόμεθα εἶναι καὶ ἀντιποιεῖσθαι τῶν μοναζουσῶν, ἐφ' αἷς

δυσχερείαις ἔχουσι παρ' αὐτῶν προσκαλούμενον, ἅπαξ μέντοι τοῦ χρόνου, εἴτε καὶ δὶς παραβάλλειν τοῦτον τῷ μοναστηρίῳ πρὸς προσκύνησιν διατταττόμεθα καὶ κοινῶς συνομιλεῖν τῇ τε καθηγουμένῃ καὶ ταῖς λοιπαῖς καὶ μὴ συχνάκις, προφάσει δῆθεν ἀντιποιήσεως, ἵνα μὴ πρόσκομμα τοῖς κοσμικοῖς γένοιντο, καὶ καθάπαξ παντοίως σπουδάζειν τὰ πρὸς σύστασιν τῆς μονῆς, ἀνοσφίστως δὲ καὶ μηδὲ ἄχρι μοδίου σίτου ἢ μέτρου οἴνου ἅπτεσθαι τῶν τῆς μονῆς ἢ κτήνους τινός, τὸν βουληθέντα γὰρ ἡγούμενον τοῦτο ποιῆσαι διηνεκεῖ ἀφορισμῷ καθυποβάλλομεν. καὶ ταῦτα μὲν οὕτω τὰ τῆς γυναικείας μονῆς τετύπωτο καὶ διώριστο, τὰ δέ γε τῆς ἀνδρῴας ἀπ' αὐτῆς τῆς ἀρχῆς τὴν ἀρχὴν λαμβανέτω, τὸν καθηγούμενον ἀπ' αὐτῆς τῆς μονῆς γίνεσθαι διατταττόμεθα τὸν ὃς ἂν ἐκ τοῦ τοιούτου [1]) συστήματος καὶ χρόνῳ καὶ ἀρετῇ τὸ αἰδέσιμον ἔχων καταφαίνοιτο καὶ παρὰ τῆς ἀδελφότητος πάσης ἐγκρίνοιτο, ἵν' εἴη καὶ τοῖς λοιποῖς ἀρχέτυπον παντὸς ἀγαθοῦ, μὴ τῷ τῆς ἡγουμενείας ἀξιώματι καλλωπιζόμενος, ἀλλὰ μᾶλλον αὐτὸς καλλωπίζων τοῦτο τοῦ τρόπου τῇ κοσμιότητι. ἡ μέντοι προχείρησις τούτου οὑτωσὶ προβαινέτω· ἡ ἀρχιερατικὴ ῥάβδος ἡμῶν τῶν εὐτελῶν τῶν τὴν μονὴν δομησαμένων περὶ τὰ πρόθυρα τοῦ ἱεροῦ θυσιαστηρίου τιθέσθω, καὶ ὁ προκριθεὶς πρὸς τὴν ἡγουμενείαν ἐν τῷ τοιούτῳ τόπῳ γονυκλισίας ποιήσας πρότερον τὴν ῥάβδον παρὰ τοῦ ἱερέως μετὰ τῆς προσηκούσης εὐχῆς καὶ εὐλογίας ἐγχειριζέσθω, τὸ ἄξιός τε ἐκ τρίτου παρὰ τῶν μοναχῶν ἀκουέτω, καὶ ὁ ἱερεὺς ἐκτενῆ δέησιν ποιείτω, καὶ μετὰ τὴν μνήμην τοῦ ὀνόματος τῶν δομητόρων ἡμῶν καὶ τούτου μνημονευέτω, καὶ οὕτως ἔσται τοῦ λοιποῦ τῆς προστασίας κεκτημένος ἀπαραλόγιστον, τῷ τοι[ούτῳ] καὶ τῷ τυπικῷ ἐν ἅπασι χρῆσθαι ἐντελλόμεθα τῆς μονῆς τοῦ κυροῦ Μελετίου ἔν τε τῇ ἐκκλησιαστικῇ δηλονότι ἀκολουθίᾳ καὶ τῇ [2]) τῆς τραπέζης διαίτῃ τὸ αὐτὸ σιτουμένους, τὸ αὐτὸ πρὸς πόσιν προσφερομένους, καὶ μὴ διαφορὰν βρωμάτων ἐπὶ τῆς κοινῆς τραπέζης εἰσάγεσθαι, εἰ μή που ἴσως διὰ νόσον τις τὰ πρόσφορα σιτία προσφέροιτο· εἰ γάρ ποτε νοσεῖν ἐπισυμβαίνῃ τινὶ καὶ ὑπὸ τῆς σωματικῆς ἀσθενείας ἐπηρεάζοιτο, καὶ μηδὲ εἰς τὴν κοινὴν τράπεζαν ἴσως ἰσχύει πορεύεσθαι, τηνικαῦτα χρεὼν τὸν προϊστάμενον πᾶσαν προσφέρειν αὐτῷ ἐπιμέλειαν καὶ ἐπὶ τῇ κέλλῃ παραβάλλειν τοῦ ἀρρωστοῦντος καὶ τὸ λυσιτελοῦν πρὸς ὑγίειαν [3]) βρῶμα προστάττειν τούτῳ [παρα]σκευάζεσθαι. πρὸς ἐπὶ τούτοις διατταττόμεθα, ἕνα τῶν μοναζόντων οἰκονόμον παρὰ τοῦ καθηγουμένου προβάλλεσθαι καὶ διευθύνεσθαι, ἔτι γε μὴν καὶ ἐκκλησιάρχην τά τε βιβλία καὶ τὰ δικαιώματα τῆς μονῆς καὶ τὰ λοιπὰ ἱερὰ ἐπιτηροῦντα, πρὸς τούτων καὶ δοχειάριον καὶ δοχεῖον εἶναι ἐν τῇ

---

[1]) Cod. τοσούτου. [2]) Cod. τῷ ... διαίτην. [3]) ὑγίαν cod.

μονῇ καὶ πᾶσαν εἴσοδόν τε καὶ ἔξοδον ὅθεν δήποτε ποριζομένην γίνεσθαι ἐνώπιον τῶν ὀφθαλμῶν τοῦ καθηγουμένου καὶ τῶν λοιπῶν μοναχῶν, σφραγίζεσθαι δὲ τὸ δοχεῖον καὶ παρὰ τοῦ καθηγουμένου καὶ συνόλως εἰπεῖν, οὔτε τὸν ἡγούμενον χωρὶς τούτων τῶν τριῶν ποιεῖν τι διοριζόμεθα, οὔτε τούτους χωρὶς τοῦ καθηγουμένου. εἰ μέντοι παρά τινος τῶν φιλοχρίστων προσενεχθείη τῇ μονῇ καὶ δωρηθείη κτῆσις ἀκίνητος, ἐλευθέραν μὲν οὖσαν παντὸς δημοσίου ὀφλήματος, προσδεχέσθω, εἰ δέ τι τοιοῦτον βάρος ἐπικείμενον ἔχει, ἀφιέσθω· καθάπαξ γὰρ πάντα τοιοῦτον περισπασμὸν μακρὰν τῶν μοναζόντων ἀποσκορακίζομεν καὶ οὐδεμίαν ...[1]) θεραπεύωσι τὸν κύριον καὶ μὴ εἰς δημοσιακὰ λειτουργήματα ἑαυτοὺς ἐμβαλόντες περισπασμούς τινας ἔχοιεν ὑπὸ τῶν φορολόγων, ἀλλὰ μόνον ἀρκεῖσθαι μετὰ τῶν προρρηθεισῶν μονῶν τῶν κατ' ἐπίδοσιν δοθεισῶν αὐτοῖς εἰς τὸν διηνεκῆ καὶ ἀπέραντον αἰῶνα. ταῦτα μὲν οὕτω διοριζόμεθα, καὶ τὸ ἐλεύθερον καὶ ἀδώρητον τῇ μονῇ χαριζόμεθα διὰ τοῦ παρόντος ἡμῶν ὑπομνήματος καὶ μηδὲ ὑπὸ ἔφορον ἢ χαριστηκάριον ἢ ἕτερόν τινα γενέσθαι ταύτην ποτὲ ἐντελλόμεθα, μηδέ τινι ἐσχηματισμένῳ ὀνόματι διοικήσεως ἴσως τῶν τῆς μονῆς πραγμάτων ἢ ἐπικουρίας καὶ ἀντιλήψεως ἐπεμβαίνειν τινὰ τῇ μονῇ καὶ οὕτω ταύτην πορθεῖν καὶ λῄζεσθαι, ἀλλ' οὐδὲ αὐτοὺς τοὺς μεθ' ἡμᾶς ἐσομένους ἁγιωτάτους ἀρχιερεῖς ἐθέλομεν ὅλως πρὸς τὴν μονὴν ἢ τὰ τῆς μονῆς παρακύπτειν πράγματα ἢ ἐξουσιαστικὸν ἔχειν τι δίκαιον ἐπ' αὐτῇ, ἀλλὰ πάντῃ τῆς χειρὸς αὐτῶν ταύτην ἀπάγομεν, τὴν ἀναφορὰν μόνην τοῦ ὀνόματος ἐν ταῖς θείαις μυσταγωγίαις τούτοις παραλιμπάνοντες καὶ τὴν τῶν ψυχικῶν σφαλμάτων ἐπιτήρησιν. οὐκοῦν οὐδὲ ἔξαρχός τις ἢ ἔκδικος ἢ ἀρχιμανδρίτης ἢ οἰκονόμος ἢ ἄλλος τις παρὰ τῶν ἀρχιερέων εἰς τὰς τοιαύτας διακονίας προβαλλόμενος ἕξει ἄδειαν ἔνδον εἰσιέναι ποτὲ τῆς μονῆς, ἀλλὰ καὶ αὐτῶν τῶν προαυλίων ἀπελαθήσεται, εἰ μὴ χάριν εὐχῆς· εἰ δέ τις τοιοῦτόν τι τολμήσει τῶν διακονητῶν τούτων καὶ παρὰ τὰ ἡμῖν ἐντεταλμένα διαπράξαιτο, ἔσται ὁ τοιοῦτος τὸν ἀπὸ τῆς ζωαρχικῆς τριάδος ἄλυτον δεσμὸν περικείμενος διὰ τῶν ἀναξίων ἡμῶν λατρευτῶν αὐτῆς τοῦτον δεξάμενος. παρεγγυώμεθα γοῦν ἐν ἁγίῳ πνεύματι τοῖς ἐν κυρίῳ ἀδελφοῖς καὶ διαδόχοις ἡμῶν ἐπισκόποις τὴν οἰκονομίαν ταύτην ἡμῶν ἀποδέξασθαι καὶ μηδέν τι καινοτομῆσαι διανοηθῆναι πρὸς λύμην ἢ τὴν οἱανοῦν ὑποφθορὰν τῆς τοιαύτης μονῆς, ἀλλ' εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς ἅπαντας χρόνους κατὰ τὸ δόξαν ἡμῖν ἐξάγεσθαί τε καὶ διευθύνεσθαι καὶ τοὺς μονάζοντας ἐν τῇ αὐτονόμῳ καὶ αὐτοδεσπότῳ ταύτῃ μονῇ τὴν ἀσκητικὴν πολιτείαν ἔχειν ἀνεπηρέαστον· εὖ γὰρ οἶδα καὶ πέπεισμαι, ὅτι τηλικ-

---

[1]) **Deest aliquid, supplendum videtur** ὄχλησιν ἔχοντες.

αὐτῆς ἐπιμελείας παρ' ἡμῶν γενομένης αὐτοῖς πρὸς τῶν ἀρετῶν τὸ γυμνάσιον καὶ οὐδενὸς ὄντος ἐμποδὼν πρὸς τὸ εὐαρεστῆσαι θεῷ, εἰ μὴ δι' οἰκείαν χαυνότητα καταρραθυμήσαιεν ἐπὶ τῷ καλῷ, ἀλλ' ἐπιτεταμένως καὶ ὁλικῶς πρὸς ἄσκησιν ἴδοιεν, γενεὰ εὐθέων εὐλογημένη κατὰ τὸν Σολομῶντα φανήσονται καὶ τῶν ἄνωθεν δωρεῶν ἄφθονον σχοῖεν τὴν χορηγίαν καὶ ἔσοιντο τὰ ταμεῖα αὐτῶν πλήρη ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο κατὰ τὸν ψαλμῳδὸν καὶ χεθήσονται μὲν αἱ ὁδοὶ αὐτῶν βουτύρῳ καὶ τὰ ὄρη χεθήσονται γάλακτι· εἰ γὰρ φαιδρὰς τὰς λαμπάδας τῆς ψυχῆς διὰ τῆς ἀκραιφνοῦς ὑγιείας ἀνάψαιεν καὶ ἀγρύπνων τῶν τῆς ψυχῆς ὀφθαλμῶν τῷ ἀκηράτῳ νυμφίῳ Χριστῷ πρὸς ὑπαντὴν ἑτοιμότατοι γένοιντο, οἷον ἀρραβῶνά τινα καὶ μνῆστρον τῆς ἔνδον τοῦ νοητοῦ νυμφῶνος εὐθυδρόμου καὶ λαμπρᾶς εἰσελεύσεως τῶν ἐπὶ γῆς ἀγαθῶν τὴν πλουσιόδωρον χύσιν παρὰ κυρίου δαψιλεστάτην κτήσαιντο, ζητήσαντες μὲν τὴν βασιλείαν τῶν οὐρανῶν, τὰ δ' ἄλλα πάντα κατὰ προσθήκην κτησάμενοι. ἀλλ' εἴη ταῦτα καὶ γένοιτο, Χριστὲ, βασιλεῦ, καὶ τὸ ἱερὸν τοῦτο καὶ πνευματικόν μοι γεώργιον ὑπὸ σοὶ γεωργῷ καὶ φυτῶν ἀθανάτων μελεδωνῷ καρποφορῆσαι μὲν εἰς τριάκοντα, καρποφορῆσαι δὲ εἰς ἑξήκοντα καὶ τελευταῖον εἰς ἑκατὸν καὶ ἀνατεῖλαι στάχυς ἐκ τοῦδε πνευματικὸς ὡραῖος καὶ πέπειρος καὶ τῆς ἐν οὐρανοῖς ἀποθήκης ἐπάξιος, ὅτι καὶ ὑπὸ φρουρῷ τηρεῖσθαι τοῦτο καλῶς ἐγὼ κατεφώρασα, τῇ πανάγνῳ παρθένῳ καὶ κατὰ τρόπον καὶ λόγον ἄρρητον κυησάσῃ σε καὶ ἡγεμόνα καὶ προστάτην[1]) τῆς νεοσυλλέκτου ταύτης ἀγέλης προτέθηκα καὶ ἀπὸ ταύτης κεκλῆσθαί τε καὶ χαρακτηρίζεσθαι τὴν ἱερὰν ταύτην μάνδραν ᾑρετισάμην, ἵνα καὶ ὡς μητρικὸν ἀνάθημα δαψιλεστέρας τῆς σῆς ἀρωγῆς ἐπιτεύξοιτο καὶ τὸν ἅπαντα χρόνον ἐν ἱερᾷ καταστάσει διαφυλάττοιτο. παρακαλῶ οὖν καὶ πάλιν τοὺς μετὰ μὲ ἁγιωτάτους δεσπότας μου ἀδελφοὺς καὶ συλλειτουργούς, ἀρκεσθῆναι μόνῃ τῇ αὐτῶν ἀναφορᾷ καὶ οὐδὲν ἕτερον δίκαιον κεκτῆσθαι ἐπὶ τῇ πολλαχοῦ προρρηθείσῃ μονῇ ἢ σφραγῖδος ἢ ἐπιλογῆς ἡγουμένου ἢ παραπέμπειν τὸ τοιοῦτον μοναστήριον εἰς ἕτερα πρόσωπα δωρεαστικῷ λόγῳ ἢ τάττειν τινὰ μοναχὸν καταπεμπτὸν[2]) ἢ ἴδιον ἢ ἀλλότριον ἢ ὅλως ἐξουσίαν τινὰ ἔχειν ἐν αὐτῷ, ἀλλ' ἢ μόνον τὸ τῆς ἀναφορᾶς, ὡς προείρηται. ὁρκίζω γοῦν αὐτοὺς εἰς τὸ φρικωδέστατον ὄνομα τῆς ἁγίας τριάδος, μηδέποτε πρὸς ἐπήρειαν ἢ ζημίαν ἢ δούλωσιν ἀποβλέψαι τοῦ δηλωθέντος μοναστηρίου· ἐλεύθερον γὰρ εἶναι καθάπαξ διατυποῦμεν πάσης χειρὸς ἀρχιερατικῆς τε καὶ ἀρχοντικῆς· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμῶν [ὑπόμνημα] ὑπογραφῇ πιστωθὲν καὶ τῇ διὰ μολύβδου βούλλῃ σφραγισθὲν τῇ ἐν ἑνὶ μέρει

---

1) In cod. corr. ex προστάτην. 2) καταπεπτόν cod.

ἐχούσῃ τὴν ὑπεραγίαν θεοτόκον, ἐν δὲ τῷ ἑτέρῳ τὸν ἅγιον Θεόδωρον ἐπεδόθη τοῖς μοναχοῖς εἰς ἀσφάλειαν μηνὶ ὀκτωβρίῳ ἰνδ. ζ΄ ἔτους ,ϛχνβ΄ †.

† Ὁ εὐτελὴς ἐπίσκοπος Ναυπλίου καὶ Ἄργους Λέων †.

II. Τυπικὸν τῆς ἁγίας μονῆς ποιηθὲν παρὰ τοῦ κτήτορος τῆς αὐτῆς ἁγίας μονῆς.

Τυπικὸν τοῦ ταπεινοῦ Λέοντος καὶ εὐτελοῦς ἐπισκόπου Ἄργους καὶ Ναυπλίου ἐπὶ τῇ γεγονυίᾳ παρ᾽ αὐτοῦ νέα μονῇ ἐπ᾽ ὀνόματι τῆς ὑπεραγίας θεοτόκου ἐν τῇ Ἄρειᾳ.

Εὐχαριστοῦμέν σοι, Χριστέ, βασιλεῦ αἰώνιε καὶ ὑπεραιώνιε, παντὸς αἴτιε καὶ τελεσιουργὲ καὶ πράγματος καὶ νοήματος, ὅτι καὶ δι᾽ ἡμῶν τῶν εὐτελῶν τε καὶ ἀσθενῶν συστῆναι μονὴν ἱερὰν εὐδόκησας εἰς δόξαν τοῦ πανεντίμου καὶ μεγαλοπρεποῦς ὀνόματός σου εἰς κατοικητήριον τῆς χάριτος τῆς ὑπὲρ νοῦ καὶ λόγου τεκούσης σε δεσποίνης ἡμῶν καὶ θεομήτορος, εἰς ἐγγυμναστήριον ἀνδρῶν ἀσκούντων καὶ σῶν λατρευτῶν, ταύτης δὲ θεραπόντων, ἀρετῆς τε ἐραστῶν καὶ τῆς ἑαυτῶν σωτηρίας ἐπιμέλειαν ποιουμένων, θέλημα τοῦτο τῆς ἀχράντου σου μητρός, καὶ τῆς σῆς ὡς ἀληθῶς δυνάμεως ἀποτέλεσμα· ποῦ γὰρ ἡμεῖς καὶ πῶς καὶ πόθεν ἰσχύσαμεν τοιοῦτον ἔργον θεοφιλὲς κατορθῶσαι καὶ διαπράξασθαι, εἰ μὴ ἡ σὴ παναλκεστάτη χεὶρ ἡμῶν ἀντελάβετο; ὡς ἄνευ γὰρ ταύτης οὔτε ὁ οἰκοδομῶν οἰκοδομήσει, οὔτε ὁ φυλάττων φυλάξει.

α΄. Περὶ τῆς ἱερᾶς ὁμολογίας καὶ τῆς ἐν ταῖς κέλλαις ἀκολουθίας.

Διαταττόμεθα τελεῖσθαι πᾶσαν ἑκάστοτε δοξολογίαν ἀπαραλείπτως καὶ σπουδαίως καὶ μετὰ τῆς ἁρμοζούσης προσοχῆς τε καὶ νήψεως κατὰ [τὸ] στουδιωτικὸν συναξάριον τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, ἀλλ᾽ αὕτη μὲν κοινῇ τελεσθήσεται παρὰ τῆς ἀδελφότητος ἁπάσης, ᾗ καὶ ὁ βίος κοινός ἐστιν· ἡ δὲ ἐν τοῖς ἰδίοις κελλίοις καθ᾽ ἑκάστην γενήσεται, καθὼς ἂν εἷς ἕκαστος [βούλοιτο] καὶ δύναιτο, ἄνευ μέντοι σαββάτου καὶ κυριακῆς καὶ τῶν δεσποτικῶν τε καὶ δεσποινικῶν ἑορτῶν· ἐν ταύταις γὰρ καὶ μόναις τῶν ἀσκητικῶν ἱδρώτων ἀνάπαυλαν ἕξουσιν, ἀγρυπνίαν δὲ ἐντελλόμεθα καθ᾽ ἑκάστην κυριακὴν γίνεσθαι ἀφ᾽ ἑσπέρας καὶ ἐν ταῖς ἐπισήμοις ἑορταῖς καὶ αὐταῖς πάσαις ταῖς ἑορταῖς τῆς πανάγνου καὶ θεομήτορος.

β΄. Περὶ τῆς θείας ἱερουργίας καὶ φωταγωγίας, περὶ λυχνοκαΐας τοῦ θείου ναοῦ καὶ τῶν ἑορτῶν.

Ἡ μέντοι θεία καὶ ἀνήμαρτος θυσία ἐκτελείσθω καθ᾽ ἑκάστην ἑβδομάδα, σαββάτῳ μὲν καὶ κυριακῇ ἀπαραλείπτως, ἐν δὲ ταῖς λοιπαῖς ἡμέραις, εἰ μὲν

ἑορτή τις ἐπισταίη δεσποτικὴ ἢ δεσποινική, ἢ τινος τῶν ἐπισημοτέρων ἁγίων, γινέσθω κατὰ ταύτην λειτουργία, εἰ δὲ μή γε, ἅπαξ ἐν ταῖς πέντε ταύταις ἡμέραις, πλὴν προσεκτέον ἑαυτοὺς ἐν ἑκάστῃ ἱερουργίᾳ· ἐν ταύτῃ γὰρ τὸ φρικτὸν τῆς ἡμετέρας σωτηρίας ἐπιτελεῖται μυστήριον καὶ καθαρευτέον πανταχόθεν καὶ ἀπ' αὐτῶν δήπου τῶν πονηρῶν λογισμῶν, πονηροὺς δὲ λογισμοὺς φημὶ τοὺς ἀπὸ παντὸς οἱουδήτινος πάθους συνισταμένους καὶ μεταληπτέον εὐλαβῶς καὶ μετὰ φόβου τῶν θείων ἁγιασμάτων, ὅσοις ἐπιτέτραπται τοῦτο παρὰ τοῦ δεχομένου τοὺς λογισμοὺς ἑκάστου καὶ διακαρτερητέον ἄχρι καὶ συμπληρώσεως· οὐδενὶ γὰρ ἐξέσται αὐθαιρέτως μεταλαμβάνειν ἄνευ ἐπιτροπῆς τοῦ τὴν ἐπιμέλειαν τῆς ψυχῆς αὐτοῦ ποιουμένου ἤτοι τοῦ καθηγουμένου· ἐκείνῳ γὰρ καὶ μόνῳ τοὺς λογισμοὺς ἀποκαλύπτειν βουλόμεθα. τοὺς μέντοι μεταλαμβάνειν μέλλοντας χρὴ τὴν ὀφειλομένην ἐπὶ τῇ μεταλήψει ἀκολουθίαν ψάλλειν κατὰ τὸν τύπον. ὁ δὲ καλούμενος διακλασμὸς γινέσθω καθ' ἑκάστην ἱερουργίαν, ὡς τῷ ἡγουμένῳ δοκεῖ, ἡ δὲ λυχνοκαΐα γινέσθω φιλοτιμοτέρα.

γ'. Περὶ τῆς ἐν τῇ τραπέζῃ διαίτης καὶ περὶ τοῦ ἀριθμοῦ τῶν μοναζόντων.

Μετὰ τὴν συμπλήρωσιν τῆς θείας ἱερουργίας ἢ ταύτης μὴ τελουμένης μετὰ τὸ τέλος τῆς ἀκολουθίας τῶν εἰθισμένων ὡρῶν συναγομένων τῶν ἀδελφῶν κατὰ τὸν νάρθηκα τῆς ἐκκλησίας κρουέσθω τὸ ξύλον τῆς βρώσεως καὶ βαδιζέτωσαν ἐπὶ τὴν τράπεζαν τὸν συνήθη ψαλμὸν ᾄδοντες εἰς ἐπήκοον, τοῦ καθηγουμένου μὲν προηγουμένου, ἑπομένων δὲ τῶν ἄλλων, ὅσοι δὲ κατὰ τὴν πρώτην τράπεζαν μέλλουσι ἐσθίειν, οὕτω τε εἰσιόντες καὶ τὸν ψαλμὸν ἐκπεράναντες, τοῦ ἡγουμένου εὐλογοῦντος τὴν τράπεζαν, καθεζέσθωσαν εὐτάκτως καὶ ἡσυχῇ ἀναμὶξ γηραιὸς μετὰ νέου, ἵνα πᾶς λόγος ἀργός, ἦθός τε καὶ σχῆμα [καὶ] νεῦμα παρὰ τὸ προσῆκον γινόμενα ἀναστέλλοιντο, ἄλλος ἄλλῳ καὶ ἕκαστος ἑκάστῳ τῆς καθέδρας παραχωρῶν ἢ καὶ καθὼς ὁ προεστὼς διατάξεται, τὴν πρώτην καθέδραν οὗτος ἐπέχων· μηδὲ γὰρ γένοιτό τινα περὶ προεδρίας φιλονεικεῖν καὶ μοναδικῶς ζῆν ἐπαγγειλάμενον κοσμικῶς ἐρίζειν, τὸν δὲ χωρὶς αἰτίας εὐλόγου ἀπολιμπανόμενον τῆς κοινῆς εἰσόδου τεθέντος . . . ἐμβληθέντων τε τῶν περιττευμάτων . . . καὶ τῆς συνήθους εὐχαριστίας τελεσθείσης ἀνιστάσθωσαν ὁμοῦ πάντες ψάλλοντες τὴν κατὰ τύπον ἀκολουθίαν καὶ λεγομένου συνήθως τοῦ στίχου παρὰ τοῦ προεστῶτος ἀπιέτωσαν ἕκαστος ἐπὶ τὴν ἰδίαν κέλλαν. εἶτα καὶ πρὸς τὸ ἐργόχειρον τραπέσθωσαν, οὐχ ἕξει δέ τις ἄδειαν ἐν τῇ ἰδίᾳ κέλλῃ καθ' ἑαυτὸν ἑστιᾶσθαι, εἰ μή που τις ἐν ἀσθενείᾳ καὶ τῇ κλίνῃ κατάκειται ἢ καὶ κατ' οἰκονομίαν ἐπιτραπείη τοῦτο παρὰ τοῦ προεστῶτος. ἀλλ' οὐδέ τι ἔχειν ἰδιόκτητον ἐν τῷ κελλίῳ αὐτοῦ. ἐπὶ δὲ τῇ ποσότητι τῶν βρωμάτων τὸ περὶ τῆς κατὰ τὴν τράπεζαν διαίτης τὸ στουδιωτικὸν τυπικὸν κρατήσει, ἔτι γε

μὴν καὶ ἡ τοῦ προεστῶτος διάκρισις. τὰ αὐτὰ δὲ κρατήσει καὶ κατὰ τὸ δεῖπνον, ὅτε τούτου καιρός. διατάττόμεθα δὲ καὶ ἡμεῖς οἱ ἀνάξιοι ὡς κτήτορες, τρεῖς μίνσους ἐσθίειν ἑκάστῃ ἡμέρᾳ ἔν τε ταῖς ἀπολύτοις ἡμέραις καὶ ἐν ταῖς ξηροφαγισίμοις, ἐν δὲ ταῖς ἑορτασίμοις ἡμέραις καὶ ταῖς μνημοσύνοις καὶ ἄχρι τῶν πέντε ἐσθίειν, λούεσθαι δὲ κατὰ σάββατον, ἄνευ τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς· καὶ τότε γὰρ κατὰ τὸ σάββατον τὸ λεγόμενον τοῦ ἁγίου Λαζάρου λουέσθωσαν ἅπαντες μετὰ καὶ τοῦ ἡγουμένου καὶ ἐσθιέτωσαν καὶ ἰχθύας, ὁμοίως δὲ καὶ κατὰ τὴν ἁγίαν ἑορτὴν τοῦ εὐαγγελισμοῦ ἐσθιέτωσαν ἰχθύας εἰς δόξαν τῆς παναχράντου θεομήτορος.

δ'. Περὶ τῆς ἐνδυμενίας τῶν ἀδελφῶν.

Προσήκει δὲ καὶ ἱμάτια ὠνεῖσθαι κατὰ τὴν τῆς μονῆς εὐπορίαν τρίχινα καὶ τῷ δοχείῳ ἐναποτίθεσθαι, ὡς ἂν οἱ ἀδελφοὶ λαμβάνοιεν, ὅτε χρῄζοιεν, περιποιεῖσθαί τε καὶ τὰ παλαιὰ καὶ παρέχεσθαι πρὸς χρῆσιν. τὸ δ' αὐτὸ γίνεσθαι καὶ ἐπὶ τῶν μανδύων καὶ περιστηθίων καὶ ὑποδύσεων καὶ πάντων ἁπλῶς τῶν περιβολαίων, ὅτε μέντοι ἔχῃ τις χρείαν λαβεῖν καινόν, προσφερέτω τὸ παλαιὸν εἰς τὸ δοχεῖον εἰδήσει τοῦ προεστῶτος, καὶ οὕτως ἀντιλαμβανέτω καινόν, μέτρον δὲ πᾶσι τοῖς περιβλήμασι ἡ χρεία ἔστω, πληρουμένου κἀνταῦθα τοῦ κατὰ τοὺς ἀποστόλους ῥητοῦ τοῦ φάσκοντος· διεδίδοτο ἑκάστῳ, καθὸ ἄν τις χρείαν εἶχε.

ε'. Περὶ τῆς νηστείας τῶν ἁγίων τεσσαρακοστῶν.

Περὶ μὲν τῆς νηστείας τῆς μεγάλης τεσσαρακοστῆς, ἔτι δὲ καὶ τῆς λεγομένης τοῦ ἁγίου Φιλίππου τὸ στουδιωτικὸν τυπικὸν διέξεισι καὶ παραφυλαττέσθω τὰ ἐπὶ ταύταις κατὰ τὴν ἐκείνου περίληψιν, κατὰ δὲ τὴν πρὸ τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων, ἐπειδὴ μεγάλαι εἰσὶν αἱ τότε ἡμέραι, δὶς ἐσθιέτωσαν, εἴ γε καὶ βούλοιντο· ταῦτα γὰρ μόνον ἔχει παρηλλαγμένα παρὰ τὰς ἄλλας ἀπολύτους ἡμέρας ἡ τοιαύτη νηστεία, τὸ στιχολογεῖν ἐν τῇ τρίτῃ καὶ ἕκτῃ ὥρᾳ, εἶθ' οὕτως ἀριστᾶν καὶ τὸ ἀπέχεσθαι τυροῦ καὶ ᾠοῦ.

ϛ'. Περὶ τῆς λεγομένης ἀποταγῆς.

Κωλύω δὲ καὶ τὴν λεγομένην ἀποταγήν, εἴπερ ἐστί δι' ἀκινήτων τέλος ἐχόντων· εἰ δέ τις μὴ τοιοῦτον προσενέγκῃ τῇ θεομήτορι, τοῦτο παραδεκτέον ὡς ἀνάθημα καὶ δῶρον καὶ ἁμαρτημάτων ἐξίλασμα· τὴν γὰρ ὑποταγὴν τοῦ προσιόντος ἀντὶ πάσης ἄλλης προσενέξεως κρίνω καὶ μᾶλλον, εἴπερ τις αὐτῇ καὶ ἄλλη πρόσεστιν ἐνέργεια λυσιτελοῦσα ταῖς τοῦ μοναστηρίου διακονίαις.

ζ'. Περὶ τῆς προβολῆς τῶν διακονητῶν.

Ἔστωσαν δὲ καὶ διακονηταὶ προβαλλόμενοι παρὰ τοῦ προεστῶτος τῇ συγκρίσει καὶ ἐπιλογῇ τῶν λοιπῶν, ἄνδρες εὐλαβεῖς τε καὶ ἐνεργεῖς καὶ ἀκατάγνωστον

βίον ἔχοντες καὶ τὸ ἀνεπίληπτον ἐν πᾶσι φυλάττοντες, ὁ δοχειάριος, ἐκκλησιάρχης καὶ κελλάρης, νουθετείσθωσαν δὲ κατὰ τοὺς προσήκοντας καιροὺς καὶ κοινῇ καὶ ἰδίᾳ παρὰ τοῦ προεστῶτος οἱ διακονοῦντες τοῦ προσέχειν ἑαυτοὺς καὶ τὸν τοῦ θεοῦ φόβον ἔχειν καὶ σπουδαίως καὶ μετὰ πάσης ἀγάπης καὶ καθαρότητος διακονεῖν, ὡς τὴν πανάχραντον δέσποιναν ἡμῶν καὶ θεοτόκον ἔφορον ἔχοντας καὶ παρ' αὐτῆς ἀπεκδεχομένους μισθὸν μετὰ τῶν κατορθουμένων, κατάκρισιν δὲ τῶν παρὰ τὸ εἰκὸς ἀποτελουμένων· ὀφείλουσι δὲ καὶ κατὰ τὰς συνάξεις τῶν εὐχῶν ἀπαντᾶν, ὅτε δύναιντο, καὶ τοῖς καθ' ἑαυτῶν ἐπιμελεῖσθαι ψαλμῳδίας καὶ μὴ προφάσει τῆς διακονίας ῥᾳθυμεῖν καὶ τοῦ ἀναγκαιοτέρου κατολιγωρεῖν μέρους.

η'. Περὶ προνοίας τῶν ἀκινήτων κτήσεων.

Ἐπειδὴ καὶ ἀκινήτους κτήσεις ἐπεκτήσατο [ἡ μονή], δεῖ καὶ τούτων φροντίζειν τὸν προεστῶτα καὶ ἐφιστᾶν αὐταῖς μοναχὸν γηραιὸν καὶ σεμνὸν καὶ ἀνεπίληπτον βίον ἔχοντα, ὡς ἂν δι' αὐτοῦ τῆς δεούσης ἐπιμελείας γινομένης ἐκεῖθεν τὰ χρειώδη καὶ πρὸς τροφὴν ἐπιτήδεια κατὰ καιρὸν πορίζοιντο.

θ'. Περὶ τῶν στασιαζόντων.

Καὶ εἴ τινες δὲ τῶν ὀλιγωροτέρων ἀδελφῶν ἐξ ἐπηρείας δαιμονικῆς ὁπωσδήποτε στασιάζοιεν, εἴ γε μετὰ παραίνεσιν δευτέραν καὶ τρίτην ἐπιμένοιεν ἐρίζοντες καὶ φιλονεικοῦντες, καὶ τὴν μοναχικὴν κατάστασιν καὶ γαλήνην συνταράττονται, ἐγκλειέσθωσαν ἔν τινι κελλίῳ τὰ πρῶτα ἡσυχίας ἕνεκα καὶ ταπεινώσεως, καὶ εἰ μὲν διόρθωσιν λάβοιεν καὶ τοῦτο τοῦ προεστῶτος καὶ τῶν λοιπῶν μοναζόντων τὸ κατόρθωμα, εἰ δὲ μή, ἐκβαλλέσθωσαν ὡς ἀνίατοι, μήποτε καὶ τοῖς ὑγιαίνουσι μεταδοῖεν τῆς αὐτῶν λύμης καὶ μειζόνων αἴτιοι γένωνται σκανδάλων. τῷ δ' αὐτῷ ἐπιτιμίῳ ὑποπεσεῖται καὶ εἴ τις ἀπειθοίη τῷ προεστῶτι πολλάκις ἀναισχυντῶν καὶ μὴ διορθούμενος. ἀποτρέπομαι δὴ καὶ τὸ παραβάλλειν τοὺς συναδελφοὺς εἰς τὰς ἀλλήλων κέλλας ἀλόγως, ὡς πρόξενον ἀργολογίας καὶ ὑποψίας, ὀφειλόντων ἐπιτιμίοις ὑποβάλλεσθαι τῶν μὴ ἀνεχομένων ἀποκόπτειν τὰς περιττὰς ταύτας συντυχίας καὶ ματαιολογίας.

ι'. Περὶ τῆς προχειρίσεως τοῦ καθηγουμένου.

Μετὰ δὲ τὴν τελευτὴν τοῦ ἡγουμενεύοντος δέον προκρίνειν τὸν ἀξιολογώτερον καὶ πρὸς τὸ κατάρχειν ποίμνης λογικῆς ἐπιτηδειότερον καὶ εἰς ὃν ἅπαντες ἢ οἱ πλείονες ἀναπαύονται καὶ ἀρέσκονται, ἄνευ τοῦ ἀπὸ ξένης μονῆς προσελθόντος τῇ ἁγίᾳ μονῇ καὶ διά τινα περίστασιν ἢ οἰκονομίαν δεχθέντος, τὸν καὶ ὀνομαζόμενον ξενοκουρίτην· τοῦτον γὰρ εἰς τὴν τῆς ἡγουμενείας ἀρχὴν προαναβιβασθῆναι οὐ βούλομαι, οὐδὲ ἐν τῷ ναῷ τῆς πανενδόξου ἡμῶν θεομήτορος ἱερουργεῖν, οὐδὲ ἀπὸ τοῦ Ἀναυπλείου ἐξερχόμενον ξενοκουρίτην ἢ ἀποβίου εἰς ἡγουμε-

νείας ἀρχὴν προαναβιβασθῆναι οὐ βούλομαι, ὡς περὶ τοὺς συγγενεῖς αὐτῶν διάπυρον ἔχοντας πόθον καὶ σάρκες αὐτόχρημα ὄντας. εἶτα προσάγειν αὐτὸν[1]) τῇ πανενδόξῳ εἰκόνι τῆς παναχράντου δεσποίνης ἡμῶν καὶ θεομήτορος πρὸς τὸ ἀνελέσθαι τὸ παρὸν τυπικὸν καὶ τὴν ποιμαντικὴν ῥάβδον, ὡς ἀπ' αὐτῆς ἔμπροσθεν ταύτης τηνικαῦτα κείμενα, τρισαγίου δὲ δοξολογίας καὶ ἱκετηρίας γενομένης καὶ ἐκείνου ταῦτα καθ' ὃν εἴρηται τρόπον ἀναλαβόντος ἐνθρονίζεσθαι τοῦτον παρά τε τοῦ ἐκκλησιάρχου καὶ τῶν προκρίτων[2]) ἀδελφῶν καὶ κατασπάζεσθαι καὶ τοῦ λοιποῦ τῆς προστασίας ἀντέχεσθαι καὶ τοῦτον εἶναι τὸν τρόπον καὶ τὸν λόγον τῆς προχειρίσεως τοῦ καθηγουμένου, καὶ προβαίνειν οὕτω κατὰ διαδοχὰς καὶ εἰς τοὺς ἑξῆς [χρόνους], μηδεμιᾶς ἑτέρας ἐπισφραγίσεως τῆς τοιαύτης προβολῆς δεομένης. οὕτω τοίνυν τοῦ καθηγουμένου προχειριζομένου καὶ εἰς τὴν ἀρχικὴν ἐξουσίαν καθισταμένου πᾶσαν αὐτῷ τιμὴν οἱ ἀδελφοὶ πάντες εἰς τὸ ἑξῆς ἀπονεμέτωσαν, πᾶσαν θεραπείαν, πᾶσαν εὐπείθειαν, τῷ νεύματι τούτου σχεδὸν ἀγόμενοι καὶ περιαγόμενοι καὶ τὰ ἐπιτεταγμένα προθύμως καὶ ἀναντιρρήτως ἐπιτελοῦντες, ὡς καὶ αὐτοῦ ὀφείλοντες μηδὲν ἄνευ τούτων τῆς βουλῆς καὶ εἰδήσεως πράττειν, ἀλλὰ μετ' εἰδήσεως καὶ συμβουλῆς καὶ συνέσεως τῶν προκριθέντων ἀδελφῶν· τὸ μὲν γὰρ ἰδιόρρυθμον καὶ ἀσύμβουλον ἐπισφαλές· μετὰ βουλῆς γάρ, φησί, πάντα πράττετε, τὸ δὲ ἐξουσιάζειν τοῖς πράγμασι καὶ καταυθεντεῖν μοναδικῆς ἀλλότριον πολιτείας, ὡς τυραννικόν τε καὶ ἀναγκαστικόν. διοριζόμεθα γοῦν, ὡς εἴρηται, συμβούλοις χρῆσθαι τὸν προεστῶτα τοῖς προκρίτοις τῶν ἀδελφῶν· ἡ συμβουλὴ δὲ [οὐ] μόνον[3]) ἐπὶ τοῖς ἐνδεχομένοις πρακτέοις γινέσθω, ἀλλὰ καὶ ἐπὶ τοῖς δαπανήμασί τε καὶ ἀναλώμασι, χρὴ γὰρ ἀεὶ τὸν προεστῶτα μνημονεύειν τοῦ ἀποστόλου φήσαντος· πάντα μοὶ ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, ᾧ καὶ τὸ πανταχόθεν ἀμώμητον περιποιούμενοι διαταττόμεθα, τοὺς διακονητὰς πάντα ταμιεύειν εἰσοδιάζοντας καὶ ἐξοδιάζοντας καὶ λόγους αὐτῷ ὑπέχοντας τῆς τῶν ἐμπεπιστευμένων διοικήσεως. καὶ σὺ δέ, ὦ καθηγούμενε (πρὸς σὲ γὰρ ὁ λόγος), ἀνάγκην ἕξεις ἀγαπᾶν καὶ στέργειν τοὺς ὑπὸ σὲ πάντας ἀδελφοὺς καὶ τῆς προσηκούσης ἕκαστον ἀξιοῦν προνοίας ψυχικῆς ὁμοῦ καὶ σωματικῆς, καθὼς ὁ καιρὸς δίδωσι καὶ τὰ πράγματα, ὡς πατὴρ φιλόπαις καὶ τῶν οἰκείων τέκνων ἀπαραιτήτως ἐπιμελούμενος καὶ γινόμενος τὰ πάντα τοῖς πᾶσι, ἵνα τοὺς ὅλους κερδαίνῃς κατὰ τὸν μέγαν ἀπόστολον· οὕτω γὰρ ἂν ἄρρηκτος ὁ σύνδεσμος τῆς ἀγάπης ἔσται καὶ ὁ τῆς ὑποταγῆς νόμος φυλαττόμενος ἐν αὐτοῖς καὶ ἀποκληρούμενος.

---

[1]) αὐτῷ cod. [2]) προκρείττων cod. [3]) Cod. τὸν μόνον.

ια΄. Διὰ τῶν ἱερῶν σκευῶν.

Δισκοποτήριον ἀργυροῦν καὶ λαβίδες ὅμοιαι δύο ἱστάντα[1]) ἀμφότερα λίτρας τέσσαρας, οὐγγίας τρεῖς, ταυρίτζην ἀργυροῦν μικρόν.

Ἕτερα δισκοποτήρια χαλκᾶ ζυγαὶ δύο.

Μανδήλια μεταξωτὰ μετὰ γραμμάτων δύο.

ιβ΄. Περὶ τοῦ ἐλευθέραν μένειν τὴν μονὴν καὶ τῶν κατὰ καιροὺς μνημοσύνων.

Ἐπειδὴ τὴν περὶ τῶν ἄλλων κεφαλαίων διαταγὴν καὶ ὑποτύπωσιν ᾠκονομήσαμεν σὺν θεῷ καὶ ἀπεσκευασάμεθα, φέρε καὶ περὶ τῆς ἐλευθερίας τοῦ φροντιστηρίου βραχέα διαλεξόμεθα. ταύτην τὴν προδιαληφθεῖσαν μονὴν αὐτοκρατῆ καὶ ἄνετον καὶ ἀκαταδούλωτον καὶ βασιλεῦσι καὶ πατριάρχαις καὶ μοναστηρίοις καὶ μητροπολίταις τε καὶ ἀρχιεπισκόποις καὶ ἐπισκόποις, ἀρχιμανδρίταις καὶ ἡγουμένοις καὶ πᾶσιν ἁπλῶς ἀνθρώποις διατηρεῖσθαι μέχρι τῆς παγκοσμίου συντελείας βούλομαί τε καὶ εὔχομαι, ἀρκούντων μὲν αὐτῇ πρὸς τοῦτο καὶ τῶν προσόντων αὐτῇ ἡμετέρων ὑπομνημάτων, παραβοηθούσης δὲ καὶ ταύτης τῆς ἐμῆς ἐντολῆς, ἣν ὡς κτήτορες, εἰ καὶ εὐτελεῖς, ὁρίζομεν καὶ διαταττόμεθα, τὸν ἐπιχειροῦντα δὲ καθ' οἷον δή τινα τρόπον καθεστῆσαι ταῦτα καὶ μερικῶς ἢ καθόλου περιτροπὴν αὐτοῖς ἐπιμηχανήσασθαι ταῖς παλαιμναιοτάταις ὑπάγομεν ἀραῖς καὶ ἀναθέματι ὑποβάλλομεν καὶ κατευχόμεθα τούτου πᾶσαν θεήλατον συμφορὰν καὶ θυμὸν καὶ ὀργὴν καὶ θλίψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν, ὡς ὁ μέγας λέγει Δαβίδ. καί γε, φιλάνθρωπε δέσποτα, κύριε Ἰησοῦ Χριστέ, ὦ[2]) καὶ τὰ μεγάλα ποίμνια καταρτίζων καὶ τὰ μικρὰ καταρτίζων καὶ μεγαλύνων διὰ τῆς χάριτος, εἴ τις τῶν ἁπάντων πειραθείη ὁπωσδήποτε τοῖς παρ' ἡμῶν τετυπωμένοις καὶ διωρισμένοις ἐναντιωθῆναι κατά τι ἢ τὴν μονὴν ἀδούλωτον καὶ ἀδέσποτον καὶ πάντη αὐτεξούσιον τυπωθεῖσαν καὶ καταλειφθεῖσαν ἑτέρῳ καταδουλώσασθαι ἢ ἑαυτῷ εἰς ἐξουσίαν ὑπαγαγεῖν ἢ ὁπωσδήποτε τὴν ταύτης ἐλευθερίαν καινοτομῆσαι ἢ ἀκρωτηριᾶσαι κατά τινα τρόπον ἢ ἀφορμήν, κἂν βασιλεὺς ᾖ, κἂν αὐγούστα, κἂν πατριάρχης, κἂν ἀρχιερεύς, κἂν ἐπίσκοπος, κἂν μητροπολίτης, κἂν ἀρχιμανδρίτης[3]) ἢ μοναστηρίου προεστὼς κἂν ἄλλος τις τῶν ἐκκλησιαστικῶν ἢ ἀρχοντικῶν προσώπων, κἂν οἷος δήποτε ἄνθρωπος ἐξ ἐπηρείας πάντως παρακινούμενος σατανικῆς ὁ τοιοῦτος, οἷος ἂν καὶ εἴη, οὐ μόνον ὡς ἔνοχος τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου καὶ ζωοποιοῦ αἵματος λογισθήσεται καὶ τῆς σῆς μερίδος ἀλλοτριωθήσεται, ἀλλὰ καὶ τῆς ἀρᾶς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων καὶ θεοφόρων φανεῖται κληρονόμος, καὶ σύγκληρος τῷ προδότῃ ἔσται καὶ

---

[1]) Cod. ἱστόντα. [2]) Cod. ὁ. [3]) Cod. ἀρχιμανδρικῆς.

τοῖς ἆρον, ἆρον, σταύρωσον αὐτὸν κραυγάσασι συγκοινωνὸς καὶ συναρίθμιος. τὰ αὐτὰ δὲ καταρώμεθα καὶ εἴ τις τῶν μοναζόντων τῆς καθ' ἡμᾶς μονῆς τοιούτοις ἐπιχειρήσοι, εἴτε ἡγούμενός ἐστιν, εἴτε τις ἄλλος. γινέσθω δὲ καὶ τὰ μνημόσυνα ἡμῶν τῶν εὐτελῶν κατ' ἐνιαυτόν, ἐν ᾗ ἂν ἡμέρᾳ τὸν βίον ἀπομετρήσωμεν καὶ τῇ ἐπαύριον τῶν μακαριτῶν γεννητόρων μου, τοῦ τε Νικοδήμου μοναχοῦ καὶ Αἰκατερίνης μοναχῆς, καὶ τῶν καθ' αἷμα αὐταδέλφων μου, τοῦ τε μοναχοῦ Ἰωσήφ, τοῦ μοναχοῦ Νίκωνος, τοῦ μοναχοῦ Συμεών, τοῦ μοναχοῦ Πέτρου καὶ τῆς Ἑλένης καὶ Ἰωάννου ἐπισκόπου καὶ τῶν ἀναθρεψαμένων με καὶ θείων μου, κυροῦ Κωνσταντίνου τοῦ Ἀντζᾶ καὶ τοῦ μοναχοῦ κυροῦ Ἰακώβου καὶ μετ' αὐτὴν τῶν κεκοιμημένων ἡγουμένων, καθὼς εὐπορίας ἔχει τὸ μοναστήριον καὶ αὖθις τὴν μετ' ἐκείνην τῶν ἀδελφῶν πάντων τῶν προαπελθόντων, καλεῖν δὲ ἐπὶ τοῖς μνημοσύνοις ἡμῶν τοὺς μοναχοὺς πάντας τοὺς ἐν τῷ Ναυπλείῳ ὄντας.

ιγ'. Ἐπίλογος καὶ παραίνεσις καὶ εὐχὴ συντακτήριος.

Καιρὸς δὲ λοιπόν, ὦ φίλτατα τέκνα καὶ ποθεινότατα, καὶ πρὸς τὴν ἀγάπην τῆς εὐλαβείας ὑμῶν ποιήσασθαι ἡμᾶς τὴν τελευταίαν παραίνεσιν καὶ τοὺς ἐξιτηρίους αὐτῇ ἀποδοῦναι λόγους. μετὰ δακρύων δὲ καὶ παρακλήσεως θερμοτέρας φθέγξομαι πρὸς ὑμᾶς, ὅσα δὴ καὶ φθέγξομαι· κλίνατε δέ μοι καὶ αὐτοὶ τὰ ὦτα τῆς διανοίας καὶ προσοχὴν πᾶσαν χαρίσασθε τοῖς ῥηθησομένοις καὶ τῷ ταμιείῳ τῆς ἰδίας ψυχῆς ἕκαστος ὑμῶν ταῦτα περιφερέτω διὰ παντὸς ἀνεξάλειπτα τοῖς πλαξὶ[1]) τῆς καρδίας ἀπογραψάμενος. σπουδάζετε πρὸ πάντων φυλάττειν ἀπαρεγχείρητον ἐν πᾶσι τὸ παρὸν τυπικόν, φροντίζετε τῆς σωτηρίας τῶν ὑμετέρων ψυχῶν, ἐπιμελεῖσθε τῶν ἐκκλησιαστικῶν συνάξεων καὶ τῆς ἐν ταῖς κέλλαις ἀκολουθίας, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε κατὰ τὴν τοῦ μεγάλου Παύλου παραίνεσιν, εἰρηνεύετε πρὸς ἀλλήλους, φυλάττετε μετὰ πάντων ἀγάπην καὶ τὸν ἁγιασμόν, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον, ταπεινοφρονεῖτε, παραχωρεῖτε τῶν πρωτείων ἀλλήλοις, ὁμογνωμονεῖτε περὶ τὰς τῆς μονῆς διακονίας καὶ συμπνεῖτε πρὸς σύστασιν αὐτῆς καὶ ὠφέλειαν καί, ἵνα τελευταῖον εἴπω τὸ πρῶτον, φοβεῖσθε τὸ μὴ φοβεῖσθαι θεόν· ἀρχὴ γάρ, φησί, σοφίας φόβος κυρίου. καὶ αὖθις ἐρῶ τελευταῖον τὸ τελευταῖον· φοβεῖσθε τὸ φοβηθῆναί τι πρὸ θεοῦ· τέλος γάρ, φησί, λόγου τὸ πᾶν ἄκουε· τὸν θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ τήρει, ὅτι τοῦτο πᾶς ἄνθρωπος· φοβερὸν γὰρ ὄντως, φοβερόν, ἀδελφοί, τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος, φοβερὸν δὲ τὸ πρόσωπον κυρίου ἐπὶ ποιοῦντας κακὰ καὶ πανωλεθρίᾳ τὴν πονηρίαν ἐξαφανίζον. ἐβουλόμην καὶ πλείονα πρὸς ὑμᾶς ἐρεῖν, ἀλλ' ἔχετε τὰς τῶν ἁγίων πατέρων βίβλους ἑκάστοτε, πάντα κατὰ λεπτὸν

[1]) Cod. πλαγξί.

ὑφηγουμένας καὶ ἐνηχούσας ὑμῖν. ἀλλ᾽, ὦ δέσποινα καὶ κυρία πάντων, ὦ δούλη καὶ μῆτερ Χριστοῦ τοῦ βασιλέως καὶ ἀληθινοῦ θεοῦ ἡμῶν, ὦ γέφυρα πρὸς τὴν ἀπαθῆ καὶ μακαρίαν ζωὴν διαβιβάζουσα καὶ κλῖμαξ πρὸς οὐρανὸν ἀνάγουσα, ὦ ναὲ θεοχώρητε, ἐν ᾗ Χριστὸς οἰκήσας διὰ σπλάγχνα ἐλέους αὐτοῦ εἰργάσατο τὸ μέγα τῆς ἡμῶν σωτηρίας μυστήριον, λύσας τὸ τῆς ἔχθρας μεσότοιχον καὶ τὰ ἐπίγεια τοῖς οὐρανίοις ἑνώσας, ὦ κοινὸν τοῦ σύμπαντος κόσμου πρὸς θεὸν ἱλαστήριον, ᾗτινι τὸ φροντιστήριον ἀνεῖται τοῦτο καὶ καθιέρωται καὶ τῷ μεγαλοπρεπεῖ σου ὀνόματι τετίμηται καὶ δεδόξασται, δέχοιο τοὺς ἡμετέρους ἀγῶνας καὶ πόνους, οὓς πρὸς σύστασιν αὐτοῦ πολλοὺς καὶ μεγάλους, ὡς οἶμαι, καταβαλλόμεθα, καὶ ἀντιδοίης τοῖς ἀναξίοις ἡμῖν κατοικίαν ἐν ταῖς ἄνω μοναῖς, κατὰ σμικρὸν δὲ τοῦτο τὸ [1]) εὐπερίγραπτον ποίμνιον διατηρήσας ἀνεπιβούλευτον, καὶ ἡ θεία χάρις τῆς σῆς ἐπισκοπῆς συμποιμαίνοι τῷ κατὰ καιρὸν ποιμαίνοντι τοῦτο καὶ ἐκτρέφοι δαψιλῶς καὶ πλουσίως καὶ πῖον συναπεργάζοιτο Χριστοῦ τοῦ ἀρχιποίμενος ἄξιον καὶ παρασταῖεν μὲν αὐτῷ πάντες ὁμοῦ καὶ ποιμένες καὶ ποίμνιον καθαροὶ καὶ λαμπροὶ καὶ τῆς ἄνω μάνδρας οὐκ ἀποδέοντες. τεκνία, μέμνητέ μου τῆς πρὸς ὑμᾶς ἀγάπης καὶ πατρικῆς διαθέσεως, καὶ ὑπερεύχεσθε τῆς ἐμῆς ἀθλιότητος, ὡς ἂν τύχοιμι τῆς μερίδος τῶν σωζομένων, εὑρηκὼς παρρησίαν τινὰ καὶ μετρίαν χάριν, μεσιτείας τῆς θεομήτορος καὶ τῶν ἡμετέρων πόνων καὶ ἁγίων εὐχῶν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἐπειδὴ δὲ καὶ σανδάλια κέκτηται ἡ μονή, βουλόμεθα ἑκάστῃ κυριακῇ, καθ᾽ ἣν καὶ ἡ ἀγρυπνία ἐκτελεῖται, πέντε καὶ ἓξ μίνσους ἐσθίειν ὀψάρια τοὺς μοναχοὺς ἢ ὅσους καὶ βούλονται, καὶ ὁπότε τὰ μνημόσυνα γίνονται ἡμῶν τῶν εὐτελῶν καὶ τῶν λοιπῶν καὶ ἐν τῇ μνήμῃ τοῦ Προδρόμου, τῶν ἁγίων ἀποστόλων, τῶν ἁγίων προφητῶν Δανιήλ, Ἠλία καὶ Ἐλισαίου, τοῦ ἁγίου Ἀνδρέου, τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, τοῦ Χρυσοστόμου, τοῦ ἁγίου Βασιλείου, τοῦ ἁγίου . . .

Finis deest.

Extant in cod. graeco bibliothecae regiae Taurinensis CCCXXVI. B. VII. 29, saec. XVI.: I. p. 83 et II. p. 66. I. minus accurate edidit Pasinius in catalogo codicorum graecorum ejusdem bibliothecae p. 426.

---

[1]) Cod. καί.

VIII.

Diplomata et acta monasterii Sanctae Mariae dicti Megaspelaeon in Peloponneso.

I. 6858—1350, mense aprili, ind. III.

Imperator Ioannes Cantacuzenus confirmat jura et possessiones monasterii.

Ὁ χρησόβουλλος λόγος τοῦ ἀοιδίμου αὐτοκράτορος Ἰωάννου τοῦ Κανταχουζηνοῦ.

† Ἐπεὶ ὁ τιμιώτατος καθηγούμενος τῆς κατὰ τὴν Πελοπόννησον σεβασμίας μονῆς τῆς βασιλείας μου, τῆς εἰς ὄνομα τιμωμένης τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης Μεγασπηλαιωτίσσης, τῆς παρὰ τοῦ ἱερωτάτου ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθείσης ἀρχιμανδρίτης τε καὶ πρωτοσύγκελλος, ἱερομόναχος κύριος Μάρκος, ἀνέφερεν, ὡς ἡ κατ' αὐτὸν τοιαύτη σεβασμία μονὴ κέκτηται διὰ χρυσοβούλλων καὶ προσταγμάτων τοῦ τε αὐθέντου μου, τοῦ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ τοῦ θειοτάτου μου δεσπότου καὶ βασιλέως, τοῦ ἀδελφοῦ τῆς βασιλείας μου, τῶν ἀοιδίμων καὶ μακαριτῶν, ἀλλὰ καὶ δι' ἀπογραφικῶν ἀποκαταστάσεων καὶ ἑτέρων εὐλόγων δικαιωμάτων μετόχια καὶ λοιπὰ κτήματά τε καὶ ὑποστατικὰ ἐν διαφόροις τοποθεσίαις, ἃ δὴ καὶ κατὰ μέρος ἔχουσιν οὕτως· εἰς τὴν Λαπάταν μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς Ἀντωνίου τοῦ μεγάλου μετὰ τῶν ἐν αὐτῷ παροίκων, προσκαθημένων τε καὶ ἐξαλειμματικῶν ὑποστάσεων· ἕτερον μετόχιον περὶ τὴν Βοστίτζαν εἰς ὄνομα τῆς πανυπεράγνου τιμώμενον δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῆς Πεφανερωμένης· περὶ τὸν Δρόγκον ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον καὶ αὐτὸ τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῆς Συνοβηριωτίσσης μετὰ τῶν ἐν αὐτῷ παροίκων, προσκαθημένων καὶ λοιπῶν δικαίων αὐτοῦ· περὶ τὸ Μονοδένδριον γῆν μοδίων τριακοσίων· εἰς τὸ χωρίον τὸ Βραχνὶ πάροικοι ὅ τε Δημήτριος καὶ Κωσταντῖνος οἱ πρεσβύτεροι καὶ Γεώργιος ὁ Βάρδας· εἰς τὸ χωρίον τῆς Ζαχλουροῦς προσκαθήμενοί τινες· εἰς [τὸ] χωρίον τὴν Δουμενᾶν πάροικοι καὶ ἐξαλειμματικαὶ ὑποστάσεις, ἃς προκατεῖχε. περὶ τὸ καστέλλιον τὸν ἅγιον Ἰωάννην χειμάδιον τὸ καλούμενον ἡ

Λάμεια· καὶ ἕτερον εἰς τὴν Βλογοκίτζαν μετὰ τοῦ πλησιάζοντος ἐκεῖσε χωραφίου τοῦ καλουμένου τῆς Προυσσαίνης· ἡ ἡμίσεια μερὶς ἡ λατινικὴ τοῦ χωρίου τῆς Ἀβυσσαίνης (ὡς τῆς λοιπῆς ἡμισείας μερίδος κατεχομένης παρά τινων διαφόρων Ῥωμαίων καὶ ὑπὸ χεῖρα τῆς βασιλείας μου) καὶ αἱ ἐκεῖσε πλησιάζουσαι ἐξαλειμματικαὶ ὑποστάσεις τοῦ τε Καρβώνη καὶ τοῦ Νήφωνος, ἀλλὰ δὴ καὶ τὸ ἐν αὐτῇ μυλοτόπιον σὺν τῷ ἐκεῖσε εὑρισκομένῳ παλαιῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου τοῦ πρωτοκλήτου, ἃ δὴ καὶ κατέχει καὶ νέμεται τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς ἀνενοχλήτως καὶ ἀδιασείστως μέχρι τοῦ νῦν. παρεκάλεσε δὲ ἀρτίως ὁ ῥηθεὶς τιμιώτατος ἀρχιμανδρίτης καὶ πρωτοσύγκελλος, ἵνα πορίσηται ἐπὶ τούτοις καὶ χρυσόβουλλον τῆς βασιλείας μου· τὴν τούτου δέησιν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον [αὐτῆς] ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ κατ' αὐτὸν τοιαύτῃ σεβασμίᾳ μονῇ, δι' οὗ προστάσσει καὶ διορίζεται εἶναι μὲν καὶ εὑρίσκεσθαι τὸν αὐτὸν τιμιώτατον πρωτοσύγκελλον εἰς τὴν ἡγουμενείαν καὶ προστασίαν τῆς δηλωθείσης μονῆς ἐφ' ὅρῳ τῆς αὐτοῦ ζωῆς, κατέχειν δὲ καὶ τὴν τοιαύτην σεβασμίαν μονὴν καὶ νέμεσθαι καὶ εἰς τὸ ἑξῆς τὰ ἀνωτέρω κατὰ μέρος εἰρημένα μετόχια καὶ λοιπὰ ὑποστατικά, κτήματά τε καὶ βελτιώματα, ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ, ὡς εἴρηται, χρυσοβούλλων τε καὶ προσταγμάτων καὶ λοιπῶν εὐλόγων δικαιωμάτων, καὶ ὡς εὑρίσκεται κατέχουσα ταῦτα καὶ μέχρι τοῦ νῦν, ὀφείλοντα διατηρεῖσθαι ἀνώτερα πάσης καὶ παντοίας καταδυναστείας καὶ ἐπηρείας καὶ κατατριβῆς καὶ διενοχλήσεως ἀδίκου καὶ πλεονεκτικῆς. τῇ γοῦν ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου διατηρηθήσεται μὲν ὁ διαληφθεὶς τιμιώτατος ἱερομόναχος, ἀρχιμανδρίτης καὶ πρωτοσύγκελλος, κύριος Μάρκος εἰς τὴν ἡγουμενείαν καὶ προστασίαν τῆς τοιαύτης σεβασμίας μονῆς ἐφ' ὅρῳ τῆς αὐτοῦ ζωῆς, ὡς δεδήλωται, καθέξει δὲ καὶ νεμηθήσεται καὶ ἡ αὐτὴ σεβασμία μονὴ τὰ προσόντα ταύτῃ, καθὼς εἴρηται, κτήματά τε καὶ ὑποστατικὰ μετὰ τῆς περιοχῆς καὶ τῶν δικαίων αὐτῶν καὶ τῶν ἐν τούτοις βελτιωμάτων κατὰ τὰς περιλήψεις τῶν ἀναγεγραμμένων χρυσοβούλλων, προσταγμάτων τε καὶ λοιπῶν εὐλόγων δικαιωμάτων ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, καθὼς κατέχει καὶ νέμεται ταῦτα καὶ μέχρι τοῦ νῦν, μηδεμίαν παρὰ μηδενὸς τῶν ἁπάντων ὑφισταμένη ἐπὶ τῇ τούτων κατοχῇ καταδυναστείαν ἢ ἐπήρειάν τινα καὶ κατατριβήν, ἐπειδὴ καὶ τούτου ἕνεκεν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῷ ῥηθέντι τιμιωτάτῳ καθηγουμένῳ, ἀρχιμανδρίτῃ καὶ προτοσυγκέλλῳ καὶ τῇ κατ' αὐτὸν τοιαύτῃ σεβασμίᾳ μονῇ δι'

ἀσφάλειαν, ἀπολυθεὶς κατὰ μῆνα ἀπρίλλιον τῆς ἐνεστώσης [τρίτης] ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ ἕκτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Καντακουζηνός †.

II. 7148—1639, mense decembri, ind. VIII.

Patriarcha Parthenius confirmat monasterium Megaspelaeon esse stauropegicum patriarchicum.

† Παρθένιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκομενικὸς πατριάρχης †.

† Ὡς ἐν σκιᾷ καὶ ζόφῳ κατολισθαίνοντες πάντες περιπολοῦσιν ἐν τῷ κόσμῳ καὶ φέρειν ἀνέχονται πολλὰ τῶν δεινῶν, ἀγνοῦντες ὅλως ὧν τε προσῆκον ἀντέχεσθαι καὶ ἀπέχεσθαι τίνων· ἀφορᾷ δέ γε πάντων τὰ διαβήματα, εἴτε τὴν δεξιὰν τρίβον φανῶσι βαδίζειν, εἴτε τὴν ἄλλως ἔχουσαν, πρὸς τὴν τοῦ θεοῦ ἐξομοίωσιν καὶ τὸ πάντῃ ἐλεύθερον καὶ μερίμνης ἁπάσης ἀνεπίδεκτον· πολλὰ γὰρ πάσχειν στέργουσιν οἱ βασιλεῖς, οὐ δι' ἄλλο τι πολέμους κατὰ τῶν ἐναντίων καὶ μάχην διεγείροντες ἢ δεῖξαι ἑαυτοὺς ἀνωτέρους ἁπάσης ὑποταγῆς καὶ δουλείας. ταύτῃ καὶ οἱ τῆς ἐκκλησίας προστάται παθεῖν ὑφίστανται πολλὰς τὰς τοῦ πονηροῦ προσβολάς, ἵνα φανῶσιν ἀνώτεροι καὶ νικηταὶ πάντων τῶν αὐτοῦ ἐπηρειῶν, τῆς ψυχοφθόρου αὐτοῦ δουλείας, ἑαυτοὺς ἀπαλλάξαντες καὶ πάντας τοὺς ὑπὸ τὴν αὐτῶν διοίκησιν αὐτοῖς θεόθεν ἐμπιστευθέντας εἶναι, διὰ τὸ τὴν μὲν δουλείαν αἰτίαν εἶναι καὶ πρόξενον φθορᾶς, τὸ δὲ ἐλεύθερον ἀνέσεως καὶ χαρᾶς. διὸ καί τινα τῶν μοναστηρίων οἱ πάλαι ἀοίδιμοι βασιλεῖς, δι' αἰτίας τινὰς εὐλόγους τῶν ἄλλων προτιμῆσαι βουλόμενοι, τῷ τῆς ἐλευθερίας ἐξαιρέτῳ τρόπῳ καὶ λόγῳ διὰ χρυσοβούλλων ταῦτα ὠχύρωσαν, τῶν λοιπῶν πάντων εὐεργετημάτων τὴν ἐλευθερίαν ἔχειν τὰ πρῶτα κεκρικότες· παρ' ὧν καὶ ἡ ἐκκλησία ἡ καθ' ἡμᾶς ἡ μεγάλη τὰς ἀφορμὰς λαβοῦσα πράττει τὰ ὅμοια. εὑρίσκομεν τοίνυν καὶ κατὰ τὴν γῆν τῆς Πελοποννήσου ἐν τῇ περιοχῇ τῆς ἐπισκοπῆς Κερνίτζης μοναστήριον εἰς ὄνομα τιμώμενον τῆς Κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, ἔχον εἰκόνα τὴν παρὰ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθεῖσαν, Μέγα Σπήλαιον κεκλημένον, ὅπερ εἶχε τὸ πάντῃ ἐλεύθερον καὶ ἀδούλωτον παρὰ τῶν κατ' ἐκεῖνο καιροῦ ἀοιδίμων βασιλέων καὶ πατριαρχῶν, δι' ἃς οἱ τοῦ καιροῦ

ἐκείνου ἄνθρωποι οἴδασιν αἰτίας, βασιλικὸν καὶ πατριαρχικὸν καλούμενον σταυροπήγιον, ὡς τοῖς πᾶσι καταφανὲς καὶ τοῖς μετέπειτα τά τε βασιλικὰ αὐτοῦ χρυσόβουλλα καὶ πατριαρχικὰ σιγιλλιώδη γράμματα πολλάκις ἰδοῦσι καὶ μετελθοῦσιν. ὅπερ σωζόμενον καὶ φυλαττόμενον μέχρι τοῦ νῦν καὶ ἐν εὐπορίᾳ διαγόντων πάντων τῶν αὐτῷ ἐνασκουμένων περίπου πεντήκοντα πρὸς τοῖς ἑκατὸν μοναχῶν, ἐξ ἐπηρείας τοῦ δαίμονος πυρὸς ἀνάλωμα γέγονε, τῶν πατέρων πρὸς τὸν τρυγητὸν ἐνασχολουμένων· ἀφανισθέντων δὲ πάντων τῶν ἐν τῷ σκευοφυλακίῳ ἱερῶν σκευῶν, χρυσῶν καὶ ἀργυρῶν, καὶ ἀμφίων, μόλις ἠδυνήθησαν ἀπαλλάξαι τὴν τῆς θεομήτορος εἰκόνα, τὴν παρὰ τοῦ ἁγίου Λουκᾶ ἱστορηθεῖσαν οἱ παρευρεθέντες μοναχοί. δεηθέντων οὖν [αὐτῶν] διὰ τοῦ παρόντος ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν ἱερὰ τῶν ἀρχιερέων σύνοδος διορίζεται γράφουσα, ἵνα τὸ σεβάσμιον πατριαρχικὸν βασιλικὸν καὶ σταυροπηγιακὸν μοναστήριον εἰς ὄνομα τιμώμενον τῆς Κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, τὸ καὶ Μέγα Σπήλαιον καλούμενον, καθὰ ἀφ' οὗ ἤρξατο τοῦ εἶναι καὶ λέγεσθαι μοναστήριον, ἔλαβε τὴν ἐπωνυμίαν καὶ τὴν τιμὴν καὶ ἐλευθερίαν τὴν σταυροπηγιακήν, παντελεύθερον ὄν, ἀδούλωτον, ἀδέσποτον καὶ ἀκαταζήτητον παρὰ παντὸς προσώπου τῶν κατὰ καιροὺς ἀρχιερατευόντων ἐν τῇ ἐπαρχίᾳ Κερνίτζης καὶ τῶν πλησίον πάντων, μηδὲν τέλος παρέχον τινὶ μέχρι καὶ ὀβολοῦ, ἐκτὸς τῶν διακοσίων ἄσπρων τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ ἐτησίως ὑποταγῆς χάριν [ὀφειλομένων]. τὸν αὐτὸν τρόπον βουλόμεθα καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα εἶναι τὸ μοναστήριον αὐτὸ τὸ σταυροπηγιακὸν καὶ πατριαρχικόν, ἀδούλωτον, ἀδέσποτον καὶ ἀκαταπάτητον παρὰ παντὸς προσώπου, μηδενὶ μηδὲν ὀφεῖλον, ἢ τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ τὰ προρρηθέντα διακόσια ἄσπρα ὑποταγῆς χάριν. ἀλλ' οὐδὲ οἱ κατὰ τύχην ἐκεῖθεν διαπερῶντες πατριαρχικοὶ ἔξαρχοι ἔχουσιν ἄδειαν ἢ ἐξουσίαν τινὰ καταπατεῖν τὸ αὐτὸ μοναστήριον καὶ ἐνοχλεῖν τοὺς ἐν αὐτῷ πατέρας κατά τι καὶ ζητεῖν ἐπ' ὀνόματι πατριαρχικῷ ζημιοῦν αὐτούς. τοὺς δὲ ἡγουμένους τοῦ μοναστηρίου αὐτοῦ ἐκλέγεσθαι κατ' ἔτος καὶ ἀλλάττεσθαι καὶ ἀντικαθίστασθαι ἕτερον, τοῦ πρώτου τῆς ἡγουμενείας παραίτησιν ποιουμένου. καὶ προσέτι μνημονεύειν αὐτοὺς τοῦ πατριαρχικοῦ ὀνόματος παρρησίᾳ ἐπ' ἐκκλησίας κατὰ τὴν συνήθειαν καὶ διάγειν αὐτοὺς κατὰ τὴν πάλαι συνήθειαν τὴν πρὸ τῆς πυρκαϊᾶς, τὰς δὲ χειροτονίας αὐτῶν γίγνεσθαι παρ' ὧν ἂν αὐτοὶ βούλοιντο τῶν ἀρχιερέων, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ταῦτα πάντα βουλόμεθα μένειν ἀδιαλώβητα καὶ ἀπαρεγχείρητα καὶ ἀμετάτρεπτα μέχρι παντὸς καὶ μηδένα τῶν πάντων ἔχειν ἄδειαν διασεῖσαι αὐτοὺς ἐπὶ προφάσει τῆς ἀναλώσεως καὶ φθορᾶς τῶν παρ' αὐτοῖς παλαιγενῶν γραμμάτων, χρυσοβούλλων τε καὶ πατριαρχικῶν

σιγιλλιωδῶν, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου τοῦ παρὰ θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἂν δέ τις τῶν πάντων βουληθῇ ποτὲ ἐνοχλῆσαι αὐτοῖς, ἀρχιερεὺς ἢ ἱερεὺς ἢ ἰδιώτης, καὶ ποιῆσαι παρ' ὃ γράφομεν, οἱ μὲν ἀργοὶ μενέτωσαν πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως, οἱ δὲ λαϊκοὶ ἀφωρισμένοι ἔστωσαν παρὰ θεοῦ καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον καὶ ἔξω τῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι καὶ ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς. ἐπὶ γὰρ τῇ τούτου ἀμετατρέπτῳ βεβαιώσει ἐγράφη τὸ παρὸν τῆς ἡμῶν μετριότητος βεβαιωτήριον καὶ σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τοῖς ἐν τῷ πατριαρχικῷ καὶ βασιλικῷ μοναστηρίῳ πατράσιν. ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ ἐννάτῳ ἐν μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος ὀγδόης †.

† Παρθένιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἡρακλείας Ἰωαννίκιος †.
† Χαλκηδόνος Παχώμιος †.
† Ἀδριανουπόλεως Παρθένιος †.
† Φιλίππων καὶ Δράμας Γεράσιμος †.
† Βιζύης Δαμασκηνός †.
† Παλαιῶν Πατρῶν Θεοφάνης †.
† Λακεδαιμονίας Ἰωάσαφ †.
† Μιτυλήνης Παρθένιος †.
† Τουρνόβου Παρθένιος †.
† Λαρίσσης Γρηγόριος †.
† Ἀγκύρας Λαυρέντιος †.
† Βάρνας Παρθένιος †.
† Πρῴην Ῥαιδεστοῦ Θεοφάνης †.
† Χίου Κύριλλος †.
† Νέων Πατρῶν Ἰωάσαφ †.
† Πρῴην Ἀθηνῶν Σωφρόνιος †.

Ἰδόντες τὸ παρὸν πατριαρχικὸν καὶ συνοδικὸν γράμμα εὐλαβῶς προσκυνοῦντες ὑπογράφομεν ἰδίᾳ χειρί·

† Ταπεινὸς μητροπολίτης Σεβαστείας Ἄνθιμος καὶ πάσης Ἀρμενίας ὑπέρτιμος καὶ ἔξαρχος, ἐν μηνὶ ἰουνίῳ ιδ', ͵αχϛγ' ἔτους τοῦ σωτηρίου †.

III. 7182—1674, mense giumansul evel, (ind. XII.)

Imperator Turcarum Mechmet IV. praecipit, ut monasterium solvat quotannis tributum sex millium asprorum.

Σουλτὰν Μεχμὲτ [ὁ δ'].

(Τ. μονοκονδυλίας τοῦ ὀνόματος τοῦ σουλτάνου ἢ τουρᾶ.)

Οἱ καλόγηροι τοῦ ἐν τῇ ἐπαρχίᾳ τῶν Καλαβρύτων κειμένου μοναστηρίου Μέγα Σπήλαιον ἀνέφερον εἰς τὸ κράτος μου δι' ἀναφορᾶς των, λέγοντες ὅτι

ἀπὸ τὴν ἅλωσιν τῆς Πελοποννήσου καὶ ἐφεξῆς τὰ δέκατα, τὸ χαράτζιον καὶ οἱ λοιποὶ φόροι τῶν παρ' ἡμῶν καλλιεργουμένων τόπων, οἵτινες κεῖνται ἐν ταῖς ἐπαρχίαις τῶν Καλαβρύτων, τῆς Βοστίτζας, τῶν Παλαιῶν Πατρῶν καὶ τῆς Γαστούνης, ἀπεκόπησαν προσδιωρισμένως, καὶ κατὰ τὸ 1053 ἔτος ὁ προσδιωρισμένος διὰ τὴν καταγραφὴν τοῦ Μωρέως χατζῆ Ἀχμὲτ κατέγραψεν εἰς τὰ βασιλικὰ κατάστιχα τρεῖς χιλιάδες λεπτὰ (ἄσπρα) διὰ προσδιωρισμένον ἐτήσιον φόρον μας. ἀλλ' ἐπειδὴ τὰ ἀνὰ χεῖράς μας δοθέντα βασιλικὰ ἐνδεικτικὰ καὶ ἀντίγραφα τοῦ βασιλικοῦ καταστίχου κατεκάησαν εἰς τὴν πυρκαϊάν, ἥτις κατέκαυσε πρὸ μικροῦ τὰς κατοικίας μας, διάφοροι ξένοι ἐπέβαλλον χεῖρας εἰς τὰ κτήματά μας καὶ μᾶς ἠνώχλουν. διὸ ἀναφέροντες ἡμεῖς τὴν ἐνόχλησίν μας κατὰ τὸ 1084 καὶ προσθέσαντες εἰς τὸν διωρισμένον φόρον μας τρεῖς χιλιάδες λεπτὰ (ἄσπρα) χρονικῶς πεντήκοντα γρόσια γινόμενα ὅλα ἤτοι ἓξ χιλιάδες ἄσπρα ὡρισμένως, ἐδίδομεν αὐτὰ εἰς τοὺς συντάκτας τῶν φόρων, διὰ νὰ μὴ ἐνοχλούμεθα ὁλότελα, καὶ κατεγράφησαν εἰς τὸ ἀρχεῖον τῶν χαρατζίων καὶ ἐξεδόθησαν αὖθις βασιλικὰ ἐνδεικτικὰ ἔγγραφα καὶ ἀντίγραφα τοῦ βασιλικοῦ καταστίχου, καὶ ὅμως πάλιν μας ἐνοχλοῦν καὶ δέν μας ἀφίνουν ἐν ἡσυχίᾳ. διὰ ταῦτα, ἀφ' οὗ κατ' ἔτος πληρώνομεν εἰς τοὺς συντάκτας τῶν φόρων τὸν προσδιωρισθέντα φόρον μας, διὰ τὰ ἔκπαλαι ὑπὸ τὴν ἐξουσίαν μας ὄντα χωράφιά μας, ἀμπέλιά μας, λειβάδιά μας, δένδρη μας καὶ ἄλλα κτήματά μας εὑρισκόμενα ἐν ταῖς ἐπαρχίαις Καλαβρύτων, Βοστίτζης, Παλαιῶν Πατρῶν καὶ Γαστούνης κείμενα μετόχιά μας, διὰ νὰ διαμένωσιν ὑπὸ τὴν κυριότητά μας, καὶ μηδεὶς ἄλλος, εἴτε μεριμηράνης, εἴτε χὰς βοεβόνδας, εἴτε ἐπιστάται τῶν τιμαρίων, εἴτε γεντικζίδες, εἴτε ἀρχηγοὶ τῶν στρατευμάτων, εἴτε ἄλλοι ἐξουσιασταὶ νὰ μὴ μᾶς ἐνοχλῶσι μὲ ἀπαιτήσεις χαρατζίων καὶ ἄλλων φόρων χωρὶς βασιλικὸν φερμάνιον καὶ χωρὶς ἀντίγραφον τοῦ βασιλικοῦ καταστίχου, παρακαλοῦμεν νὰ μᾶς δοθῇ εἰς χεῖρας βασιλικὸν δίπλωμα (μπεράτιον) σύμφωνον μὲ τὰ πρὸ καιροῦ δοθέντα εἰς ἡμᾶς, τὸ βασιλικὸν φερμάνιον καὶ τὸ ἀντίγραφον τοῦ βασιλικοῦ καταστίχου. θεωρηθέντων λοιπὸν τῶν βασιλικῶν μου καταστίχων τῶν φυλαττομένων εἰς τὰ ἀρχειοφυλάκια τῶν χαρατζίων (ἰτζιζιά) καὶ τῶν λογαριασμῶν (μπᾶς μουχασαπέ), ἐπειδὴ εὑρέθη καταγεγραμμένον, ὅτι εἰς τὸν ἐτήσιον φόρον τοῦ κατὰ τὴν ἐπαρχίαν Καλαβρύτων κειμένου μοναστηρίου Μέγα Σπήλαιον, ὄντα ἀποκεκομένον διὰ τρεῖς χιλιάδες ἄσπρα (λεπτά), καὶ ἔγειναν πεντήκοντα γρόσια κατ' ἔτος δηλαδὴ σωστὰ ἓξ χιλιάδες ἄσπρα, καὶ κατὰ τὸ ἔτος 1084 τὴν ἐννάτην ἡμέραν τῆς σελήνης ῥεμπιοὺλ ἐβὲλ ἐδόθη εἰς αὐτοὺς βασιλικὸν φερμάνιον καὶ ἀντίγραφον τοῦ βασιλικοῦ καταστίχου, διὰ τοῦτο ἔγεινε βασιλικὴ προσταγή μου. καὶ διδοὺς εἰς χεῖράς των τὸ παρὸν βασιλικὸν μπεράτιον

διατάττω, ὅτι τὸ μοναστήριον Μέγα Σπήλαιον, ἀφοῦ δώσῃ κατ' ἔτος εἰς τοὺς συν[τ]άκτας τῶν φόρων τὰ πενῆντα γρόσια ἤτοι ἓξ χιλιάδες λεπτὰ (ἄσπρα) τὸν προσδιωρισθέντα φόρον διὰ τὰ ἐν ταῖς ἐπαρχίαις Καλαβρύτων, Βοστίτζης, Παλαιῶν Πατρῶν καὶ Γαστούνης μετόχιά του καὶ τὰ παρ' αὐτοῦ καλλιεργούμενα χωράφια, ἀμπέλια, λειβάδια, δένδρη καὶ λοιπὰ κτήματα ὄντα ὑπὸ τὴν ἐξουσίαν του, νὰ μὴ τὸ ἐνοχλήσουν πλέον μὲ ἀπαιτήσεις χαρατζίων, δεκάτων καὶ ἄλλων φόρων, οὔτε οἱ μιριμηράνιδες, οὔτε οἱ χὰς βοεβόνδας, οὔτε οἱ ἐπιστάται τῶν τιμαρίων, οὔτε οἱ φύλακες τῶν φρουρίων, οὔτε ἄλλοι ἔχοντες ἐξουσίαν τινά. οὕτως ἂς ἠξεύρωσι καὶ ἂς δώσωσι πίστιν εἰς τὸ βασιλικόν μου σημεῖον. ἐξεδόθη τῇ κε' τῆς σελήνης τζεμάζουλ ἐβὲλ ἐν ἔτει 1090 (ἀπὸ Χριστοῦ 1674).

(Ὅτι πιστὴ ἡ μετάφρασις. Τῇ 12 ἰουλίου 1834 ἐν Ἄργει, ὁ διερμηνεὺς τοῦ βασιλείου τῆς Ἑλλάδος. Ἰουσουφμπέις Ἀχμετπασαζαδές).

IV. 7202—1693, 5. mensis septembris, ind. I.

Antonius Zeno, procurator generalis exercituum venetorum in Peloponneso, praecipit, ut monasterium solvat annuatim realia ducenta pro decima, secundum decisionem senatus.

Παρὰ τοῦ εὐγενοῦς καὶ σοφοῦ ἀνδρὸς Ἀντωνίου Ζήνου, γενικοῦ διοικητοῦ τῶν εἰς τὴν Πελοπόννησον στρατευμάτων, πίστιν, ἀγάπην, ὑγιείαν καὶ φιλίαν.

Ἐνεφανίσθησαν εἰς τὴν σεβαστὴν γαληνότητά μας ὁ ἡγούμενος καὶ οἱ καλόγηροι τῆς μονῆς τῆς ἀφιερωμένης εἰς τὴν ὑπεραγίαν θεοτόκον τοῦ Μεγάλου Σπηλαίου τῆς ἐν τῇ περιοχῇ τῶν Καλαβρύτων καὶ δι' εὐσεβάστου ἀναφορᾶς των ἐπαρεκάλεσαν, ὅτι μὲ ἐκεῖνον τὸν φόρον τοῦ δεκάτου, ὅσος ἐγκριθῇ δίκαιον νὰ προσδιορισθῇ παρὰ τῆς δημοσίου ἐξουσίας νὰ συγχωρηθῇ εἰς αὐτοὺς ἡ εἰρηνικὴ κάρπωσις τῶν κτημάτων, ὡς διωρισμένη πρὸς ἐξοικονόμησιν τοῦ ῥηθέντος μοναστηρίου αὐτοῦ. περὶ τῆς παρακλήσεως αὐτῶν ἐλήφθησαν αἱ ἀπαιτούμεναι πληροφορίαι, καὶ ἰδοὺ κατὰ τὴν τούτων συνέπειαν ἐκδίδει ἡ γερουσία τὴν ἀπόφασιν ταύτην, ὅτι ἐπάνω εἰς τὰ κτήματα καὶ ὅλην τὴν περιουσίαν τοῦ αὐτοῦ μοναστηρίου, ὅσην κατὰ τὸ παρὸν κατέχει, νὰ πληρώνηται μέχρι νέας δημοσίας ἀποφάσεως τὸ χρέος τοῦ δεκάτου φόρου εἰς ῥιάλια διακόσια κατ' ἔτος. διευθύνθησαν ἤδη πρὸς τὴν αὐτοῦ γαληνότητα, τὸν γενικὸν ἀρχηγὸν τῆς θαλάσσης, αἱ εἰδοποιήσεις δι' ἐκείνας τὰς διαταγάς, τὰς ὁποίας ἡ ἰδία του φρόνησις ἐνέκρινεν

ἀναγκαίας νὰ ἐκδώσῃ εἰς τὴν προθεσμίαν μας πρὸς παρηγορίαν τῶν ἱκετῶν. ἐδόθη ἐν τῷ δουκικῷ οἰκήματι τῇ ε′ σεπτεβρίου ἰνδ. γ′.[1])

Ἀντώνιος Ζῆνος κτλ.
Αὐγουστῖνος Γαδαλδῖνος γραμματεύς.

Τῇ ια′ φεβρουαρίου 1693 (ἔτους νέου) ἐν Πάτραις.

Ἐπαρουσιάσθη εἰς χεῖρας τοῦ ἐκλαμπροτάτου καὶ ἐξοχωτάτου Ἀντωνίου Ζήνου, γενικοῦ διοικητοῦ τῶν στρατευμάτων ἐν ἐνεργείᾳ παρὰ τοῦ ἡγουμένου τῆς μονῆς τῆς ὑπεραγίας τοῦ Μεγάλου Σπηλαίου. παρεδέχθη αὐτὴν διὰ τὴν ἀπαράλλακτον ἐκτέλεσίν της.

Ἀντώνιος Ζῆνος κτλ.
Αὐγουστῖνος Γαδαλδῖνος γραμματεύς.

1693 φεβρουαρίου ιβ′ (ἔτους νέου) ἐν Πάτραις. κατεχωρίσθη εἰς τὸ βιβλίον τῆς συλλογιστικῆς ὑπηρεσίας. Ἰωάννης Ἀγορᾶς γραμματεύς.

V. 7282—1713, 3. mensis iulii, ind. VI.

Ioannes Cornelius, dux Venetorum, praecipit magistratibus venetis in Peloponneso, ut protegant possessiones monasterii contra latrones puniantque maleficos.

Διάταγμα.

Ἰωάννης Κορνήλιος, χάριτι θείᾳ ἡγεμὼν τῶν Βενετῶν καὶ ἑνὸς ἑκάστου ὑμῶν καὶ σοφώτατος ἀνήρ, διατάσσω πρὸς τοὺς γραμματεῖς, ὁπλαρχηγούς, εἰσπράκτορας καὶ λοιποὺς ὑπηκόους πάσης γῆς καὶ τόπου τῆς ἐξουσίας μου καὶ πρὸς τοὺς διαδόχους μου τοὺς πιστοὺς καὶ ἀγαπητούς, ἐπευχόμενος ὑγείαν καὶ ἀγάπην.

Σᾶς γνωστοποιοῦμεν, ὅτι τῇ κθ′ ἡμέρᾳ τοῦ ἐκπνέοντος μηνὸς ἐν τῷ ἡγεμονικῷ ἡμῶν συμβουλίῳ ὁ ἐπὶ τῆς ἐγκληματικῆς ἐξετάσεως διωρισμένος κύριος Ἰωάννης Λεπομάνος Ἀνὲμ κόμης καθυπέβαλεν ἡμῖν πρότασιν, ἥτις καὶ παρεδέχθη ὡς πρέπουσα εἰς τὴν δικαιοσύνην καὶ ἀξιοπρέπειαν τῆς ἡμετέρας κυριαρχίας, ἵνα προβληθῶσι καὶ διαταχθῶσι τὰ μέσα τῆς δικαιοσύνης, ὥστε ἕκαστος εἰς τὴν ἐλευθέραν ἡμῶν ἐπικράτειαν νὰ δύναται νὰ ζῇ εἰρηνικῶς καὶ νὰ νέμεται καὶ χαίρῃ τὰ ἀγαθά του, νὰ τιμωρῶνται δὲ διὰ τῶν ἀνηκουσῶν ποινῶν πρὸς

---

[1]) Error in indictione: annus 1693 habet ind. I.

παραδειγματισμὸν οἱ κακοποιοί. καὶ ἐπειδὴ διὰ ταπεινῆς ἱκεσίας τῶν μοναχῶν τῆς μονῆς τῆς Θεοτόκου τοῦ Μεγάλου Σπηλαίου τῆς ἐν τῇ ἐπαρχίᾳ τῶν Καλαβρύτων κατὰ τὴν περιοχὴν τῆς Ἀχαΐας καὶ τοῦ ἱερομονάχου Σεραφεὶμ Φραντζῆ, ἀντιπροσώπου τῆς αὐτῆς ἁγίας μονῆς, ἀνεφέρθη εἰς τοὺς ἡμετέρους συνηγόρους, ὅτι διάφοροι ἄγνωστοι κλέπται καὶ κακοῦργοι προξενοῦσιν εἰς αὐτοὺς ἡμέραν καὶ νύκτα μεγάλας ζημίας εἰς τὰ ὑποστατικά των, γαίας, πεδιάδας, λειβάδια, βοσκάς, μύλους, βουνά, οἰκίας, αὐλάς, κήπους, δένδρα, ἀμπελῶνας, καστανῶνας, λίμνας, νερά, ὑδραγωγεῖα καὶ ἄλλα κτήματά των τοποθετημένα εἰς τὴν ἐξουσίαν μας, κόπτοντες τὰ δένδρα καὶ τὰ κούρβουλα καὶ ξυλικὴν μετὰ διαφόρων καρπῶν, συντρίβοντες καὶ χαλῶντες τοὺς φράκτας καὶ ἄλλα περιτειχίσματα κτισμένα διὰ τὰ ὕδατα καὶ τὰ ζῷα διαφόρων εἰδῶν, κλέπτοντες σιτάρια, κριθάρια, ἀστάχυα, γεννήματα, ξύλα, λινάρια, σανόν, μέλι, σταφύλια καὶ ὀπωρικὰ καὶ ἄλλους καρπούς, οἵτινες γίνονται ἐκεῖ, κάμνοντες πολλὰς διόδους καὶ διαβάσεις καὶ ἔφιπποι καὶ πεζοὶ ἐπάνω εἰς αὐτὰ τὰ ὑποστατικὰ καὶ τὴν φυτευμένην γῆν καὶ ἀνασπῶντες δένδρα, κατεδαφίζοντες τοίχους, ἀναβαίνοντες καὶ πιάνοντες τοὺς δρόμους, χαλῶντες τὰ χανδάκια καὶ τὰς γούβας, ἀνοίγοντες σκάμματα, ἁρπάζοντες ζῷα καὶ αὐτὰς τὰς ὄρνιθας καὶ τὰ περιστέρια καὶ σκοτόνοντες ὡς καὶ τὰ ὀρνιθόπουλα καὶ περιστερόπουλα, ὀψαρεύοντες εἰς τὰς λίμνας καὶ ἰχθυοτροφεῖα καὶ ἁρπάζοντες τὰ ὀψάρια καὶ· τέλος πάντων μυρίας ἄλλας τοιαύτας ἀνυποφόρους ζημίας προξενοῦντες, τὰς ὁποίας, ἐὰν τὰ μέσα τῆς δικαιοσύνης δὲν ἀναχαιτίσωσιν, ἄνευ ἀμφιβολίας ὅλα τὰ ῥηθέντα κτήματα θέλουσιν ἀφανισθῶσι καὶ διαρπαγῶσι. διὰ ταῦτα κατ' ἐξουσίαν τοῦ συμβουλίου τούτου ἀπεφασίσθη, νὰ συλλαμβάνωνται οἱ τοιοῦτοι κακοῦργοι ὁποιοιδήποτε διὰ τῶν ἐν τῇ ἡγεμονείᾳ γραμματέων, ὁπλαρχηγῶν, εἰσπρακτόρων καὶ λοιπῶν τῆς ὑπακοῆς μας καὶ τῶν κληρονόμων καὶ διαδόχων των, ἀφ' οὗ πρῶτον οὗτοι διακηρύξωσιν, ὅτι, ὅταν καὶ ὀψέ ποτε παρὰ τοῦ ἰδίου ἀναφέροντος μοναστηρίου, εἴτε ἄλλου ὁποιουδήποτε ἐπιτρόπου του προσκληθῶσιν εἰς βοήθειαν, οὐδεὶς θέλει ὑποφέρει νὰ προξενηθῇ ζημία καμμία παρὰ τῶν προειρημένων κακοποιῶν, οὔτε κατ' οὐδένα ἄλλον τρόπον εἰς τὰ κτήματα καὶ γαίας καὶ τόπους τοῦ ἱεροῦ μοναστηρίου τῶν ἀναφερομένων. καὶ εἶναι ὑπὸ ποινὴν ὁ ἐξελεγχθεὶς κακοποιός, ἐκτὸς τῆς προσδιωρισμένης παιδείας καὶ τῆς ἀποζημιώσεως, νὰ πληρώνῃ καὶ ἓν πρόστιμον πεντήκοντα μικρῶν λιτρῶν, τῶν ὁποίων τὸ ἓν ἥμισυ θέλει δίδεται εἰς τὸν ἀνακαλύπτοντα καὶ ἀναφέροντα τὴν ζημίαν καὶ τὸ ἀπολειφθὲν εἰς τὸν εἰσπράκτορα καὶ τὸν ἐνεργοῦντα καὶ ἐκτελοῦντα τὰ δημόσια χρέη, καὶ θέλει καταδικάζεται εἰς τρία σχοινία καὶ νὰ δουλεύῃ εἰς τὰς γαλιώτας τῆς κυριαρχίας μας δι' ἰδίων ἐξόδων, ἐὰν ἦναι ἱκανὸς καὶ δυνατός,

εἰς τρεῖς χρόνους κατὰ συνέχειαν. ἐξ ἐναντίας δέ, ἐὰν οἱ κακοῦργοι τύχωσι ἀδύνατοι, τρεῖς φοραῖς νὰ δέρνωνται εἰς τὴν πλατεῖαν τοῦ τόπου καὶ περιοχήν, καὶ νὰ ἐξορίζωνται ιε' μίλια μακρὰν τῶν συνόρων διὰ δύω ἔτη, καὶ ἂν παραβιασθῇ αὕτη ἡ ζημία καὶ συλληφθῶσι, νὰ φυλακίζωνται διὰ ἕνα ὁλόκληρον χρόνον καὶ νὰ ἐπιστρέφωσι πάλιν εἰς τὴν ἐξορίαν των, καὶ τοῦτο, ὁσάκις μὲ τὰς αὐτὰς περιστάσεις ἤθελαν συλληφθῶσιν· οἱ δὲ ὁπωσδήποτε δυνατοὶ ἐξ αὐτῶν νὰ πληρώνωσι καὶ ἑκατὸν λίτρας μικρὰς ἐκ τῆς ἰδιοκτησίας των, ἐὰν ἔχωσιν, ἢ ἀπὸ τὰ χρήματα τοῦ ἀναφερομένου, καὶ ὅστις ἐκατηγόρησε τοὺς κακούργους αὐτούς, ὁπωσδήποτε εὑρεθῇ ἡ ἀλήθεια, νὰ ἀπολαμβάνῃ τὰς ν' μικρὰς λίτρας, τὰς πληρωτέας ὡς ἄνω, καὶ νὰ κρατῆται μυστικῶς. ἀλλ' ἐὰν οἱ κακοῦργοι δὲν δυνηθοῦν νὰ συλληφθῶσιν ὑπὸ τῆς δημοσίου δυνάμεως, νὰ ἦναι ἀποκεκηρυγμένοι καὶ ἀπόντες καὶ ἐννοοῦνται ἐξωρισμένοι καὶ ὑπὸ περίστασιν παραβιάσεως τῆς ἐξορίας, καὶ ἂν εἰς ἐξ αὐτῶν τῶν ἐγκληματικῶν συντρόφων ἤθελε μαρτυρήσῃ τοὺς συναιτίους, οἱ συναίτιοί του τότε νὰ παιδεύωνται, ὅπως ἔχῃ ἡ ἀλήθεια, καὶ αὐτὸς νὰ κερδίζῃ τὴν συγχώρησίν του καὶ τὴν ἐλευθερίαν του καὶ τὰ ἔξοδα καὶ τὰς ν' λίτρας τὰς μικράς, αἱ ὁποῖαι νὰ τῷ πληρόνωνται ὡς ἄνω, καὶ νὰ κρατῆται τοῦτο κρυφόν. ἡ ἐκτέλεσις ταύτης τῆς διαταγῆς παραδίδεται εἰς τοὺς ὑπαλλήλους τῆς ἡγεμονείας μας, εἰς ὅσους ἀνήκει, καὶ εἰς τοὺς διαδόχους των, πρὸς τοὺς ὁποίους ἤθελε γίνῃ γνωστὴ ἡ ζημία παρὰ τῶν ἀναφερομένων. καὶ ἐπειδὴ αὐτὴ ἡ διαταγή μας ἔγινε κατὰ θέλησίν μας, προστάζομεν, ὡς καὶ ἄνωθεν, ἵνα μένῃ μοναδικὴ καὶ εἰς ὅλα της τὰ μέρη νὰ θεωρηθῇ καὶ ἐκτελεσθῇ καὶ ἐνεργηθῇ καὶ παρὰ πάντων νὰ σεβασθῇ καὶ ἕκαστος νὰ τὴν παραπέμπῃ πρὸς τὸν ἄλλον καὶ νὰ κάμῃ νὰ δημοσιευθῇ εἰς ἅπαντας πᾶν ὅ τι αὕτη ἡ διαταγὴ διαλαμβάνει, αὐτὴ δὲ νὰ καταχωρισθῇ καὶ νὰ ἐπιστραφῇ εἰς τὸ ἀναφερόμενον μοναστήριον. ἐδόθη ἐν τῷ ἡγεμονικῷ παλατίῳ τῇ γ' ἰουλίου ἰνδ. ς'.

Ἰωάννης Φράγκης.

Κορνήλιος ἐπίτροπος ὑπ[έγραψα].

Τῇ ιγ' ἰανουαρίου 1713 ἔτους νέου.

Ἐπαρουσιάσθη εἰς χεῖρας τοῦ ἐξοχωτάτου Ἀντωνίου Λορετάνου, γενικοῦ ἐπάρχου τῶν ὅπλων τῆς Πελοποννήσου, παρὰ τοῦ ἡγουμένου τῆς ἁγίας μονῆς τοῦ Μεγάλου Σπηλαίου, ὅστις ἰδὼν αὐτὴν διώρισε νὰ καταχωρισθῇ διὰ τὴν ἀκριβῆ ἐκτέλεσίν της.

Ἰωάννης Σουχάτος γραμματεύς.

VI. 7232—1724, mense regeb, ind. (II).

Imperator Turcarum Achmet III. praecipit, ut monasterium solvat tributum annuum quindecim millium asprorum protegitque id contra molestias magistratuum provinciae.

Σουλτὰν Ἀχμὲτ [ὁ γ΄].

(Τουρᾶς.)

Ἐξοχώτατε καὶ ὑπέρτατε βεζίρη μουχασίλη τοῦ Μωρέως καὶ λογιώτατοι κριταὶ τῶν Καλαβρύτων καὶ τῆς Βοστίτζας καὶ τῆς Παλαιᾶς Πάτρας καὶ τοῦ Χλουμουτζίου, πληθυνθείη ἡ δόξα ὑμῶν. ἐρχομένου τούτου τοῦ ὑπερτάτου καὶ αὐτοκρατορικοῦ ὁρισμοῦ γνωστὸν ὑμῖν ἔστω, ὅτι οἱ καλόγηροι τοῦ μοναστηρίου Σπηλαίου, ὅπερ εἶναι εἰς τὴν διοίκησιν τῶν Καλαβρύτων, ὅπου ὑπάρχει εἰς τὸν Μωρέα, πρὸς τὸ αὐτοκρατορικόν μου κριτήριον, ἔδοσαν ἀναφορὰν διαλαμβάνουσαν, ὅτι, ὁπόταν ἐμβῆκεν ὁ στρατὸς τῶν μουσουλμάνων εἰς τὸν ῥηθέντα Μωρέα, διὰ νὰ τὸν κυριεύσῃ καὶ νὰ τὸν αἰχμαλωτίσῃ, πρῶτοι ἀπὸ ὅλους αὐτοὶ μετὰ σπουδῆς ἐδέχθησαν νὰ ἦναι ὑπήκοοι (ῥαγιάδες), καὶ διὰ τοῦτο ἀπὸ τὸν καιρὸν τοῦ ἀοιδίμου σουλτὰν Μεχμέτη κατὰ τὴν ἀρχαίαν συνήθειαν ἐξουσιάζοντες τοὺς τόπους τόσον ἐκείνους, ὁποῦ σπέρνονται, ὅσον καὶ ἐκείνους, ὅπου δὲν σπέρνονται, ὅσοι εἶναι εἰς τοὺς τόπους των καὶ εἰς τὰ κτήματά των (μούλκια), ὁποῦ ἐξουσιάζουσι καὶ εὑρίσκονται εἰς τὰ Καλάβρυτα καὶ [τὴν] Βοστίτζαν καὶ [τὴν] Παλαιὰν Πάτραν καὶ εἰς τὸ Χλουμούτζιον καὶ τὰ Τρυπία, ὡρίσθη νὰ δίδωσι δι' αὐτὰ εἰς τὸ δημόσιον (μιριμακτοῦ) δεκαπέντε χιλιάδες ἄσπρα κατ' ἔτος ἀντὶ τοῦ οὐσουρίου καὶ ῥεσμίου καὶ τῶν ἄλλων τεκιλιφίων, καὶ νὰ μὴ ἀνακατώνεταί τινας εἰς τὰ κτήματα καὶ εἰς τὰ χώματα καὶ εἰς τὰ χωρία (τζιφτλίκια) καὶ εἰς τὰ χουρία καὶ εἰς τοὺς μύλους καὶ εἰς τὰς ἐλαίας καὶ εἰς τὰ περιβόλια καὶ ἀμπέλια καὶ ἁλώνια καὶ ξεχειμάδια καὶ μετόχια αὐτῶν, οὔτε νὰ ἐμποδίζῃ αὐτούς τινας ἐξουσιάζοντας αὐτά, οὔτε νὰ τοὺς πειράζῃ ζητῶν παρ' αὐτῶν οὐσοῦρι καὶ ῥέσμι καὶ ἄσπρα καὶ χαρίσματα καὶ πράγματα καὶ ζωοτροφίας (ζαχιρὲ) καὶ κτήνη καὶ τετράποδα καὶ ἄλλο τίποτε καὶ ὁμολογίαν ταπίσματος, ὁποῦ νὰ δίδεται εἰς ἄλλον. μ' ὅλον τοῦτο οἱ ὁρίζοντες τὸν μαλκιανὲ τῆς Βοστίτζας καὶ τοῦ χωρίου Διακοπτοῦ, ὁποῦ εἶναι εἰς τὴν γειτονίαν των, λέγουσιν εἰς τοὺς μοναχούς, ὅτι ἐσεῖς εἰς τοὺς προτητερινούς μας ἐδίδετε πρᾶγμα, τὸ λοιπὸν δίδετε καὶ εἰς ἡμᾶς, καὶ οὕτω τοὺς ἐνοχλοῦσι καὶ ἀνακατόνονται εἰς τὸν τόπον τὸν καλούμενον Τρυπία. αὐτοὶ λοιπὸν ἔχοντες καὶ μερικοὺς φετβάδες, ὁποῦ συμφωνοῦν

μὲ τὴν ἀγωγήν των, παρεκάλεσαν νὰ γένῃ προσταγὴ εἰς τοὺς ῥηθέντας, νὰ μὴ τοὺς πειράζωσι καὶ νὰ μὴ τοὺς ἐνοχλῶσι ζητοῦντές τους οὐσούρια καὶ ῥέσμια καὶ ἄσπρα καὶ πράγματα καὶ κτήνη καὶ τετράποδα καὶ ἄλλο τίποτε. ὅθεν ἐθεωρήθη εἰς τὰ κατάστιχα τοῦ μπὰς μουχασεμπὲ τὰ πεφυλαγμένα εἰς τὸ πλούσιόν μου ταμεῖον, καὶ ἔγεινε τερκενάρι διαλαμβάνον, ὅτι κατὰ τὴν ἁγίαν προσταγὴν καὶ τὸ ἴσον τοῦ καταστίχου καὶ τοῦ βασιλικοῦ μπερατίου, ὅπου ἐδόθησαν εἰς τὸν καιρὸν τοῦ μακαρίτου σουλτὰν Μεχμέτη, ἐδόθη προσταγή μου ἁγία περιέχουσα, ὅτι τὰ κτήματα καὶ τὰ χώματα τῶν καλογήρων τοῦ ῥηθέντος μοναστηρίου τοῦ κειμένου εἰς τὸν ληφθέντα Μωρέαν, τὰ ὁποῖα αὐτοὶ ὁρίζουσι καὶ εἶναι εἰς τοὺς ἄνωθεν τόπους, κατὰ τὸν ἀρχαῖον τρόπον ἐγράφθησαν [εἰς τὸ μιρὶ] μακτοῦ καὶ τὰ πρόβατά των, ἂν δὲν γένωσι χίλια, νὰ μὴ δίδωσι ῥέσμι καὶ ἀντὶ τοῦ οὐσουρίου καὶ ῥεσμίου καὶ τῶν ἄλλων τεκιλιφίων νὰ πληρώνωσι κατ' ἔτος εἰς τὸ μιρὶ μακτοῦ ἄσπρα (λεπτὰ) 15000. οἱ δὲ οὔτζ-τσουγιλοὺ πασάδες καὶ οἱ τεφτιστζίδες καὶ οἱ χάσ-βοεβονδάδες καὶ οἱ σουμπασίδες τῶν ζαΐμιδων καὶ τιμαρίων καὶ οἱ μπεδελτζίδες καὶ οἱ ἐμίνιδες καὶ οἱ καστρινοὶ καὶ τὸ φουσάτον καὶ ἄλλοι ἀξιωματικοὶ ἐναντίον τῆς προσταγῆς καὶ τοῦ καταστίχου καὶ τοῦ ἴσου τοῦ καταστίχου τοῦ βασιλικοῦ καὶ ἐναντίον τῶν σενετίων νὰ μὴ τοὺς πειράζωσι καὶ νὰ μὴ τοὺς ἐνοχλῶσιν, ὅθεν κατὰ τοῦτον τὸν τρόπον ἐπροστάχθη νὰ ἐνεργῶνται τὰ ἄνωθεν. ὁρίζω λοιπόν, καθὼς φθάσῃ ἡ ἀπόφασίς μου ἡ ἁγία κατὰ τὴν ἐκδοθεῖσαν προσταγήν μου, νὰ ἐνεργήσητε, ἤγουν τὰ κτήματα καὶ τὰ χώματα τῶν μοναχῶν τοῦ ῥηθέντος μοναστηρίου, τὰ ὁποῖα αὐτοὶ ὁρίζουσι καὶ εἶναι μέσα εἰς σύνορα φανερὰ καὶ πασίδηλα καὶ κεῖνται εἰς τοὺς ἄνωθεν τόπους, νὰ τὰ κάμητε νὰ εἶναι κατὰ τὴν ἄνωθεν συνήθειαν ἰδικά των καὶ τὰ πρόβατα, ἕως οὗ νὰ γένωσι χίλια, νὰ μὴ δίδωσι ῥέσμι καὶ ἀντὶ οὐσουρίου καὶ ῥεσμίου καὶ ἄλλων τεκιλιφίων νὰ πληρώνωσι κατ' ἔτος εἰς τὸ μιρὶ μακτοῦ 15000 ἄσπρα, καὶ κατὰ τὸ ἔκπαλαι νὰ ἐμποδίζηται τοὺς οὔτζ-τουγιλοὺ πασάδες καὶ τεφτιστζίδες καὶ χάσ-βοεβοδάδες καὶ σουμπασίδες τῶν ζαΐμιδων καὶ τιμαριωτῶν καὶ τοὺς μπετελτζίδες καὶ ἐμίνιδες καὶ καστρινοὺς καὶ ἄλλους ἀξιωματικοὺς ἐναντίον τῆς προσταγῆς καὶ τοῦ καταστίχου καὶ τῶν σενετίων, καὶ ἔξω τοῦ παλαιοῦ καὶ τοῦ νῦν δοθέντος ἁγίου ὁρισμοῦ νὰ μὴ κάμνουν εἰς αὐτοὺς στενοχωρίαν καὶ δυναστείαν διὰ τὰ κτήματα καὶ τὰ χώματά των. ἔτζι νὰ ἠξεύρετε καὶ νὰ πείθεσθε εἰς τοῦτο τὸ σημεῖον τὸ ἅγιον, τὸ ὁποῖον ἐγράφη.

Ἐν ἔτει 1149 κατὰ τὰς ἀρχὰς τοῦ φεγγαρίου ῥετζὲπ (ἀπὸ Χριστοῦ 1724).

VII. 7249—1741, mense martio, ind. IV.

Patriarcha Paisius declarat, monasterium esse stauropegicum, confirmatque ejus jura et possessiones.

Παίσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμηνικὸς πατριάρχης.

† Ἔργον φέριστον καὶ παρὰ πᾶσι τοῖς εὖ φρονοῦσι σπουδῆς τῆς ἀνωτάτω ἐπάξιον κρίνεται, πᾶσαν οἰκοδομὴν καλῶς ἄνωθεν ἀρξαμένην καὶ συντελεσθεῖσαν, εἶτα τῇ τοῦ χρόνου παρόδῳ καὶ ταῖς τοῦ καιροῦ περιστάσεσι πτῶσίν τινα καὶ ἀνατροπὴν ὑφορωμένην οἰκοδομεῖν καὶ ἀνανεοῦν ἐπὶ τῷ προκαταβληθέντι θεμελίῳ καὶ τῆς διηνεκοῦς αὐτῆς συντηρήσεως λόγον ὅτι πλεῖστον ποιεῖσθαι· τῆς γὰρ τοῦ πανδαμάτορος χρόνου ῥοῆς ταῖς κατὰ τὸ ἀντίξουν αὐτῆς προσβολαῖς ἀμαυροῦν πεφυκυίας τὰ καλῶς φθάσαντα συντελεσθῆναι, οἱ τούτων ἐμφρόνως προεστάναι λαχόντες οὐ διαλείπουσιν ἀναμορφοῦντες αὐτὰ καὶ εἰς φῶς ἀνακαλοῦντες σωστικοῖς ἐπιτηδεύμασί τε καὶ ἐπεξεργάσμασιν. ἀναγκαία γοῦν οὖσα ἡ τοιαύτη ἀνάκλησίς τε καὶ ἀνανέωσις ἐπὶ πάντων τῶν ἐγκοσμίων πραγμάτων, ὅσα τὴν ἐκ τοῦ χρόνου φθορὰν ἐπιδέχεται, ἀναγκαιοτάτη δήπουθεν ἐν τοῖς μάλιστα πέφυκεν ἐπὶ τῶν ἁγίων ἐκκλησιῶν, εὐαγῶν τε οἴκων καὶ σεβασμίων μοναστηρίων ἐνεργουμένη, τῶν ὑποτελούντων τῇ προνοίᾳ καὶ δεφενδεύσει τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ, ἀποστολικοῦ τε καὶ οἰκουμενικοῦ θρόνου, ὧν τὴν κηδεμονίαν κληρωθέντες θεόθεν οἱ τὰς ἡνίας αὐτοῦ ἐπιτετραμμένοι ὀφείλομεν, ὅση δύναμις, ἀναλαμβάνειν καὶ ἐπανορθοῦν τὰ ἀντιλήψεως δεόμενα τῶν ἱερῶν σκηνωμάτων, καὶ τούτων μάλιστα, ὅσα ἀρχαιότητι διαπρεπῆ καὶ ἀρετῇ διαβόητα, βασιλικῇ τε ἅμα καὶ πατριαρχικῇ φιλοτιμίᾳ ἐπίσημα διετέλεσαν, ἐπιβεβαιοῦντες τὴν ἀρχαίαν αὐτῶν ἐν τῷ καλῷ κατάστασιν διὰ μεταγενεστέρων γραμμάτων καὶ μὴ ἐᾶν ἐπιγενέσθαι αὐτοῖς φθοράν τινα καὶ βλάβην ἐκ τῶν τοῦ καιροῦ περιστάσεων· ταμεῖα γὰρ ἀρετῆς ὁμολογουμένως καθέστηκε τὰ ἱερὰ ταῦτα τῶν ψυχῶν φροντιστήρια καὶ σεβάσμια μοναστήρια· ἐν αὐτοῖς γὰρ ὁ σωφροσύνης ἀσκεῖται τρόπος καὶ ψυχῶν τελειότης πορίζεται καὶ βίος θεοφιλὴς ἐκπαιδεύεται καὶ τῆς ὑπομονῆς καταρτίζεται τὸ σωτήριον κλέος, ὅπου γε καὶ θεὸς ἐν τοιούτοις ἐπαναπαύεσθαι πιστεύεται. ταύτῃ τοι καὶ κατὰ πάντα καιρὸν ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη ἐκκλησία τὴν σύστασιν αὐτῶν καὶ συντήρησιν περὶ πολλοῦ ποιουμένη, χεῖρα βοηθείας ὀρέγειν αὐτοῖς ἐν πᾶσι τρόποις οὐκ ἀπαναίνεται. ἐπειδὴ τοιγαροῦν καὶ τὰ νῦν προσεκομίσθη καὶ ἐνεφανίσθη ἡμῖν ἴσον ἀρχαίου πατριαρχικοῦ συνοδικοῦ γράμματος γεγονότος πρὸ χρόνων ἤδη ἐπέκεινα τῶν ἑκατὸν ἐπὶ τοῦ πάλαι ποτὲ πατριάρχου, [τοῦ] μακα-

ρίτου κυρίου Παρθενίου, καὶ διαλαμβάνοντος, ὡς ἡ κατὰ τὴν Πελοπόννησον ἐν τῇ περιοχῇ τῆς ἐπισκοπῆς Κερνίτζης εὑρισκομένη ἱερὰ καὶ σεβασμία μονή, ἡ τιμωμένη ἐπ' ὀνόματι τῆς Κοιμήσεως τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, ἐπικεκλημένη δὲ Μέγα Σπήλαιον, ἡ ὥσπερ κειμήλιον καὶ θησαυρὸν πολύτιμον ἔχουσα τὴν ἱερὰν εἰκόνα τῆς θεομήτορος τὴν παρὰ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθεῖσαν, ἄνωθεν μὲν καὶ ἐξ ἀρχῆς καὶ πρὸ χρόνων ἀμνημονεύτων διετέλεσε βασιλική, πατριαρχικὴ καὶ σταυροπηγιακή, ἐλευθέρα τε καὶ ἀδούλωτος πάντη ὑπὸ τῶν κατ' ἐκεῖνο καιροῦ ἀοιδίμων βασιλέων καὶ πατριαρχῶν τῇ παντελεῖ ἐλευθερίᾳ καὶ ἀσυδοσίᾳ τετιμημένη, ἅτε καταφανοῦς οὔσης καὶ τοῖς πᾶσιν ὁμολογουμένης τοῖς τε πάλαι καὶ τοῖς μετέπειτα τῆς τοιαύτης αὐτῆς βασιλικῆς φιλοτιμίας καὶ σταυροπηγιακῆς ἀξίας τοῖς θεασαμένοις καὶ ἀνεγνωκόσι τὰ χορηγηθέντα αὐτῇ καὶ σωζόμενα ἐν τῷ τότε βασιλικά τε χρυσόβουλλα καὶ πατριαρχικὰ σιγιλλιώδη γράμματα, ἧστινος ἐλευθερίας καὶ αὐτονομίας αὐτῆς σωζομένης τε καὶ φυλαττομένης καὶ διενεργουμένης ἀνενοχλήτως, ὡς παρὰ πᾶσιν ἐγνωσμένης, διῆγον ἐν ἀνέσει πάντες οἱ συνασκούμενοι ἐν αὐτῇ περίπου τοὺς πεντήκοντα πρὸς ἑκατὸν ὁσιώτατοι πατέρες, τέμνοντες ἐλευθέρως τὴν αὔλακα τῆς σωτηρίου ὁδοιπορίας αὐτῶν καὶ τὸν ἐν τῷ μοναδικῷ βίῳ τῆς ἀσκήσεως καὶ ἀρετῆς ἀκωλύτως ἐξασκοῦντες καὶ μετερχόμενοι τρόπον. εἶτα κρίμασιν οἷς μόνος οἶδε θεός, συμβὰν ἐξ ἐπηρείας τοῦ μισοκάλου δαίμονος τὴν ἱερὰν μονὴν ταύτην πυρὶ καταναλωθῆναι, τῶν πατέρων, ὡς φησί, περὶ τὸν τρυγητὸν ἐνασχολουμένων, ἑπομένως διὰ τῆς ἐπιγενομένης ταύτης ὀλεθρίου πυρκαϊᾶς ἀπετεφρώθησαν δυστυχῶς καὶ κατεκάησαν καὶ πάντα τὰ ἐν τῷ σκευφυλακείῳ αὐτῆς σωζόμενα ἱερὰ σκεύη καὶ ἄμφια σύναμα τοῖς χρυσοβούλλοις καὶ σιγιλλίοις, τῶν παρευρεθέντων πατέρων μόλις δυνηθέντων διασώσασθαι καὶ ἐξελέσθαι τοῦ πυρὸς τὴν ῥηθεῖσαν τῆς θεοτόκου εἰκόνα, τὴν ὑπὸ τοῦ ἁγίου Λουκᾶ ἱστορηθεῖσαν. μεθ' ἣν ἀτυχίαν καὶ δεινὴν περίστασιν προσελθόντες τηνικαῦτα οἱ τῆς ἱερᾶς μονῆς πατέρες τῇ προνοίᾳ καὶ κηδεμονίᾳ τοῦ πατριαρχικοῦ καὶ οἰκουμενικοῦ τούτου θρόνου καὶ τὸ ἐπισυμβὰν τῆς πυρκαϊᾶς τοῦτο πάθος ἐκτραγῳδήσαντες, καὶ τὴν διὰ τοῦ πυρὸς ἀπώλειαν τῶν εἰρημένων χρυσοβούλλων τε καὶ σιγιλλίων καὶ λοιπῶν συστατικῶν γραμμάτων τῆς μονῆς αὐτῶν ταύτης ἐμφανίσαντες καὶ δηλώσαντες καὶ πιστώσαντες, τὴν ἀρχαίαν αὐτῶν ἐλευθερίαν τε καὶ αὐτονομίαν τὴν διὰ βασιλικῆς φιλοτιμίας καὶ σταυροπηγιακῆς ἀξίας ἄλλως τε ἐμφανῆ καὶ κατάδηλον καὶ τοῖς πᾶσιν ὁμολογουμένην, ὡς εἴρηται, ἐν τῷ τότε διατελοῦσαν, ἔλαβον παρὰ τοῦ ῥηθέντος πατριάρχου, κυρίου Παρθενίου, τὴν ἀνανέωσιν καὶ βεβαίωσιν αὐτῆς διὰ τοῦ διαληφθέντος συνοδικοῦ γράμματος, ἀποφαινομένου καὶ ἐπιβεβαιοῦντος

αὐτοῖς τὸ εἶναι καὶ λέγεσθαι αὖθις, ὡς καὶ πρότερον, τὴν ἱερὰν μονὴν ταύτην βασιλικὴν καὶ σταυροπηγιακὴν καὶ πάντη ἐλευθέραν καὶ ἔχειν ἀναμφιβόλως καὶ ἀκωλύτως πάντα τὰ ἀνέκαθεν φιλοτιμηθέντα αὐτῇ τῆς ἐλευθερίας προνόμια καὶ τὸ μηδεμίαν προσλογίζεσθαι αὐτῇ ἐκ τῆς περιστατικῆς ταύτης αἰτίας, δηλονότι τῆς τῶν γραμμάτων διὰ τοῦ πυρὸς ἀπωλείας, ὕφεσιν καὶ ἐλάττωσιν καὶ ἐπήρειαν ἡντιναοῦν ἐπὶ τοῖς οἷς πεπλούτηκεν ἀνέκαθεν προνομίοις. ὅπερ ἐπιβεβαιωτήριον γράμμα προσκομίσαντες τὰ νῦν τῇ ἡμῶν μετριότητι ἐδεήθησαν μετὰ θερμῆς παρακλήσεως ἐπικυρωθῆναι καὶ ἐπιβεβαιωθῆναι τὴν αὐτὴν ταύτην σταυροπηγιακὴν αὐτῶν ἀξίαν καὶ ἐλευθερίαν καὶ παρ' ἡμῶν κατὰ τὴν ἀρχαίαν αὐτῆς διατύπωσιν καὶ κατὰ τὰ ἀνέκαθεν φιλοτιμηθέντα προνόμια διὰ παντελοῦς ἀσυδοσίας ἀνανεωθῆναί τε ταῦτα δι' ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ σιγιλλιώδους γράμματος. ὧν τὴν δέησιν καὶ ἀξίωσιν εὔλογον οὖσαν καὶ δικαίαν εὐμενῶς ἀποδεξάμενοι, ὡς χρέος ἀπαραίτητον ἔχοντες ἀντιλαμβάνεσθαι τῶν τοιούτων ἱερῶν οἴκων καὶ συνιστᾶν τὰ ἀρχαῖα αὐτῶν προνόμια καὶ τὴν ἀνέκαθεν ἐλευθερίαν, ἐπὶ τῷ σώζεσθαι διηνεκῶς ἀνεπηρέαστα καὶ ἀδιαλώβητα, γράφομεν διὰ τοῦ παρόντος καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα κατὰ τὴν Πελοπόννησον ἐν τῇ περιοχῇ τῆς ἐπισκοπῆς Κερνίτζης διατελοῦσα ἱερὰ καὶ σεβασμία βασιλική τε καὶ πατριαρχικὴ καὶ σταυροπηγιακὴ μονή, ἡ τιμωμένη ἐπ' ὀνόματι τῆς Κοιμήσεως τῆς ὑπεραγίας ἡμῶν θεοτόκου καὶ ἐπικεκλημένη Μέγα Σπήλαιον, καθὼς ἄνωθεν καὶ ἐξ ἀρχῆς καὶ πρὸ χρόνων ἀμνημονεύτων ὑπῆρξε καὶ διετέλεσεν ἐλευθερίᾳ παντελεῖ καὶ αὐτονομίᾳ κεκοσμημένη διὰ βασιλικῆς φιλοτιμίας καὶ σταυροπηγιακῆς ἀξίας, οὕτω καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς ἅπαντα τὸν αἰῶνα, ἕως οὗ ὁ ἥλιος περιτρέχει τὸν κύκλον αὐτοῦ, ᾖ τε καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται βασιλικὴ καὶ σταυροπηγιακή, ἐλευθέρα τε πάντη καὶ ἀδούλωτος καὶ ἀκαταπάτητος καὶ ἀνεπηρέαστος καὶ πάντη ἀσύδοτος ὁμοῦ μετὰ τῶν ἄλλων ὑποτελούντων αὐτῇ καὶ ἐν διαφόροις τόποις κειμένων μετοχίων αὐτῆς, ἅτινα εἰδικῶς εἰσι ταῦτα· τὸ κατὰ τὸ χωρίον Στρέζοβαν μετόχιον τῆς Εὐαγγελιστρίας ὁμοῦ μετὰ τῶν συνημμένων αὐτῷ χωραφίων καὶ τῆς ἐκκλησίας· τὸ κατὰ τὰ Μαῦρα Βουνὰ σὺν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Νικολάου καὶ τοῖς συνημμένοις αὐτῷ τόποις· τὸ κατὰ τὰ Τρυπία μετὰ τῆς ἐκκλησίας Ἰωάννου τοῦ Χρυσοστόμου καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Σταυρία, μετὰ τῆς ἐκκλησίας τῆς ἁγίας Μαρίνης καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Νεάματα μετὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Δημητρίου καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Θυννεῖα σὺν τοῖς τόποις αὐτοῦ· τὰ κατὰ τὰς Φυτείας μετὰ τῆς ἐκκλησίας τοῦ

ἁγίου Γεωργίου σὺν τοῖς τόποις αὐτοῦ· ὁ ἅγιος Νικόλαος μετὰ τῶν ἐλαιοφύτων καὶ τόπων αὐτοῦ· τὸ κατὰ τὴν Πανηγυρίστραν μετὰ τῆς ἐκκλησίας τῆς ἁγίας Τριάδος καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὸ Σταυροέλατον μετὰ τῆς ἐκκλησίας τῶν Εἰσοδίων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Σάλμεναν μετὰ τῆς ἐκκλησίας τῶν ἁγίων Ἀποστόλων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Γουμένιτζαν σὺν τοῖς τόποις αὐτοῦ· τὸ κατὰ τὰ Λεχαινὰ σὺν τῷ ὀσπητίῳ καὶ τοῖς τόποις αὐτοῦ· τὸ ἐν τῇ Παλαιᾷ Πάτρᾳ ὀσπήτιον σὺν ἄλλοις τόποις αὐτοῦ· τὸ ἐν τῷ Καλαμακίῳ μετὰ τῆς ἐκκλησίας καὶ τῶν τόπων αὐτοῦ· τὸ Μέγα Ἀμπέλιον μετὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἀθανασίου· τὸ ἐν τῇ Βοστίτζᾳ μετόχιον μετὰ τῶν τόπων αὐτοῦ καὶ ὅσα ἄλλα ἐν τῇ ἐπαρχίᾳ Παλαιῶν Πατρῶν καὶ ταῖς ὑποκειμέναις αὐτῇ ἐπισκοπαῖς ὁμοῦ μετὰ τῶν ἀπηριθμημένων ἀνωτέρω τόπων, οἵτινες εἰσὶν ἀμπέλια, χωράφια, κῆποι καὶ δένδρα, παλαιὰ βασιλικὰ καὶ λοιπῶν χριστιανῶν ἀφιερώματα· ἔτι δὲ καὶ ὅσα ἄλλα ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς ἀπὸ τῆς τῶν χριστιανῶν ἀφιερώσεως προσκτήσεται πράγματα καὶ κτήματα ἡ ἱερὰ μονὴ αὕτη, ἔχωσι μένειν καὶ ταῦτα πάντα ἀναφαίρετα καὶ ἀκαταπάτητα καὶ ἀνεπηρέαστα, ὡς μετόχια τῆς σταυροπηγιακῆς μονῆς ταύτης, μηδενὸς πώποτε τολμῶντος μηδὲ τοῦ κατὰ τόπον ἀρχιερέως Κερνίτζης ἢ ἄλλου τινὸς τὸ παράπαν ἢ πατριαρχικοῦ τινος ἐξάρχου κατεπεμβαίνειν τῆς ἱερᾶς μονῆς ταύτης καὶ ἐνοχλεῖν τοῖς ἐνασκουμένοις αὐτῇ πατράσιν ἢ δόσιν ἀπαιτεῖν παρ' αὐτῶν πολλὴν ἢ ὀλίγην ἢ ἐπὶ προφάσει ἐξαρχικοῦ δικαιώματος ἢ δι' ἄλλην τινὰ αἰτίαν· ἀλλ' ὑπάρχῃ ἀσύδοτος ἐς τὸ παντελές, μηδενὶ μηδὲν ὀφείλουσα παρέχειν μέχρι καὶ ὀβολοῦ, μνημονευομένου ἐν αὐτῇ ἀεννάως τοῦ πατριαρχικοῦ ὀνόματος, ὑποκειμένη ἀμέσως τῷ καθ' ἡμᾶς οἰκουμενικῷ θρόνῳ καὶ ὑπ' αὐτοῦ μόνου δεσποζομένη, διεξαγομένη τε καὶ κυβερνωμένη ἐν πάσαις αὐτῆς ταῖς χρείαις καὶ ὑποθέσεσιν. οἱ δ' ἐν αὐτῇ συνασκούμενοι πατέρες διάγοντες ἐν ἀνέσει καὶ ἐλευθέρως ὀφείλουσι ζῆν εὐτάκτως καὶ σωφρόνως καὶ κατὰ τὸν ὅρον τοῦ μοναδικοῦ βίου, φροντίζοντες τῆς συστάσεως καὶ αὐξήσεως τῆς ἱερᾶς μονῆς ταύτης. καὶ ἐπειδὰν ἔχωσι χρείαν χειροτονίας, ἔχουσιν ἄδειαν προσκαλεῖν, ὃν ἂν βούλωνται ἐκ τῶν πλησιοχώρων ἀρχιερέων ἐπὶ τῷ ἐκτελεῖν τὰς χειροτονίας αὐτῶν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως, ὡς νενόμισται, ἀλλὰ καὶ ἐν στερήσει ἡγουμένου γενόμενοι ἔχουσιν ἄδειαν ἐκλέγειν ἕνα ἐκ τῆς συνοδίας αὐτῶν τὸν κοινῶς ἀναφανέντα ἄξιον καὶ τοῦτον ἀποκαθιστᾶν ἡγούμενον· τῷ δὲ κατὰ καιροὺς ἡγουμένῳ τῆς μονῆς ταύτης παρέχομεν ἄδειαν σφραγίζειν ἀναγνώστας ἔνδον μόνον τῆς μονῆς αὐτῶν ταύτης[1]) καὶ πρὸς τούτοις παρέχειν ἄδειαν καὶ τοῖς ἀξίοις καὶ ἐμ-

---

[1]) αὐτῶν αὐτῆς Oec.

πείροις ἀναφανεῖσιν ἱερομονάχοις τῆς μονῆς ταύτης δέχεσθαι τοὺς λογισμοὺς τῶν συνασκουμένων πατέρων καὶ προσερχομένων χάριν ἐξομολογήσεως ἐξ αὐτῶν ἔνδον τῆς μονῆς ταύτης, μηδένα δὲ τῶν κατὰ καιροὺς ἡγουμένων ἔχειν ἄδειαν καθιστᾶν ἐπιτρόπους κοσμικοὺς καὶ λαϊκοὺς ἄνδρας ἐπὶ τῷ θεωρεῖν τὰς ἀποθέσεις τοῦ μοναστηρίου αὐτῶν, ἀλλ' ὑπὸ τῆς κοινότητος τῶν πατέρων καὶ μοναστηριακῶν θεωρεῖσθαι καὶ διεκπεραίνεσθαι. τοὺς δὲ καθάπαξ προσηλωθέντας τῇ ἱερᾷ μονῇ ταύτῃ καὶ βαλόντας μετάνοιαν καὶ τὴν κουρὰν ἐν αὐτῇ δεξαμένους μηκέτι τολμᾶν λειποτακτεῖν καὶ ἀναχωρεῖν καὶ φεύγειν ἐξ αὐτῆς χωρὶς ἀδείας τοῦ ἡγουμένου καὶ νομίμου αἰτίας, τὸν δ' ἄλλως τολμήσαντα λειποτακτῆσαι καὶ φυγεῖν, ἱερωμένον[1]) μὲν ὄντα ἔνοχον εἶναι καθαιρέσει, μοναχὸν δὲ ἀφορισμοῦ μέχρι τοῦ ἐπιστρέψαι εἰς τὴν μετάνοιαν αὐτοῦ. ταῦτα γοῦν πάντα τὰ ἀνωτέρω ἐκτεθέντα καὶ διορισθέντα βουλόμεθα ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν μόνιμον καὶ διηνεκῆ ἐς ἀεὶ καὶ διαμένειν ἀπαρεγχείρητα καὶ ἀμετάπτωτα μέχρι παντός. ὃς δ' ἂν τις καὶ ὁποῖος τολμήσῃ διασεῖσαι καὶ ἀνατρέψαι τι τῶν ἐν τῷ παρόντι διορισθέντων καὶ τὴν σταυροπηγιακὴν ἀξίαν καὶ ἐλευθερίαν καὶ τὸ ἀσύδοτον τῆς ἱερᾶς ταύτης μονῆς ὁπωσοῦν ἐπηρεάσαι καὶ ἐνόχλησίν τινα καὶ βίαν καὶ δουλείαν ἐπαγαγεῖν αὐτῇ οἱῳδήτινι τρόπῳ, ἀπ' ἐναντίας φερόμενος τῇ ἐκκλησιαστικῇ καὶ συνοδικῇ ἡμῶν ἀποφάσει ταύτῃ, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου καὶ μακαρίας τριάδος τοῦ ἑνὸς τῇ φύσει μόνου θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ πάσαις ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης· ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα καὶ ἐδόθη τῇ ῥηθείσῃ σεβασμίᾳ μονῇ τοῦ Μεγάλου Σπηλαίου. ἔτει σωτηρίῳ ‚αψμα' μηνὶ μαρτίῳ ἰνδικτιῶνος δ' †.

† Παίσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καισαρείας Γεράσιμος †.
† Νικαίας Καλλίνικος †.
† Κυζίκου Γεράσιμος †.
† Δέρκων Μακάριος †.
† Μελενίκου Κύριος †.
† Μετρῶν Ἄνθιμος †.

† Ἡρακλείας Μελέτιος †.
† Χαλκηδόνος Καλλίνικος †.
† Νικομηδείας Ἄνθιμος †.
† Προύσσης Δανιὴλ †.
† Σωζουπόλεως Θεοφάνης †.
† Ναυπλίας καὶ Ἄργους Νεόφυτος †.

---

[1]) Legendum videtur ἱερομόναχον.

VIII. 7256—1748, 25. mensis junii, ind. XI. et 7293—1785, 25. mensis novembris, ind. III. Bucarestii.

Ioannes Michaël Sutzos, voevoda Ungrovlachiae, monasterio regio in urbe Constantinopoli, dicto Vlach-Serai, donat redditum ex possessionibus in Vlachia.

Ἰωάννης Μιχαὴλ Κωνσταντίνου Σοῦτζος βοεβόδας, ἐλέῳ θεοῦ αὐθέντης καὶ ἡγεμὼν πάσης Οὐγκροβλαχίας.

Ἐπειδὴ καὶ ἡ Βλαχία ἔχει ἐν τῇ βασιλικῇ περιφανεστάτῃ καθέδρᾳ τῆς Κωνσταντινουπόλεως μίαν ἱερὰν μονήν, ὀνομαζομένην Βλὰχ Σαράγι, ἥτις εἶναι καὶ κατάλυμα τῶν αὐθεντικῶν ἀνθρώπων, ὅσοι ὑπάγουσι καὶ ἔρχονται ἐδῶθεν ἐκεῖσε, καὶ ἐπειδὴ ἡ ἱερὰ αὕτη μονὴ δὲν ἔχει κανὲν αὐθεντικὸν ἔλεος μήτε εἰσόδημα ἀπὸ τῆς Βλαχίας, καθὼς ἄλλα μοναστήρια καὶ μοναὶ ἔχουσιν εἰς διάφορα μέρη καὶ ξένα καὶ ἐντόπια, καὶ μηδ' ἐκεῖ εἰς βασιλεύουσαν δὲν ἔχει ἀρκετὴν ἐνορίαν συνοίκων, (καθὼς καὶ ἄλλαι ἔχουσιν ἐκκλησίαι), ἀπὸ τῆς συνδρομῆς τῶν ὁποίων νὰ ἠμπορέσῃ νὰ προφθάσῃ ὅλα τὰ ἀναγκαῖα, καὶ οὕτως εἶναι στερημένη πάσης προμηθείας, ἐκρίναμεν, ὅτι μία μονὴ τοῦ τόπου τῆς Βλαχίας, εὑρισκομένη εἰς τὴν βασιλικὴν καθέδραν, (τὸ ὁποῖον τοῦτο εἶναι πρὸς τιμὴν καὶ χάριν τοῦ τόπου) δὲν εἶναι εὔλογον νὰ ἦναι ἐγκαταλελειμμένη καὶ ἀπεστερημένη πάσης βοηθείας τοῦ τόπου τούτου, ἐν ᾧ θείῳ ἐλέει τόσα καὶ τόσα μοναστήρια ἀλλοδαπῆ βοηθοῦνται καὶ κυβερνῶνται μὲ τὰ ἐλέη τῆς χριστιανικῆς ταύτης ἡγεμονείας, πόσῳ μᾶλλον πρέπει νὰ βοηθῆται καὶ τὸ εἰς αὐτὴν ἀνῆκον ἰδιαιτέρως ἀβοήθητον μοναστήριον. διὸ καὶ διὰ τὸ χρέος, ὅπερ ἔχει ὁ τόπος οὗτος πρὸς τὸ ῥηθὲν ἱερὸν μοναστρήριον, καὶ διὰ τὴν εὐλάβειαν, ἣν ἔχομεν ἡμεῖς πρὸς ὅλα τὰ ἱερὰ σκηνώματα καὶ δι' ὅσην καταβάλλομεν προσπάθειαν εἰς τὸ νὰ βλέπωμεν τά τε ἄλλα ἱερὰ σκηνώματα καὶ τὸ ῥηθὲν ἐντόπιον μοναστήριον μετὰ τῆς ἀπαιτουμένης εὐκοσμίας καὶ χωρὶς ἐλλείψεως τῶν ἀναγκαίων, ἀπεφασίσαμεν ἐξ οἰκείας μας βουλῆς καὶ προαιρέσεως καὶ ἐκδίδομεν τὸ παρὸν ἡμέτερον αὐθεντικὸν χρυσόβουλλον, ἵνα λαμβάνῃ ὁ ὁσιώτατος ἡγούμενος (ὅστις εἶναι κηδεμὼν καὶ κυβερνήτης τῆς ἱερᾶς ταύτης μονῆς) καθ' ἕκαστον χρόνον ἔλεος καὶ εἰσόδημα ἀπὸ τὸν τόπον τοῦτον, ἐκ τῶν 27 δηλαδὴ ποπορίων τῶν ἐν τῷ καδηλικίῳ Ῥωμανατζίου, ἅτινα ποπόρια δὲν εἶναι μέχρι τοῦδε ἀφιερωμένα εἰς κανὲν ἄλλο μοναστήριον, ἀνὰ δύω ἄσπρα εἰς τὸ μέτρον, καθὼς καὶ ἄλλα μοναστήρια καὶ τὸ πάρπαρον κατὰ τὸ σύνηθες, τὰ δὲ λοιπὰ τρία ἄσπρα νὰ μένωσι καὶ αὖθις αὐθεντικά, τὰ ὁποῖα ποπόρια εἶναι τὰ ἐφεξῆς· Δοπρολοβένι, Φατκόγι, Πραγκοβένι, Βαλένι, Πατζόγιουλ,

Πρανέτζουλ, Πρασκοβένι, Δοπρονούλ, Ῥοσιγένι, Ὀσίκα, Κοσοβάνι, Βασιγιόρα, Ποπουζελέστι, Πρίζπα Ἀπιλέβι, Κιζδαβέστι, Μαρσάνι, Γκαλέσουλ, Σορόϊ Παρτάβου, Δοπροτέστι, Ζβόρκλα, Ἀμαρέστι δὲ σούς, Κέζος Τζελέγιουλ, Πούπιτζουλ, Στούδικα, Ῥέδια, Γκιρπόβου βέρδε. ὡσαύτως νὰ λαμβάνῃ καὶ ἀπὸ τὸ καδηλῆκι τοῦ Γκορζίου ἐκ τῶν 89 ποπορίων, τῶν μὴ εἰσέτι ἀφιερωμένων, πάλιν ἀνὰ δύω ἄσπρα τὸ μέτρον καὶ τὸ πάρπαρον κατὰ τὸ σύνηθες, ἤτοι ἀπὸ Πράτουγια, Ῥάσινα, Ῥογκόσινα, Βιέσανι, Παρχουλ, Καμινέστι, Κοζοτζένι, Δετζέστι, Βατέστι, Γκολδιάνου, Τζέπουλ, Σουρπάψιλη, Τρουπάψι, Πουζέστι, Γκρούγιουλ, Δὶν πλάσα Τζιλότλουϊ, Διάλου Πλοποσόρου, Πεστζιάνα, Πελτιάνου, Βλαδουλιάνι, Τζιάρα, Κούκα, Κορνέστιϊ, Στροέστι, Λιψόρα, Ἀρκάνι, Παλτισόρα, Ῥίγκουλ, Λιλέστι, Ἀμιξένι διάλου παλάνιλορ, Πορτζάνι, Μοσνένι, Πιρνέτζι, Σιμποτίνουλ, Χουρέζουλ, Σκέλλα, Περκουρίλε, Διάλουλ πατρίνι, Σαργκόγιουλ ἢ Ῥουτζιβαλάρ, Κοὺρ πάνουλ πιρσέστι, Τίργου Ζίγιουλουϊ, Βλαδιμίρ, Πετζένι, Πατζόστι, Ζικόγιουτ ὀπίρσιγια, Δὶν πλάσα Ζίγιουλουϊ, Χουραζάνη δὲ Ἀμαράδ, Πισκόγιουλ, Πουσιγιότζι, Κολτζέστι, Τινδολέστι, Γκιτζέστι, Νεγκρένι διντλάσα, Ἀμερέζι δὲ σούς, Ζκάρδα περέστι, Ποπέστι, Ῥακίτα, Σάκα, Λικουρίτζιϊ, Γκλαβιάνι, Ποζάρουλ, Πογιάνα, Σετζουρίλα, Ἀλούνουλ, Ῥοσίγια δέζος, Σιτόγια, Περτζένι, Τζοκάδι, Ποτζοβάλεστε, Ζοστλέστι, Παρέστι, Ποκοάραλε, Τζουπέρτζιλε, Πουντζέστιϊ, τὸ Παρζόγιουλ ὅλον τῆς πλάσας Χάρμε ῥίζουνι, Γιουράτζι, Διάλου βαλέστι, Κορμανέστι, Πικοόσα, Πλασόγια, Τελέτζιϊ, Διάλουλ μαΐτζιλορ, Διάλου Γκουράνι, Πίλτα, Ἰζβάρκα, Διάλου Κοτένι, Διάλου Κολτζέστι δὶν πλάσα Τισμένι. διὰ ταῦτα ὁ ὁσιώτατος ἡγούμενος, ὅστις κατὰ καιρὸν ἐπιστατεῖ εἰς τὸν καιρὸν τοῦ εἰσοδήματος ἔχει νὰ διορίζει ἐπίτροπόν του, ὅστις νὰ συμπεριέρχηται μετὰ τῶν αὐθεντικῶν βιναριτζέριδων, καὶ συγκαταγράφῃ τὴν ποσότητα τῶν μέτρων ἐκείνων, ὅσοι πληρώνουσιν βιναρίτσιον, καὶ ἐκ τῶν πέντε ἄσπρων εἰς τὸ μέτρον, ὅσα συνήθως λαμβάνονται, τρία ἄσπρα νὰ τὰ λαμβάνωσιν οἱ αὐθεντικοὶ βιναρετζέριδες, τὰ δὲ λοιπὰ δύω ἄσπρα καὶ τὸ πάρπαρον νὰ τὰ λαμβάνῃ ὁ διωρισμένος ἐπίτροπος τοῦ μοναστηρίου, χωρὶς νὰ ἔχωσι νὰ ἐπεμβαίνωσι παντάπασιν οἱ αὐθεντικοὶ βιναριτζέριδες εἰς τὸ μέρος τοῦ μοναστηρίου. ἐκ τούτων δὲ τῶν ἄσπρων τοῦ βιναριτζίου τοῦ μοναστηρίου, ὅσα συναχθῶσιν ἀπὸ τὰ δύω ταῦτα καδηλίκια, χρεωστεῖ νὰ δίδει ὁ ἡγούμενος τοῦ Βλὰχ Σαραγίου εἰς τὸ νέον νοσοκομεῖον τὰ Θεραπεῖα καθ' ἕκαστον χρόνον ἀνὰ διακόσια γρόσια εἰς σύστασιν ἑνὸς πνευματικοῦ πρὸς παρηγορίαν καὶ ψυχικὴν θεραπείαν τῶν ἐκεῖσε ἀρρώστων καὶ μνημόσυνον τῶν ἀφιερωτῶν· τὰ δὲ λοιπὰ ἄσπρα, ὅσα ἤθελαν συναχθῶσι, νὰ δαπανῶνται εἰς πληρωμὴν τῶν πρὸς εὐπρέπειαν τῆς ἐκκλησίας ψαλτῶν καὶ τῶν λοιπῶν ἀναγκαίων τῇ ἐκκλησίᾳ. ὀφείλουσι δὲ ὅ τε ἡγούμενος καὶ οἱ ἐφημέριοι νὰ μνημονεύωσι δεόμενοι ἐν ταῖς

ἱεραῖς λειτουργίαις ὑπὲρ εἰρήνης καὶ καλῆς καταστάσεως καὶ ἀφθόνου καρποφορίας καὶ σωτηρίας τοῦ ὀρθοδόξου πληρώματος καὶ τόπου τῆς Βλαχίας. καὶ δὴ ἀξιοῦμεν καὶ τοὺς ἀδελφοὺς ἡμῶν αὐθέντας, ὅσοι μεθ' ἡμᾶς ἀξιωθῶσι τῆς ἐξουσίας τοῦ αὐθεντικοῦ τούτου θρόνου, ἵνα συμφώνως ἀνανεόνωσι καὶ ἐπικυρόνωσι τὸ ἔλεος τοῦτο, τὸ ὁποῖον κατὰ δίκαιον λόγον ἐχορηγήθη τῷ ῥηθέντι ἱερῷ μοναστηρίῳ· οὕτω γὰρ καὶ τὰ τῆς ἐκλαμπρότητός των χρυσόβουλλα καὶ ἐλέη ἔσονται παρ' ἄλλοις αὐθένταις ἰσχυρὰ καὶ κύρια καὶ σεβάσμια. ἐπεκυρώσαμεν δὲ τὸ παρὸν ἡμέτερον χρυσόβουλλον καὶ τῇ ἰδίᾳ τῆς ἡμετέρας αὐθεντίας ὑπογραφῇ. Ἰωάννης Μιχαὴλ Κωνσταντίνου Σοῦτζος βοεβόδας καὶ τῇ τῶν φιλτάτων ἡμῶν τέκνων, Ἰωάννου βοεβόδα, Γρηγορίου βοεβόδα καὶ Ἀλεξάνδρου βοεβόδα. ὡσαύτως καὶ πάντων ἁπαξαπλῶς τῶν τιμιωτάτων καὶ εὐγενεστάτων ἀρχόντων τῶν πρώτων τοῦ ἡμετέρου διβανίου, πὰν Δημητρίου Γκίκα, μεγάλου μπάνου. πὰν Στεφάνου Βραγκοβάνου, μεγάλου βορνίκου τῆς Ἄνω Τζάρας. πὰν Γιανάκη Μουρούζη, μεγάλου βορνίκου τῆς Κάτω Τζάρας. πὰν Μανολάκη Βρακοβάνου, μεγάλου λογοθέτου τῆς Ἄνω Τζάρας. πὰν Γρηγορίου Παλιάνου, μεγάλου λογοθέτου τῆς Κάτω Τζάρας. πὰν Γρηγορίου Παλασάκη, μεγάλου σπαθάρη. πὰν Γιανάκη Βακαρέσκου, μεγάλου βιστιάρη. πὰν Ἀλεξάδνρου, μεγάλου ποστελνίκου. πὰν Γεωργίου Σούτζου, μεγάλου κλουτζιάρη. πὰν Δημητρίου Ῥακοβίτζα, μεγάλου παχαρνίκου. πὰν Ἰωάννου Πραϊλόη, μεγάλου στολνίκου. πὰν Ἀλεξάνδρου Μάνου, μεγάλου καμαράση. πὰν Γρηγορίου Δούνα, σλουστιάρη. πὰν Κωστάκη Παλατζάνου, μεγάλου πιτάρη. διατάσσομεν τὸν πὰν Μανωλάκη Βραγκοβάνον, μεγάλον λογοθέτην ἐκτελεστήν. ἐγράφη τὸ παρὸν ἡμέτερον χρυσόβουλλον κατὰ τὸ β' ἔτος τῆς πρώτης ἡμῶν αὐθεντείας ἐνταῦθα ἐν τῇ πρωτευούσῃ πόλει καὶ καθέδρᾳ ἡμῶν Βουκουρεστίῳ τῆς Βλαχίας κατὰ τὸ 1784 ἔτος τὸ σωτήριον, ἰουνίου 25.

Ἰωάννης Μιχαὴλ Κωνσταντίνου Σοῦτζος Βοεβόδας, ἐλέῳ θεοῦ αὐθέντης καὶ ἡγεμὼν πάσης Οὐγγροβλαχίας. Προσθήκη. Ἰωάννης Μιχαὴλ Κωνσταντίνου Σοῦτζος κτλ.

Ἐπειδὴ καὶ ἐκ τῶν ἄνω ῥηθέντων ποπορίων τέσσαρα εὑρέθησαν πρὸ καιροῦ ἀφιερωμένα εἰς τὸ ἱερὸν μοναστήριον Πίστριτζας, ἀντ' ἐκείνων ἐπιβραβεύομεν εἰς τὴν μονὴν τοῦ Βλὰχ Σαραγίου νὰ λαμβάνῃ ἀπὸ τὰ ποπόρια Λέουλ καὶ Ῥοκοβίτζα τῶν ἐν τῷ Ῥωμανατζίῳ ἀνὰ τρία ἄσπρα τὸ μέτρον, ἐπειδὴ καὶ τὰ λοιπὰ δύο ἄσπρα καὶ τὸ πάρπαρον εἶναι ἀφιερωμένα εἰς ἄλλο μοναστήριον. 1785 νοεμβρίου 25.

IX. 7277—1769, mense februario, ind. II. Bucarestii.

Ioannes Gregorius Gkika, voevoda Ungrovlachiae, donat monasterio ecclesiam dictam Blach-Serai in urbe Constantinopoli.

Ἰωάννης Γρηγόριος Ἀλεξάνδρου Γκίκας βοεβόδας, ἐλέῳ θεοῦ αὐθέντης καὶ ἡγεμὼν πάσης Οὐγκροβλαχίας.

Μέγιστον ὄντως καὶ ἐπαινετὸν παρά τε θεῷ καὶ ἀνθρώποις τὸ τῆς ἐκκλησιαστικῆς εὐκοσμίας μεριμνᾶν τοὺς ἐν ἀρχῇ ὄντας καὶ τῆς τῶν ἱερῶν καταγωγίων συστάσεως καὶ βελτιώσεως φροντίζειν καὶ τῆς καλῆς διαγωγῆς αὐτῶν κήδεσθαι, καὶ μέγιστον καύχημα πρὸς θεὸν οἱ οὕτω διακείμενοι κέκτηνται, καὶ ἐν ἀγαλλιάσει ψυχῆς κατὰ τὸν προφητάνακτα Δαβὶδ μετὰ παρρησίας τῷ θεῷ ἐκβοῶσι· „Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου", καὶ τὴν ἑαυτῶν σωτηρίαν διὰ τοῦτο θαρροῦσι παρὰ θεοῦ ζητεῖν λέγοντες. „μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου." ὥστε οἱ περὶ τὴν σύστασιν τῶν ἱερῶν καταγωγίων προσανέχοντες καὶ τῆς τούτων συστάσεώς τε καὶ εὐπρεπείας ἐφιέμενοι εὐτόλμως παρὰ θεοῦ τὴν ἄφεσιν τῶν ἑαυτῶν ἁμαρτιῶν ἐξαιτοῦνται, ἐξιλεούμενοι τὴν αὐτοῦ ἀγαθότητα διὰ τῆς πρὸς τοὺς ἱεροὺς αὐτοῦ ναοὺς μερίμνης τε καὶ ἐπιμελείας, καὶ μάλα δικαίως, ἐν αὐτοῖς γὰρ ὑμνεῖται τὸ ἅγιον αὐτοῦ ὄνομα καὶ δοξολογεῖται παρὰ πάντων τῶν εὐσεβῶν μετὰ συντριβῆς καρδίας καὶ ταπεινώσεως. αὐτῆς τοίνυν ταύτης τῆς ἐκκλησιαστικῆς εὐκοσμίας κατὰ μίμησιν τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου θείου ἡμῶν Ἰωάννου Γκίκα βοεβόδα καὶ λοιπῶν φιλελεημόνων ἀδελφῶν ἡμῶν αὐθεντῶν φροντίζοντες καὶ ἡμεῖς κατ' ὀφειλὴν ἀπαραίτητον καὶ τῆς ἱερῶν καταγωγίων συστάσεως ὑπέρ τι ἄλλο ἐφιέμενοι ἔγνωμεν, ὡς θεόθεν τὴν διοίκησιν τοῦ αὐθεντικοῦ θρόνου τῆς Δακίας λαχόντες καὶ τὰς αὐθεντικὰς αὐτῆς ἡνίας διέποντες, τὴν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κειμένην ἱερὰν ἐκκλησίαν εἰς τὸ Βλὰχ Σαράγιον κατὰ τὸν Ταχτὰ Μιναρὲ σεμνυνομένην ἐπ' ὀνόματι τῆς θεοτόκου Κοιμήσεως, ἰδίαν οὖσαν τῆς αὐθεντείας Οὐγκροβλαχίας, προσηλῶσαι καὶ ἀφιερῶσαι τῇ ἐν Πελοποννήσῳ οὔσῃ σεβασμίᾳ μονῇ βασιλικῇ τε καὶ πατριαρχικῇ τῆς ὑπεραγίας θεοτόκου τῆς ἱστορηθείσης ὑπὸ τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ, ἐπικαλουμένῃ τοῦ Μεγάλου Σπηλαίου, ἐπὶ τῷ ἐπισκέπτεσθαι παρὰ τῶν ὁσιωτάτων πατέρων τῆς αὐτῆς μονῆς, διακυβερνᾶσθαί τε καὶ διεξάγεσθαι διὰ παντὸς πρὸς σύστασιν αὐτῆς κρείττονα καὶ εὐκοσμίαν καὶ αὔξησιν καὶ βελτίωσιν καὶ δι' αὐθεντικοῦ ἡμῶν χρυσοβούλλου τὴν ἀφιέρωσιν ταύτην ἐπικυρῶσαι ἐπὶ τῷ ἔχειν διὰ παντὸς τὸ μόνιμον καὶ τὸ εἰς αἰῶνα τὸν ἅπαντα ἀμετάτρεπτον καὶ ἀμεταποίητον, συμψήφων ὄντων ἐπὶ τῇ ἀποφάσει ἡμῶν ταύτῃ,

ὡς ὅλως θεαρέστῳ καὶ ἐνθέου ζήλου πλήρει, καὶ τῶν φιλτάτων ἡμῶν υἱῶν. καὶ δὴ γράφοντες ἀποφαινόμεθα μετὰ τῶν περὶ ἡμᾶς πιστῶν ἀρχόντων τοῦ ἡμετέρου αὐθεντικοῦ διβανίου, τοῦ τε δηλαδὴ μεγάλου βορνίκου Κωνσταντίνου Κρετσουλεσκούλου, μπάνου Παύλου Καταχουζηνοῦ, βορνίκου Ῥάδου Βαχαρέσκου, μεγάλου σπαθάρη Δημητράκη Γκίκα, μεγάλου λογοθέτου Σωτηρίου Στιρμπέη, μεγάλου βεστιάρη Μιχαὴλ Καταχουζηνοῦ, παχαρνίκου Νικολάου Στιρμπέη, στολνίκου Στεφάνου Τοπλιτζάνου, Κωστάκη Κομίσου καὶ Χριστοδούλου λογοθέτου β', ὅπως ἡ ῥηθεῖσα ἐκκλησία τῆς ὑπεραγίας θεοτόκου τῆς Κοιμήσεως, ἡ ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κειμένη πλησίον τοῦ Ταχτὰ Μιναρὲ εἰς τὸ Βλὰχ Σαράγιον, μετὰ τῶν περὶ αὐτὴν ὀσπητίων καὶ περιοχῶν καὶ πάντων ὧν κέκτηται κτημάτων ἀφιερωμένη εἴη, λέγηταί τε καὶ γνωρίζηται ἀφιέρωμα τῆς σεβασμίας ταύτης μονῆς τοῦ Μεγάλου Σπηλαίου, παρ' αὐτῆς διεξαγομένη καὶ κυβερνωμένη ὡς μετόχιον αὐτῆς, μενούσης τῆς ἀφιερώσεως ταύτης αὐτῇ ἀναποσπάστου καὶ ἀναφαιρέτου εἰς αἰῶνα τὸν ἅπαντα. ἀξιοῦμεν δὲ καὶ τοὺς μεθ' ἡμᾶς ἀδελφοὺς αὐθέντας τοὺς ἀναδεξομένους τὴν ἡγεμονικὴν διοίκησιν τοῦ αὐθεντικοῦ τούτου θρόνου τῆς Οὐγκροβλαχίας κατὰ μίμησιν τοῦ διαληφθέντος ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου θείου ἡμῶν, ὡς πρωταιτίου ὄντος αὐτῆς τῆς ἀφιερώσεως, μηδόλως διασεῖσαι καὶ ἀνατρέψαι τὴν ἀφιέρωσιν ταύτην, ἀλλ' ἐπικυρῶσαι καὶ βεβαιῶσαι πρὸς ψυχικὴν αὐτῶν σωτηρίαν ἄνεσίν τε καὶ ἀγαλλίασιν. ἐπὶ τούτῳ γὰρ ἐξεδόθη καὶ τὸ παρὸν ἡμέτερον ἐν μεμβράνῃ χρυσόβουλλον καὶ ἐπεδόθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῆς θαυματοβρύτου εἰκόνος τῆς ὑπεραγίας θεοτόκου.

,αψξθ' ἐν μηνὶ φεβρουαρίῳ. Ἐγράφη ἐν τῷ α' χρόνῳ τῆς Οὐγκροβλαχικῆς ἡμῶν αὐθεντείας ἐν Βουκορεστίῳ.

Γρηγόριος Ἀλέξανδρος Γκίκας βοεβόδας.

X. 7294—1786, mense iulio, ind. IV.

Patriarcha Procopius et synodus probant unionem monasterii S. Georgii, dicti Carypi, cum monasterio dicto Mega Spelaeon.

† Προκόπιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Πάντα τὰ αἰτήματα τὰ πρὸς σύστασιν ἱερῶν καὶ σεβασμίων μοναστηρίων καὶ θείων καταγωγίων καὶ σκηνωμάτων ἀποδέχεσθαι δεῖ καὶ συνιστᾶν καὶ ἐπικυροῦν γράμμασιν ἐκκλησιαστικοῖς καὶ τὸ μόνιμον ἐπάγειν αὐτοῖς καὶ ἀσφαλὲς

τρόποις ἐνοῦσι, τιμᾶν τε τὰ ἱερὰ ἑκασταχοῦ κείμενα καὶ σεβάσμια μοναστήρια ἐπ' εὐλόγοις αἰτίαις κανονικῶς καὶ δυναστωτέρας διαφενδεύσεως καὶ ὑπερασπίσεως ἀξιοῦν καὶ τὰ πρὸς αὔξησιν καὶ βελτίωσιν ἐκείνων ἐπινοεῖν καὶ ἐφευρίσκειν εἰς διηνεκῆ αὐτῶν διαμονὴν καὶ συντήρησιν· οἷς γὰρ τῶν θείων καὶ ἱερῶν σκηνωμάτων μέμηλε φροντίς, τούτους προσήκει ἐναβρύνεσθαι καὶ φιλοτιμεῖσθαι μὴ ἐφ' οἷς ὁ πόρος διαρκῶς καὶ βεβαίως τὰ πρὸς διαμονὴν ἔχει, ἀλλὰ μάλιστα τὴν ἐπιμέλειαν καταβλητέον περὶ ἐκεῖνα, ὅσαπερ ἂν ἀπόρως ἔχοντα ἐν κινδύνῳ καταστῇ ἀπωλείας, καὶ μὴ μόνον αὐτοὺς τοῦτο ποιεῖν, ἀλλὰ καὶ εἴ τινες ἄλλοι τοιαύτης ἐπιμελείας ὑπομνήσκειεν, ἀποδέχεσθαί τε καὶ ἐς δύναμιν ἐπικυροῦν. αὕτη οὖν ἡ ἐπιμέλεια γεγένηται ἤδη καὶ περὶ τὸ κατὰ τὴν ἐπαρχίαν Χαλκηδόνος ἐν τῇ νήσῳ Ἀντιγόνου ἱερὸν καὶ σεβάσμιον μοναστήριον, ἐπ' ὀνόματι τιμώμενον τοῦ ἁγίου ἐνδόξου μεγαλοκάρτυρος Γεωργίου· οἱ γὰρ χρήσιμοι μαγίστορες ἐκ τοῦ ῥουφετίου τῶν καπήλων, τῶν δουλευόντων ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κατὰ τὸ Φανάριον, δηλαδὴ Τζουπαλῆ, Παλατᾶ, Κοντοσκάλλιον καὶ Ὑψωμαθεῖα, παραστάντες ἐνώπιον τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, ἀνήγγειλαν καὶ ἐξετραγῴδησαν τὰ κατὰ τὸ μοναστήριον τοῦτο δυστυχήματα· πρὸ χρόνων γάρ τινων εἶχον περιποιούμενοι αὐτὸ καὶ ἀγωνιζόμενοι καὶ προθυμούμενοι εἰς ἀνάκτησιν τούτου, μὴ κατορθωμένου δὲ αὐτοῖς τοῦ σκοποῦ, ἀλλὰ καὶ μᾶλλον ἐρημώσεως ἐπαπειλουμένης, τελευταῖον ἰδίᾳ αὐτῶν γνώμῃ καὶ θελήσει ᾐτήσαντο θερμῶς, συνενῶσαι αὐτὸ τοῦτο τὸ μοναστήριον τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ ἱερῷ καὶ σεβασμίῳ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, Μεγασπήλαιον ἐπικεκλημένῳ, εἰς ἀνάσωσιν αὐτοῦ· καὶ δῆτα τὴν ἀφιέρωσιν αὐτῶν ταύτην ἐζήτησαν ἐπικυρωθῆναι καὶ κατασφαλισθῆναι διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἐν μεμβράναις σιγιλλιώδους γράμματος εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἵνα μὴ τῇ τοῦ χρόνου παρατάσει εἰς λήθης ἐμπέσῃ βυθὸν καὶ ἐξίτηλα γένηται ἡ τούτων ἀφιέρωσις. διὸ τὴν αἴτησιν αὐτῶν ταύτην εὐμενῶς ἀποδεξάμενοι, εὔλογον οὖσαν καὶ πρὸς ὠφέλειαν καὶ βελτίωσιν τοῦ ῥηθέντος μοναστηρίου ἀφορῶσαν, κοινῇ καὶ συνοδικῇ διαγνώσει γράφοντες ἀποφαινόμεθα μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν σεβάσμιον μοναστήριον τὸ ἐν τῇ νήσῳ Ἀντιγόνου τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, πάλαι ποτὲ ὑπὸ τὴν ἐπίσκεψιν ὑπάρχον τοῦ ῥουφετίου τῶν καπήλων, ὡς διὰ κοινῆς αὐτῶν γνώμης καὶ θελήσεως καὶ προαιρέσεως ἀφιερωθὲν καὶ προσηλωθὲν τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ ἱερῷ μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου, μετὰ πάντων τῶν σκευῶν καὶ κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν τε καὶ ἀκινήτων, τῶν

τε ἤδη ὄντων ἀμπελίων τε καὶ κήπων (μπαχσέδων) καὶ τῶν εἰσέπειτα προσκτηθησομένων, ὑπάρχη ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπὸ τὴν ἐπίσκεψιν καὶ προστασίαν τῶν ὁσιωτάτων πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου καὶ λέγηται καὶ γνωρίζηται μετόχιον ἐκείνου, συνηνωμένον καὶ προσηλωμένον καὶ ἀφιερωμένον ἐκείνῳ, δεσποζόμενον καὶ διακυβερνώμενον παρὰ τοῦ κατὰ καιροὺς ἐνταῦθα εἰς βασιλεύουσαν τὴν διατριβὴν ποιουμένου ἡγουμένου τοῦ Μεγάλου Σπηλαίου καὶ τῶν ἐν αὐτῷ πατέρων, ὀφείλοντος καὶ προθυμοποιουμένου ἀντιλαμβάνεσθαί τε τούτου ἀμφοτέραις χερσὶ καὶ ζεούσῃ προθυμίᾳ φροντίζειν τὰ πρὸς καλλωπισμὸν καὶ σύστασιν καὶ ἐπὶ τὰ πρόσω αὔξησιν καὶ βελτίωσιν αὐτοῦ, μηδενὶ μηδὲν ὀφείλοντος διδόναι, εἰ μὴ τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ κυριάρχῃ καθ' ἕκαστον ἔτος δεκαὲξ γρόσια λόγῳ ἐνοριαρχῆς ὑποταγῆς, ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, κυρίῳ Παρθενίῳ, μνημονευομένου ἐν αὐτῷ τοῦ ἀρχιερατικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς κατὰ τόπον προϊσταμένου. ὀφείλουσι δὲ οἱ ῥηθέντες μαγίστορες [τοῦ ῥουφετίου] τῶν καπήλων διδόναι κατ' ἔτος ὑπὲρ μνημοσύνου καὶ ψυχικῆς αὐτῶν σωτηρίας ἕκαστον μέρος (σέμπτιον) ἐκ τῶν τριῶν ἀνὰ ἑκατὸν γρόσια, συμποσούμενα τὰ πάντα εἰς τριακόσια γρόσια. καὶ δὴ διατρίβοντος ἤδη ἐν Κωνσταντινουπόλει καὶ ὄντος ἡγουμένου τοῦ ῥηθέντος μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις κυρίου Βησσαρίωνος, παρέδωκαν οἱ ῥηθέντες μαγίστορες πρὸς αὐτὸν τοῦτ' αὐτὸ τὸ μοναστήριον, ὅστις καὶ ὑπέσχετο φροντίζειν τὰ πρὸς σύστασιν, αὔξησίν τε καὶ βελτίωσιν αὐτοῦ καὶ τὰ πρὸς καλλωπισμὸν καὶ εὐτρέπειαν κατὰ τὴν ἐνοῦσαν ἐπ' αὐτῷ τούτῳ ἐπιμέλειαν. χρείας τε γενομένης ἐπισκευῆς καὶ ἀπαρτισμοῦ ἔχειν αὐτὸν τοῦτον τὸν ἡγούμενον τὴν φροντίδα περὶ πάντων τῶν γενησομένων ἐξόδων καὶ δαπανημάτων, μηδενὸς ἑτέρου ἱερωμένου ἢ λαϊκοῦ ἔχοντος εἰς τὸ ἑξῆς μετοχήν τινα ἢ ἐξουσίαν εἰς αὐτὸ τὸ μοναστήριον, εἰ μὴ μόνον αὐτῶν τῶν πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ὡς γνωριζόμενον καὶ λεγόμενον μετόχιον αὐτοῦ καὶ κτῆμα ἴδιον καὶ πρᾶγμα ἀναφαίρετον καὶ ἀναπόσπαστον. ὑπέσχετο δὲ ὁ διαληφθεὶς νῦν ἡγούμενος καὶ τοῦτο, ὅτι, ἐάν ποτε ἰδίᾳ γνώμῃ καὶ προαιρέσει καὶ συγκατανεύσει τῶν ὁσιωτάτων πατέρων τοῦ εἰρημένου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου παραιτηθῇ τῆς ἐπισκέψεως καὶ φροντίδος αὐτοῦ τοῦ μοναστηρίου τοῦ ἁγίου Γεωργίου, ἢ αὐτὸς ἢ ὁ κατὰ καιροὺς ἡγούμενος, μὴ ἔχειν αὐτοὺς ἐξουσίαν διδόναι τὸ ῥηθὲν μοναστήριον ἄλλῳ τινὶ ἢ ἐσναφίῳ ἢ μοναστηρίῳ, εἰ μὴ μόνον τοῖς ῥηθεῖσι μαγίστορσι τοῦ ῥουφετίου τῶν καπήλων, παρ' ὧν ἔλαβον τοῦτο. ἐπειδὰν δὲ ἐν στερήσει ἡγουμένου γένηται, ἔχουσιν οἱ πατέρες τοῦ

εἰρημένου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου αἱρεῖσθαι καὶ ἐκλέγειν καὶ ἀποκαθιστᾶν κοινῇ γνώμῃ αὐτῶν τὸν σεμνότερον καὶ ἀξιώτερον ἀναφανέντα. ὅστις δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ καὶ τολμήσῃ μετακινῆσαί πως καὶ ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐπικυρωθέντα περὶ τοῦ εἰρημένου μοναστηρίου, μετοχίου γεγονότος τοῦ ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ κατὰ τὴν Πελοπόννησον Μεγάλου Σπηλαίου, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἐν μεμβράναις γράμμα καὶ σταυροπηγιασθὲν καὶ καταστρωθὲν ἐν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας. ἐδόθη τῷ ῥηθέντι ἡγουμένῳ, κυρίῳ Βησσαρίωνι, ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ κατὰ μῆνα ἰούλιον ἐπινεμήσεως δ' †.

† Προκόπιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐφέσου Σαμουὴλ †.
† Ἡρακλείας Μεθόδιος †.
† Νικομηδείας Ἀθανάσιος †.
† Δέρκων Ἀνανίας †.
† Ἀδριανουπόλεως Καλλίνικος †.
† Κυζίκου Ἀγάπιος †.
† Χαλκηδόνος Παρθένιος †.
† Θεσσαλονίκης Ἰάκωβος †.
† Δράμας Γρηγόριος †.
† Ναυπλίου Μελέτιος †.

XI. 7300—1792, mense ianuario, ind. X.

Patriarcha Neophytus confirmat, monasterium Sancti Georgii, dicti Carypi, in insula Antigoni, esse stauropegicum et unitum cum monasterio dicto Mega Spelaeon.

† Νεόφυτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἡ κηδεμονία καὶ πρόνοια τῶν ἁγίων ἐκκλησιῶν καὶ τῶν ἱερῶν καὶ σεβασμίων μοναστηρίων, τῶν εἰς δόξαν θεοῦ καὶ μνημόσυνον αἰώνιον τῶν ὀρθοδόξων κατὰ καιροὺς ἀνεγηγερμένων παρὰ φιλοθέων καὶ εὐσεβῶν ἀνδρῶν τῶν ἠγαπηκότων ἐξαιρέτως τὴν εὐπρέπειαν τῶν τοῦ θεοῦ σκηνωμάτων, οὐ μόνον ὀφειλομένη ἐστὶ καὶ χρειώδης τοῖς παρ' αὐτοῦ ἠξιωμένοις τὴν προστασίαν καὶ μέριμναν καὶ διοίκησιν τῶν τοιούτων εὐαγῶν οἴκων, ἀλλὰ καὶ πρὸ πάντων τῶν ἄλλων

ἀναγκαιοτάτη καθέστηκεν· ὅσα γὰρ συνιστῶσι τὴν εὐσέβειαν καὶ τὴν τοῦ Θεοῦ καθαρὰν λατρείαν χαρακτηρίζουσι καὶ πᾶσαν ἀρετὴν καὶ θεογνωσίαν τοὺς μυουμένους ἐκδιδάσκουσι καὶ τὴν τῶν ψυχῶν σωτηρίαν ἐπιβραβεύουσιν, ἐν τούτοις τοῖς ἱεροῖς σκηνώμασι διενεργεῖσθαι ὀφείλουσι καὶ διεκπεραιοῦσθαι· ταύτῃ τοι καὶ ἡ τούτων διαδοχὴ καὶ συντήρησις ζέοντι πόθῳ φιλοθέως ἀνέκαθεν ἐσπουδάζετο τοῖς εὐαγγελικῶς προϊσταμένοις τοῦ ὀρθοδόξου λαοῦ, καὶ ἡ τούτων σύντονος μέριμνα καὶ φροντὶς οὐ διέλιπέ ποτε ἀπαραιτήτως ἐνεργουμένη· καὶ γὰρ ἀπρονόητα ἐναπομείναντα καὶ τῆς προσηκούσης κηδεμονίας ἐστερημένα εἰς φθορὰν παρεκτρέπεται καὶ κατὰ μικρὸν ἐξίτηλα γίνεται καὶ τῷ τῶν ὀρθοδόξων πληρώματι μεγάλη βλάβη καὶ ζημία προστρίβεται. διὸ καὶ ἡ μετριότης ἡμῶν, κατὰ θείαν νεῦσιν τοὺς πνευματικοὺς οἴακας τοῦ παγκοίνου σκάφους ἐγκεχειρισμένη, οὐ διαλείπει ἀποδέχεσθαι εὐμενῶς τὰς θεοφιλεῖς αἰτήσεις τὰς ὑπὲρ τῶν ἱερῶν σκηνωμάτων γινομένας ἐπὶ τῷ κατασφαλίζεσθαι αὐτὰς καὶ ἐπικυροῦσθαι εἰς διαμονὴν καὶ συντήρησιν τῶν ἱερῶν καταγωγίων· καὶ γὰρ προσεκομίσθη ἡμῖν καὶ πάσῃ τῇ περὶ ἡμᾶς ἀδελφότητι καὶ ἁγίᾳ συνόδῳ ἓν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐκδοθὲν ἐπὶ τοῦ προκατόχου ἡμῶν κατὰ τὸ παρεληλυθὸς χιλιοστὸν ἑπτακοσιοστὸν ὀγδοηκοστὸν ἕκτον σωτήριον ἔτος, κατὰ μῆνα ἰούλιον, ἐπινειμήσεως τετάρτης, περιέχον, ὅτι τὸ κατὰ τὴν ἐπαρχίαν Χαλκηδόνος ἐν τῇ νήσῳ Ἀντιγόνου κείμενον ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τιμώμενον ἐπ' ὀνόματι τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, οἱ χρήσιμοι μαγίστορες τοῦ ῥουφετίου τῶν καπήλων τῶν δουλευόντων ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κατὰ τὸ Φανάριον, δηλαδὴ Τζουπαλῆ καὶ Παλατᾶ καὶ Κοντοσκάλλιον καὶ Ὑψωμαθεῖα, θεῖον ζῆλον ἀναλαβόντες περιποιήσαντο αὐτὸ καὶ οὐκ ὀλίγους ἀγῶνας κατέβαλον εἰς ἀνάκτησιν αὐτοῦ. τοῦ δὲ σκοποῦ αὐτῶν μὴ εἰς ἔκβασιν ἐλθόντος ᾐτήσαντο ἐνθερμῶς, συνενῶσαι αὐτὸ τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ ἱερῷ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, τοῦ Μεγάλου Σπηλαίου ἐπικεκλημένῳ, εἰς ἀνάσωσιν αὐτοῦ καὶ ἀγαθὴν κατάστασιν, ἐνοριακοῦ μέντοι τυγχάνοντος. καὶ δὴ τὴν ἀφιέρωσιν αὐτῶν ταύτην ἀποδεξάμενοι οἱ τοῦ πατριαρχικοῦ ἡμῶν καὶ σταυροπηγιακοῦ μοναστηρίου ὁσιώτατοι πατέρες, οὐκ ὀλίγους ἀγῶνας καταβαλόντες περιεποιήσαντο πρὸς αὔξησιν καὶ βελτίωσιν αὐτοῦ. ἀλλ' ἵνα διαμένῃ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς ἀναφαίρετον καὶ ἀναπόσπαστον ἀπὸ τοῦ πατριαρχικοῦ ἡμῶν ἐκείνου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ἐξῃτήσαντο ἀναδειχθῆναι καὶ τοῦτο ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακόν, ἐλεύθερον, ἀδούλωτον, ἀκαταπάτητον καὶ ἀνεπηρέαστον καὶ ἀσύδοτον καὶ πάντη ἀνενόχλητον παρὰ παντὸς προσώπου ἱερωμένου καὶ λαϊκοῦ, ἡνωμένον δὲ ἢ προσηλωμένον τῷ πατριαρχικῷ

ἡμῶν μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου, συναινούντων ἐν τούτῳ καὶ τῶν μαγιστόρων ἐκ τοῦ ῥουφετίου τῶν καπήλων καὶ πρὸ πάντων στέργοντος καὶ ἀποδεχομένου τὴν ἕνωσιν ταύτην τοῦ ἱερωτάτου μητροπολίτου Χαλκηδόνος, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ, κυρίου Ἱερεμίου, ὅστις ἰδίαις χερσὶ φέρων ἀπεκόμισεν, οἰκείᾳ αὐτοῦ βουλῇ καὶ αὐθαιρέτῳ γνώμῃ καὶ ἀβιάστῳ προαιρέσει, τὸ ῥηθὲν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐξαιτούμενος κατὰ ζῆλον φιλόθεον τὴν παντελῆ ἐλευθερίαν τοῦ ῥηθέντος μοναστηρίου τοῦ ἁγίου Γεωργίου καὶ τὴν ἐπισφράγισιν τῆς αἰτήσεως τῶν ὁσιωτάτων πατέρων, ὥστε ἀποκατασταθῆναι αὐτὸ ἡμέτερον πατριαρχικὸν σταυροπηγιακὸν μετὰ πάντων τῶν προσόντων αὐτῷ ἀφιερωμάτων καὶ κτημάτων, κινητῶν τε καὶ ἀκινήτων, ἀδούλωτον, ἀσύδοτον καὶ ἀκαταπάτητον, συνηνωμένον δὲ καὶ προσηλωμένον τῷ ἱερῷ μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου καὶ μετόχιον ἐκείνου λεγόμενον ἀναφαίρετον καὶ ἀναπόσπαστον. ταύτην οὖν τὴν ἔνθερμον αἴτησιν αὐτῶν εὐμενῶς ἀποδεξάμενοι καὶ ταῖς προσηκούσαις εὐφημίαις καταστεψάμενοι τὴν αὐτοῦ ἱερότητα καὶ τὸν θεοφιλῆ αὐτοῦ σκοπὸν χριστομιμήτως προσηκάμενοι, ὡς εὔλογον καὶ νόμιμον καὶ πρὸς ὠφέλειαν τοῦ ῥηθέντος ἱεροῦ μοναστηρίου ἀφορῶντα, ἔγνωμεν γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει ἐπινεῦσαι πρὸς τὸ αἴτημα αὐτῶν. τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, τὸ ἐν τῇ νήσῳ Ἀντιγόνου, ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακὸν μοναστήριον μετὰ πάντων τῶν ἱερῶν αὐτοῦ σκευῶν καὶ κτημάτων καὶ ἀφιερωμάτων κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων, ἀμπελίων καὶ κήπων (μπαχτσέδων) καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, προσηλωμένον δὲ καὶ ἡνωμένον ἀναποσπάστως τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ σεβασμίῳ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου, καὶ γνωρίζηται μετόχιον ἐκείνου, δεσποζόμενον καὶ διακυβερνώμενον παρὰ τοῦ κατὰ καιροὺς ἐνταῦθα εἰς βασιλεύουσαν τὰς διατριβὰς ποιουμένου ὁσιωτάτου καθηγουμένου τοῦ Βλὰχ Σαραγίου, μετοχίου τοῦ Μεγάλου Σπηλαίου, καὶ τῶν συνασκουμένων αὐτῷ πατέρων καὶ μόνον ὑπ' αὐτῶν διεξαγόμενον, ἐλεύθερον δέ, ἀδούλωτον, ἀσύδοτον, ἀκαταπάτητον καὶ μηδενὶ μηδὲν ὀφεῖλον διδόναι μήτε τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ κυριάρχῃ τῆς ἐπαρχίας ἐκείνης, ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος, μήτε ἄλλῳ τινὶ προσώπῳ ἱερωμένῳ καὶ λαϊκῷ μεχρὶς ὀβολοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς νενόμισται καὶ

εἴθισται τοῖς παριαρχικοῖς ἡμῶν σταυροπηγιακοῖς μοναστηρίοις, μηδ' ἔχῃ ποτὲ ἄδειαν ὁ κατὰ καιροὺς ἱερώτατος μητροπολίτης Χαλκηδόνος, μηδ' ἄλλος τις ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, ἱερωμένος ἢ λαικὸς ἐπηρεάσαι, ἐνοχλῆσαί τε καὶ καταπατῆσαι τὴν ἐνοῦσαν αὐτῷ σταυροπηγιακὴν ἡμῶν χάριν καὶ ἐλευθερίαν ἢ ὅλως ἀπαίτησίν τινα πολλὴν ἢ ὀλίγην μέχρι καὶ τοῦ ἐλαχίστου προσβαλεῖν ἢ βίαν ἐπενεγκεῖν τοῖς ἐν αὐτῷ συνασκουμένοις πατράσι καὶ ἰδιώταις, ἐφ' οἱαδήτινι αἰτίᾳ καὶ προφάσει. οἱ δὲ ἐν αὐτῷ συνασκούμενοι πατέρες ὀφείλουσι διάγειν ἐν εἰρήνῃ καὶ πολιτεύεσθαι εὐτάκτως καὶ ῥυθμίζειν τὸν ἑαυτῶν βίον κατὰ τὸ μοναδικὸν ἐπάγγελμα καὶ πρὸς τὸν κανόνα τῆς ὀφειλομένης ἀσκήσεως. καὶ ἐπειδὰν ἐν χρείᾳ χειροτονίας ἢ ἀρχιερατικῆς λειτουργίας καὶ μνημοσύνου γένωνται, ἔχουσι πᾶσαν ἄδειαν προσκαλεῖν, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, διὰ πατριαρχικῆς μέντοι ἐκδόσεως, ἐπὶ τῷ ἐκτελεῖν τὰς ἀρχιερατικὰς λειτουργίας καὶ μνημόσυνα καὶ χειροτονίας αὐτῶν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως. ἔτι δὲ ὁ κατὰ καιρὸν προϊστάμενος τοῦ αὐτοῦ μοναστηρίου ἡγουμενεύων, ὡς γηραιὸς καὶ ἄξιος, ἔχῃ ἄδειαν ἐκτελεῖν τὸ τῆς πνευματικῆς πατρότητος ἱερὸν λειτούργημα καὶ ἐξομολογεῖν τοὺς προσερχομένους αὐτῷ συγκοινοβιάτας πατέρας καὶ μοναχοὺς καὶ λοιποὺς χριστιανοὺς ἐντὸς τοῦ ἱεροῦ μοναστηρίου καὶ ἀνερευνᾶν τὰ βάθη τῶν καρδιῶν αὐτῶν δι' ἐκκλησιαστικοῦ μέντοι ἐνταλτηριώδους γράμματος, ὡς νενόμισται. τὰς δὲ ἐκλογὰς καὶ ἀποκαταστάσεις τῶν ἐν αὐτῷ προϊσταμένων καὶ τὰς λοιπὰς μοναστηριακὰς διοικήσεις ἔχωσι ποιεῖν τῇ εἰδήσει καὶ γνώμῃ τῶν πρωτίστων πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, μηδὲν τολμῶντες ἐν μηδενὶ παραβῆναι καὶ ἀθετῆσαι τὴν ἐπιχορηγηθεῖσαν αὐτῷ σταυροπηγιακὴν χάριν καὶ τὴν ἕνωσιν καὶ προσήλωσιν αὐτοῦ πρὸς τὸ ἱερὸν μοναστήριον τοῦ Μεγάλου Σπηλαίου. ὃς δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ οἱῳδήτινι τρόπῳ ἀνατρέψαι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι συνοδικῶς ἀποφανθέντα καὶ ἐπικυρωθέντα καὶ ὑπὸ δουλείαν ἀγαγεῖν καὶ φόρον τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον ἢ ἀποσπᾶσαι ἢ ἀποξενῶσαι ἀπὸ τοῦ ῥηθέντος ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος ὑπάρχει παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου μακαρίας Τριάδος τοῦ ἑνὸς τῇ φύσει καὶ μόνου θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος τῷ αἰωνίῳ ἀναθέματι καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. ταῦτα γοῦν ἀπεφάνθη καὶ κεκύρωται κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν. εἰς δὲ τὴν περὶ τούτων ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ με-

γάλης ἐκκλησίας, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν ἱερὸν ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακὸν μοναστήριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τῷ ἐν τῇ νήσῳ Ἀντιγόνου. ἐν ἔτει ͵αψϛβ′ κατὰ μῆνα ἰανουάριον ἐπινεμήσεως ι′ [1] †.

† Νεόφυτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καισαρείας Γρηγόριος †.
† Ἡρακλείας Μεθόδιος †.
† Νικομηδείας Ἀθανάσιος †.
† Δέρκων Ἀνανίας †.
† Ἐφέσου Σαμουήλ †.
† Κυζίκου Ἀγάπιος †.
† Χαλκηδόνος Ἱερόθεος †.
† Ἄρτης Μακάριος †.

XII. 7306—1798, mense februario, ind. I.

Patriarcha Gregorius V. confirmat jus stauropegicum, iura et privilegia et possessiones monasterii.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὅσα μὲν κατὰ τοὺς θείους θεσμοὺς καὶ τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τυγχάνει διακυβερνώμενα, πολλὴν ἔχουσι τὴν χάριν παρὰ θεοῦ καὶ τὸ κλέος μέγιστον· ὅσα δὲ τοὐναντίον παραβαίνει τῶν ὅρων ἐκτρεπόμενα, ἐν τούτοις προφανὴς ἡ ἀκοσμία καὶ κατάδηλος ἡ φθορὰ καὶ ἐπὶ πᾶσιν ἡ τῶν ψυχῶν ἀπώλεια. εἰ γάρ, καθάπερ οἱ περὶ τῶν καθ' ἕκαστα ἐκκλησιῶν νόμοι, οὕτω καὶ οἱ περὶ τῶν σταυροπηγιακῶν μοναστηρίων τῶν ὑπὸ τῷ καθ' ἡμᾶς ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ ἀπαράτρεπτοι διαφυλάττοντο καὶ τῆς κατὰ νόμους ἐπιμελείας καὶ προστασίας κἀκεῖνα ἠξιοῦντο παρὰ τῶν ἀεὶ πατριαρχευόντων, οὐκ ἂν τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινὰ τοῖς μοναστηρίοις συνέβαινεν· ἀλλ' ἐπειδὴ οὐκ οἴδαμεν ὅπως τῶν ἱερῶν παρημελημένων νόμων εἰς τοσαύτην προῆλθον ἀκαταστασίαν καὶ ἐλεεινὴν ἀπώλειαν τὰ ἱερὰ ταῦτα καταγώγια, διὰ ταῦτα εὐθὺς ἀνειληφόσιν ἡμῖν τοὺς οἴακας τοῦ παγκοίνου τουτουὶ σκάφους, ἔδοξε πρὸς τοῖς ἄλλοις καὶ τὰ παρημελημένα αὐτὰ εὐαγῆ μοναστήρια διορθώσασθαι, ἀφορῶσι πρὸς τὸ ἐκείνων συμφέρον, ὡς μέλη γνήσια ὄντα τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ τῷ σταυροπηγιακῷ καὶ πατριαρχικῷ προνομίῳ τετιμημένα, ἄλλως τε οὐδὲ καινούς τινας ἀφ' ἑαυτῶν νόμους φέρομεν, ἀλλ' ἀρχαίους τοῖς ἐνασκουμένοις

---

[1] Editio Oec. α′. Error.

καὶ γεραρούς· τὴν γὰρ τῶν ἐκκλησιαστικῶν πραγμάτων προστασίαν τοῖς ἐπισκόποις ἐπιτρέπουσιν οἱ ἱεροὶ νόμοι καὶ κανόνες, τὸν τοῦ θεοῦ νόμον προτίθεσθαι διακελευόμενοι, ἵνα, εἴ γε δέοιντο, καὶ αὐτοὶ μεταλαμβάνωσιν, ὃν τρόπον ὁ λη' τῶν ἁγίων ἀποστόλων κανὼν καὶ ὁ κε' τῆς ἐν Ἀντιοχείᾳ ἱερᾶς συνόδου καὶ ἡ ἐν Χαλκηδόνι, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Νικαίᾳ ὅ τε ια' καὶ ὁ ιβ' καὶ ἐν Ἀγκύρᾳ ὁ ιε' καὶ ὁ μθ' τῆς ἐν Τρούλλῳ καὶ ἄλλοι πλεῖστοι, ὅσοι σεπτοὶ νόμοι καὶ κανόνες σαφῶς φαίνονται τὴν τῶν ἱερῶν μοναστηρίων ἐξουσίαν τοῖς ἐπισκόποις διδόντες, ὥστε μεταλαμβάνειν μὲν καὶ αὐτοὺς τῶν δεόντων, εἴ γε δέοιντο εἰς τὰς ἑαυτῶν χρείας, τὴν δὲ περὶ ἐκεῖνα ἐπιμέλειαν μεγίστην τε καὶ ὡς θεοῦ ἐφορῶντος ποιεῖσθαι, ἵνα προστατεύωσιν αὐτῶν καὶ οἰκονόμους καὶ ἐπιτρόπους καὶ ἡγουμένους ἀποκαθιστῶσιν ἐν αὐτοῖς, καλῶς περὶ τῆς αὐξήσεως καὶ βελτιώσεως τούτων ἐπιμελούμενοι, ἵνα μὴ δι' ἀμέλειαν ἔνοχοι γένωνται τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις. οἱ δὲ οἰκονόμοι, ἡγούμενοί τε καὶ ἐπίτροποι διαμένωσιν ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπισκόπων, καὶ δίχα τῆς ἀδείας αὐτῶν μήτε πολῶσι, μητ' ἀγοράζωσι μοναστηριακόν τι κτῆμα, ἀλλ' οἰκονομῶσι καλῶς πρὸς τὴν ἐκείνων ὁδηγίαν καὶ ἄδειαν, ὅπως μὴ καὶ αὐτοί, ὡς ἀνατρέποντες τοὺς ἐκκλησιαστικοὺς τούτους ὅρους καὶ κανόνας, βαρυτάτοις ὑποπέσωσι τοῖς ἐπιτιμίοις καὶ τιμωρίαις. ταῦτα μὲν οὖν οἱ θεῖοι νόμοι ἀποφαίνονται περὶ τῶν ἱερῶν μοναστηρίων· τούτων δὲ τὰ μὲν τοῖς κατὰ τόπον ἐπιτετραμμένοις ἐνοριακὰ τῆς προσηκούσης ἀρχιερατικῆς, ὡς εἰκός, ἐπ' αὐξήσει τυγχάνει ἐπιμελείας, μόνα δὲ τὰ τῇ σταυροπηγιακῇ ἀξίᾳ τετιμημένα, οὐκ οἴδαμεν ὅπως, πρὸ χρόνων πολλῶν παρημέληται. καὶ δέον, ὡς θεοῦ ἐφορῶντος, διοικεῖσθαι αὐτὰ καὶ ἐκ παντὸς τρόπου ἐπιμελείας τῆς ἀναλόγου ἀξιοῦσθαι, ὅπως τῶν ἐν αὐτοῖς ἀγαθῶν τὰ μὲν ὑπάρχοντα διαμένῃ, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιοπομπῆται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν ἁπάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλλομεν, ἐπιθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν, ἱερὸν τόμον ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις, περὶ τῆς ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων καὶ τῆς δυνατῆς ἀντιλήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεάν, καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενα ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως, ὡς καὶ περὶ τοῦ ἐν τῇ κατὰ τὴν Πελοπόννησον ἐπισκοπῇ Κερνίτζης ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, ἐπικεκλημένου

Μέγα Σπήλαιον· ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Παϊσίου, ἐπικυροῦν ἴσον ἀρχαίου συνοδικοῦ γράμματος τοῦ ἀοιδίμου [πατριάρχου] Παρθενίου, περιέχοντος, ὅτι τὸ μοναστήριον τοῦτο ἔχει τὴν σεπτὴν καὶ ἱερὰν εἰκόνα τῆς θεομήτορος τὴν ἱστορηθεῖσαν παρὰ τοῦ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ, καὶ ὅτι ἀνέκαθεν διὰ σιγιλλίων καὶ βασιλικῶν χρυσοβούλλων σταυροπηγιακῇ ἀξίᾳ τετίμηται καὶ ὅτι ἐν συμβάσῃ ἐκεῖ πυρκαϊᾷ, κατακαέντων πάντων τῶν ἐν τῷ σκευοφυλακείῳ χρυσοβούλλων, σιγιλλίων καὶ ἄλλων γραμμάτων τε καὶ πραγμάτων, μόλις οἱ ἐκεῖ πατέρες ἠδυνήθησαν διασῶσαι τὴν ῥηθεῖσαν ἱερὰν εἰκόνα, χάριτας βρύουσαν τοῖς μετ' εὐλαβείας προσερχομένοις, καὶ ἀποφαινόμενον, ἵνα τὸ μοναστήριον τοῦτο κατὰ τὸ ἔκπαλαι ὑπάρχῃ πάντῃ ἐλεύθερον σταυροπήγιον μετὰ τῶν ὑποτελούντων αὐτῷ ἐν διαφόροις τόποις κειμένων μετοχίων, ἅτινα εἰσὶ ταῦτα· τὸ κατὰ τὰ Μαῦρα Βουνὰ μετόχιον σὺν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Νικολάου καὶ τοῖς συνημμένοις αὐτῷ τόποις· τὸ κατὰ τὰ Τρυπία μετὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου καὶ τῶν τόπων αὐτοῦ· ὁ ἅγιος Νικόλαος μετὰ τῶν ἐλαιοφύτων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Πανηγυρίστραν μετὰ τῆς ἐκκλησίας τῆς Ἁγίας Τριάδος καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὸν σταυροέλατον μετὰ τῆς ἐκκλησίας τῶν Εἰσοδίων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Σάλμεναν μετὰ τῆς ἐκκλησίας τῶν ἁγίων ἀποστόλων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Σταυρία μετὰ τῆς ἐκκλησίας τῆς ἁγίας Μαρίνης καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Γουμένιτζαν σὺν τοῖς τόποις αὐτοῦ· τὸ ἐν τῇ Παλαιᾷ Πάτρᾳ ὀσπήτιον σὺν ἄλλοις τόποις· τὸ ἐν τῷ Καλαμακίῳ μετὰ τῆς ἐκκλησίας καὶ τῶν τόπων αὐτοῦ· τὸ Μέγα Ἀμπέλιον μετὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἀθανασίου· τὸ ἐν τῇ Βοστίτζῃ μετόχιον μετὰ τῶν τόπων αὐτοῦ καὶ ὅσα ἄλλα ἀμπέλια, χωράφια, κήπους, δένδρα καὶ ἄλλα ἀφιερώματα ἔχει ἐν τῇ ἐπαρχίᾳ Παλαιῶν Πατρῶν καὶ ταῖς ὑποκειμέναις αὐτῇ ἐπισκοπαῖς. μετὰ τούτων οὖν καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ ὑπάρχει σταυροπήγιον, καὶ ὅπως ὁ ἡγούμενος ἔχῃ τὴν ἄδειαν σφραγίζειν ἀναγνώστας ἔνδον τῆς μονῆς καὶ παρέχειν ἄδειαν καὶ τοῖς ἀξίοις ἱερομονάχοις δέχεσθαι τοὺς λογισμοὺς τῶν συνασκουμένων πατέρων, καὶ μηδεὶς τῶν ἡγουμένων δύνηται καθιστᾶν ἐπιτρόπους κοσμικοὺς καὶ λαϊκοὺς ἄνδρας ἐπὶ τῷ θεωρεῖν μοναστηριακὰς αὐτῶν ὑποθέσεις, ἀλλ' ὑπὸ τῆς κοινότητος τῶν πατέρων αὗται διαπεραίνωνται, καὶ μηδεὶς τῶν προσηλωθέντων τῇ μονῇ ταύτῃ δύνηται λειποτακτεῖν ἄνευ ἀδείας τοῦ ἡγουμένου καὶ νομίμου αἰτίας, ὁ δὲ παρὰ ταῦτα πράττων, ἱερωμένος μέν, ἔνοχος ὑπάρχῃ καθαιρέσει, μοναχὸς δὲ ἀφορισμῷ μέχρι τοῦ ἐπιστρέψαι εἰς τὴν μετάνοιαν αὐτοῦ. εἰς ἀνακαίνισιν οὖν τούτου γράφοντες ἀποφαινόμεθα

συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μοναστήριον τοῦτο μετὰ τῶν ἀνωτέρω ἀπηριθμημένων μετοχίων αὐτοῦ καὶ μετὰ τοῦ ἐν τῇ νήσῳ Ἀντιγόνου μοναστηρίου τοῦ ἁγίου Γεωργίου, Καρύπι ἐπιλεγομένου, ὄντος κἀκείνου μετόχιον τοῦ μοναστηρίου τούτου κατὰ τὸ ἐπὶ τοῦ προπατριαρχεύσαντος Νεοφύτου πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα καὶ μετὰ τῆς ἐν τῷ Βλὰχ Σεραγίῳ τῆς Κωνσταντινουπόλεως κατὰ τὸν Ταχτὰ Μιναρὲ ἐκκλησίας τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου κατὰ τὰ περὶ τούτου πανέκλαμπρα αὐθεντικὰ χρυσόβουλλα καὶ μετὰ τοῦ νεωνήτου μετοχίου τοῦ Ἀλῆ Τσελεπῆ μετὰ τῆς ἐκκλησίας αὐτοῦ καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων αὐτοῦ καὶ ἀφιερωμάτων κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον παρ' οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ παριαρχικοῦ ὀνόματος, ἔχον καὶ προνόμιον καὶ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν, προχειριζόμενον καὶ πατερίτζαν. ἀποφαινόμεθα δὲ καὶ τὰ ἐφεξῆς· ἵνα πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας· δεύτερον δέ, λόγῳ ὑποταγῆς, ἀποδιδῷ καθ' ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια τριακόσια εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ λαμβάνῃ ἐξοφλητικὴν ἀπόδειξιν. καὶ οὕτως ᾖ διατηροῦν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον καὶ καλῶς διοικούμενον, ὡς μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ θρόνου· ὁ δ' ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ ὁ ἀρχιερεύς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι· τρίτον, ἵνα διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδηκι τῆς μεγάλης ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ [τὸ] τοῦ ἡγουμένου ὄνομα· τέταρτον, τὸ σιγίλλιον αὐτοῦ ἔχει μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενόν ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς· πέμπτον, ἐπειδὰν ἐν στερήσει ἡγουμένου γένωνται, φυλαττομένης ἀπαραβάτου τῆς ἀρχαίας μοναστηριακῆς τάξεως, ἔχωσιν ἄδειαν ἐκλέγειν ἕνα ἐκ τῆς συνοδίας αὐτῶν, τὸν κοινῶς ἀναφανέντα ἄξιον καὶ τοῦτον ἀποκαθιστᾶν ἡγούμενον, ἐκτὸς εἰ μὴ εἴη διαφωνία τῶν προκριτοτέρων πατέρων περὶ τῆς ἐκλογῆς τοῦ νέου ἡγουμένου· τότε γὰρ δι' ἐνυπογράφων ἀναφορῶν ὀφείλουσιν

ἀναφέρειν τὴν ὑπόθεσιν ταύτην εἰς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, περιγράφοντες ἐν φόβῳ θεοῦ τὰ ἤθη, τὸν βίον καὶ τὴν φρόνησιν τῶν εἰς ἐκλογὴν ἐπὶ τῇ ἡγουμενείᾳ προκειμένων μοναστηριακῶν πατέρων, ἵνα, ἐπικρίσεως ἐκκλησιαστικῆς ἀκριβοῦς γενομένης πρὸς τὸ κοινῇ συμφέρον τοῦ ἱεροῦ τούτου μοναστηρίου, ἀποκαθιστᾶται διὰ πατριαρχικοῦ ἐκκλησιαστικοῦ γράμματος καὶ διορίζηται ὁ νέος ἡγούμενος, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδηκι· ἕκτον, ἡ σφραγὶς τοῦ μοναστηρίου νὰ διαιρεθῇ εἰς τμήματα τέσσαρα καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων· ἕβδομον, οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτοτέρων ἐν τοῖς συγκοινοβιάταις, ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν· αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομίζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφραγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριερχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας· οὗτοι δέ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας ἐπιτιμᾶν, σωφρονίζειν, ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας καὶ ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως καὶ μὴ πειθομένους, τελευταῖον, διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ· ὄγδοον, μηδεὶς τοῦ μοναστηρίου τούτου δύνηται πωλεῖν τοῦ λοιποῦ μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσιως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτῶν χρείας· ἔννατον, ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιέρεων φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐκτελεῖν αὐτὰς μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως· δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι ἱερώτατοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντός καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτῶν καὶ τὴν κατὰ θεὸν διαγωγὴν καὶ πολιτείαν καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ καταγωγίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν

τε ἤδη ὄντων ἀμπελίων τε καὶ κήπων (μπαχσέδων) καὶ τῶν εἰσέπειτα προσκτηθησομένων, ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπὸ τὴν ἐπίσκεψιν καὶ προστασίαν τῶν ὁσιωτάτων πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου καὶ λέγηται καὶ γνωρίζηται μετόχιον ἐκείνου, συνηνωμένον καὶ προσηλωμένον καὶ ἀφιερωμένον ἐκείνῳ, δεσποζόμενον καὶ διακυβερνώμενον παρὰ τοῦ κατὰ καιροὺς ἐνταῦθα εἰς βασιλεύουσαν τὴν διατριβὴν ποιουμένου ἡγουμένου τοῦ Μεγάλου Σπηλαίου καὶ τῶν ἐν αὐτῷ πατέρων, ὀφείλοντος καὶ προθυμοποιουμένου ἀντιλαμβάνεσθαί τε τούτου ἀμφοτέραις χερσὶ καὶ ζεούσῃ προθυμίᾳ φροντίζειν τὰ πρὸς καλλωπισμὸν καὶ σύστασιν καὶ ἐπὶ τὰ πρόσω αὔξησιν καὶ βελτίωσιν αὐτοῦ, μηδενὶ μηδὲν ὀφείλοντος διδόναι, εἰ μὴ τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ κυριάρχῃ καθ' ἕκαστον ἔτος δεκαὲξ γρόσια λόγῳ ἐνοριαρχῆς ὑποταγῆς, ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, κυρίῳ Παρθενίῳ, μνημονευομένου ἐν αὐτῷ τοῦ ἀρχιερατικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς κατὰ τόπον προϊσταμένου. ὀφείλουσι δὲ οἱ ῥηθέντες μαγίστορες [τοῦ ῥουφετίου] τῶν καπήλων διδόναι κατ' ἔτος ὑπὲρ μνημοσύνου καὶ ψυχικῆς αὐτῶν σωτηρίας ἕκαστον μέρος (σέμπτιον) ἐκ τῶν τριῶν ἀνὰ ἑκατὸν γρόσια, συμποσούμενα τὰ πάντα εἰς τριακόσια γρόσια. καὶ δὴ διατρίβοντος ἤδη ἐν Κωνσταντινουπόλει καὶ ὄντος ἡγουμένου τοῦ ῥηθέντος μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις κυρίου Βησσαρίωνος, παρέδωκαν οἱ ῥηθέντες μαγίστορες πρὸς αὐτὸν τοῦτ' αὐτὸ τὸ μοναστήριον, ὅστις καὶ ὑπέσχετο φροντίζειν τὰ πρὸς σύστασιν, αὔξησίν τε καὶ βελτίωσιν αὐτοῦ καὶ τὰ πρὸς καλλωπισμὸν καὶ εὐτρέπειαν κατὰ τὴν ἐνοῦσαν ἐπ' αὐτῷ τούτῳ ἐπιμέλειαν. χρείας τε γενομένης ἐπισκευῆς καὶ ἀπαρτισμοῦ ἔχειν αὐτὸν τοῦτον τὸν ἡγούμενον τὴν φροντίδα περὶ πάντων τῶν γενησομένων ἐξόδων καὶ δαπανημάτων, μηδενὸς ἑτέρου ἱερωμένου ἢ λαϊκοῦ ἔχοντος εἰς τὸ ἑξῆς μετοχήν τινα ἢ ἐξουσίαν εἰς αὐτὸ τὸ μοναστήριον, εἰ μὴ μόνον αὐτῶν τῶν πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ὡς γνωριζόμενον καὶ λεγόμενον μετόχιον αὐτοῦ καὶ κτῆμα ἴδιον καὶ πρᾶγμα ἀναφαίρετον καὶ ἀναπόσπαστον. ὑπέσχετο δὲ ὁ διαληφθεὶς νῦν ἡγούμενος καὶ τοῦτο, ὅτι, ἐάν ποτε ἰδίᾳ γνώμῃ καὶ προαιρέσει καὶ συγκατανεύσει τῶν ὁσιωτάτων πατέρων τοῦ εἰρημένου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου παραιτηθῇ τῆς ἐπισκέψεως καὶ φροντίδος αὐτοῦ τοῦ μοναστηρίου τοῦ ἁγίου Γεωργίου, ἢ αὐτὸς ἢ ὁ κατὰ καιροὺς ἡγούμενος, μὴ ἔχειν αὐτοὺς ἐξουσίαν διδόναι τὸ ῥηθὲν μοναστήριον ἄλλῳ τινὶ ἢ ἐσναφίῳ ἢ μοναστηρίῳ, εἰ μὴ μόνον τοῖς ῥηθεῖσι μαγίστορσι τοῦ ῥουφετίου τῶν καπήλων, παρ' ὧν ἔλαβον τοῦτο. ἐπειδὰν δὲ ἐν στερήσει ἡγουμένου γένηται, ἔχουσιν οἱ πατέρες τοῦ

εἰρημένου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου αἱρεῖσθαι καὶ ἐκλέγειν καὶ ἀποκαθιστᾶν κοινῇ γνώμῃ αὐτῶν τὸν σεμνότερον καὶ ἀξιώτερον ἀναφανέντα. ὅστις δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ καὶ τολμήσῃ μετακινῆσαί πως καὶ ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐπικυρωθέντα περὶ τοῦ εἰρημένου μοναστηρίου, μετοχίου γεγονότος τοῦ ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ κατὰ τὴν Πελοπόννησον Μεγάλου Σπηλαίου, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἐν μεμβράναις γράμμα καὶ σταυροπηγιασθὲν καὶ καταστρωθὲν ἐν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας. ἐδόθη τῷ ῥηθέντι ἡγουμένῳ, κυρίῳ Βησσαρίωνι, ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ κατὰ μῆνα ἰούλιον ἐπινεμήσεως δ' †.

† Προκόπιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐφέσου Σαμουήλ †.	† Κυζίκου Ἀγάπιος †.
† Ἡρακλείας Μεθόδιος †.	† Χαλκηδόνος Παρθένιος †.
† Νικομηδείας Ἀθανάσιος †.	† Θεσσαλονίκης Ἰάκωβος †.
† Δέρκων Ἀνανίας †.	† Δράμας Γρηγόριος †.
† Ἀδριανουπόλεως Καλλίνικος †.	† Ναυπλίου Μελέτιος †.

XI. 7300—1792, mense ianuario, ind. X.

Patriarcha Neophytus confirmat, monasterium Sancti Georgii, dicti Carypi, in insula Antigoni, esse stauropegicum et unitum cum monasterio dicto Mega Spelaeon.

† Νεόφυτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἡ κηδεμονία καὶ πρόνοια τῶν ἁγίων ἐκκλησιῶν καὶ τῶν ἱερῶν καὶ σεβασμίων μοναστηρίων, τῶν εἰς δόξαν θεοῦ καὶ μνημόσυνον αἰώνιον τῶν ὀρθοδόξων κατὰ καιροὺς ἀνεγηγερμένων παρὰ φιλοθέων καὶ εὐσεβῶν ἀνδρῶν τῶν ἠγαπηκότων ἐξαιρέτως τὴν εὐπρέπειαν τῶν τοῦ θεοῦ σκηνωμάτων, οὐ μόνον ὀφειλομένη ἐστὶ καὶ χρειώδης τοῖς παρ' αὐτοῦ ἠξιωμένοις τὴν προστασίαν καὶ μέριμναν καὶ διοίκησιν τῶν τοιούτων εὐαγῶν οἴκων, ἀλλὰ καὶ πρὸ πάντων τῶν ἄλλων

ἀναγκαιοτάτη καθέστηκεν· ὅσα γὰρ συνιστῶσι τὴν εὐσέβειαν καὶ τὴν τοῦ Θε καθαρὰν λατρείαν χαρακτηρίζουσι καὶ πᾶσαν ἀρετὴν καὶ θεογνωσίαν τοὺς μυο μένους ἐκδιδάσκουσι καὶ τὴν τῶν ψυχῶν σωτηρίαν ἐπιβραβεύουσιν, ἐν τούτοις το ἱεροῖς σκηνώμασι διενεργεῖσθαι ὀφείλουσι καὶ διεκπεραιοῦσθαι· ταύτῃ τοι καὶ τούτων διαδοχὴ καὶ συντήρησις ζέοντι πόθῳ φιλοθέως ἀνέκαθεν ἐσπουδάζετο το εὐαγγελικῶς προϊσταμένοις τοῦ ὀρθοδόξου λαοῦ, καὶ ἡ τούτων σύντονος μέριμν καὶ φροντὶς οὐ διέλιπέ ποτε ἀπαραιτήτως ἐνεργουμένη· καὶ γὰρ ἀπρονόητα ἐν απομείναντα καὶ τῆς προσηκούσης κηδεμονίας ἐστερημένα εἰς φθορὰν παρεκτρέ πεται καὶ κατὰ μικρὸν ἐξίτηλα γίνεται καὶ τῷ τῶν ὀρθοδόξων πληρώματι μεγάλη βλάβη καὶ ζημία προστρίβεται. διὸ καὶ ἡ μετριότης ἡμῶν, κατὰ θείαν νεῦσι τοὺς πνευματικοὺς οἴακας τοῦ παγκοίνου σκάφους ἐγκεχειρισμένη, οὐ διαλείπει ἀποδέχεσθαι εὐμενῶς τὰς θεοφιλεῖς αἰτήσεις τὰς ὑπὲρ τῶν ἱερῶν σκηνωμάτων γινομένας ἐπὶ τῷ κατασφαλίζεσθαι αὐτὰς καὶ ἐπικυροῦσθαι εἰς διαμονὴν καὶ συν-τήρησιν τῶν ἱερῶν καταγωγίων· καὶ γὰρ προσεκομίσθη ἡμῖν καὶ πάσῃ τῇ περὶ ἡμᾶς ἀδελφότητι καὶ ἁγίᾳ συνόδῳ ἓν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐκδοθὲν ἐπὶ τοῦ προκατόχου ἡμῶν κατὰ τὸ παρεληλυθὸς χιλιοστὸν ἑπτα-κοσιοστὸν ὀγδοηκοστὸν ἕκτον σωτήριον ἔτος, κατὰ μῆνα ἰούλιον, ἐπινεμήσεως τε-τάρτης, περιέχον, ὅτι τὸ κατὰ τὴν ἐπαρχίαν Χαλκηδόνος ἐν τῇ νήσῳ Ἀντιγόνου κείμενον ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τιμώμενον ἐπ' ὀνόματι τοῦ ἁγίου ἐν-δόξου μεγαλομάρτυρος Γεωργίου, οἱ χρήσιμοι μαγίστορες τοῦ ῥουφετίου τῶν καπήλων τῶν δουλευόντων ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κατὰ τὸ Φανάριον, δηλαδὴ Τζουπαλῆ καὶ Παλατᾶ καὶ Κοντοσκάλλιον καὶ Ὑψωμαθεῖα, θεῖον ζῆλον ἀναλαβόντες περιποιήσαντο αὐτὸ καὶ οὐκ ὀλίγους ἀγῶνας κατέβαλον εἰς ἀνάκτησιν αὐτοῦ. τοῦ δὲ σκοποῦ αὐτῶν μὴ εἰς ἔκβασιν ἐλθόντος ᾐτήσαντο ἐνθερμῶς, συνενῶσαι αὐτὸ τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ ἱερῷ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, τοῦ Μεγάλου Σπηλαίου ἐπι-κεκλημένῳ, εἰς ἀνάσωσιν αὐτοῦ καὶ ἀγαθὴν κατάστασιν, ἐνοριακοῦ μέντοι τυγχά-νοντος. καὶ δὴ τὴν ἀφιέρωσιν αὐτῶν ταύτην ἀποδεξάμενοι οἱ τοῦ πατριαρχικοῦ ἡμῶν καὶ σταυροπηγιακοῦ μοναστηρίου ὁσιώτατοι πατέρες, οὐκ ὀλίγους ἀγῶνας καταβαλόντες περιεποιήσαντο πρὸς αὔξησιν καὶ βελτίωσιν αὐτοῦ. ἀλλ' ἵνα δια-μένῃ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς ἀναφαίρετον καὶ ἀναπόσπαστον ἀπὸ τοῦ πατριαρ-χικοῦ ἡμῶν ἐκείνου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ἐξῃτήσαντο ἀναδειχθῆναι καὶ τοῦτο ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακόν, ἐλεύθερον, ἀδούλωτον, ἀκατα-πάτητον καὶ ἀνεπηρέαστον καὶ ἀσύδοτον καὶ πάντῃ ἀνενόχλητον παρὰ παντὸς προσώπου ἱερωμένου καὶ λαϊκοῦ, ἡνωμένον δὲ ἢ προσηλωμένον τῷ πατριαρχικῷ

κῶν μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου, συναινούντων ἐν τούτῳ καὶ τῶν μαγιστόρων ἐκ τοῦ ῥουφετίου τῶν καπήλων καὶ πρὸ πάντων στέργοντος καὶ ἀποδεχομένου τὴν ἕνωσιν ταύτην τοῦ ἱερωτάτου μητροπολίτου Χαλκηδόνος, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ, κυρίου Ἱερεμίου, ὅστις ἰδίαις χερσὶ φέρων ἀπεκόμισεν, οἰκείᾳ αὐτοῦ βουλῇ καὶ αὐθαιρέτῳ γνώμῃ καὶ ἀβιάστῳ προαιρέσει, τὸ ῥηθὲν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐξαιτούμενος κατὰ ζῆλον φιλόθεον τὴν παντελῆ ἐλευθερίαν τοῦ ῥηθέντος μοναστηρίου τοῦ ἁγίου Γεωργίου καὶ τὴν ἐπισφράγισιν τῆς αἰτήσεως τῶν ὁσιωτάτων πατέρων, ὥστε ἀποκατασταθῆναι αὐτὸ ἡμέτερον πατριαρχικὸν σταυροπηγιακὸν μετὰ πάντων τῶν προσόντων αὐτῷ ἀφιερωμάτων καὶ κτημάτων, κινητῶν τε καὶ ἀκινήτων, ἀδούλωτον, ἀσύδοτον καὶ ἀκαταπάτητον, συνηνωμένον δὲ καὶ προσηλωμένον τῷ ἱερῷ μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου καὶ μετόχιον ἐκείνου λεγόμενον ἀναφαίρετον καὶ ἀναπόσπαστον. ταύτην οὖν τὴν ἔνθερμον αἴτησιν αὐτῶν εὐμενῶς ἀποδεξάμενοι καὶ ταῖς προσηκούσαις εὐφημίαις καταστεψάμενοι τὴν αὐτοῦ ἱερότητα καὶ τὸν θεοφιλῆ αὐτοῦ σκοπὸν χριστομιμήτως προσηκάμενοι, ὡς εὔλογον καὶ νόμιμον καὶ πρὸς ὠφέλειαν τοῦ ῥηθέντος ἱεροῦ μοναστηρίου ἀφορῶντα, ἔγνωμεν γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει ἐπινεῦσαι πρὸς τὸ αἴτημα αὐτῶν. τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, τὸ ἐν τῇ νήσῳ Ἀντιγόνου, ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακὸν μοναστήριον μετὰ πάντων τῶν ἱερῶν αὐτοῦ σκευῶν καὶ κτημάτων καὶ ἀφιερωμάτων κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων, ἀμπελίων καὶ κήπων (μπαχτσέδων) καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, προσηλωμένον δὲ καὶ ἡνωμένον ἀναποσπάστως τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ σεβασμίῳ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου, καὶ γνωρίζηται μετόχιον ἐκείνου, δεσποζόμενον καὶ διακυβερνώμενον παρὰ τοῦ κατὰ καιροὺς ἐνταῦθα εἰς βασιλεύουσαν τὰς διατριβὰς ποιουμένου ὁσιωτάτου καθηγουμένου τοῦ Βλὰχ Σαραγίου, μετοχίου τοῦ Μεγάλου Σπηλαίου, καὶ τῶν συνασκουμένων αὐτῷ πατέρων καὶ μόνον ὑπ' αὐτῶν διεξαγόμενον, ἐλεύθερον δέ, ἀδούλωτον, ἀσύδοτον, ἀκαταπάτητον καὶ μηδενὶ μηδὲν ὀφεῖλον διδόναι μήτε τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ κυριάρχῃ τῆς ἐπαρχίας ἐκείνης, ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος, μήτε ἄλλῳ τινὶ προσώπῳ ἱερωμένῳ καὶ λαϊκῷ μεχρὶς ὀβολοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς νενόμισται καὶ

εἴθισται τοῖς παριαρχικοῖς ἡμῶν σταυροπηγιακοῖς μοναστηρίοις, μηδ' ἔχῃ ποτὲ ἄδειαν ὁ κατὰ καιροὺς ἱερώτατος μητροπολίτης Χαλκηδόνος, μηδ' ἄλλος τις ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, ἱερωμένος ἢ λαικὸς ἐπηρεάσαι, ἐνοχλῆσαί τε καὶ καταπατῆσαι τὴν ἐνοῦσαν αὐτῷ σταυροπηγιακὴν ἡμῶν χάριν καὶ ἐλευθερίαν ἢ ὅλως ἀπαίτησίν τινα πολλὴν ἢ ὀλίγην μέχρι καὶ τοῦ ἐλαχίστου προσβαλεῖν ἢ βίαν ἐπενεγκεῖν τοῖς ἐν αὐτῷ συνασκουμένοις πατράσι καὶ ἰδιώταις, ἐφ' οἱαδήτινι αἰτίᾳ καὶ προφάσει. οἱ δὲ ἐν αὐτῷ συνασκούμενοι πατέρες ὀφείλουσι διάγειν ἐν εἰρήνῃ καὶ πολιτεύεσθαι εὐτάκτως καὶ ῥυθμίζειν τὸν ἑαυτῶν βίον κατὰ τὸ μοναδικὸν ἐπάγγελμα καὶ πρὸς τὸν κανόνα τῆς ὀφειλομένης ἀσκήσεως. καὶ ἐπειδὰν ἐν χρείᾳ χειροτονίας ἢ ἀρχιερατικῆς λειτουργίας καὶ μνημοσύνου γένωνται, ἔχουσι πᾶσαν ἄδειαν προσκαλεῖν, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, διὰ πατριαρχικῆς μέντοι ἐκδόσεως, ἐπὶ τῷ ἐκτελεῖν τὰς ἀρχιερατικὰς λειτουργίας καὶ μνημόσυνα καὶ χειροτονίας αὐτῶν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως. ἔτι δὲ ὁ κατὰ καιρὸν προϊστάμενος τοῦ αὐτοῦ μοναστηρίου ἡγουμενεύων, ὡς γηραιὸς καὶ ἄξιος, ἔχῃ ἄδειαν ἐκτελεῖν τὸ τῆς πνευματικῆς πατρότητος ἱερὸν λειτούργημα καὶ ἐξομολογεῖν τοὺς προσερχομένους αὐτῷ συγκοινοβιάτας πατέρας καὶ μοναχοὺς καὶ λοιποὺς χριστιανοὺς ἐντὸς τοῦ ἱεροῦ μοναστηρίου καὶ ἀνερευνᾷν τὰ βάθη τῶν καρδιῶν αὐτῶν δι' ἐκκλησιαστικοῦ μέντοι ἐνταλτηριώδους γράμματος, ὡς νενόμισται. τὰς δὲ ἐκλογὰς καὶ ἀποκαταστάσεις τῶν ἐν αὐτῷ προϊσταμένων καὶ τὰς λοιπὰς μοναστηριακὰς διοικήσεις ἔχωσι ποιεῖν τῇ εἰδήσει καὶ γνώμῃ τῶν πρωτίστων πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, μηδὲν τολμῶντες ἐν μηδενὶ παραβῆναι καὶ ἀθετῆσαι τὴν ἐπιχορηγηθεῖσαν αὐτῷ σταυροπηγιακὴν χάριν καὶ τὴν ἕνωσιν καὶ προσήλωσιν αὐτοῦ πρὸς τὸ ἱερὸν μοναστήριον· τοῦ Μεγάλου Σπηλαίου. ὃς δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ οἰῳδήτινι τρόπῳ ἀνατρέψαι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι συνοδικῶς ἀποφανθέντα καὶ ἐπικυρωθέντα καὶ ὑπὸ δουλείαν ἀγαγεῖν καὶ φόρον τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον ἢ ἀποσπᾶσαι ἢ ἀποξενῶσαι ἀπὸ τοῦ ῥηθέντος ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος ὑπάρχει παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου μακαρίας Τριάδος τοῦ ἑνὸς τῇ φύσει καὶ μόνου θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος τῷ αἰωνίῳ ἀναθέματι καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. ταῦτα γοῦν ἀπεφάνθη καὶ κεκύρωται κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν. εἰς δὲ τὴν περὶ τούτων ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ με-

γάλης ἐκκλησίας, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν ἱερὸν ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακὸν μοναστήριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τῷ ἐν τῇ νήσῳ Ἀντιγόνου. ἐν ἔτει ,αψϟβ' κατὰ μῆνα ἰανουάριον ἐπινεμήσεως ι'[1]) †.

† Νεόφυτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καισαρείας Γρηγόριος †.
† Ἡρακλείας Μεθόδιος †.
† Νικομηδείας Ἀθανάσιος †.
† Δέρκων Ἀνανίας †.
† Ἐφέσου Σαμουὴλ †.
† Κυζίκου Ἀγάπιος †.
† Χαλκηδόνος Ἱερόθεος †.
† Ἄρτης Μακάριος †.

XII. 7306—1798, mense februario, ind. I.

Patriarcha Gregorius V. confirmat jus stauropegicum, iura et privilegia et possessiones monasterii.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὅσα μὲν κατὰ τοὺς θείους θεσμοὺς καὶ τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τυγχάνει διακυβερνώμενα, πολλὴν ἔχουσι τὴν χάριν παρὰ θεοῦ καὶ τὸ κλέος μέγιστον· ὅσα δὲ τοὐναντίον παραβαίνει τῶν ὅρων ἐκτρεπόμενα, ἐν τούτοις προφανὴς ἡ ἀκοσμία καὶ κατάδηλος ἡ φθορὰ καὶ ἐπὶ πᾶσιν ἡ τῶν ψυχῶν ἀπώλεια. εἰ γάρ, καθάπερ οἱ περὶ τῶν καθ' ἕκαστα ἐκκλησιῶν νόμοι, οὕτω καὶ οἱ περὶ τῶν σταυροπηγιακῶν μοναστηρίων τῶν ὑπὸ τῷ καθ' ἡμᾶς ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ ἀπαράτρεπτοι διαφυλάττοντο καὶ τῆς κατὰ νόμους ἐπιμελείας καὶ προστασίας κἀκεῖνα ἠξιοῦντο παρὰ τῶν ἀεὶ πατριαρχευόντων, οὐκ ἂν τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινὰ τοῖς μοναστηρίοις συνέβαινεν· ἀλλ' ἐπειδὴ οὐκ οἴδαμεν ὅπως τῶν ἱερῶν παρημελημένων νόμων εἰς τοσαύτην προῆλθον ἀκαταστασίαν καὶ ἐλεεινὴν ἀπώλειαν τὰ ἱερὰ ταῦτα καταγώγια, διὰ ταῦτα εὐθὺς ἀνειληφόσιν ἡμῖν τοὺς οἴακας τοῦ παγκοίνου τουτουὶ σκάφους, ἔδοξε πρὸς τοῖς ἄλλοις καὶ τὰ παρημελημένα αὐτὰ εὐαγῆ μοναστήρια διορθώσασθαι, ἀφορῶσι πρὸς τὸ ἐκείνων συμφέρον, ὡς μέλη γνήσια ὄντα τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ τῷ σταυροπηγιακῷ καὶ πατριαρχικῷ προνομίῳ τετιμημένα, ἄλλως τε οὐδὲ καινούς τινας ἀφ' ἑαυτῶν νόμους φέρομεν, ἀλλ' ἀρχαίους τοῖς ἐνασχουμένοις

[1]) Editio Oec. α'. Error.

καὶ γεραρούς· τὴν γὰρ τῶν ἐκκλησιαστικῶν πραγμάτων προστασίαν τοῖς ἐπισκόποις ἐπιτρέπουσιν οἱ ἱεροὶ νόμοι καὶ κανόνες, τὸν τοῦ θεοῦ νόμον προτίθεσθαι διακελευόμενοι, ἵνα, εἴ γε δέοιντο, καὶ αὐτοὶ μεταλαμβάνωσιν, ὃν τρόπον ὁ λη' τῶν ἁγίων ἀποστόλων κανὼν καὶ ὁ κε' τῆς ἐν Ἀντιοχείᾳ ἱερᾶς συνόδου καὶ ἡ ἐν Χαλκηδόνι, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Νικαίᾳ ὅ τε ια' καὶ ὁ ιβ' καὶ ἐν Ἀγκύρᾳ ὁ ιε' καὶ ὁ μθ' τῆς ἐν Τρούλλῳ καὶ ἄλλοι πλεῖστοι, ὅσοι σεπτοὶ νόμοι καὶ κανόνες σαφῶς φαίνονται τὴν τῶν ἱερῶν μοναστηρίων ἐξουσίαν τοῖς ἐπισκόποις διδόντες, ὥστε μεταλαμβάνειν μὲν καὶ αὐτοὺς τῶν δεόντων, εἴ γε δέοιντο εἰς τὰς ἑαυτῶν χρείας, τὴν δὲ περὶ ἐκεῖνα ἐπιμέλειαν μεγίστην τε καὶ ὡς θεοῦ ἐφορῶντος ποιεῖσθαι, ἵνα προστατεύωσιν αὐτῶν καὶ οἰκονόμους καὶ ἐπιτρόπους καὶ ἡγουμένους ἀποκαθιστῶσιν ἐν αὐτοῖς, καλῶς περὶ τῆς αὐξήσεως καὶ βελτιώσεως τούτων ἐπιμελούμενοι, ἵνα μὴ δι' ἀμέλειαν ἔνοχοι γένωνται τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις. οἱ δὲ οἰκονόμοι, ἡγούμενοί τε καὶ ἐπίτροποι διαμένωσιν ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπισκόπων, καὶ δίχα τῆς ἀδείας αὐτῶν μήτε πολῶσι, μητ' ἀγοράζωσι μοναστηριακόν τι κτῆμα, ἀλλ' οἰκονομῶσι καλῶς πρὸς τὴν ἐκείνων ὁδηγίαν καὶ ἄδειαν, ὅπως μὴ καὶ αὐτοί, ὡς ἀνατρέποντες τοὺς ἐκκλησιαστικοὺς τούτους ὅρους καὶ κανόνας, βαρυτάτοις ὑποπέσωσι τοῖς ἐπιτιμίοις καὶ τιμωρίαις. ταῦτα μὲν οὖν οἱ θεῖοι νόμοι ἀποφαίνονται περὶ τῶν ἱερῶν μοναστηρίων· τούτων δὲ τὰ μὲν τοῖς κατὰ τόπον ἐπιτετραμμένοις ἐνοριακὰ τῆς προσηκούσης ἀρχιερατικῆς, ὡς εἰκός, ἐπ' αὐξήσει τυγχάνει ἐπιμελείας, μόνα δὲ τὰ τῇ σταυροπηγιακῇ ἀξίᾳ τετιμημένα, οὐκ οἴδαμεν ὅπως, πρὸ χρόνων πολλῶν παρημέληται. καὶ δέον, ὡς θεοῦ ἐφορῶντος, διοικεῖσθαι αὐτὰ καὶ ἐκ παντὸς τρόπου ἐπιμελείας τῆς ἀναλόγου ἀξιοῦσθαι, ὅπως τῶν ἐν αὐτοῖς ἀγαθῶν τὰ μὲν ὑπάρχοντα διαμένῃ, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιοπομπῆται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν ἁπάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλλομεν, ἐπιθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν, ἱερὸν τόμον ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις, περὶ τῆς ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων καὶ τῆς δυνατῆς ἀντιλήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεάν, καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενα ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως, ὡς καὶ περὶ τοῦ ἐν τῇ κατὰ τὴν Πελοπόννησον ἐπισκοπῇ Κερνίτζης ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, ἐπικεκλημένου

Μέγα Σπήλαιον· ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Παϊσίου, ἐπικυροῦν ἴσον ἀρχαίου συνοδικοῦ γράμματος τοῦ ἀοιδίμου [πατριάρχου] Παρθενίου, περιέχοντος, ὅτι τὸ μοναστήριον τοῦτο ἔχει τὴν σεπτὴν καὶ ἱερὰν εἰκόνα τῆς θεομήτορος τὴν ἱστορηθεῖσαν παρὰ τοῦ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ, καὶ ὅτι ἀνέκαθεν διὰ σιγιλλίων καὶ βασιλικῶν χρυσοβούλλων σταυροπηγιακῇ ἀξίᾳ τετίμηται καὶ ὅτι ἐν συμβάσῃ ἐκεῖ πυρκαϊᾷ, κατακαέντων πάντων τῶν ἐν τῷ σκευοφυλακείῳ χρυσοβούλλων, σιγιλλίων καὶ ἄλλων γραμμάτων τε καὶ πραγμάτων, μόλις οἱ ἐκεῖ πατέρες ἠδυνήθησαν διασῶσαι τὴν ῥηθεῖσαν ἱερὰν εἰκόνα, χάριτας βρύουσαν τοῖς μετ' εὐλαβείας προσερχομένοις, καὶ ἀποφαινόμενον, ἵνα τὸ μοναστήριον τοῦτο κατὰ τὸ ἔκπαλαι ὑπάρχῃ πάντῃ ἐλεύθερον σταυροπήγιον μετὰ τῶν ὑποτελούντων αὐτῷ ἐν διαφόροις τόποις κειμένων μετοχίων, ἅτινα εἰσὶ ταῦτα· τὸ κατὰ τὰ Μαῦρα Βουνὰ μετόχιον σὺν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Νικολάου καὶ τοῖς συνημμένοις αὐτῷ τόποις· τὸ κατὰ τὰ Τρυπία μετὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου καὶ τῶν τόπων αὐτοῦ· ὁ ἅγιος Νικόλαος μετὰ τῶν ἐλαιοφύτων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Πανηγυρίστραν μετὰ τῆς ἐκκλησίας τῆς Ἁγίας Τριάδος καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὸν σταυροέλατον μετὰ τῆς ἐκκλησίας τῶν Εἰσοδίων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Σάλμεναν μετὰ τῆς ἐκκλησίας τῶν ἁγίων ἀποστόλων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Σταυρία μετὰ τῆς ἐκκλησίας τῆς ἁγίας Μαρίνης καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Γουμένιτζαν σὺν τοῖς τόποις αὐτοῦ· τὸ ἐν τῇ Παλαιᾷ Πάτρᾳ ὀσπήτιον σὺν ἄλλοις τόποις· τὸ ἐν τῷ Καλαμακίῳ μετὰ τῆς ἐκκλησίας καὶ τῶν τόπων αὐτοῦ· τὸ Μέγα Ἀμπέλιον μετὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἀθανασίου· τὸ ἐν τῇ Βοστίτζῃ μετόχιον μετὰ τῶν τόπων αὐτοῦ καὶ ὅσα ἄλλα ἀμπέλια, χωράφια, κήπους, δένδρα καὶ ἄλλα ἀφιερώματα ἔχει ἐν τῇ ἐπαρχίᾳ Παλαιῶν Πατρῶν καὶ ταῖς ὑποκειμέναις αὐτῇ ἐπισκοπαῖς. μετὰ τούτων οὖν καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ ὑπάρχει σταυροπήγιον, καὶ ὅπως ὁ ἡγούμενος ἔχῃ τὴν ἄδειαν σφραγίζειν ἀναγνώστας ἔνδον τῆς μονῆς καὶ παρέχειν ἄδειαν καὶ τοῖς ἀξίοις ἱερομονάχοις δέχεσθαι τοὺς λογισμοὺς τῶν συνασκουμένων πατέρων, καὶ μηδεὶς τῶν ἡγουμένων δύνηται καθιστᾶν ἐπιτρόπους κοσμικοὺς καὶ λαϊκοὺς ἄνδρας ἐπὶ τῷ θεωρεῖν μοναστηριακὰς αὐτῶν ὑποθέσεις, ἀλλ' ὑπὸ τῆς κοινότητος τῶν πατέρων αὗται διαπεραίνωνται, καὶ μηδεὶς τῶν προσηλωθέντων τῇ μονῇ ταύτῃ δύνηται λειποτακτεῖν ἄνευ ἀδείας τοῦ ἡγουμένου καὶ νομίμου αἰτίας, ὁ δὲ παρὰ ταῦτα πράττων, ἱερωμένος μέν, ἔνοχος ὑπάρχῃ καθαιρέσει, μοναχὸς δὲ ἀφορισμῷ μέχρι τοῦ ἐπιστρέψαι εἰς τὴν μετάνοιαν αὐτοῦ. εἰς ἀνακαίνισιν οὖν τούτου γράφοντες ἀποφαινόμεθα

συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μοναστήριον τοῦτο μετὰ τῶν ἀνωτέρω ἀπηριθμημένων μετοχίων αὐτοῦ καὶ μετὰ τοῦ ἐν τῇ νήσῳ Ἀντιγόνου μοναστηρίου τοῦ ἁγίου Γεωργίου, Καρύπι ἐπιλεγομένου, ὄντος κἀκείνου μετόχιον τοῦ μοναστηρίου τούτου κατὰ τὸ ἐπὶ τοῦ προπατριαρχεύσαντος Νεοφύτου πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα καὶ μετὰ τῆς ἐν τῷ Βλὰχ Σεραγίῳ τῆς Κωνσταντινουπόλεως κατὰ τὸν Ταχτὰ Μιναρὲ ἐκκλησίας τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου κατὰ τὰ περὶ τούτου πανέκλαμπρα αὐθεντικὰ χρυσόβουλλα καὶ μετὰ τοῦ νεωνήτου μετοχίου τοῦ Ἀλῆ Τσελεπῆ μετὰ τῆς ἐκκλησίας αὐτοῦ καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων αὐτοῦ καὶ ἀφιερωμάτων κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον παρ' οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ παριαρχικοῦ ὀνόματος, ἔχον καὶ προνόμιον καὶ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν, προχειριζόμενον καὶ πατερίτζαν. ἀποφαινόμεθα δὲ καὶ τὰ ἐφεξῆς· ἵνα πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας· δεύτερον δέ, λόγῳ ὑποταγῆς, ἀποδιδῷ καθ' ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια τριακόσια εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ λαμβάνῃ ἐξοφλητικὴν ἀπόδειξιν. καὶ οὕτως ᾖ διατηροῦν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον καὶ καλῶς διοικούμενον, ὡς μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ θρόνου· ὁ δ' ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ ὁ ἀρχιερεύς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι· τρίτον, ἵνα διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδηκι τῆς μεγάλης ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ [τὸ] τοῦ ἡγουμένου ὄνομα· τέταρτον, τὸ σιγίλλιον αὐτοῦ ἔχει μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενόν ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς· πέμπτον, ἐπειδὰν ἐν στερήσει ἡγουμένου γένωνται, φυλαττομένης ἀπαραβάτου τῆς ἀρχαίας μοναστηριακῆς τάξεως, ἔχωσιν ἄδειαν ἐκλέγειν ἕνα ἐκ τῆς συνοδίας αὐτῶν, τὸν κοινῶς ἀναφανέντα ἄξιον καὶ τοῦτον ἀποκαθιστᾶν ἡγούμενον, ἐκτὸς εἰ μὴ εἴη διαφωνία τῶν προκριτοτέρων πατέρων περὶ τῆς ἐκλογῆς τοῦ νέου ἡγουμένου· τότε γὰρ δι' ἐνυπογράφων ἀναφορῶν ὀφείλουσιν

ἀναφέρειν τὴν ὑπόθεσιν ταύτην εἰς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, περιγράφοντες ἐν φόβῳ θεοῦ τὰ ἤθη, τὸν βίον καὶ τὴν φρόνησιν τῶν εἰς ἐκλογὴν ἐπὶ τῇ ἡγουμενείᾳ προκειμένων μοναστηριακῶν πατέρων, ἵνα, ἐπικρίσεως ἐκκλησιαστικῆς ἀκριβοῦς γενομένης πρὸς τὸ κοινῇ συμφέρον τοῦ ἱεροῦ τούτου μοναστηρίου, ἀποκαθιστᾶται διὰ πατριαρχικοῦ ἐκκλησιαστικοῦ γράμματος καὶ διορίζηται ὁ νέος ἡγούμενος, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδηκι· ἕκτον, ἡ σφραγὶς τοῦ μοναστηρίου νὰ διαιρεθῇ εἰς τμήματα τέσσαρα καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων· ἕβδομον, οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτοτέρων ἐν τοῖς συγκοινοβιάταις, ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν· αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομίζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφραγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριερχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας· οὗτοι δέ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας ἐπιτιμᾶν, σωφρονίζειν, ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας καὶ ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως καὶ μὴ πειθομένους, τελευταῖον, διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ· ὄγδοον, μηδεὶς τοῦ μοναστηρίου τούτου δύνηται πωλεῖν τοῦ λοιποῦ μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτῶν χρείας· ἔννατον, ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιέρεων φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐκτελεῖν αὐτὰς μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως· δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι ἱερώτατοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντός καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτῶν καὶ τὴν κατὰ θεὸν διαγωγὴν καὶ πολιτείαν καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ καταγωγίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν

τε ἤδη ὄντων ἀμπελίων τε καὶ κήπων (μπαχσέδων) καὶ τῶν εἰσέπειτα προσκτηθησομένων, ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπὸ τὴν ἐπίσκεψιν καὶ προστασίαν τῶν ὁσιωτάτων πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου καὶ λέγηται καὶ γνωρίζηται μετόχιον ἐκείνου, συνηνωμένον καὶ προσηλωμένον καὶ ἀφιερωμένον ἐκείνῳ, δεσποζόμενον καὶ διακυβερνώμενον παρὰ τοῦ κατὰ καιροὺς ἐνταῦθα εἰς βασιλεύουσαν τὴν διατριβὴν ποιουμένου ἡγουμένου τοῦ Μεγάλου Σπηλαίου καὶ τῶν ἐν αὐτῷ πατέρων, ὀφείλοντος καὶ προθυμοποιουμένου ἀντιλαμβάνεσθαί τε τούτου ἀμφοτέραις χερσὶ καὶ ζεούσῃ προθυμίᾳ φροντίζειν τὰ πρὸς καλλωπισμὸν καὶ σύστασιν καὶ ἐπὶ τὰ πρόσω αὔξησιν καὶ βελτίωσιν αὐτοῦ, μηδενὶ μηδὲν ὀφείλοντος διδόναι, εἰ μὴ τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ κυριάρχῃ καθ' ἕκαστον ἔτος δεκαὲξ γρόσια λόγῳ ἐνοριαρχῆς ὑποταγῆς, ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, κυρίῳ Παρθενίῳ, μνημονευομένου ἐν αὐτῷ τοῦ ἀρχιερατικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς κατὰ τόπον προϊσταμένου. ὀφείλουσι δὲ οἱ ῥηθέντες μαγίστορες [τοῦ ῥουφετίου] τῶν καπήλων διδόναι κατ' ἔτος ὑπὲρ μνημοσύνου καὶ ψυχικῆς αὐτῶν σωτηρίας ἕκαστον μέρος (σέμπτιον) ἐκ τῶν τριῶν ἀνὰ ἑκατὸν γρόσια, συμποσούμενα τὰ πάντα εἰς τριακόσια γρόσια. καὶ δὴ διατρίβοντος ἤδη ἐν Κωνσταντινουπόλει καὶ ὄντος ἡγουμένου τοῦ ῥηθέντος μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις κυρίου Βησσαρίωνος, παρέδωκαν οἱ ῥηθέντες μαγίστορες πρὸς αὐτὸν τοῦτ' αὐτὸ τὸ μοναστήριον, ὅστις καὶ ὑπέσχετο φροντίζειν τὰ πρὸς σύστασιν, αὔξησίν τε καὶ βελτίωσιν αὐτοῦ καὶ τὰ πρὸς καλλωπισμὸν καὶ εὐτρέπειαν κατὰ τὴν ἐνοῦσαν ἐπ' αὐτῷ τούτῳ ἐπιμέλειαν. χρείας τε γενομένης ἐπισκευῆς καὶ ἀπαρτισμοῦ ἔχειν αὐτὸν τοῦτον τὸν ἡγούμενον τὴν φροντίδα περὶ πάντων τῶν γενησομένων ἐξόδων καὶ δαπανημάτων, μηδενὸς ἑτέρου ἱερωμένου ἢ λαϊκοῦ ἔχοντος εἰς τὸ ἑξῆς μετοχήν τινα ἢ ἐξουσίαν εἰς αὐτὸ τὸ μοναστήριον, εἰ μὴ μόνον αὐτῶν τῶν πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ὡς γνωριζόμενον καὶ λεγόμενον μετόχιον αὐτοῦ καὶ κτῆμα ἴδιον καὶ πρᾶγμα ἀναφαίρετον καὶ ἀναπόσπαστον. ὑπέσχετο δὲ ὁ διαληφθεὶς νῦν ἡγούμενος καὶ τοῦτο, ὅτι, ἐάν ποτε ἰδίᾳ γνώμῃ καὶ προαιρέσει καὶ συγκατανεύσει τῶν ὁσιωτάτων πατέρων τοῦ εἰρημένου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου παραιτηθῇ τῆς ἐπισκέψεως καὶ φροντίδος αὐτοῦ τοῦ μοναστηρίου τοῦ ἁγίου Γεωργίου, ἢ αὐτὸς ἢ ὁ κατὰ καιροὺς ἡγούμενος, μὴ ἔχειν αὐτοὺς ἐξουσίαν διδόναι τὸ ῥηθὲν μοναστήριον ἄλλῳ τινὶ ἢ ἐσναφίῳ ἢ μοναστηρίῳ, εἰ μὴ μόνον τοῖς ῥηθεῖσι μαγίστορσι τοῦ ῥουφετίου τῶν καπήλων, παρ' ὧν ἔλαβον τοῦτο. ἐπειδὰν δὲ ἐν στερήσει ἡγουμένου γένηται, ἔχουσιν οἱ πατέρες τοῦ

εἰρημένου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου αἱρεῖσθαι καὶ ἐκλέγειν καὶ ἀποκαθιστᾶν κοινῇ γνώμῃ αὐτῶν τὸν σεμνότερον καὶ ἀξιώτερον ἀναφανέντα. ὅστις δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ καὶ τολμήσῃ μετακινῆσαί πως καὶ ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐπικυρωθέντα περὶ τοῦ εἰρημένου μοναστηρίου, μετοχίου γεγονότος τοῦ ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ κατὰ τὴν Πελοπόννησον Μεγάλου Σπηλαίου, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἐν μεμβράναις γράμμα καὶ σταυροπηγιασθὲν καὶ καταστρωθὲν ἐν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας. ἐδόθη τῷ ῥηθέντι ἡγουμένῳ, κυρίῳ Βησσαρίωνι, ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ κατὰ μῆνα ἰούλιον ἐπινεμήσεως δ' †.

† Προκόπιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐφέσου Σαμουὴλ †.
† Ἡρακλείας Μεθόδιος †.
† Νικομηδείας Ἀθανάσιος †.
† Δέρκων Ἀνανίας †.
† Ἀδριανουπόλεως Καλλίνικος †.
† Κυζίκου Ἀγάπιος †.
† Χαλκηδόνος Παρθένιος †.
† Θεσσαλονίκης Ἰάκωβος †.
† Δράμας Γρηγόριος †.
† Ναυπλίου Μελέτιος †.

XI. 7300—1792, mense ianuario, ind. X.

Patriarcha Neophytus confirmat, monasterium Sancti Georgii, dicti Carypi, in insula Antigoni, esse stauropegicum et unitum cum monasterio dicto Mega Spelaeon.

† Νεόφυτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἡ κηδεμονία καὶ πρόνοια τῶν ἁγίων ἐκκλησιῶν καὶ τῶν ἱερῶν καὶ σεβασμίων μοναστηρίων, τῶν εἰς δόξαν θεοῦ καὶ μνημόσυνον αἰώνιον τῶν ὀρθοδόξων κατὰ καιροὺς ἀνεγηγερμένων παρὰ φιλοθέων καὶ εὐσεβῶν ἀνδρῶν τῶν ἠγαπηκότων ἐξαιρέτως τὴν εὐπρέπειαν τῶν τοῦ θεοῦ σκηνωμάτων, οὐ μόνον ὀφειλομένη ἐστὶ καὶ χρειώδης τοῖς παρ' αὐτοῦ ἠξιωμένοις τὴν προστασίαν καὶ μέριμναν καὶ διοίκησιν τῶν τοιούτων εὐαγῶν οἴκων, ἀλλὰ καὶ πρὸ πάντων τῶν ἄλλων

ἀναγκαιοτάτη καθέστηκεν· ὅσα γὰρ συνιστῶσι τὴν εὐσέβειαν καὶ τὴν τοῦ θεοῦ καθαρὰν λατρείαν χαρακτηρίζουσι καὶ πᾶσαν ἀρετὴν καὶ θεογνωσίαν τοὺς μυουμένους ἐκδιδάσκουσι καὶ τὴν τῶν ψυχῶν σωτηρίαν ἐπιβραβεύουσιν, ἐν τούτοις τοῖς ἱεροῖς σκηνώμασι διενεργεῖσθαι ὀφείλουσι καὶ διεκπεραιοῦσθαι· ταύτῃ τοι καὶ ἡ τούτων διαδοχὴ καὶ συντήρησις ζέοντι πόθῳ φιλοθέως ἀνέκαθεν ἐσπουδάζετο τοῖς εὐαγγελικῶς προϊσταμένοις τοῦ ὀρθοδόξου λαοῦ, καὶ ἡ τούτων σύντονος μέριμνα καὶ φροντὶς οὐ διέλιπέ ποτε ἀπαραιτήτως ἐνεργουμένη· καὶ γὰρ ἀπρονόητα ἐναπομείναντα καὶ τῆς προσηκούσης κηδεμονίας ἐστερημένα εἰς φθορὰν παρεκτρέπεται καὶ κατὰ μικρὸν ἐξίτηλα γίνεται καὶ τῷ τῶν ὀρθοδόξων πληρώματι μεγάλη βλάβη καὶ ζημία προστρίβεται. διὸ καὶ ἡ μετριότης ἡμῶν, κατὰ θείαν νεῦσιν τοὺς πνευματικοὺς οἴακας τοῦ παγκοίνου σκάφους ἐγκεχειρισμένη, οὐ διαλείπει ἀποδέχεσθαι εὐμενῶς τὰς θεοφιλεῖς αἰτήσεις τὰς ὑπὲρ τῶν ἱερῶν σκηνωμάτων γινομένας ἐπὶ τῷ κατασφαλίζεσθαι αὐτὰς καὶ ἐπικυροῦσθαι εἰς διαμονὴν καὶ συντήρησιν τῶν ἱερῶν καταγωγίων· καὶ γὰρ προσεκομίσθη ἡμῖν καὶ πάσῃ τῇ περὶ ἡμᾶς ἀδελφότητι καὶ ἁγίᾳ συνόδῳ ἓν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐκδοθὲν ἐπὶ τοῦ προκατόχου ἡμῶν κατὰ τὸ παρεληλυθὸς χιλιοστὸν ἑπτακοσιοστὸν ὀγδοηκοστὸν ἕκτον σωτήριον ἔτος, κατὰ μῆνα ἰούλιον, ἐπινεμήσεως τετάρτης, περιέχον, ὅτι τὸ κατὰ τὴν ἐπαρχίαν Χαλκηδόνος ἐν τῇ νήσῳ Ἀντιγόνου κείμενον ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τιμώμενον ἐπ' ὀνόματι τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, οἱ χρήσιμοι μαγίστορες τοῦ ῥουφετίου τῶν καπήλων τῶν δουλευόντων ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κατὰ τὸ Φανάριον, δηλαδὴ Τζουπαλῆ καὶ Παλατᾶ καὶ Κοντοσκάλλιον καὶ Ὑψωμαθεῖα, θεῖον ζῆλον ἀναλαβόντες περιποιήσαντο αὐτὸ καὶ οὐκ ὀλίγους ἀγῶνας κατέβαλον εἰς ἀνάκτησιν αὐτοῦ. τοῦ δὲ σκοποῦ αὐτῶν μὴ εἰς ἔκβασιν ἐλθόντος ᾐτήσαντο ἐνθερμῶς, συνενῶσαι αὐτὸ τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ ἱερῷ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, τοῦ Μεγάλου Σπηλαίου ἐπικεκλημένῳ, εἰς ἀνάσωσιν αὐτοῦ καὶ ἀγαθὴν κατάστασιν, ἐνοριακοῦ μέντοι τυγχάνοντος. καὶ δὴ τὴν ἀφιέρωσιν αὐτῶν ταύτην ἀποδεξάμενοι οἱ τοῦ πατριαρχικοῦ ἡμῶν καὶ σταυροπηγιακοῦ μοναστηρίου ὁσιώτατοι πατέρες, οὐκ ὀλίγους ἀγῶνας καταβαλόντες περιεποιήσαντο πρὸς αὔξησιν καὶ βελτίωσιν αὐτοῦ. ἀλλ' ἵνα διαμένῃ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς ἀναφαίρετον καὶ ἀναπόσπαστον ἀπὸ τοῦ πατριαρχικοῦ ἡμῶν ἐκείνου μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ἐξῃτήσαντο ἀναδειχθῆναι καὶ τοῦτο ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακόν, ἐλεύθερον, ἀδούλωτον, ἀκαταπάτητον καὶ ἀνεπηρέαστον καὶ ἀσύδοτον καὶ πάντῃ ἀνενόχλητον παρὰ παντὸς προσώπου ἱερωμένου καὶ λαϊκοῦ, ἡνωμένον δὲ ἢ προσηλωμένον τῷ πατριαρχικῷ

ἡμῶν μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου, συναινούντων ἐν τούτῳ καὶ τῶν μαγιστόρων ἐκ τοῦ ῥουφετίου τῶν καπήλων καὶ πρὸ πάντων στέργοντος καὶ ἀποδεχομένου τὴν ἕνωσιν ταύτην τοῦ ἱερωτάτου μητροπολίτου Χαλκηδόνος, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ, κυρίου Ἱερεμίου, ὅστις ἰδίαις χερσὶ φέρων ἀπεκόμισεν, οἰκείᾳ αὐτοῦ βουλῇ καὶ αὐθαιρέτῳ γνώμῃ καὶ ἀβιάστῳ προαιρέσει, τὸ ῥηθὲν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐξαιτούμενος κατὰ ζῆλον φιλόθεον τὴν παντελῆ ἐλευθερίαν τοῦ ῥηθέντος μοναστηρίου τοῦ ἁγίου Γεωργίου καὶ τὴν ἐπισφράγισιν τῆς αἰτήσεως τῶν ὁσιωτάτων πατέρων, ὥστε ἀποκατασταθῆναι αὐτὸ ἡμέτερον πατριαρχικὸν σταυροπηγιακὸν μετὰ πάντων τῶν προσόντων αὐτῷ ἀφιερωμάτων καὶ κτημάτων, κινητῶν τε καὶ ἀκινήτων, ἀδούλωτον, ἀσύδοτον καὶ ἀκαταπάτητον, συνηνωμένον δὲ καὶ προσηλωμένον τῷ ἱερῷ μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου καὶ μετόχιον ἐκείνου λεγόμενον ἀναφαίρετον καὶ ἀναπόσπαστον. ταύτην οὖν τὴν ἔνθερμον αἴτησιν αὐτῶν εὐμενῶς ἀποδεξάμενοι καὶ ταῖς προσηκούσαις εὐφημίαις καταστεψάμενοι τὴν αὐτοῦ ἱερότητα καὶ τὸν θεοφιλῆ αὐτοῦ σκοπὸν χριστομιμήτως προσηκάμενοι, ὡς εὔλογον καὶ νόμιμον καὶ πρὸς ὠφέλειαν τοῦ ῥηθέντος ἱεροῦ μοναστηρίου ἀφορῶντα, ἔγνωμεν γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει ἐπινεῦσαι πρὸς τὸ αἴτημα αὐτῶν. τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, τὸ ἐν τῇ νήσῳ Ἀντιγόνου, ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακὸν μοναστήριον μετὰ πάντων τῶν ἱερῶν αὐτοῦ σκευῶν καὶ κτημάτων καὶ ἀφιερωμάτων κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων, ἀμπελίων καὶ κήπων (μπαχτσέδων) καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, προσηλωμένον δὲ καὶ ἡνωμένον ἀναποσπάστως τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ σεβασμίῳ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου, καὶ γνωρίζηται μετόχιον ἐκείνου, δεσποζόμενον καὶ διακυβερνώμενον παρὰ τοῦ κατὰ καιροὺς ἐνταῦθα εἰς βασιλεύουσαν τὰς διατριβὰς ποιουμένου ὁσιωτάτου καθηγουμένου τοῦ Βλὰχ Σαραγίου, μετοχίου τοῦ Μεγάλου Σπηλαίου, καὶ τῶν συνασκουμένων αὐτῷ πατέρων καὶ μόνον ὑπ' αὐτῶν διεξαγόμενον, ἐλεύθερον δέ, ἀδούλωτον, ἀσύδοτον, ἀκαταπάτητον καὶ μηδενὶ μηδὲν ὀφεῖλον διδόναι μήτε τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ κυριάρχῃ τῆς ἐπαρχίας ἐκείνης, ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος, μήτε ἄλλῳ τινὶ προσώπῳ ἱερωμένῳ καὶ λαϊκῷ μεχρὶς ὀβολοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς νενόμισται καὶ

εἴθισται τοῖς παριαρχικοῖς ἡμῶν σταυροπηγιακοῖς μοναστηρίοις, μηδ' ἔχῃ ποτὲ ἄδειαν ὁ κατὰ καιροὺς ἱερώτατος μητροπολίτης Χαλκηδόνος, μηδ' ἄλλος τις ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, ἱερωμένος ἢ λαικὸς ἐπηρεάσαι, ἐνοχλῆσαί τε καὶ καταπατῆσαι τὴν ἐνοῦσαν αὐτῷ σταυροπηγιακὴν ἡμῶν χάριν καὶ ἐλευθερίαν ἢ ὅλως ἀπαίτησίν τινα πολλὴν ἢ ὀλίγην μέχρι καὶ τοῦ ἐλαχίστου προσβαλεῖν ἢ βίαν ἐπενεγκεῖν τοῖς ἐν αὐτῷ συνασκουμένοις πατράσι καὶ ἰδιώταις, ἐφ' οἱᾳδήτινι αἰτίᾳ καὶ προφάσει. οἱ δὲ ἐν αὐτῷ συνασκούμενοι πατέρες ὀφείλουσι διάγειν ἐν εἰρήνῃ καὶ πολιτεύεσθαι εὐτάκτως καὶ ῥυθμίζειν τὸν ἑαυτῶν βίον κατὰ τὸ μοναδικὸν ἐπάγγελμα καὶ πρὸς τὸν κανόνα τῆς ὀφειλομένης ἀσκήσεως. καὶ ἐπειδὰν ἐν χρείᾳ χειροτονίας ἢ ἀρχιερατικῆς λειτουργίας καὶ μνημοσύνου γένωνται, ἔχουσι πᾶσαν ἄδειαν προσκαλεῖν, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, διὰ πατριαρχικῆς μέντοι ἐκδόσεως, ἐπὶ τῷ ἐκτελεῖν τὰς ἀρχιερατικὰς λειτουργίας καὶ μνημόσυνα καὶ χειροτονίας αὐτῶν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως. ἔτι δὲ ὁ κατὰ καιρὸν προϊστάμενος τοῦ αὐτοῦ μοναστηρίου ἡγουμενεύων, ὡς γηραιὸς καὶ ἄξιος, ἔχῃ ἄδειαν ἐκτελεῖν τὸ τῆς πνευματικῆς πατρότητος ἱερὸν λειτούργημα καὶ ἐξομολογεῖν τοὺς προσερχομένους αὐτῷ συγκοινοβιάτας πατέρας καὶ μοναχοὺς καὶ λοιποὺς χριστιανοὺς ἐντὸς τοῦ ἱεροῦ μοναστηρίου καὶ ἀνερευνᾶν τὰ βάθη τῶν καρδιῶν αὐτῶν δι' ἐκκλησιαστικοῦ μέντοι ἐνταλτηριώδους γράμματος, ὡς νενόμισται. τὰς δὲ ἐκλογὰς καὶ ἀποκαταστάσεις τῶν ἐν αὐτῷ προϊσταμένων καὶ τὰς λοιπὰς μοναστηριακὰς διοικήσεις ἔχωσι ποιεῖν τῇ εἰδήσει καὶ γνώμῃ τῶν πρωτίστων πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, μηδὲν τολμῶντες ἐν μηδενὶ παραβῆναι καὶ ἀθετῆσαι τὴν ἐπιχορηγηθεῖσαν αὐτῷ σταυροπηγιακὴν χάριν καὶ τὴν ἕνωσιν καὶ προσήλωσιν αὐτοῦ πρὸς τὸ ἱερὸν μοναστήριον· τοῦ Μεγάλου Σπηλαίου. ὃς δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ οἱῳδήτινι τρόπῳ ἀνατρέψαι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι συνοδικῶς ἀποφανθέντα καὶ ἐπικυρωθέντα καὶ ὑπὸ δουλείαν ἀγαγεῖν καὶ φόρον τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον ἢ ἀποσπᾶσαι ἢ ἀποξενῶσαι ἀπὸ τοῦ ῥηθέντος ἱεροῦ μοναστηρίου τοῦ Μεγάλου Σπηλαίου, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος ὑπάρχει παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου μακαρίας Τριάδος τοῦ ἑνὸς τῇ φύσει καὶ μόνου θεοῦ καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος τῷ αἰωνίῳ ἀναθέματι καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. ταῦτα γοῦν ἀπεφάνθη καὶ κεκύρωται κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν. εἰς δὲ τὴν περὶ τούτων ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ με-

γάλης ἐκκλησίας, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν ἱερὸν ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακὸν μοναστήριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τῷ ἐν τῇ νήσῳ Ἀντιγόνου. ἐν ἔτει ,αψϥβ´ κατὰ μῆνα ἰανουάριον ἐπινεμήσεως ι´[1]) †.

† Νεόφυτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καισαρείας Γρηγόριος †. † Ἐφέσου Σαμουὴλ †.
† Ἡρακλείας Μεθόδιος †. † Κυζίκου Ἀγάπιος †.
† Νικομηδείας Ἀθανάσιος †. † Χαλκηδόνος Ἱερόθεος †.
† Δέρκων Ἀνανίας †. † Ἄρτης Μακάριος †.

XII. 7306—1798, mense februario, ind. I.

Patriarcha Gregorius V. confirmat jus stauropegicum, iura et privilegia et possessiones monasterii.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὅσα μὲν κατὰ τοὺς θείους θεσμοὺς καὶ τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τυγχάνει διακυβερνώμενα, πολλὴν ἔχουσι τὴν χάριν παρὰ θεοῦ καὶ τὸ κλέος μέγιστον· ὅσα δὲ τοὐναντίον παραβαίνει τῶν ὅρων ἐκτρεπόμενα, ἐν τούτοις προφανὴς ἡ ἀκοσμία καὶ κατάδηλος ἡ φθορὰ καὶ ἐπὶ πᾶσιν ἡ τῶν ψυχῶν ἀπώλεια. εἰ γάρ, καθάπερ οἱ περὶ τῶν καθ' ἕκαστα ἐκκλησιῶν νόμοι, οὕτω καὶ οἱ περὶ τῶν σταυροπηγιακῶν μοναστηρίων τῶν ὑπὸ τῷ καθ' ἡμᾶς ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ ἀπαράτρεπτοι διαφυλάττοντο καὶ τῆς κατὰ νόμους ἐπιμελείας καὶ προστασίας κἀκεῖνα ἠξιοῦντο παρὰ τῶν ἀεὶ πατριαρχευόντων, οὐκ ἂν τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινὰ τοῖς μοναστηρίοις συνέβαινεν· ἀλλ' ἐπειδὴ οὐκ οἴδαμεν ὅπως τῶν ἱερῶν παρημελημένων νόμων εἰς τοσαύτην προῆλθον ἀκαταστασίαν καὶ ἐλεεινὴν ἀπώλειαν τὰ ἱερὰ ταῦτα καταγώγια, διὰ ταῦτα εὐθὺς ἀνειληφόσιν ἡμῖν τοὺς οἴακας τοῦ παγκοίνου τουτουὶ σκάφους, ἔδοξε πρὸς τοῖς ἄλλοις καὶ τὰ παρημελημένα αὐτὰ εὐαγῆ μοναστήρια διορθώσασθαι, ἀφορῶσι πρὸς τὸ ἐκείνων συμφέρον, ὡς μέλη γνήσια ὄντα τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ τῷ σταυροπηγιακῷ καὶ πατριαρχικῷ προνομίῳ τετιμημένα, ἄλλως τε οὐδὲ καινούς τινας ἀφ' ἑαυτῶν νόμους φέρομεν, ἀλλ' ἀρχαίους τοῖς ἐνασκουμένοις

---

[1]) Editio Oec. α´. Error.

καὶ γεραρούς· τὴν γὰρ τῶν ἐκκλησιαστικῶν πραγμάτων προστασίαν τοῖς ἐπισκόποις ἐπιτρέπουσιν οἱ ἱεροὶ νόμοι καὶ κανόνες, τὸν τοῦ θεοῦ νόμον προτίθεσθαι διακελευόμενοι, ἵνα, εἴ γε δέοιντο, καὶ αὐτοὶ μεταλαμβάνωσιν, ὃν τρόπον ὁ λη' τῶν ἁγίων ἀποστόλων κανὼν καὶ ὁ κε' τῆς ἐν Ἀντιοχείᾳ ἱερᾶς συνόδου καὶ ἡ ἐν Χαλκηδόνι, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Νικαίᾳ ὅ τε ια' καὶ ὁ ιβ' καὶ ἐν Ἀγκύρᾳ ὁ ιε' καὶ ὁ μθ' τῆς ἐν Τρούλλῳ καὶ ἄλλοι πλεῖστοι, ὅσοι σεπτοὶ νόμοι καὶ κανόνες σαφῶς φαίνονται τὴν τῶν ἱερῶν μοναστηρίων ἐξουσίαν τοῖς ἐπισκόποις διδόντες, ὥστε μεταλαμβάνειν μὲν καὶ αὐτοὺς τῶν δεόντων, εἴ γε δέοιντο εἰς τὰς ἑαυτῶν χρείας, τὴν δὲ περὶ ἐκεῖνα ἐπιμέλειαν μεγίστην τε καὶ ὡς θεοῦ ἐφορῶντος ποιεῖσθαι, ἵνα προστατεύωσιν αὐτῶν καὶ οἰκονόμους καὶ ἐπιτρόπους καὶ ἡγουμένους ἀποκαθιστῶσιν ἐν αὐτοῖς, καλῶς περὶ τῆς αὐξήσεως καὶ βελτιώσεως τούτων ἐπιμελούμενοι, ἵνα μὴ δι' ἀμέλειαν ἔνοχοι γένωνται τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις. οἱ δὲ οἰκονόμοι, ἡγούμενοί τε καὶ ἐπίτροποι διαμένωσιν ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπισκόπων, καὶ δίχα τῆς ἀδείας αὐτῶν μήτε πολῶσι, μητ' ἀγοράζωσι μοναστηριακόν τι κτῆμα, ἀλλ' οἰκονομῶσι καλῶς πρὸς τὴν ἐκείνων ὁδηγίαν καὶ ἄδειαν, ὅπως μὴ καὶ αὐτοί, ὡς ἀνατρέποντες τοὺς ἐκκλησιαστικοὺς τούτους ὅρους καὶ κανόνας, βαρυτάτοις ὑποπέσωσι τοῖς ἐπιτιμίοις καὶ τιμωρίαις. ταῦτα μὲν οὖν οἱ θεῖοι νόμοι ἀποφαίνονται περὶ τῶν ἱερῶν μοναστηρίων· τούτων δὲ τὰ μὲν τοῖς κατὰ τόπον ἐπιτετραμμένοις ἐνοριακὰ τῆς προσηκούσης ἀρχιερατικῆς, ὡς εἰκός, ἐπ' αὐξήσει τυγχάνει ἐπιμελείας, μόνα δὲ τὰ τῇ σταυροπηγιακῇ ἀξίᾳ τετιμημένα, οὐκ οἴδαμεν ὅπως, πρὸ χρόνων πολλῶν παρημέληται. καὶ δέον, ὡς θεοῦ ἐφορῶντος, διοικεῖσθαι αὐτὰ καὶ ἐκ παντὸς τρόπου ἐπιμελείας τῆς ἀναλόγου ἀξιοῦσθαι, ὅπως τῶν ἐν αὐτοῖς ἀγαθῶν τὰ μὲν ὑπάρχοντα διαμένῃ, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιοπομπῆται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν ἁπάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλλομεν, ἐπιθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν, ἱερὸν τόμον ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις, περὶ τῆς ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων καὶ τῆς δυνατῆς ἀντιλήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεάν, καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενα ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως, ὡς καὶ περὶ τοῦ ἐν τῇ κατὰ τὴν Πελοπόννησον ἐπισκοπῇ Κερνίτζης ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, ἐπικεκλημένου

Μέγα Σπήλαιον· ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Παϊσίου, ἐπικυροῦν ἴσον ἀρχαίου συνοδικοῦ γράμματος τοῦ ἀοιδίμου [πατριάρχου] Παρθενίου, περιέχοντος, ὅτι τὸ μοναστήριον τοῦτο ἔχει τὴν σεπτὴν καὶ ἱερὰν εἰκόνα τῆς θεομήτορος τὴν ἱστορηθεῖσαν παρὰ τοῦ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ, καὶ ὅτι ἀνέκαθεν διὰ σιγιλλίων καὶ βασιλικῶν χρυσοβούλλων σταυροπηγιακῇ ἀξίᾳ τετίμηται καὶ ὅτι ἐν συμβάσῃ ἐκεῖ πυρκαϊᾷ, κατακαέντων πάντων τῶν ἐν τῷ σκευοφυλακείῳ χρυσοβούλλων, σιγιλλίων καὶ ἄλλων γραμμάτων τε καὶ πραγμάτων, μόλις οἱ ἐκεῖ πατέρες ἠδυνήθησαν διασῶσαι τὴν ῥηθεῖσαν ἱερὰν εἰκόνα, χάριτας βρύουσαν τοῖς μετ' εὐλαβείας προσερχομένοις, καὶ ἀποφαινόμενον, ἵνα τὸ μοναστήριον τοῦτο κατὰ τὸ ἔκπαλαι ὑπάρχῃ πάντῃ ἐλεύθερον σταυροπήγιον μετὰ τῶν ὑποτελούντων αὐτῷ ἐν διαφόροις τόποις κειμένων μετοχίων, ἅτινα εἰσὶ ταῦτα· τὸ κατὰ τὰ Μαῦρα Βουνὰ μετόχιον σὺν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Νικολάου καὶ τοῖς συνημμένοις αὐτῷ τόποις· τὸ κατὰ τὰ Τρυπία μετὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου καὶ τῶν τόπων αὐτοῦ· ὁ ἅγιος Νικόλαος μετὰ τῶν ἐλαιοφύτων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Πανηγυρίστραν μετὰ τῆς ἐκκλησίας τῆς Ἁγίας Τριάδος καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὸν σταυροέλατον μετὰ τῆς ἐκκλησίας τῶν Εἰσοδίων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Σάλμεναν μετὰ τῆς ἐκκλησίας τῶν ἁγίων ἀποστόλων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Σταυρία μετὰ τῆς ἐκκλησίας τῆς ἁγίας Μαρίνης καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Γουμένιτζαν σὺν τοῖς τόποις αὐτοῦ· τὸ ἐν τῇ Παλαιᾷ Πάτρᾳ ὀσπήτιον σὺν ἄλλοις τόποις· τὸ ἐν τῷ Καλαμακίῳ μετὰ τῆς ἐκκλησίας καὶ τῶν τόπων αὐτοῦ· τὸ Μέγα Ἀμπέλιον μετὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἀθανασίου· τὸ ἐν τῇ Βοστίτζῃ μετόχιον μετὰ τῶν τόπων αὐτοῦ καὶ ὅσα ἄλλα ἀμπέλια, χωράφια, κήπους, δένδρα καὶ ἄλλα ἀφιερώματα ἔχει ἐν τῇ ἐπαρχίᾳ Παλαιῶν Πατρῶν καὶ ταῖς ὑποκειμέναις αὐτῇ ἐπισκοπαῖς. μετὰ τούτων οὖν καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ ὑπάρχει σταυροπήγιον, καὶ ὅπως ὁ ἡγούμενος ἔχῃ τὴν ἄδειαν σφραγίζειν ἀναγνώστας ἔνδον τῆς μονῆς καὶ παρέχειν ἄδειαν καὶ τοῖς ἀξίοις ἱερομονάχοις δέχεσθαι τοὺς λογισμοὺς τῶν συνασκουμένων πατέρων, καὶ μηδεὶς τῶν ἡγουμένων δύνηται καθιστᾶν ἐπιτρόπους κοσμικοὺς καὶ λαϊκοὺς ἄνδρας ἐπὶ τῷ θεωρεῖν μοναστηριακὰς αὐτῶν ὑποθέσεις, ἀλλ' ὑπὸ τῆς κοινότητος τῶν πατέρων αὗται διαπεραίνωνται, καὶ μηδεὶς τῶν προσηλωθέντων τῇ μονῇ ταύτῃ δύνηται λειποτακτεῖν ἄνευ ἀδείας τοῦ ἡγουμένου καὶ νομίμου αἰτίας, ὁ δὲ παρὰ ταῦτα πράττων, ἱερωμένος μέν, ἔνοχος ὑπάρχῃ καθαιρέσει, μοναχὸς δὲ ἀφορισμῷ μέχρι τοῦ ἐπιστρέψαι εἰς τὴν μετάνοιαν αὐτοῦ. εἰς ἀνακαίνισιν οὖν τούτου γράφοντες ἀποφαινόμεθα

συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μοναστήριον τοῦτο μετὰ τῶν ἀνωτέρω ἀπηριθμημένων μετοχίων αὐτοῦ καὶ μετὰ τοῦ ἐν τῇ νήσῳ Ἀντιγόνου μοναστηρίου τοῦ ἁγίου Γεωργίου, Καρύπι ἐπιλεγομένου, ὄντος κἀκείνου μετόχιον τοῦ μοναστηρίου τούτου κατὰ τὸ ἐπὶ τοῦ προπατριαρχεύσαντος Νεοφύτου πάτριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα καὶ μετὰ τῆς ἐν τῷ Βλὰχ Σερχγίῳ τῆς Κωνσταντινουπόλεως κατὰ τὸν Ταχτὰ Μιναρὲ ἐκκλησίας τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου κατὰ τὰ περὶ τούτου πανέκλαμπρα αὐθεντικὰ χρυσόβουλλα καὶ μετὰ τοῦ νεωνήτου μετοχίου τοῦ Ἀλῆ Τσελεπῆ μετὰ τῆς ἐκκλησίας αὐτοῦ καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων αὐτοῦ καὶ ἀφιερωμάτων κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον παρ' οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ παριαρχικοῦ ὀνόματος, ἔχον καὶ προνόμιον καὶ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν, προχειριζόμενον καὶ πατερίτζαν. ἀποφαινόμεθα δὲ καὶ τὰ ἐφεξῆς· ἵνα πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας· δεύτερον δέ, λόγῳ ὑποταγῆς, ἀποδιδῷ καθ' ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια τριακόσια εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ λαμβάνῃ ἐξοφλητικὴν ἀπόδειξιν. καὶ οὕτως ᾖ διατηροῦν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον καὶ καλῶς διοικούμενον, ὡς μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ θρόνου· ὁ δ' ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ ὁ ἀρχιερεύς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι· τρίτον, ἵνα διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδηκι τῆς μεγάλης ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ [τὸ] τοῦ ἡγουμένου ὄνομα· τέταρτον, τὸ σιγίλλιον αὐτοῦ ἔχει μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενόν ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς· πέμπτον, ἐπειδὰν ἐν στερήσει ἡγουμένου γένωνται, φυλαττομένης ἀπαραβάτου τῆς ἀρχαίας μοναστηριακῆς τάξεως, ἔχωσιν ἄδειαν ἐκλέγειν ἕνα ἐκ τῆς συνοδίας αὐτῶν, τὸν κοινῶς ἀναφανέντα ἄξιον καὶ τοῦτον ἀποκαθιστᾶν ἡγούμενον, ἐκτὸς εἰ μὴ εἴη διαφωνία τῶν προκριτοτέρων πατέρων περὶ τῆς ἐκλογῆς τοῦ νέου ἡγουμένου· τότε γὰρ δι' ἐνυπογράφων ἀναφορῶν ὀφείλουσιν

ἀναφέρειν τὴν ὑπόθεσιν ταύτην εἰς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, περιγράφοντες ἐν φόβῳ θεοῦ τὰ ἤθη, τὸν βίον καὶ τὴν φρόνησιν τῶν εἰς ἐκλογὴν ἐπὶ τῇ ἡγουμενείᾳ προκειμένων μοναστηριακῶν πατέρων, ἵνα, ἐπικρίσεως ἐκκλησιαστικῆς ἀκριβοῦς γενομένης πρὸς τὸ κοινῇ συμφέρον τοῦ ἱεροῦ τούτου μοναστηρίου, ἀποκαθιστᾶται διὰ πατριαρχικοῦ ἐκκλησιαστικοῦ γράμματος καὶ διορίζηται ὁ νέος ἡγούμενος, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδηκι· ἕκτον, ἡ σφραγὶς τοῦ μοναστηρίου νὰ διαιρεθῇ εἰς τμήματα τέσσαρα καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων· ἕβδομον, οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτοτέρων ἐν τοῖς συγκοινοβιάταις, ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν· αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομίζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφραγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριερχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας· οὗτοι δέ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας ἐπιτιμᾶν, σωφρονίζειν, ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας καὶ ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως καὶ μὴ πειθομένους, τελευταῖον, διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ· ὄγδοον, μηδεὶς τοῦ μοναστηρίου τούτου δύνηται πωλεῖν τοῦ λοιποῦ μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσιως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτῶν χρείας· ἔννατον, ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιέρεων φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐκτελεῖν αὐτὰς μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως· δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι ἱερώτατοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντός καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτῶν καὶ τὴν κατὰ θεὸν διαγωγὴν καὶ πολιτείαν καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ καταγωγίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν

διατύπωσιν ἀπαράτρεπτον. ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν ἱερωμένος ἢ λαϊκὸς ὁποιασοῦν τάξεως καὶ βαθμοῦ τολμήσῃ παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα καὶ ἀνατρέψαι τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα ἐν μεμβράναις, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας τῷ ἐπ' αὐτῷ τούτῳ διορισθέντι καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ ὀγδόῳ κατὰ μῆνα φεβρουάριον ἐπινεμήσεως πρώτης †.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐφέσου Σαμουὴλ †.
† Ἡρακλείας Μελέτιος †.
† Κυζίκου Ἰωαννίκιος †.
† Νικομηδείας Ἀθανάσιος †.
† Νικαίας Καλλίνικος †.
† Δέρκων Μακάριος †.
† Θεσσαλονίκης Γεράσιμος †.
† Νεοκαισαρείας Ἡσαΐας †.
† Λαρίσσης Διονύσιος †.
† Εὐρίπου Ἱερόθεος †.

XIII. 7311—1803, mense rebiul evel, ind. VI.

Imperator Turcarum Selim III. confirmat exemtionem monasterii a tributis provincialibus et decima.

Σουλτὰν Σελὶμ [ὁ γ'].

(Τουρᾶς.)

Πληρεξούσιε κτλ. βεζύρη τοῦ Μωρέως. αὐξηθείη ἡ λαμπρότης σου καὶ πεπαιδευμένοι καδίδες (κριταὶ) τῶν ἐπαρχιῶν Καλαβρύτων, Βοστίτζης, Γαστούνης καὶ Παλαιῶν Πατρῶν, αὐξηθείη ἡ σοφία σας.

Ἅμα φθάσῃ τὸ παρόν μου σημεῖον, θέλει σᾶς γένῃ γνωστόν, ὅτι οἱ καλόγηροι τοῦ μοναστηρίου Μέγα Σπήλαιον λεγομένου καὶ κατὰ τὴν ἐπαρχίαν τῶν Καλαβρύτων κειμένου ἀνέφερον εἰς τὸ κράτος μου, ὅτι μ' ὅλον ὁποῦ διὰ τὰ ἀπὸ τὸν καιρὸν τῆς βασιλικῆς ἁλώσεως εὑρισκόμενα εἰς χεῖράς τους κτήματα καὶ γαίας, ὁποῦ κεῖνται εἰς τὰς ἐπαρχίας Βοστίτζης, Καλαβρύτων, Παλαιῶν Πατρῶν καὶ Γαστούνης, ὑπάρχουσι ἐκδεδομένοι βασιλικοὶ ὁρισμοὶ διαλαμβάνοντες τὴν ἀσυ-

δοσίαν των ἀπὸ τῆς δεκατίας καὶ λοιπῶν φόρων, μὲ ὅλον τοῦτο ποτὲ μὲν ἀπὸ τὸ μέρος τῶν σπαχίδων, ποτὲ δὲ ἀπὸ τὸ μέρος τῶν βοεβονδάδων καὶ ἄλλων ἐν δυνάμει ἠνοχλοῦντο καὶ ἐπηρεάζοντο, διὰ τοῦτο προσθέσαντες εἰς τὸν ἔκπαλαι προσδιωρισμένον φόρον των ἔτι τι παρέδιδον εἰς αὐτούς. ἐπειδὴ δὲ καὶ οἱ βοεβόνδαι τῆς Γαστούνης ἐζήτουν ἀπὸ αὐτοὺς χρήματα μὲ διαφόρους ἐπιζημίους τρόπους διὰ τοὺς τόπους τοὺς λεγομένους μετόχιον τοῦ Μαυροβουνίου, μ' ὅλον ὁποῦ οἱ ἐν τούτοις τοῖς τόποις κατοικοῦντες καλόγηροι καὶ ῥαγιάδες ἦσαν ἐλεύθεροι ἀπὸ τοὺς ῥηθέντας φόρους, ἐσυμφώνησαν νὰ δίδωσιν κατ' ἔτος καὶ τῷ βοεβόνδᾳ τῆς Γαστούνης διὰ τοῦ ἐπιστάτου τοῦ ῥηθέντος μετοχίου 250 γρόσια λόγῳ συνδρομῆς εἰς τοὺς φόρους τῆς ἐπαρχίας ἀποκεκομμένως κατ' ἀναλογίαν, καὶ ἐπ' αὐτῷ τούτῳ ἔγειναν καὶ ἐκ μέρους τῆς κρίσεως ἐπίσημα ἐνδεικτικὰ ἔγγραφα (σενέτιον καὶ χοντζέτιον) διαλαμβάνοντα τὴν συμφωνίαν ταύτην. καὶ ὅτι διὰ νὰ μὴ τοὺς ἐνοχλῇ κανείς, οὔτε ἀπὸ τοὺς νεφέριδες τοῦ φρουρίου Ναβαρίνων, οὔτε ἀπὸ τοὺς ἐνοικιαστὰς τῶν δεκάτων, λέγοντας, ὅτι οἱ ἔκπαλαι βακούφικοι τόποι τοῦ ῥηθέντος μοναστηρίου ἐμπεριέχονται εἰς τοὺς τόπους τῶν τιμαρίων των, ἐναντίον τῶν ὅσα διομολογοῦσι τὰ βασιλικά μου κατάστιχα, ἐξεδόθησαν βασιλικαὶ διαταγαὶ διαλαμβάνουσαι τὰ παλαιὰ ὅρια τῶν εἰρημένων κτημάτων καὶ ἐμποδίζουσαι τὴν φορολογίαν τῶν ἐν τοῖς εἰρημένοις ὁρίοις περιεχομένων κτημάτων καὶ γαιῶν, ἀμπελίων, χωραφίων, ἐλαιοδένδρων, οἰκιῶν, ἐργαστηρίων καὶ τόπων ἄλλων, τοὺς ὁποίους οἱ ἴδιοι καλόγηροι ἐξεχέρσωσαν, ἐν ὅσῳ δίδουσι κατ' ἔτος εἰς τὸν βασιλικόν μου θησαυρὸν τὸν προσδιωρισμένον φόρον αὐτῶν καὶ ἀναιροῦσι τὴν ἀπαίτησιν δεκάτων καὶ ἄλλων φόρων ἐκ μέρους τῶν δεκατιστῶν καὶ τῶν ἐν δυνάμει καὶ τῶν ἐφόρων τῆς βασιλείας μου, καθὼς καὶ τὸν φόρον χιλίων προβάτων. ἀλλ' ἐπειδὴ οἱ εἰς τὰ πέριξ διατρίβοντες τοὺς παρενοχλοῦσι πότε μὲ ἀπαιτήσεις δεκάτων καὶ φόρων καὶ πότε μὲ ἀπαιτήσεις προβλέψεων, καὶ γίνονται αἴτιοι τοῦ ὀλέθρου των, ἐξητήσαντο νὰ ἐξαχθῶσιν ἐκ τῶν βασιλικῶν ἀρχείων μου ἀντίγραφα τῶν βασιλικῶν διαταγῶν καὶ τῶν ἀνὰ χεῖρας αὐτῶν εὑρισκομένων ἀντιγράφων τοῦ βασιλικοῦ καταστίχου, ὅπου καταγράφονται αἱ γαῖαι, τῶν ὁποίων εἶναι ἔκπαλαι κύριοι καὶ αἱ ὁποῖαι κεῖνται εἰς τὰς ἐπαρχίας Καλαβρύτων, Βοστίτζης, Παλαιῶν Πατρῶν καὶ Γαστούνης, καθὼς καὶ τὰ σύνορα αὐτῶν, καὶ νὰ ἐκδοθῇ αὐστηρὰ βασιλική μου διαταγή, διὰ νὰ μὴ ἀπαιτῶνται παρὰ βοεβονδάδων, δεκατιστῶν καὶ ἄλλων ἐν δυνάμει καὶ νὰ μὴ συνάζωνται παρ' αὐτῶν οὔτε ὀλίγα, οὔτε πολλά, δέκατα καὶ φόροι διὰ τὰς ἀμπέλους, τὰ χωράφια, τὰ ἐλαιόδενδρα, τὰ ἐργαστήρια, τὰ ὁποῖα ἐμπεριέχονται εἰς τὰ ῥηθέντα σύνορα, οὔτε δι' ὅσα ἄλλα ἐξεχέρσωσαν οἱ καλόγηροι, οὔτε φόρος διὰ τὰ χίλια πρόβατά των. ἐξετασθέντων οὖν τῶν ἐν τῷ βασιλικῷ μου θησαυρῷ

καταστίχων ἐξήχθη, ὅτι οἱ καλόγηροι τοῦ κατὰ τὴν ἐν Πελοποννήσῳ ἐπαρχίαν Καλαβρύτων κειμένου μοναστηρίου Μέγα Σπήλαιον ἐν καιρῷ τῆς ἁλώσεως τῆς χερσονήσου ἀπεδέχθησαν πρὸ πάντων τὴν ὑποταγὴν καὶ ἐδόθη εἰς χεῖράς των αὐστηρὰ βασιλικὴ διαταγὴ διαλαμβάνουσα τὴν ἀσυδοσίαν των καὶ ὅτι, ἀφ' οὗ πληρώνουν κατ' ἔτος εἰς τὸν βασιλικόν μου θησαυρὸν διὰ τῶν ἡγεμόνων τοῦ Μωρέως μετὰ τῆς γενομένης προσθήκης τὸ ὅλον τριάκοντα πέντε χιλιάδες λεπτὰ (ἄσπρα), ὡς ἀντίτιμον τῆς ἀσυδοσίας τῶν δεκάτων καὶ ἄλλων φόρων διὰ τὰ ὑποτεταγμένα εἰς τὸ ῥηθὲν μοναστήριον κτήματα καὶ γαίας, νὰ μὴ ἐνοχλῶνται παρ' οὐδενὸς μὲ ἀπαιτήσεις τοιούτων φόρων. ἐπειδὴ δὲ ἐναντίον τῶν βασιλικῶν μου διαταγῶν ἠνωχλοῦντο παρὰ τῶν διωρισμένων συνάδων μὲ νέας ἀπαιτήσεις καὶ λήψεις ἔξω τοῦ εἰρημένου ἀντιτίμου τῆς ἀσυδοσίας των διὰ τὰ κτήματα τὰ ἐκχερσωθέντα καὶ καλλιεργούμενα παρ' αὐτῶν εἰς τὴν ῥηθεῖσαν χερσόνησον καὶ φόρους διὰ χίλια πρόβατά των, καὶ ἐπειδὴ τὸ ἀντίτιμον τῆς παλαιᾶς ἀποκοπῆς τῶν δεκάτων καὶ φόρων, τῶν ὁποίων ἡ πληρωμὴ ὠφείλετο ἀπὸ τοὺς καλογήρους τοῦ εἰρημένου μοναστηρίου διὰ τὰ κτήματα καὶ τὰς γαίας των, δηλαδὴ αἱ εἰκοσιπέντε χιλιάδες λεπτὰ (ἄσπρα) συναζόμενα παρὰ τῶν ἡγεμόνων τοῦ Μωρέως ἐστέλλοντο εἰς τὸν βασιλικόν μου θησαυρὸν καὶ ἦσαν ἐκ τῶν συμπεριλαμβανομένων εἰς τὴν ἡγεμονείαν τοῦ Μωρέως. κατὰ δὲ τὸ ἔτος 1200 ἡ ῥηθεῖσα ἀποκοπὴ ὁμοῦ μὲ ἄλλας προσόδους ἐχωρίσθη καὶ ἐδόθη πρός τινας ἐν εἴδει μαλκιανὲ διὰ ἀντάλλαγμα 200 γροσίων, οἱ δὲ ἡγεμόνες τοῦ εἰρημένου μουκατᾶ δὲν ἄφιναν εἰς ἡσυχίαν καὶ παρηνώχλουν τοὺς καλογήρους τοῦ ῥηθέντος μοναστηρίου μὲ ἀπαιτήσεις φόρων διὰ τὰ κτήματα καὶ περιβόλια καὶ ἐλαιόδενδρά των, διὰ ταῦτα ἐπὶ τῇ βάσει τοῦ ὅτι οἱ καλόγηροι τοῦ ῥηθέντος μοναστηρίου εἰς τὴν ἅλωσιν τοῦ Μωρέως ἀπεδέχθησαν πρῶτοι τὴν ὑποταγήν, τὸ ἀντίτιμον τῆς ἀσυδοσίας των, γενομένης καὶ προσθήκης δέκα χιλιάδων λεπτῶν (ἄσπρων) εἰς αὐτὴν τὴν ἀποκοπήν των, δι' ὧν αὐτὴ συμποσοῦται τριάντα πέντε χιλιάδες λεπτὰ (ἄσπρα) κατὰ τὸ ἔτος 1211. ταῦτα τὰ χρήματα προσετέθησαν εἰς τὴν ἀποκοπὴν τοῦ ἐν Κωνσταντινουπόλει πατριαρχείου, διὰ νὰ παραδίδωνται κατ' ἔτος εἰς τὸν θησαυρόν μου ἐκ μέρους τοῦ ῥηθέντος πατριαρχείου καὶ ἀκυρώθη τὸ ἔγγραφον τοῦ μαλκιανέ. ἐπειδὴ εἶναι διατεταγμένον εἰς τὰ ἀνὰ χεῖρας τῶν καλογήρων σωζόμενα φερμάνιά μου, νὰ κερδαίνωσι τὰ δέκατα καὶ τοὺς φόρους τῶν ἐν τοῖς ὁρίοις τοῦ ῥηθέντος μοναστηρίου κειμένων γαιῶν καὶ νὰ μὴ ἀπαιτῶνται φόρους διὰ τὰ χίλια πρόβατά των, πληρώνοντες τὴν ἀποκοπήν των μετὰ τῆς γενομένης προσθήκης, μηδὲ νὰ ζητηθῶσι ποτὲ παρ' αὐτῶν φόροι διὰ τὰ ἐν τοῖς ὁρίοις τοῦ μοναστηρίου κείμενα, γαίας, περιβόλια καὶ ἐλαιόδενδρα, καὶ νὰ μὴ ἐνοχλῶνται μὲ λήψεις φόρων διὰ τὰ χίλια

πρόβατά των, τόσον οἱ καλόγηροι, ὅσον καὶ οἱ ραγιάδες οἱ κατοικοῦντες εἰς τὸ κατὰ τὴν ἐπαρχίαν τῆς Γαστούνης κείμενον μετόχιον, τὸ ὁποῖον ὀνομάζεται Μαῦρα Βουνά, ἀφ' οὗ πληρώνωσι κατ' ἔτος τὰ μετὰ τῆς προσθήκης γινόμενα τριάντα πέντε χιλιάδες λεπτὰ (ἄσπρα), ὡς ἀντίτιμον τῆς ἀσυδοσίας των, τῆς ὁποίας ἡ πληρωμὴ ὠφείλετο εἰς τὸν διατεταγμένον συνάκτην αὐτῶν, καὶ νὰ εἶναι ἐλεύθεροι ἀπὸ ὅλους τοὺς ἄλλους φόρους, καθότι ἀφ' οὗ πληρώνωσι κατ' ἔτος τὴν ἀποκοπήν των μετὰ τῆς γινομένης προσθήκης ὡς ἀντίτιμον τῆς ἀσυδοσίας των διὰ τὰ ὀφειλόμενα δέκατα καὶ ἄλλους φόρους τῶν γαιῶν, ἐλαιοδένδρων, ὀσπητίων, περιβολίων, ἀμπελίων καὶ λειβαδίων, χειμερινῶν καὶ θερινῶν, τῶν ὁποίων τὰ σύνορα εἶναι σημειωμένα κατὰ τὰ βασιλικά μου κατάστιχα καὶ κεῖνται εἴτε τὸ κατὰ τὴν ἐπαρχίαν τῆς Γαστούνης ξενοτροφεῖον καὶ μετόχιον, τὸ ὁποῖον εἶναι ἐκ τῶν παραρτημάτων τοῦ ῥηθέντος μοναστηρίου, εἴτε εἰς αὐτὸ τὸ ἴδιον μοναστήριον Μέγα Σπήλαιον, τὰ ὁποῖα τροφοδοτοῦσι τοὺς διαβαίνοντας ἐκεῖθεν ἡγεμόνας, ἐξουσιαστὰς καὶ ἄλλους ἀνθρώπους ἄνευ μηδεμιᾶς πληρωμῆς, τὸ νὰ ἐνοχλῶνται καθ' ὁποιονδήτινα τρόπον, καθὼς καὶ τὸ νὰ ἐπηρεάζωνται οἱ καλόγηροι καὶ λοιποὶ ραγιάδες τοῦ ῥηθέντος μετοχίου παρὰ τῶν βοεβονδάδων τῆς Γαστούνης μὲ ἀπαιτήσεις περισσοτέρων φόρων εἶναι ἐναντίον εἰς τὰς βασιλικάς μου διαταγὰς τὰς ἐκδοθείσας κατὰ διαφόρους ἐποχὰς διὰ τὴν ἀσυδοσίαν των καὶ τὸν κανονισμὸν αὐτῶν. ἐπειδὴ δὲ καί τινες ἐκ τῶν φυλάκων τοῦ φρουρίου Ναβαρίνων καὶ τῶν ἐνοικιαστῶν ἐναντίον τῶν βασιλικῶν κανόνων τοὺς παρηνώχλουν μὲ ἀπαιτήσεις φόρων καὶ κρισολογηθέντων, μ' ὅλον ὁποῦ ἀπεδείχθη, ὅτι αἱ ἀπαιτήσεις των ἦσαν ἐναντίαι εἰς τὰς βασιλικάς μου διαταγὰς καὶ εἰς τὴν ἀσυδοσίαν των, κατέπαυσεν ἡ διαφειλονεικησις καὶ ἐδόθησαν εἰς αὐτοὺς νόμιμα πιστοποιητικὰ ἔγγραφα (ἰλάμιον καὶ χοντζέτιον) ἐκ μέρους τῆς κρίσεως περὶ τούτου, αὐτοὶ δὲ ἐπέμενον εἰς τὰς ἀπαιτήσεις των, ἐξαχθέντων ἐκ τοῦ βασιλικοῦ μου ἀρχείου τῶν κατὰ τὰς ῥηθείσας γαίας ἐκδοθέντων φερμανίων μου, διαλαμβανόντων, ὅτι διὰ τὰ δέκατα καὶ ἄλλους φόρους τῶν τόπων τῶν περιεχόντων χειμερινὰ καὶ θερινὰ λειβάδια, ἀμπέλους, περιβόλια, ἐλαιόδενδρα, οἰκίας καὶ χωράφια, τῶν κειμένων εἰς τὸ κατὰ τὸ μέρος τῆς Γαστούνης διαληφθὲν μετόχιον τὸ ἐπονομαζόμενον Μαῦρα Βουνὰ καὶ ὃν ἐκ τῶν παραρτημάτων τοῦ ῥηθέντος μοναστηρίου καὶ ἐχόντων ὅρια τὴν ἄκραν τῆς θαλάσσης ἕως τὸν ἀνήφορον καὶ ἐκεῖθεν ἕως τὸ παραχειμάδιον τῶν Ἀρπάδων καὶ ἐκεῖθεν διὰ τῶν παλουκίων ἕως τὴν δάφνην καὶ ἐκεῖθεν εἰς τὰς βαλανιδίας καὶ ἐκεῖθεν διὰ τῶν ἄκρων τῆς τάφρου κατ' εὐθεῖαν εἰς τὴν ἐκκλησίαν τοῦ προφήτου Ἠλιοῦ καὶ ἐκεῖθεν διὰ τῆς μεγάλης ὁδοῦ καὶ τοῦ σουβαδίου καὶ τοῦ ἰτουσίνη τὸν κατήφορον καὶ διὰ τῆς μεγάλης δάφνης καὶ διὰ τοῦ παλαιοκάστρου καὶ διὰ τῆς σκάλας τῶν Ἀρπάδων,

ἕως ὁποῦ καταντᾷ εἰς τὸν τόπον τὸν ἐπιλεγόμενον Ζευγαρόπετρα, εὑρέθη διατεταγμένον ἀφ' οὗ πληρόνωσι κατ' ἔτος εἰς τὸν βασιλικόν μου θησαυρὸν τὰ τριάντα πέντε χιλιάδες λεπτὰ (ἄσπρα), ὄντα τὸ ἀντίτιμον τῆς ἀσυδοσίας των, νὰ μὴ ἐνοχλῶνται πλέον μὲ ἀπαιτήσεις δεκάτων καὶ ἄλλων φόρων. καὶ ἐρωτηθέντος τοῦ ἐκ τῶν λειτουργῶν μου περιφανεστάτου Ἀσμὴ ἐφένδη, τοῦ τῆς διατηρήσεως τῶν κανονισμῶν τοῦ Μωρέως περὶ τοῦ τί εἶναι ἀναγκαῖον νὰ γένῃ ἐν ταύτῃ τῇ ὑποθέσει, ἐπειδὴ ἐπεβεβαίωσε δι' ἐνσφραγίστου ἐγγράφου πιστοποιήσεώς του, ὅτι ἐπειδὴ αἱ ὑποθέσεις καὶ ἔννοιαι τῶν ἐκδοθέντων βασιλικῶν μου φερμανίων δὲν ἀντιφάσκουσιν εἰς τὰς αἰτήσεις τῶν διαληφθέντων καλογήρων, νὰ ἐκδοθῇ βασιλική μου διαταγὴ σύμφωνος μὲ τὰ ἔκπαλαι καὶ κατὰ διαφόρους ἐποχὰς ἐκδοθέντα βασιλικά μου φερμάνια. διὰ τοῦτο ἔγεινε βασιλική μου διαταγὴ νὰ ἐνεργηθῇ, καθὼς διαβεβαιοῖ ὁ εἰρημένος ὑπουργός μου, καὶ διατάττω, ἅμα φθάσωσιν οἱ φέροντες τὴν βασιλικήν μου διαταγήν, σεῖς, οἵτινες εἶσθε ἐγνωσμένοι, ὅ τε ἡγεμὼν καὶ οἱ διαληφθέντες κριταί, νὰ ἐνεργήσητε καὶ τώρα καὶ πάντοτε σύμφωνα μὲ τὴν παροῦσαν βασιλικήν μου διαταγὴν κατὰ τὸν ἄνω εἰρημένον τρόπον καὶ νὰ μὴ δείξητε διάθεσιν καὶ κλίσιν εἰς τὸ ἐναντίον αὐτῆς. οὕτω γινώσκετε καὶ πιστεύσατε εἰς τὸ βασιλικόν μου σημεῖον.

Ἐξεδόθη τῇ 17 τῆς σελήνης Ῥεμπιοὺλ Ἐβὲλ ἐν ἔτει 1219 (ἀπὸ Χριστοῦ 1803).

(Ὅτι πιστὴ ἡ μετάφασις τῇ 12 ἰουλίου 1834 ἐν Ἄργει. ὁ διερμηνεὺς τοῦ βασιλείου τῆς Ἑλλάδος Ἰουσουφμπέϊς Ἀχμετπασαζαδές.)

XIV. 7322—1814, 5. mensis aprilis, ind. II. Bucarestii.

Ioannes Caratza, voëvoda Ungrovlachiae, monasterio S. Georgii dicto Carypi, in insula Antigoni, donat redditus.

Ἰωάννης Γεωργίου Καρατσᾶς, βοεβόδας, ἐλέῳ θεοῦ αὐθέντης καὶ ἡγεμὼν πάσης Οὐγκροβλαχίας.

Ἐπειδὴ τὸ θεῖον καὶ ἱερὸν μοναστήριον Καρῆπι ἐπονομαζόμενον, ἐν τῇ νήσῳ Ἀντιγόνου, ὅπερ νεωστὶ ἀνηγέρθη ἐκ θεμελίων, ἐν ᾧ πανηγυρίζεται ἡ μνήμη τοῦ μεγαλομάρτυρος ἁγίου Γεωργίου τοῦ θαυματουργοῦ, ὑπάρχει γνωστὸν τῇ ἡμετέρᾳ αὐθεντείᾳ, ὅτι εὑρίσκεται ἐν πτωχῇ καταστάσει καὶ ἐν στερήσει πολλῶν, ἃ χρήζουσι βοηθείας, μὴ ἔχον μέσον νὰ βοηθῆται εἰς τ' ἀναγκαῖά του ἔξοδα, καθ' ἣν πρὸς τὰ θεῖα καταγώγια τρέφομεν εὐλάβειαν εἰς τὸ νὰ συντρέχωμεν, ὅσον τὸ

δυνατόν, δὲν παρεβλέψαμεν αὐτό. ἔχομεν δὲ καὶ ὑπόδειγμα ἐκ τῶν χρυσοβούλλων τῶν πρὸ ἡμῶν ἀδελφῶν ἡγεμόνων, ἅπερ καὶ ἡμεῖς ἐκυρώσαμεν, ὅσα γε ἐξ αὐτῶν ἐνεφανίσθησαν, ὅπως παρέχηται ἐκ τῆς ἐνταῦθα Τσάρας εἰς τὰ ἱερὰ σκηνώματα ἡ ἀνήκουσα βοήθεια τῶν ἐλεῶν. διὰ τοῦτο καὶ ἡ ἡμετέρα αὐθεντεία διὰ τοῦ παρόντος αὐθεντικοῦ χρυσοβούλλου, τοῦ δοθέντος τῷ ῥηθέντι ἱερῷ μοναστηρίῳ, διορίζομεν, νὰ λαμβάνῃ ἔλεος βιναριτσίου ἀνὰ δύω ἄσπρα τὸ μέτρον ἀπὸ τρία ποπόρια τὰ ἐν τῷ καδηλικίῳ Μπουτσέσκου κείμενα, ὀνομαζόμενα Βεσπέστι, Μπαδένι καὶ Μπονιτσέλον, ὅπου καὶ τὸ μοναστήριον τοῦ Ξενοφῶντος ἔχει ἀνὰ τρία ἄσπρα τὸ μέτρον. ἐν δὲ τῷ καιρῷ τοῦ βιναριτσίου ὀφείλει νὰ διορίζῃ τὸ μοναστήριον ἐπίτροπον, ὅστις ὁμοῦ μὲ τὸν ἄνθρωπον τοῦ μοναστηρίου Ξενοφῶντος καὶ μὲ τοὺς αὐθεντικοὺς βιναριτζέριδες νὰ καταγράφῃ παρευρισκόμενος παρὼν εἰς τὸ μέτρημα καὶ εἰς τὴν παραλαβὴν τῶν ἄσπρων, γινομένου καταστίχου, ὥστε νὰ λαμβάνῃ ἐκ τῶν ἄσπρων τὸ μερίδιόν του σῶον. ἐξ αὐτῶν δὲ κρατηθήσεται τὸ δέκατον τῶν μποδούρων, οἱ δὲ αὐθεντικοὶ βιναριτσάριδες νὰ μὴ κρατῶσιν οὐδ' ὀβολὸν ἐπ' οὐδενὶ λόγῳ, μηδὲ νὰ ἀναβάλλωσι τὴν λῆψιν τῶν ἄσπρων ἐπὶ προσχήματι νὰ τὰ δίδωσιν ἐκ τῶν κουσουρίων, ἀλλὰ γινομένης τῆς συντάξεως παρὰ τῶν δασμοφόρων ἐγκατοίκων, οἵτινες πληρόνουσι βιναρίτσιον, καὶ εὑρίσκεται καταγεγραμμένον ἐν τῷ καταστίχῳ του, τότε καὶ ὁ ἄνθρωπος τοῦ μοναστηρίου ἀμέσως νὰ λαμβάνῃ τὸ μερίδιον τῶν ἄσπρων. διὰ τούτου τοῦ ἐλέους διατάσσομεν, νὰ βοηθῆται τὸ ἱερὸν μοναστήριον τοῦ ἁγίου Γεωργίου τοῦ Καρῆπι εἰς ὅσας χρείας ἔχει, ὅπως καὶ οἱ ἐν αὐτῷ πατέρες δέωνται τοῦ πανοικτίρμονος Θεοῦ ὑπὲρ τῆς κατευοδώσεως τῆς ἡμετέρας αὐθεντείας καὶ ὑπὲρ τῆς εὐφορίας καὶ εὐτυχίας τῆς Τσάρας ταύτης, ἐξ ἧς ὠφελοῦνται. δεόμεθα δὲ καὶ τῶν ἄλλων ἀδελφῶν αὐθεντῶν τῶν μεθ' ἡμᾶς ἀξιωθησομένων ἀναδέξασθαι τοὺς οἴακας τούτου τοῦ θρόνου, ὅπως εὐδοκήσωσι νὰ ἀνακαινίσωσι καὶ ἐπικυρώσωσι τὸ τεταγμένον τοῦτο ἔλεος, ὥστε καὶ τὰ αὐτῶν ἐλέη νὰ ἦναι ἐν ἰσχύει καὶ ἐνεργείᾳ παρ' ἄλλων. ἐβεβαιώσαμεν δὲ τὸ παρὸν χρυσόβουλλον δι' ἰδίας ἡμῶν ὑπογραφῆς.

Ἐγὼ Ἰωάννης Γεωργίου Καρατσᾶς βοεβόδας καὶ δι' ὑπογραφῆς τῶν παμφιλτάτων ἡμῶν τέκνων Γεωργίου βοεβόδα καὶ Κωνσταντίνου βοεβόδα. μάρτυρες δὲ οἱ εὐγενέστατοι καὶ πιστοὶ ἄρχοντες βουλευταὶ τοῦ διβανίου τῆς αὐθεντείας ἡμῶν, Κωνσταντῖνος Φιλιππέσκος, μέγας μπάνος. πὰν Ῥάδος Γολέσκος, μέγας βόρνικος τῆς Ἄνω Τσάρας. πὰν Γρηγόριος Μπραγκοβάνος, μέγας βιστιάρης. πὰν Γρηγόριος Γκίκας, μέγας λογοθέτης τῆς Ἄνω Τσάρας. πὰν Ῥάδος Σλαβηνιάνος, μέγας βόρνικος τῆς Κάτω Τσάρας. πὰν Δημητράκος Ῥακοβίτσκης, μέγας γ'

βόρνικος. πὰν Ἰστράτης Κροτσουλέσκος, μέγας δ' βόρνικος. πὰν Σωριδιάκης Σλαβηνιάνος, μέγας λογοθέτης τῆς Κάτω Τσάρας. πὰν Κωνσταντῖνος Σοῦτζος, μέγας χάτμανος. πὰν Μιχαλάκης Μάνος, μέγας βόρνικος τῆς πολιτείας καὶ λοιποί. ἐγράφη τὸ παρὸν ἡμέτερον χρυσόβουλλον τῷ β' ἔτει τῆς ἡμῶν αὐθεντείας ἐν Βουκορεστίῳ 1814 ἀπριλλίου 5.

Ἰωάννης Γεωργίου Καρατσᾶς βοεβόδας.

Edidit I. Oeconomus in libro: Κτιτορικὸν ἢ προσκυνητήριον τῆς ἱερᾶς καὶ βασιλικῆς μονῆς τοῦ Μεγάλου Σπηλαίου ἐξεδόθη ἐπιδιορθωθὲν ψήφῳ καὶ σπουδῇ τοῦ ἱεροῦ μοναστηρίου. *Athenis. 1840. p. 90. Nr. I. edidit etiam Zachariae a Lingenthal, Jus graeco-romanum, III. p. 703.*

IX.

Acta monasteriorum Sanctae Mariae Myrsiniotissae et Sancti Michaëlis dicti Prati in insula Lesbo.

I. 7035—1527, 15. mensis martii, ind. XV.

Manuel Agallianus tradit filio hieromonacho Ignatio ecclesiam Sanctae Mariae Myrsiniotissae, monasterium Prati et campos.

† Ἐγὼ Μανουὴλ ἱερεὺς ὁ Ἀγαλλιανὸς καὶ οἰκονόμος[1]) Μηθύμνης, ὁ ἐν τῷ παρόντι ὕφει τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐγχαράξας, οὐκ ἐξ ἀνάγκης τινὸς ἢ βίας ἢ τῆς τυχούσης ἄλλης ὑπουλίας, ἀλλὰ μετὰ πάσης μου τῆς προθυμίας καὶ θελήσεως καὶ προαιρέσεως καὶ χρονικῆς τῆς σκέψεως ἐπιδίδω[2]) εἰς χεῖρας τοῦ σαρκικοῦ μου υἱοῦ Ἰγνατίου, ἱερομονάχου καὶ σακελλίου Μηθύμνης, τὸν ναὸν τῆς πανυπεράγνου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς ἐπικεκλημένης Μυρσινιωτίσσης[3]), τὸν εὑρισκόμενον ἐν τῇ τοποθεσίᾳ ταύτῃ τῆς Καλλονῆς τῆς Μιτυλήνης ἐν τῷ Φάρυγγι μετὰ τοῦ ἐναποληφθέντος εὑρισκομένου χωραφίου αὐτοῦ, τοῦ πλησίον τοῦ λεγομένου Φράγκου, τοῦ πλησίον[4]) τοῦ χειμάρρου, ὅσον καὶ οἷόν ἐστιν ἐντὸς καὶ ἐκτός, ὁμοῦ δὲ καὶ τὰς ἐλαίας, ὅσαι[5]) εὑρίσκονται πλησίον τοῦ ναοῦ, ὅσας χωρίζει ἡ ὁδός. καὶ ἕτερον χωράφιον ἐν τῇ τοποθεσίᾳ τῶν Δαφίων, τὸ πλησίον τὰ Τριμουλάδικα καὶ πλησίον τῆς ὁδοῦ μετὰ τῶν δένδρων, ὅσα εὑρίσκουνται ἐντὸς τοῦ χωραφίου, ὅσον καὶ οἷόν ἐστιν. ὡσαύτως ἐπιδίδω καὶ ἐγὼ πρὸς τὸν υἱόν μου, ἤγουν τὸν σακελλίου, ἐξ οἰκείου μου χωράφιον ἐν τῇ τοποθεσίᾳ τῆς Ἀχυρῶνας, τὸ λεγόμενον τῆς Καναβύτζενας, τὸ πλησίον τῆς ὁδοῦ καὶ πλησίον Θεοδώρου τοῦ Καμίτζη καὶ πλησίον Ἰωάννου τοῦ Ῥάλι, ἵνα ἔχῃ αὐτὸ ὁμοῦ, καὶ τὸν Λειμῶνα, ὡς εὑρισκόμενον δὲ εἰς χεῖρας ἡμετέρας τὸν ῥηθέντα ναὸν ἔκπαλαι κατὰ λόγον[6]) γονικότητος ἐκ προγόνων, οὐχὶ δὲ ληστρικῶς αὐτὸν δεσπόζοντα ἢ ἄλλης τινὸς ἁρπαγῆς, πλὴν δὲ εὑρισκόμενον σταυροπήγιον πατριαρχικόν, κἀγὼ πάλιν τοῦτο ἀνατίθημι εἰς χεῖρας τοῦ ἐμοῦ σαρκικοῦ υἱοῦ Ἰγνατίου, ἱερομονάχου·

---

[1]) οἰκόμων K. [2]) ἐπιδίδι K. [3]) Μυρσινιοτήσης τῆς εὑρισκομένης K. ταύτης K. [4]) ἐναπολιφθ. αὐτῆς τὸ πλ. τὸ λεγόμενον Φ. τὸ πλ. K. [5]) ὅσας K. [6]) λόγου K.

καὶ σακελλίου Μηθύμνης, ἵνα αὐτὸν καλλιεργῇ καὶ εὐτρεπίζῃ, ὅσον τὸ κατὰ δύναμιν, καὶ τἆλλα πάντα πράττῃ[1]), ὅσα δέονται τοῦ ναοῦ, καὶ ἔχειν καὶ δεσπόζειν αὐτὸν τὸν ῥηθέντα ναὸν καὶ τὰ αὐτοῦ εὑρισκόμενα κτήματα αὐτὸς καὶ οἱ μετ' αὐτοῦ, οὓς αὐτὸς ἐκλέξηται καὶ [εἰς οὓς] προσηλώσει αὐτὸς αὐτὸν ἢ ἱερωμένον ἢ μοναχὸν ἢ πνευματικὸν ἱερωμένον[2]), εἰς δὲ κοσμικοὺς ὅλως μὴ ἔχειν ἐξουσίαν τοῦ προσηλῶσαι αὐτὸν ἢ ἱερωμένον ὄντα ἢ κοσμικόν[3]). εἰς δὲ τὴν τούτου ἀληθῆ καὶ βεβαίαν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν οἰκειόχειρόν μου γράμμα καὶ ἐπεδόθη σοι τῷ διαληφθησομένῳ[4]) ἡμετέρῳ υἱῷ Ἰγνατίῳ, ἱερομονάχῳ καὶ σακελλίῳ Μηθύμνης, πάντως δὲ καὶ τοῦ ἡμετέρου αὐθέντου καὶ δεσπότου, μητροπολίτου Μηθύμνης, κῦρ Μακαρίου, ἀλλὰ δὴ καὶ τοῦ πανιερωτάτου μητροπολίτου τοῦ πρῴην Πισιδίας, κῦρ Μακαρίου, καὶ τῶν λοιπῶν τῶν κάτωθεν ἐνσημανθέντων οἰκειοχείρως τιμιωτάτων κληρικῶν καὶ ἱερέων εὐλαβῶν, ἀλλὰ δὴ καὶ εὐγενῶν ἀρχόντων [μαρτύρων ὄντων][5]) τοῦ μὴ ἔχειν με[6]) ἐξουσίαν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τοῦ ἐνοχλῆσαί[7]) σε περὶ τούτου ἢ ἐγὼ ἢ οἱ μετ' ἐμοῦ ἢ ἄλλος τις τῶν ἐκτός, ἀλλὰ κατέχειν αὐτὸ καὶ δεσπόζειν[8]) ὡς τέλειος κύριος καὶ ἐξουσιαστὴς σὺ καὶ οἱ μετά σου, ὡς ἄνωθέν φαμεν, εἰς τοὺς ἀπεράντους αἰῶνας. ὅστις δὲ θελήσει τοῦ ἐνοχλῆσαί σε[9]) τι περὶ τούτου καὶ ἀνασκολοπίσαι θελήσειεν καὶ ἀνατρέψαι ταύτην τὴν οἰκειόχειρόν μου γραφὴν ἐκ μέρους ἡμετέρου ἢ ἄλλος τις, εἴη ἱερωμένος ἢ λαϊκός, καὶ ἀντειπεῖν σοι καὶ ἐνοχλῆσαί σε[10]) ἢ τοὺς μετὰ σοῦ εὑρισκομένους ἐν τῷ πανσέπτῳ ῥηθέντι ναῷ, ὁ τοιοῦτος, ὅστις [ἂν] εἴη[11]), καὶ παρὰ τῆς τοῦ θεοῦ ὀργῆς πειραθήσεται καὶ παρὰ τοῦ πανιερωτάτου ἡμῶν αὐθέντου, μητροπολίτου Μηθύμνης, ἀφωρισμένος ἔστω καὶ ἄλυτος, καὶ τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ ἐχέτω καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα καὶ κύριον τὸν θεὸν εὕροι[12]) μαχόμενον καὶ τοὺς ἁγίους ἀγγέλους αὐτοῦ καὶ ἐκ παντὸς δικαστηρίου διώκοιτο[13]), ὡς ἐλεγχόμενος ὑπὸ τοῦ οἰκειοχείρου μου καὶ ὁμολογητικοῦ γράμματος. ἐν μηνὶ μαρτίῳ ιε' τοῦ ͵ζλε' ἔτους, ἰνδικτιῶνος ιε' †.

† Ὁ ταπεινὸς μητροπολίτης Μεθύμνης Μακάριος †.

† Ὁ πρῴην Πισιδείας Μακάριος †.

---

[1]) πράττειν K. [2]) καὶ οὓς suppl. ἱερομένου ἢ μοναχοῦ ἢ πνευματικοῦ ἱερομένου K. [3]) ἢ ἱερομένου ὄντως ἢ κοσμικοῦ K. [4]) Lege διαληφθέντι. [5]) Supplevimus. [6]) μοι K. [7]) ἐνοχλήσεσι K. [8]) κατέχεις καὶ δεσπόζεις . . . σοί K. [9]) ὥς τις δὲ θελήση τοῦ ἐνόχλησε σοι K. [10]) ἀντείπει καὶ ἐνοχλήσεσι K. [11]) ὥς τις εἴη K. [12]) εὕρει K. [13]) διώκεται. Errores orthographicos complures tacite correximus. Pro Μεθύμνα, Μιθ. in textu scripsimus Μηθ.

† Ἱερεὺς Θεόδωρος καὶ σακελλάριος Μιθύμνης †.

† Ἱερεὺς Γεώργιος καὶ ῥεφενδάριος Μεθύμνης †.

† Μανουὴλ ἱερεὺς καὶ οἰκονόμος Μεθύμνης τὰ ἄνωθεν οἰκειοχείρως γράψας †.

† Ἰωάννης Τωμάζος καὶ ταβουλάριος Μιθύμνης †.

II. 7035—1527, mense iunio, ind. XV.

Patriarcha Ieremias I. confirmat privilegia monasteriorum Sancti Michaëlis dicti Prati et Sanctae Mariae Myrsiniotissae.

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης †.

† Τῇ ἡμῶν συνοδικῶς προκαθημένῃ μετριότητι ὁ ἐν ἱερομονάχοις τιμιώτατος κῦρ Ἰγνάτιος καὶ πνευματικὸς πατὴρ ἐκ Καλονῆς τῆς ἐν Μιτυλήνῃ ἀνέφερε, πῶς ἐκ θεμελίων παλαιῶν ἐξ ἰδίων ἀναλωμάτων καὶ κόπων ἀνήγειρε ναὸν τοῦ Ταξιάρχου τῶν Ἄνω Δυνάμεων τὸν ἐν τῷ Λειμῶνι, καὶ ἀφιέρωσεν ἐν αὐτῷ χωράφια καὶ δένδρα, καὶ κελλία ἔκτισεν καὶ ἀμπελῶνας ἐποίησε, καὶ ἕτερα σκεύη καὶ ἱερὰ ἀφιέρωσε, καὶ νῦν οἰκοῦσιν ἐν αὐτῷ ἱερομόναχοι καὶ μοναχοί. πρὸς τούτοις ᾐτήσατο, ἵνα εἴη ἡ τοιαύτη μονὴ ἐλευθέρα ἐκ πάντων, μηδενὸς ἐξουσίαν ἔχοντος τὴν τυχοῦσαν ἐν αὐτῇ[1]), μήτε αὐτός, ἅπαξ ἀφιερώσας αὐτὴν τῷ θεῷ, μήτε τις ἕτερος τῶν συγγενῶν αὐτοῦ καὶ ζῶντος καὶ ἀποθανόντος αὐτοῦ, μήτε ὁ τοῦ τόπου ἀρχιερεὺς τὸ οἱονοῦν ἐκεῖθεν ἀπαιτεῖν, εἰ μὴ μόνον τὸ μνημόσυνον αὐτοῦ ἔχειν ἐν ταῖς ἁγίαις τελεταῖς καὶ οὐδὲν ἄλλο, ἡγούμενον δὲ ἐκλέγεσθαι τοὺς ἐκεῖσε μοναχοὺς ἐκ τοῦ μέσου αὐτῶν καὶ ζῆν κοινοβίως εἰς αἰῶνα τὸν ἅπαντα. ταῦτα ζητήσαντος αὐτοῦ, ὡς εὔλογα καὶ δίκαια καὶ ἡ μετριότης ἡμῶν ἐπιβεβαιοῦσα τὸ παρὸν αὐτῷ ἐπιχορηγεῖ γράμμα, δι' οὗ ἀποφαίνεται, ἵνα τὸ κῦρος ἔχωσι, τὸ βέβαιον καὶ ἀμεταποίητον. εἰ δέ τις εἰς κατάλυσιν τολμήσει χωρῆσαί τινος ἐκ τούτων ἢ καθόλου ἢ ἐν μέρει, ἵνα εἴη ὑπ' ἀφορισμὸν ἄλυτον τὸν ἀπὸ θεοῦ παντοκράτορος. ἔτι ἀνέφερεν ἡμῖν, ἵνα ὀφείλωσιν ἐπιβλέπειν καὶ ἐφορᾶν οἱ ἐν τῇδε τῇ μονῇ μοναχοὶ καὶ τὸ σταυροπήγιον τὴν Παναγίαν μου τὴν Μερσινιώτισσαν, ὅπερ ἀνέκτισεν ἰδίῳ κόπῳ ὁ αὐτός, καὶ ἐκπληροῦν καὶ τὸ κατ' ἔτος διδόμενον περὶ αὐτοῦ κανονικὸν καὶ πᾶσι τρόποις ἀντιλαμβάνεσθαι αὐτοῦ κατὰ δύναμιν. οὕτω θεοφιλῶς καὶ εὐ—

---

1) αὐτῷ K.

τάκτως πάντα κατασυσταμένῳ ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μῆνα ἰούνιον ἰνδικτιῶνος ιε', ἐν ἔτει ͵ζλε' †.

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Σίλβεστρος, ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης †.

† Ἰωακείμ, ἐλέῳ θεοῦ πατριάρχης τῆς μεγάλης πόλεως Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς †.

III. [7037—1529], [ind. II.]

Testamentum hieromonachi Ignatii Agalliani et ordo monasteriorum ab eo institutorum.

† Ἐγὼ . . . ὁ τῷ κόσμῳ μὲν κεκλημένος ἱερεὺς Ἰωάννης, τάχα καὶ σακελλίου Μεθύμνης, νῦν δὲ Ἰγνάτιος ἱερομόναχος καὶ πνευματικὸς πατήρ, ὁ καὶ τάχα νῦν καθηγεῖσθαι τῶν μονυδρίων, ἃ[1]) αὐτὸς ἐκ παλαιῶν θεμελίων ἀνεκαίνισά τε καὶ εἰς τὸ κρεῖττον ἀνήγαγον, τῆς Παναγίας μου λέγω δὴ τῆς Μυρσινιώτισσας, καὶ τοῦ μεγάλου μου Ταξιάρχου Μιχαὴλ τῶν Ἄνω Δυνάμεων ἐν τῷ Λειμῶνι, τῶν κειμένων ἄμφω ἐν τῇ Καλλονῇ τῆς Μιτυλήνης, ἐνορίας τῆς Μεθύμνης, ἃ καὶ ὁποῖα[2]) αὐτὸς ἐγὼ ἀνῳκοδόμησα ὡς εὑρισκόμενα καὶ πᾶσιν ὀφθαλμοῖς θεωρούμενα ἐξ ἡμετέρων ἀναλωμάτων, λέγω ὑπὸ ἡμετέρας ἐξόδου καὶ κόπου, οὐχ ὁλοκλήρως, ἀλλὰ πολλῶν πτωχῶν καὶ πλουσίων κόποις καὶ ἐξόδοις[3]) αὐτόχθωσί τε καὶ ξένοις, καὶ τινὰ χωράφια ἐπροσήλωσα πρὸς αὐτὸ τὸ μοναστήριον τοῦ μεγάλου μου Ταξιάρχου πατρικά μου, οἷον ἐκ τῶν γονέων μου λόγῳ κληρονομίας καὶ ἄλλα τινὰ εἴδη κινητὰ καὶ ἀκίνητα διά τε ἱερὰ σκεύη καὶ βιβλία, ἀλλὰ δὴ καὶ ἄλλοι χριστιανοὶ ἐπροσήλωσαν χωράφια καὶ ἄλλα τινὰ εἴδη. αὐτὴ δὲ ἡ γῆ ἡ ὁρωμένη, ᾗ[4]) αὐτὴ ἡ μονὴ μέσον ἵσταται[5]), ὑπάρχει πατρική μοι ἐκ προγόνων, καὶ πάλιν ἐξ ἀγορασίας τῶν κρατούντων, τὴν ὁποίαν γῆν ὁ πατήρ μου ἐξωνήσατο ἐκ τῶν κρατούντων, κἀγὼ πάλιν αὐτὴν τὴν γῆν ἐξ αὐτοῦ τοῦ πατρός μου ἐξωνησάμην, ὡς ὁ κύριος εἶδεν καὶ ὡς καθὼς καὶ τὰ γράμματα αὐτοῦ δηλοποιοῦν, τά τε τῶν κρατούντων καὶ τὰ οἰκειόχειρα. συνήχθησαν δὲ καὶ πρὸς τῇ μονῇ ταύτῃ ἱερομόναχοι καὶ μοναχοί, οἳ καὶ σήμερον εὑρίσκονται, πρῶτος ὁ αὐτὸς

---

1) ὧν K. 2) Secunda manus in margine: ἅπερ. 3) κόπους καὶ ἐξόδους K.
4) Corr. K. ex ἣ. In margine: καί. 5) In margine corr. ἱσταμένη.

ὁ πατήρ μου, ὃς καὶ ὑπὸ τῶν ἐμῶν χειρῶν ἀποκαρεὶς καὶ ὑποταγὴν πρὸς ἐμὲ ποιήσας, ὁ πατὴρ πρὸς τὸν υἱόν, καὶ ταύτην φυλάξας μέχρι θανάτου, ἐπονομασθεὶς δὲ πρότερον Ματθαῖος ἱερομόναχος, ἐν δὲ τῇ ἐσχάτῃ αὐτοῦ ἀναπνοῇ αἰτήσας καὶ λαβὼν τὸ θεῖον καὶ ἅγιον καὶ μέγα σχῆμα ἐπωνομάσθη Μακάριος μοναχός (αἰωνία ἡ μνήμη αὐτοῦ καὶ ἡ εὐχή του μεθ' ἡμῶν). δεύτερος κῦρ Γερμανὸς ἱερομόναχος καὶ πνευματικὸς [πατήρ], εἶτα κῦρ Μακάριος, ὁ καὶ τὴν ἁγίαν ταύτην μονὴν οἰκονομῶν. ὁ κῦρ Μεθόδιος ὁ καὶ σαρκικός μου υἱός, ὁ κῦρ Ἠσαΐας, ὁ κῦρ Ἰωαννίκιος, ὁ κῦρ Νεόφυτος, ὁ κῦρ Μελέτιος, ὁ κῦρ Ἀθανάσιος, ὁ κῦρ Ματθίας, ὁ κῦρ Δωρόθεος, ὁ κῦρ Μαλαχίας. ὁμοίως καὶ εἰς τὸ ἕτερον μοναστήριον ἀδελφαὶ κανονικαὶ τελεῖαι, κυρὰ Ἀθανασία μοναχὴ ἡ Ῥοδίτισσα[1]), κυρὰ Μάρθα καὶ ἡ κυρὰ Θεοκτίστη, ὡς ῥίζα δὲ κἀγὼ αὐτὸς εὑρισκόμενος καὶ ἀρχὴ καὶ αἰτία τῶν μοναστηρίων τῶν ῥηθέντων ἀνακαινισθῆναι καὶ συστῆναι θεοῦ εὐδοκοῦντος, ὡς ὅτι δεσπόζω καὶ κυριεύγω [τῆς] γῆς αὐτῆς τῶν μοναστηρίων ἐντὸς καὶ ἐκτός, ὡς ἔθος ἐστὶ τῆς ἀνθρωπίνης φύσεως, ἔχειν ἕκαστος καὶ δεσπόζειν, ὅσα ὁ θεὸς αὐτῷ ἐδωρήσατο, οὕτω κἀμοί, ὅσα ὑπὸ τὴν ἡμετέραν χεῖρα ὁ θεὸς ὁ τὰ πάντα οἰκονομῶν ἐδωρήσατο, ἁμαρτωλῷ ὄντι, οἷον δηλαδὴ τὰ δύο μοναστήριά μου ἤτοι δεσπόζειν[2]) αὐτὰ] ἐντὸς καὶ ἐκτός, ἡ Παναγία μου ἡ Μυρσινιώτισσα καὶ ὁ μέγας μου ὁ Ταξιάρχης, ἃ ἄνωθέν φαμεν. πρῶτον μὲν ἀνατίθημι αὐτὰ τῷ παναγάθῳ θεῷ καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ καὶ τῇ αὐτοῦ μητρί, τῇ ὑπερευλογημένῃ, ἐνδόξῳ δεσποίνῃ ἡμῶν καὶ ἀειπαρθένῳ Μαρίᾳ καὶ τοῖς ἀρχαγγέλοις[3]) Μιχαὴλ καὶ Γαβριὴλ καὶ τοῖς Ἀσωμάτοις πᾶσι καὶ πᾶσι τοῖς ἁγίοις[4]). ἔπειτα προσηλώνω καὶ ἀνατίθημι τὸ ῥηθὲν μοναστήριον τοῦ μεγάλου μου Ταξιάρχου τῶν Ἄνω Δυνάμεων τὸ[5]) ἐν τῷ Λειμῶνι εἰς χεῖρας τῶν ἄνωθεν ῥηθέντων ἱερομονάχων καὶ μοναχῶν[6]) καὶ πᾶσι τοῖς ἐρχομένοις καὶ ἔρχεσθαι μέλλουσιν ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς αἰῶνας πάντας[6]), οὓς αὐτοὶ ἀλλήλως εἰσάγειν καὶ ἐξάγειν, πάλιν τοὺς ἀναξίους, ὡς ἔθος ἐστὶ τοῖς κοινοβίοις ἁπανταχοῦ, οὓς μὲν αὐτοὶ οἱ πρῴην εὑρισκόμενοι ἱερομόναχοι καὶ μοναχοὶ μετὰ τοῦ τὴν μονὴν προστατεύοντος λαχομένου ἡγουμένου· ἀποκαθιστᾶν καὶ συντάττεσθαι καὶ ἑνώνειν τῇ ἀδελφότητι καὶ ἴσα τοῖς πρώτοις συνίστασθαι, οὕτως καὶ ἔστωσαν κἀκεῖνοι πάλιν ἄλλοις, καὶ οὕτως κατὰ διαδοχὴν εἰς αἰῶνα τὸν ἀπέραντον. εἴη ἐν ἀφορισμῷ ἀλύτῳ ἀπὸ θεοῦ παντοκράτορος καὶ ἀραῖς ἀλύτοις. ὅσους δὲ τρέφειν καὶ διήκειν δύναται τὸ μοναστήριον, τοσούτους καὶ ἔχειν, εἰ δὲ δι' αἰσχροκέρδειαν ἢ λαιμαργίαν ἢ φειδωλίαν οὐκ εἰσενέγκουσιν καὶ οὐκ εἰσάγουσιν,

---

1) Ῥοδίτησα K. 2) με ... δεσπόζουν: deest αὐτὰ K. 3) καὶ τῶν ἀρχαγγέλων K. 4) πάντων τῶν ἁγίων K. 5) τοῦ K. 6) Uncis inclusa supplevimus. Quae sequuntur, valde corrupta videntur: vide observationes in fine voluminis.

οἷον ὅσους τὸ μοναστήριον τρέφειν δύναται κατὰ τὸ σύνηθες τῶν κοινοβίων, οἱ τοιοῦτοι τὴν τοῦ Ἰούδα ἀγχόνην τοῦ προδότου ὑποστήσονται. ἔπειτα ἀνατίθημι τὴν μονὴν τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Μυρσινιωτίσσης ταῖς μοναστρίαις ταῖς κατὰ καιροὺς ἐν αὐτῇ τῇ μονῇ εὑρισκομέναις, νῦν δὲ [τῇ] κυρᾷ Μακαρίᾳ καὶ καθηγουμένῃ καὶ πέντε κοινοβιάτισσαις, τῇ τε κυρᾷ Ἀθανασίᾳ τῇ Ῥοδίτισσα καὶ τῇ κυρᾷ Δομετιανῇ τῇ Ῥοδίτισσα καὶ [τῇ] κυρᾷ Μάρθᾳ καὶ [τῇ κυρᾷ] Εὐγενείᾳ καὶ τῇ κυρᾷ Μακαρίᾳ τῇ Πολιτίσσᾳ[1]) καὶ [τῇ] κυρᾷ Ἀθανασίᾳ τῇ ἑτέρᾳ καὶ πάσαις ταῖς ἐρχομέναις καὶ ἔρχεσθαι μέλλειν ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς αἰῶνας πάντας, εἰς ὅσας αἱρεῖσθαι μὲν κοινοβίως διάγειν, ὅσας δὲ μὴ οὕτως αἱρεῖν[2]), τῆς μονῆς ἐξωθήσονται, πλὴν μετὰ τοῦ προεστῶτος τοῦ εὑρισκομένου ἐν τῇ μονῇ τοῦ μεγάλου μου Ταξιάρχου τοῦ ἐν τῷ Λειμῶνι καὶ τῶν λοιπῶν ἀδελφῶν τῶν μετ' ἐκείνου εὑρισκομένων μετὰ βουλῆς εἰσάγειν αὐτὰς καὶ ἐξάγειν καὶ ἡγουμένην ἀποκαθιστᾶν, καὶ παντὶ τρόπῳ ἀντιλαμβάνεσθαι ὀφείλωσιν οἱ μοναχοὶ πάντες οἱ εὑρισκόμενοι εἰς τὸν μέγαν μου Ταξιάρχην τὸν ἐν τῷ Λειμῶνι τὴν μονὴν ταύτην τῆς ὑπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς Μυρσινιωτίσσης . . .

IV. 7054—1546, [ind. IV.]

Patriarcha Dionysius II. confirmat, quae hieromonachus constitueral de possessionibus et ordinibus monasteriorum.

† Διονύσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὁ ἱερώτατος μητροπολίτης Μεθύμνης, κῦρ Ἰγνάτιος, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μητριότητος, ἀναδραμὼν συνοδικῶς ἐπεδείξατο γράμματα τίμια τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου κυροῦ Ἱερεμίου, διεξιόντα, ὡς αὐτὸς ζήλῳ θείῳ ἔτι ἐν ἱερομονάχοις εὑρισκόμενος ἐκ πατρικῶν αὐτοῦ ἀναλωμάτων, ἔτι δὲ κόπῳ πολλῷ καὶ μόχθῳ ἀνεκαίνισεν ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ σεβάσμιον ναὸν καὶ θεῖον τῶν Ἀσωμάτων ἐν τῷ Λειμῶνι τῆς Καλλονῆς πλησίον, κτητορικὸν ἐν τούτῳ κεκτημένος δίκαιον, ὅπερ τὰ νῦν τῇ ἐπιδόσει τοῦ καιροῦ αὐξανόμενον εἰς μοναστήριον κοινοβιακὸν ἐγένετο. ὁμοίως δέ γε καὶ ἑτέραν σεβασμίαν γυναικείαν μονὴν πλησίον τούτου προσλαβόμενος σταυροπήγιον οὖσαν καὶ ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεράγνου Θεοτόκου τῆς ἐπικεκλημένης Μυρσινιωτίσσης καὶ αὐτὴν ἀκαλλώπιστον οὖσαν, κόποις πολλοῖς καὶ ἰδίοις ἀναλώμασιν

---

[1]) Πολίτησα Κ. [2]) αἱρᾶσθαι — αἱρᾶν Κ.

αὐτοῦ ἐκ θεμελίων παλαιῶν ἀνέστησε, ταύτην καὶ γυναικεῖον κατέστησε κοινόβιον. ὑποσχόμενος πληροῦν τὸ κατ' ἔτος μόνον χαράτζιον τὰ οε' ἄσπρα ἕνεκεν ὑποταγῆς. ἐν αἷς μοναῖς ἠξίωσε συνοδικῶς τὴν ἡμῶν μετριότητα καὶ τοὺς καθευρεθέντας ἀρχιερεῖς, εἴ τινα ἂν αὐτὸς εὔλογον καὶ νόμιμον[1]) θελήσῃ διαθῆναι ἐν τοῖς αὐτῶν κτήμασί τε καὶ πράγμασι, κινητοῖς τε καὶ ἀκινήτοις, ἔτι δὲ καὶ περὶ κοινοβιακῆς διαγωγῆς, ὅσα ἂν διετύπωσεν ἢ μέλλοι εἰς ὕστερον διαθῆναι καὶ διατυπῶσαι, ἔχωσι τὸ κῦρος, τὸ στέργον καὶ βέβαιον καὶ ὦσιν ἀμεταποίητα, καὶ ὅσα ἀνέστησεν ἐν αὐταῖς ἢ ἐξ ἀγορασίας ἰδίας ἐπορίσατο ἢ παρά τινων ἀφιερώθησαν, ἔχοι ἄδειαν διαμοιρᾶσαι ταῦτα ἐν ἀμφοτέραις, ὡς κύριος καὶ οἰκονόμος αὐτῶν καὶ ἐπιμελητής, ὀφειλόντων τῶν ἐν τῇ ἀνδρῴᾳ μονῇ μοναχῶν τε καὶ ἱερομονάχων παντὶ τρόπῳ ἀντιλαμβάνεσθαι τῆς γυναικείας μονῆς καὶ ἐπιβλέπειν καὶ ἐφορᾶν αὐτὴν εἴς τε τὰ ψυχικὰ καὶ σωματικὰ καὶ ἐκλέγεσθαι παρ' αὐτῶν γηραιὸν χρήσιμον πρόσωπον ἱερομονάχου τοῦ ἐκεῖσε ἐν τῷ τεταγμένῳ καιρῷ τὴν ἀκολουθίαν τῆς ἐκκλησίας ἐπιτελεῖν, ὁμοίως δὲ καὶ οἰκονόμον καθίστασθαι τὸν ἁρμόζοντα, ὃς ἂν αὐταῖς ὑπηρετῇ τὰ πρὸς ζωάρκειαν ἐκ τοῦ ἐργοχείρου αὐτῶν καὶ ἐκ τῶν τῆς μονῆς κτημάτων τε καὶ πραγμάτων [καὶ] ὡς ἐπίτροπος αὐτῆς σπουδάζῃ εἰς τὴν ἐπίδοσιν αὐτῆς τε καὶ αὔξησιν, ὡς αὐτὸς ἐγγράφως διατεθῇ ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς καὶ διαμοιράσῃ καλῶς ἅπαντα, μηδενὸς ἔχοντος ἄδειαν διασεῖσαι ἢ ἐνοχλῆσαι αὐτὸν ἕνεκεν τούτων, ὡς πατρικῶν αὐτοῦ ὑπαρχόντων τῶν ἀφιερωθέντων ἐν αὐταῖς κτημάτων τε καὶ πραγμάτων καὶ ἀφιερωθέντων ἅπαξ τῷ θεῷ καὶ ἀνεκποιήτων τυγχανόντων παρὰ παντὸς προσώπου. ἔτι ἀνέφερεν, ὅπως τινὲς τῶν μοναχῶν ἀπελαυνόμενοι τῆς μονῆς ὡς κακοποιοί, τῇ ἐξωτερικῇ δυναστείᾳ παρὰ [τοὺς] κανόνας χρώμενοι ἐπιστρέφωσι πάλιν ἐν αὐτῇ, οἵτινες ὡς ἐναντίοι τῶν ἱερῶν κανόνων ὑπόδικοι ἔσονται ταῖς ἀραῖς τῶν [θεοφόρων] πατέρων. ταῦτα δὴ πάντα εἰς θεοφιλῆ καὶ θεῖον σκοπὸν ἀφορῶντα εἰς σύστασιν τῶν μονῶν ἐζήτησαν ἐπικυρωθῆναι ταῦτα καὶ παρὰ τῆς ἡμῶν μετριότητος καὶ ταῖς ὑπογραφαῖς τῶν καθευρεθέντων ἀρχιερέων ὑποσημειωθῆναι. διὸ καὶ γράφοντες ἀποφαινόμεθα, ἵνα, ὅστις εἰς ἀνατροπὴν τῶν ῥηθέντων τολμήσῃ χωρῆσαι, ἱερωμένος τυχὸν ἢ μοναχὸς ἢ λαϊκός, ὁ τοιοῦτος καὶ παρὰ θεοῦ ὀργῆς τεύξεται καὶ ὑπόδικος ἔσται τῷ ἀλύτῳ καὶ αἰωνίῳ ἀφορισμῷ τῷ ἀπὸ θεοῦ παντοκράτορος. ἐπεὶ καὶ εἰς τὴν περὶ τούτων πάντων δήλωσιν καὶ ἀσφάλειαν ἀπελύθη καὶ ἐπεδόθη ἐν ἀμφοτέραις ταῖς μοναῖς καὶ ἡ παροῦσα συνοδικὴ καὶ ἐπικυρωτικὴ γραφὴ τῶν λοιπῶν πατριαρχικῶν γραμμάτων ἐν ἔτει ͵ζνδ' †.

---

[1]) εὔλογα καὶ νόμιμα K.

† Διονύσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας Κύριλλος †.

† Ὁ ταπεινὸς μητροπολίτης Ἀδριανουπόλεως Ἰωάσαφ †.

† Ὁ ταπεινὸς μητροπολίτης Χαλκηδόνος Εὐθύμιος †.

† Ὁ Κορίνθου Ἰωάσαφ †.

† Ὁ Ἀθηνῶν Λαυρέντιος †.

† Ὁ ταπεινὸς μητροπλίτης πρώην Φιλίππων Γεννάδιος †.

† Ὁ Μονεμβασίας Ἰωάσαφ †.

† Ὁ Ἄργους καὶ Ναυπλίου Δωρόθεος †.

† Ὁ Λακεδαιμονίας Ἱερεμίας †.

† Ὁ ταπεινὸς μητροπολίτης Ἰωαννίνων Νήφων †.

† Ὁ ταπεινὸς μητροπολίτης Σωζοπόλεως Διονύσιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Μιτυλήνης Ἄνθιμος †.

† Ὁ ταπεινὸς ἐπίσκοπος Βελλᾶς Δοσίθεος †.

† Ὁ Φιλαδελφείας Νεόφυτος †.

† Ὁ ταπεινὸς ἐπίσκοπος . . .[1]) Γαβριήλ †.

† Νεῖλος ὁ πρώην Εὐρίπου †.

† Ὁ ταπεινὸς μητροπολίτης Ἀμασείας Σαββάτιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Καφᾶ Σωφρόνιος †.

E codicibus monasterii Prati edidit A. Papadopulus Kerameus in libro, cui titulus: Μαυρογορδάτειος Βιβλιοθήκη ἤτοι γενικὸς περιγραφικὸς κατάλογος τῶν ἐν ταῖς ἀνὰ τὴν Ἀνατολὴν βιβλιοθήκαις εὑρισκομένων ἑλληνικῶν χειρογράφων. Ἐν Κωνσταντινουπόλει. *1884. Tom. I. p. 6. Nr. III: impressum est etiam ex apographo recentiori sub titulo:* Διαθήκη τοῦ ἐν ἁγίοις Ἰγνατίου ἱδρυτοῦ τῆς ἐν Μηθύμνῃ ἱερᾶς μονῆς τοῦ Λειμῶνος. Ἐκδίδοται ἐκκλησιαστικῇ προνοίᾳ ἐν Κωνσταντινουπόλει ἐκ τοῦ πατριαρχικοῦ τυπογραφείου. *1882.*

[1]) Nomen sedis deest.

XI.

Acta monasterii in monte Sinai.

I. [6779—1271], mense iulio, ind. XIV.

Imperator Michaël Palaeologus montis Sinai praepositum hypertimi dignitate decorat.

Ὁρισμὸς τοῦ εὐσεβεστάτου βασιλέως, ὃν ἐποίησε διὰ τὸ θεοβάδιστον ὄρος τὸ Σίναιον.

† Εἰ δὲ καὶ ἀνδράσι, τοῖς περιδεξίοις εἰς ὑπηρεσίαν τῆς βασιλείας, ἀρχόντων καταστρατηγῆσαι ὀρεγομένοις, ἢ πόλεων διοικήσεις ἐγχειρισθῆναι ἢ λαοὺς ὁδηγῆσαι ἢ καὶ ἄλλ' ἄττα τοιαῦτα πράττειν, δεομένοις τῷ κράτει τῆς τῶν Ῥωμαίων ἀρχῆς φαινόμενα χρήσιμα, τιμὴν ἐπιμετρεῖ τὴν προσήκουσαν, τῶν δ' ὑπηκόων, ὅσοι εὐγνωμόνως εἰσηγούμενοι, δίκαιοι ἂν εἶεν τὰ τῆς ὑποθήκης τούτων βλέπειν τὸ πέρας ἐπιδεχόμενα· ἀνδράσι σεμνοῖς καὶ βίῳ καὶ τρόπῳ θεῷ [1]) πλησιάζουσιν, οὐχ ὅσα τῶν εἰς τὰ ἐκτὸς συντεινόντων, ἀλλὰ κρείττω καὶ εἰς ψυχὴν αὐτὴν παραπέμποντα τὴν ὠφέλειαν, μᾶλλον δὲ καὶ τοῦτο κἀκεῖνο περιποιούμενα τούτοις ἐκ τῆς ἄνωθεν δεξιᾶς προβαλλομένοις τοῖς αὐτοκράτορσι, πῶς οὐκ ἂν εἴη τῶν καθηκόντων ἐπικλινὲς ὠτίον βραβεύειν καὶ εἰς τὸ τέλος ἄγειν, ἅπερ αἰτήσαιντο; εἰ δὲ καὶ ἄλλως τῇ δεήσει τιμᾶται τὸ εὔλογον, οὐχ ὅπως διὰ τὴν τούτων παράκλησιν, ἀλλ' ἤδη καὶ καθ' αὐτὸ τὸ πρᾶγμα ἀξίως ἔχει γενέσθαι, τηνικαῦτα καὶ μᾶλλον ταῖς αἰτήσεσι τούτων ἐπινευτέον τοὺς ἄνακτας καὶ παρεκτέον, ἅπερ ἐθέλοιεν, ἵν' εἶεν οὐ μόνον αὐτοῖς, ἀλλὰ καὶ τῷ δικαίῳ κατὰ τὸ εἰκὸς χαριζόμενοι. τοῦτο καὶ ἄρτι τῇ βασιλείᾳ μου πάρεστιν ἰδεῖν ἐκτελούμενον, δωρουμένῃ τοῖς ἐν τῷ ὄρει Σινᾷ [κατὰ καιροὺς προστησομένοις] τιμὴν τὴν τῶν ὑπερτίμων [2])· τοῦτο μὲν δι' ἱκετείαν, ἣν ἐποιήσατο πρός με ὁ Πτολεμαΐδος μητροπολίτης, ὁ ἱερώτατος καὶ ὑπέρτιμος, οὐ γὰρ ἔκρινα ὅλως ἄξιον μὴ πειθηνίους τούτῳ δοῦναι τὰς ἀκοάς, εὔλογα αἰτουμένῳ καὶ ἃ μὴ τετελεσμένα τῷ δικαίῳ τὴν ζημίαν προεξένησε, τοῦτο δὲ καὶ διὰ τὸ

---

[1]) **Delevimus** καὶ **ante** θεῷ, **quod legitur in ed. Zachariae.** [2]) τιμὴν τὴν ὑπέρτιμον **Z., quae uncis inclusimus, supplenda ex sequentibus videntur.**

ἄλλως ἡγεῖσθαι τὸ τοιοῦτον ὄρος αἰδέσιμον καὶ τιμῆς ἁπάσης ἐπαπολαύειν δίκαιον ὂν καὶ νομίζειν μᾶλλον τιμᾶσθαι τὴν βασιλείαν μου ἐκ τῆς πρὸς τοῦτο τιμῆς. ἐπεὶ καὶ δοξάζειν οἶδε θεὸς τοὺς τοῦτον δοξάζοντας· ὄρος γὰρ τοῦτο ὑπερῃρμένον τῶν καθ' ἡμᾶς, ὄρος θεῖον, κατὰ τὸν Ἀββακούμ, δασὺ καὶ κατάσκιον ταῖς τῶν ἀρετῶν ἐργασίαις καὶ ἀρεταῖς παντοίαις κατάκοσμον· εἰ δὲ καὶ ἁγιάσματος τόπον καλέσαι τὶς βούλεται καὶ οἶκον τοῦ θείου Ἰακώβ, προσφυὲς μὲν τὸ πρᾶγμα καὶ τῆς ἀληθείας ἄκρως ἐχόμενον. κἂν τις θεωρείη τρανώτερον, πλήρης ὁ θεῖος οἶκος οὗτος δόξης πολλῆς· πλὴν ἔσται κἂν τοῖς ἐσχάτοις τούτοις καιροῖς μέρος δόξης ἀπονενεμημένον τούτῳ παρὰ τῆς βασιλείας μου, οὕτω καὶ ἣν εἶχε πάλαι ἴδοι τις ἂν ἐπὶ τὸ μεῖζον κατὰ τὸν προφήτην προκόπτουσαν. ταῦτα τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα βούλεται· τιμᾷ γὰρ ἡ βασιλεία μου τὸν κατὰ καιροὺς ἐν τῷ Σινᾷ προστησόμενον τῶν ὑπερτίμων τῷ ἀξιώματι, καὶ διορίζεται συναριθμεῖσθαι τρίτον τοῖς οὕτω τετιμημένοις ἐν ἅπασι, καὶ συντιμᾶσθαι ἐν ταῖς προόδοις, καθέδραις, στάσεσί τε καὶ συνελεύσεσιν· ἀμφιέννυσθαι δὲ καὶ ἄμφια, ὁποῖα καὶ τῶν ἀρχιερέων, ὁπόσοι τὴν τοιαύτην τιμὴν ἐκ τῶν ἔκαθεν χρόνων καὶ νῦν ἀπέλαβον, τἄλλα τε πάντα, ὅσα τούτοις καὶ τούτῳ προσέσται, κατὰ μηδὲν ἐλαττούμενα. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου κατὰ μῆνα ἰούλιον ἰνδ. ιδ' †.

Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρός . . .

Primi ediderunt Rhalles et Potles in Collect. Canon. V. p. 326 e cod. msc. Gerasimi archiepiscopi, iterum Zachariae, Jus graeco-romanum III. p. 593.

II. 7091—1583, mense iulio, [ind. XI.].

Synodus decernit, monasterium Christi Salvatoris in monte Sinai liberum esse et ejus abbatem dignitate episcopi frui.

Ἴσον ἀπαράλλακτον τοῦ καθολικοῦ συνοδικοῦ γράμματος τοῦ γεγονότος ἐν τῷ καιρῷ τοῦ ἀοιδίμου πατριάρχου Κωνσταντινουπόλεως, κῦρ Ἱερεμίου καὶ δοθὲν τοῖς Σιναΐταις.

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †

† Ἔδει μὲν τοὺς βουλομένους διὰ γραμμάτων συνοδικῶν τὴν ὀφειλομένην καὶ πρέπουσαν παρέχειν βοήθειαν ἑκάστῳ τῶν ὑπὸ βασιλικῆς προμηθείας ἀνεγερθέντων μοναστηρίων, μὴ μόνον ἁπλῶς καὶ ἀπερισκέπτως κεχρῆσθαι τοῖς γράμμασιν,

ἀλλὰ καὶ πρὸ παντὸς ἄλλου σκοπεῖν, ὅπως τε ταῦτα βασιλικὰ ἐκλήθησαν ἐξ ἀρχῆς καὶ τίσι νόμοις τε καὶ θεσπίσμασι τῆς τοιαύτης τετύχηκε κλήσεως· ἐπειδὴ δέ τινες τῶν πρὸ ἡμῶν πατριαρχευσάντων ἀγνοήσαντες ὅλως, ὡς φαίνεται, τὴν πάλαι περὶ τὸ Σίναιον ὄρος βασιλικὴν πρόνοιαν, μηδὲ ἐντυχόντες ταῖς νεαραῖς καὶ τοῖς συνοδικοῖς θείοις θεσπίσμασιν, ἃ δὴ πάντα τὰ περὶ τούτου δηλοῦσι πλατύτερον, ἀγνοίᾳ, ὡς ἔοικε, τῶν τοιούτων γράμματά τινα κατὰ καιροὺς ἔφθασαν ἐπιδεδωκότες κατὰ μηδὲν τῆς ἀρχαίας ἐκείνης ἀκολουθίας ἐχόμενα, ἀναγκαῖον καὶ δίκαιον ἔγνωμεν, ἵνα πρῶτον μὲν αὐταῖς λέξεσιν ὧδε ἐγχαραχθῇ ἡ φαινομένη νεαρὰ τοῦ ἀοιδίμου βασιλέως Ῥωμαίων Ἰουστινιανοῦ τοῦ Μεγάλου, ἐν ᾗ πρὸς τοῖς ἄλλοις καὶ τὸ Σίναιον ὄρος ἐπισκοπὴ φαίνεται· εἶθ' οὕτως καὶ τὰ μετὰ τοῦτο συμβάντα δῆλα ποιήσωμεν. ἔχει δὲ οὕτως ἡ νεαρὰ ἤτοι τὸ ἐκβληθὲν ἀπὸ τοῦ παλαιοῦ κώδικος ἐπὶ Ἀναστασίου πατριάρχου θεουπόλεως μεγάλης Ἀντιοχείας, τὰ σκῆπτρα Ῥωμαίων διιθύνοντος τοῦ Μεγάλου Ἰουστινιανοῦ, ὅτε τὰ Ἱεροσόλυμα ἐτιμήθη εἰς πατριαρχεῖον τοῦ ͵ϛμβ' ἔτους· „συνελθόντων συνοδικῶς τοῦ Κωνσταντινουπόλεως, τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἀντιοχείας κατὰ μῆνα αὔγουστον ἰνδικτιῶνος ιγ' καὶ θεσπισάντων ἀρᾷ ὑποκεῖσθαι τὸν τολμήσαντα παραθραῦσαι ἢ παρασαλεῦσαι τὸ τοιοῦτον θέσπισμα, καὶ δέδωκεν ὁ Ἀντιοχείας ἀπὸ τῶν ὑποκειμένων μητροπόλεων τῷ ἑαυτοῦ θρόνῳ δύω, τὴν τῆς Καισαρείας τῆς Παλαιστίνης καὶ τῆς Σκυθουπόλεως, ἀπέσπασε δὲ καὶ ἀπὸ τῆς μητροπόλεως Τύρου τὴν Πορφυρόπολιν, καὶ ἔθεντο σύνορον τὸν ποταμὸν τὸν ἀνὰ μέσον Πτολεμαΐδος καὶ τὸν Καρμηλίου ὄρους Ζαβουλών, ὡσαύτως καὶ ἀπὸ τῆς μητροπόλεως Βόστρας τῆς Αὐσίτιδος ἐπισκοπὰς τέσσαρας, τὴν Γαδείρων, τὴν Καπετωλιάδος, τὴν Ἀβίλλης καὶ τὴν Γάβα, καὶ ἀφιέρωσε ταῦτα εἰς Ἱεροσόλυμα, καὶ ἔθεντο σύνορον ἕως τῆς Αὐσίτιδος χώρας. ὁ δὲ Ἀλεξανδρείας δέδωκε καὶ αὐτὸς ἀπὸ τῶν ὑποκειμένων ἑαυτοῦ θρόνῳ μητροπόλεων τὴν Βόστραν τῆς Ἀραβίας καὶ τὴν Πέτρας καὶ ἐπισκοπὰς ἕξ, τὴν Γάζαν, τὴν Ἀσκάλωνος, τὴν Ἐλευθερούπολιν, τὴν Φαράν, τὴν Αἰλίας καὶ τὸ Σινᾶ ὄρος· ἠσφαλίσαντο δὲ τὸν θρόνον τοῦ Σινᾶ ὄρους, ἵνα μηδεὶς καθίσῃ ἐπ' αὐτῷ, καὶ ἐποίησαν σύνορον ἕως τῆς Ἐρυθρᾶς Θαλάσσης“· καὶ ταῦτα μὲν ἡ νεαρά. ἐν δὲ τῷ τακτικῷ ἔχει οὕτως· „ὁ τοῦ Σινᾶ ὄρους οὗτός ἐστιν ἡγούμενος καὶ ἐπίσκοπος“· ἐκ δὴ τούτων καὶ τῶν τοιούτων ἐπισκοπῆς ἀναφαινομένης τῆς κατὰ τὸ Σίναιον ὄρος βασιλικῆς καὶ θείας μονῆς πρὸ χρόνων οὐκ ὀλίγων τινὲς τῶν τότε ἐνασκουμένων ἐν τῇ θείᾳ μονῇ ταύτῃ οὐκ οἶδ' ὅπως κινηθέντες ἐν τοῖς καιροῖς ἐκείνοις, παραιτησάμενοι τὸ ἔχειν ἐπίσκοπον καὶ ὅλως κατὰ τὴν ἀρχαίαν στοιχεῖν ὑποτύπωσιν, βουλὴν κακίστην καὶ παρὰ νόμους ἐκύρωσαν ἐν αὐτοῖς, ἵνα δηλονότι μηκέτι χειροτονῆται ἐν τῷ μοναστηρίῳ τούτῳ ἐπίσκοπος· τούτου δὲ γενομένου πλήρη τὰ πράγματα συγχύσεως γέγονε, καὶ πατρι-

αρχικὰ προέβησαν γράμματα, ἄλλοις παρὰ τὸ πρέπον καὶ δίκαιον τὴν ἐξουσίαν τε καὶ διοίκησιν χορηγοῦντα τοῦ αὐτοῦ θείου μοναστηρίου· ἀλλὰ ταῦτα μὲν πρότερον καὶ ἕως οὗ ἀφανὴς ἦν ἡ ἀνωτέρω ῥηθεῖσα νεαρά, τοῦ δὲ ἀοιδίμου ἐκείνου πατριάρχου κῦρ Διονυσίου τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον διέποντος, ὁ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων κῦρ Γερμανός, σωματικῶς ὧδε ἐν Κωνσταντίνου παραγενόμενος καὶ ἐντυχὼν νομίμῳ βασιλικῷ παλαιῷ [κώδικι], πρὸς τοῖς ἄλλοις καὶ τὴν ῥηθεῖσαν νεαρὰν ἔχοντι γεγραμμένην, τὰ μὲν οὕτως ἔχοντα τῆς ἐπαρχίας αὐτοῦ πάσης ὅρια, ἐζήτησεν ἐπιβεβαιωθῆναι παρὰ τῆς τότε ἐνδημούσης μεγάλης τῶν ἀρχιερέων συνόδου. καὶ τοῦ σκοποῦ οὐ διήμαρτεν, ὥσπερ τὸ δοθὲν αὐτῷ τότε συνοδικὸν γράμμα δηλοποιεῖ, ὅπερ ἡ μετριότης ἡμῶν ἀρτίως ἀνέγνω καὶ ἐθεάσατο. οὐδὲν δὲ ἰδίως περὶ τῆς ἐλευθερίας τῆς θείας ταύτης καὶ βασιλικῆς μονῆς καὶ τοῦ ἐν αὐτῇ ὀφείλοντος εἶναι ἐπισκόπου καὶ τῶν ἄλλων, ὅσα συντείνουσι εἰς σύστασιν καὶ διαμονὴν ταύτην ἐζητήθη ἢ ἐλαλήθη τῷ τότε συνοδικῶς, διὸ καὶ ἔτι μέχρι τοῦ νῦν ἀμφίβολα ἦσαν τὰ περὶ τούτου, μὴ φαινομένων τῶν εἰρημένων γραμμάτων καὶ νεαρῶν, καὶ ἕκαστος τῶν πατριαρχῶν ἐζήτει καὶ ἤθελεν ἐξουσιάζειν καὶ διοικεῖν ἐν αὐτῇ τῇ θείᾳ μονῇ ἄνευ ἐπισκόπου μενούσης. ἐπεὶ δὲ τῆς ἡμῶν μετριότητος συνοδικῶς ἄρτι προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν παρευρεθέντων ἱερωτάτων μητροπολιτῶν καὶ θεοφιλεστάτων ἐπισκόπων, παραστάντες οἱ ἐπὶ τούτῳ ἀποσταλέντες παρὰ τῆς θείας ταύτης μονῆς, ὅ τε ὁσιώτατος ἱερομόναχος καὶ πνευματικὸς [πατὴρ] κῦρ Ἰωσὴφ καὶ ὁ ἐν μοναχοῖς ὁσιώτατος Μωϋσῆς ἤρξαντο δικαιολογεῖσθαι καὶ ἀναφέρειν τὰ κατὰ τὴν μονὴν δίκαια, δίκαιον ἐφάνη καὶ εὔλογον καὶ θεάρεστον, ἵνα ἡ παλαιὰ αὕτη βασιλικὴ νεαρά, ἥτις τὰ νῦν εὑρέθη καὶ ἀνεγνώσθη ἐνώπιον ἡμῶν, ὑπάρχῃ βεβαία καὶ ἀμετάτρεπτος, ἕως οὗ ὁ ἥλιος ἐφορᾷ, καὶ προτιμᾶται τῶν ἄλλων ἁπάντων γραμμάτων τῶν μεταγενεστέρων παρὰ μηδὲν καταλυομένη τὸ σύνολον. ὁ γὰρ ἑπτακαιδέκατος κανὼν τῆς ἁγίας οἰκουμενικῆς δ΄ συνόδου πρὸς τοῖς ἄλλοις καὶ ταῦτά φησιν· „ὡς δέον ἐστὶ καὶ τὴν τῶν ἐκκλησιαστικῶν παροικιῶν τε καὶ πραγμάτων τάξιν τοῖς βασιλικοῖς τύποις ἀκολουθεῖν". καὶ μετ' ὀλίγον πάλιν· „ἔξεστι γὰρ τῷ βασιλεῖ περὶ ἐνοριῶν ἐκκλησιαστικῶν διατάττεσθαι καὶ προνόμιά τινων ἀφαιρεῖσθαι καὶ ἐπισκοπὰς αὖθις εἰς μητροπόλεις τιμᾶν καὶ ἡγουμένους προχειρίζεσθαι καὶ ἕτερά τινα τοιαῦτα ποιεῖν". ἔπειτα κατὰ τὴν δοθεῖσαν τότε βασιλικὴν καὶ συνοδικὴν ἐξουσίαν καὶ διατύπωσιν ἐπισκοπὴ εἴη καὶ διαμένῃ τὸ κατὰ τὸ Σίναιον ὄρος σεπτὸν μοναστήριον τὸ ἐπ' ὀνόματι τιμώμενον τοῦ Σωτῆρος Χριστοῦ, καὶ ἔχῃ διηνεκῶς καὶ ἀμεταθέτως τὸν αὐτὸν ἡγούμενον καὶ ἐπίσκοπον, ὡς ἐν τῷ τακτικῷ εἴρηται, ὅπερ αὐταῖς λέξεσιν ἀνωτέρω ἐσημειώσαμεν, ὡς ἂν αἵ τε βασιλικαὶ καὶ συνοδικαὶ διατάξεις μένωσιν

ἀπαράθραυστοι, καὶ τὸ αὐτὸ θεῖον μοναστήριον παρὰ τοῦ γνησίου ἐπισκόπου αὐτοῦ καὶ ἡγουμένου οἰκονομῆται καὶ διεξάγηται, γνησίως δηλονότι καὶ ἐλευθέρως, καὶ μηδεὶς ἄλλως τῶν ἁπάντων ἀρχιερεὺς τολμᾷ παρ' ἐνορίας χειροτονεῖν ἐν αὐτῷ σωζομένου καὶ μένοντος τοῦ καθολικοῦ ἐπισκόπου Σινᾶ· καὶ ὡς ἀληθῶς ἐμάθομεν παρὰ τῶν κανόνων, ὁπόσοι οἱ παρ' ἐνορίας χειροτονοῦντες παιδεύονται, καὶ πρῶτον ὁ λε' τῶν ἁγίων ἀποστόλων κανὼν οὕτω φησίν· „ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν αὐτοῦ ὅρων χειροτονίας ποιεῖσθαι ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ πόλεσι καὶ χώραις. εἰ δέ τις τοῦτο πεποιηκὼς ἐλεγχθείη παρὰ γνώμης τῶν αὐτὰς κατεχόντων, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησεν. ἀλλ' οὐδὲ αὐτῷ τῷ μητροπολίτῃ ἔξεστιν εἰς ἐνορίας τινὸς τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἀνιέναι καὶ ἱεραρχικόν τι τελεῖν γνώμης ἄνευ τοῦ ἐπισκόπου". ὁμοίως δὲ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου ιγ' καὶ κβ' κανὼν τὰ αὐτὰ τούτοις διαλαμβάνει, ὧν οὕτως ἐχόντων δίκαιον τοὺς πάντας φυλάττεσθαι, ὥστε μὴ ὑποδίκους γενέσθαι ταῖς συνοδικαῖς ἐκείναις πρώταις ἀραῖς καὶ τῇ καταδίκῃ τῶν ῥηθέντων κανόνων· καὶ γὰρ ἡμεῖς ταῦτα ἀκριβῶς καταμαθόντες τὰ νῦν, πάντα τὰ ἄλλα ἀφέμενοι τὰ καιρικῶς οἰκονομηθέντα τὸ παρὸν συνοδικὸν γράμμα ἤδη παρέχομεν, δι' οὗ γράφουσι συνοδικῶς διορίζεται καὶ ἐντέλλεται, ἵνα κατὰ τὴν ἀρχαίαν ταύτην βασιλικὴν καὶ συνοδικὴν διατύπωσιν τὴν ἀνωτέρω ῥηθεῖσαν ἐν τῇ θείᾳ μονῇ ταύτῃ ὁ αὐτὸς ἡγούμενος καὶ ἐπίσκοπος, ἕως οὗ ὁ ἥλιος ἐφορᾷ, γνησίως καὶ ἐνοριακῶς ἀρχιερατεύῃ καὶ διακρίνῃ καὶ οἰκονομῇ καὶ πάντα ποιῇ εἰς σύστασιν τῆς μονῆς, ἔπειτα κατὰ τὴν δοθεῖσαν τῇ μονῇ ταύτῃ βασιλικὴν ἀσφάλειαν ὑπάρχῃ τὸ μοναστήριον τοῦτο ἐλεύθερον, ἀδούλωτον καὶ ἀκαταπάτητον ἐκ παντὸς προσώπου, μόνον ἔχον κατὰ καιροὺς τὸν αὐτὸν ἐπίσκοπον καὶ ἡγούμενον, ὡς ἀνωτέρω πολλάκις εἰρήκαμεν, ὅστις ἐπίσκοπος, ἵνα γνήσιος εἴη τοῦ μοναστηρίου ἄνθρωπος καὶ μὴ ἐντὸς καθεζόμενος ἔξω βλέπῃ καὶ εἰς ἀφανισμὸν ἀντὶ συστάσεως ἀφορᾷ τῆς μονῆς, ἐκλέγεσθαι ὀφείλει παρὰ τῆς κοινότητος πάσης τῶν προκρίτων τοῦ μοναστηρίου γερόντων, εἶθ' οὕτως κανονικῶς καὶ ἀδωροδοκήτως παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων τὴν χειροτονίαν δέχεσθαι, ἅτε καὶ τῆς ταύτης ἐπισκοπῆς ἐντὸς τῶν ὁρίων τοῦ Ἱεροσολύμων οὔσης. τούτων οὖν οὕτως εἰρημένων κατὰ τὸ πρέπον καὶ δίκαιον καὶ ἐπισκόπου γνησίου ὀφείλοντος εἶναι ἐν αὐτῷ διηνεκῶς, εἰκότως ἄρα παραβάτης καὶ τῷ παρ' ἐνορίας ὑπόδικος ἔσται ἐγκλήματι, ὁποίου ἂν εἴη καταλόγου ὁ τολμήσων χειροτονίαν ποιεῖν ἐν αὐτῷ, γνησίου παρόντος ἀρχιερέως καὶ διακρίνειν καὶ ἐξουσιάζειν καὶ ἄρχειν, ὅπερ ἵνα μὴ συμβῇ τινι καὶ ὑπεύθυνος τῷ τε θεῷ καὶ τοῖς κανόσι εἴη ὁ τοῦτο δρᾶσαι τολμήσας, ἕκαστος μενέτω ἐν ᾗ ἐτάχθη καταστάσει καὶ μὴ ἀπτέσθω τοῦ μοναστηρίου τὸ σύνολον. καὶ γὰρ τὸ μοναστήριον τοῦτο ἐλεύθερόν ἐστι

καὶ ἐπίσκοπον ἔχειν ὀφείλει ἀεὶ καὶ διοικητήν, ὡς εἰρήκαμεν· ταῦτα δὲ λέγοντες συνεπινοεῖσθαι καὶ τοῦτο βουλόμεθα, ὅτι ὅσα κατά τινα οἰκονομίαν ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐγένοντο γράμματα, ταῦτα φανείσης ἤδη τῆς ἀληθοῦς ἀποδείξεως τῶν γραμμάτων δικαίως ἀργεῖν ὀφείλουσιν, ὥστε μηδένα τῶν στηριζομένων ἐν τούτοις ἰσχύειν εἰς τὸ ἑξῆς ἐναντιοῦσθαι ἢ ἀνατρέπειν ὅλως τὴν καθολικὴν ταύτην καὶ βεβαίαν βασιλικὴν καὶ συνοδικὴν διάγνωσιν ἐν τῷ ἐθέλειν αὖθις ἐξουσιάζειν ἐν αὐτῇ. ὁ γοῦν ταῦτα ἀνατρέψαι βουληθησόμενος, οἷς οἶομαι καὶ τοὺς ἄλλους τῶν ἁγιωτάτων πατριαρχικῶν ἀπαραιτήτως συναινέσειν, ἀρᾷ καὶ ἀναθέματι ὑποκείσεται κατὰ τὸν κανόνα τὸν οὑτωσὶ διαγορεύοντα· „τοὺς παρὰ τῶν ἁγίων πατέρων ἐκτεθέντας κανόνας ἐν γνώσει παραβαίνοντας καὶ μὴ ὡς ἄνωθεν κατενεχθέντας θείους χρησμοὺς ἐν τιμῇ καὶ εὐλαβείᾳ ἔχοντας, τούτους ἡ ἁγία τετάρτη καὶ οἰκουμενικὴ σύνοδος καὶ ἡ ἑβδόμη ἀναθέματι καθυποβάλλουσιν". ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν γράμμα συνοδικῶς ἐγεγόνει καὶ ἐπεδόθη τῇ θείᾳ καὶ βασιλικῇ μονῇ τοῦ Σιναίου ὄρους τῇ ἐπ' ὀνόματι τοῦ Σωτῆρος Χριστοῦ τιμωμένῃ καὶ τῷ κατὰ καιροὺς αὐτῆς ἐπισκόπῳ σὺν τοῖς ἐκεῖ θεοφιλῶς ἐνασκουμένοις τιμίοις ἀδελφοῖς εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐν ἔτει ,αεπγ' [1]) κατὰ μῆνα ἰούλιον.

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἰωακείμ, ἐλέῳ θεοῦ πατριάρχης τῆς μεγάλης θεουπόλεως Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς †.

† Γερμανός, ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης †.

† Ἀρχιεπίσκοπος Κύπρου Τιμόθεος †.

† Ταπεινὸς μητροπολίτης Ἐφέσου Ἀθανάσιος †.

† Νικαίας Κύριλλος †.

† Ταπεινὸς Συμεὼν ἐπίσκοπος Παναγίας †.

† Ταπεινὸς μητροπολίτης Ἡρακλείας Γεράσιμος †.

† Γρηγορίος Προύσης †.

† Ταπεινὸς μητροπολίτης Νικομηδείας Σισίννιος †.

† Περιθεωρίου Γρηγόριος †.

† Ταπεινὸς μητροπολίτης Τραπεζοῦντος Ἄνθιμος †.

† Ἐπίσκοπος Λαζίας Ἄνθιμος †.

† Ταπεινὸς μητροπολίτης Σερρῶν †.

---

[1]) In editione legitur: ,αζπγ'.

† Μητροπολίτης Βοδονίτζας †.
† Ταπεινὸς μητροπολίτης καὶ ἔξαρχος πάσης Ἀσίας ... †.
† Ταπεινὸς μητροπολίτης Δανιὴλ Πισιδίας †.
† Ταπεινὸς μητροπολίτης ... Δωρόθεος †.
† Παλαιῶν Πατρῶν Μεθόδιος †.
† Ἰωάσαφ ταπεινὸς ... †.
† Τραϊανουπόλεως Ἰωάσαφ †.
† Λακεδαιμονίας Θεοδόσιος †.
† Ταπεινὸς μητροπολίτης Αἴνου Ματθαῖος †.
† Ταπεινὸς ἐπίσκοπος Αἱμαθούντων Γερμανός †.
† Κερκύρας Θεοδόσιος †.
† Ταπεινὸς μητροπολίτης Τρικάλλου †.
† Μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας Ἀναστάσιος ἱερεύς †.
† Μέγας λογοθέτης τῆς μεγάλης ἐκκλησίας Ἱέραξ †.
† Μέγας σακελλάριος τῆς μεγάλης ἐκκλησίας †.
† Μέγας σκευοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.
† Μέγας χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.
† Μέγας ἐκκλησιάρχης τῆς μεγάλης ἐκκλησίας †.
† Μέγας πρωτοσύγκελλος τῆς μεγάλης ἐκκλησίας †.
† Λυγερὸς ὁ μέγας ῥήτωρ τῆς μεγάλης ἐκκλησίας †.
† Πρωτέκδικος τῆς μεγάλης ἐκκλησίας †.
† Ῥήτωρ τῆς μεγάλης ἐκκλησίας Γαιρᾶς †.
† Νομοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.
† Ἀνδρέας ὁ λογοθέτης τῆς μεγάλης ἐκκλησίας †.
† Γεώργιος ὁ δικαιοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.
† Θεοδόσιος ὁ πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας †.
† Διονύσιος ἀρχιδιάκονος τῆς μεγάλης ἐκκλησίας †.

Extat in libro: Περιγραφὴ ἱερὰ διηγουμένη συντόμως καὶ περιληπτικῶς τὰ ἐπισημότερα τοῦ ἁγίου καὶ θεοβαδίστου ὄρους Σινᾶ παρὰ Ἱερεμία ἀρχιμανδρίτου Σιναΐτου τοῦ ἐκ Κυδωνίας τῆς Κρήτης. *Venetiis. 1768. p. 50.*

XI.

Privilegia Theodoro Scutariotae concessa.

I. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus diacono Theodoro Scutariotae confert dignitatem dicaeophylacis.

Ὁρισμὸς τοῦ βασιλέως [Μιχαὴλ Δούκα Ἀγγέλου] Κομνηνοῦ [τοῦ Παλαιολόγου] πρὸς [Θεόδωρον] τὸν Σκουταριώτην γεγονότα [μητροπολίτην] Κυζίκου. ὁρισμὸς προσκυνητὸς τοῦ κραταιοῦ καὶ θεοστεφοῦς ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅτε με τῷ τοῦ δικαιοφύλακος ἐτίμησεν ἀξιώματι.

† Μιμεῖται καὶ Μωϋσῆν ἐκεῖνον ἡ βασιλεία μου τὸν δημαγωγόν, καὶ πρὸς τὸν τῆς νομοθεσίας ἐκείνου ζῆλον ὡς ἐφικτὸν ἀπευθύνεται· ὡς γὰρ ἐκεῖνος τὸν δακτύλῳ θεοῦ γραφέντα νόμον ἐγχειρισθεὶς διὰ τοῦ Ἀαρών, σεμνυνομένου τὸ τηνικαῦτα τῷ ἱερατικῷ ἀξιώματι, τῷ ἰσραηλιτικῷ λαῷ διεπόρθμευε, κατὰ ταῦτα καὶ ἡ βασιλεία μου τὸ παντὸς τιμώμενον τῆς βασιλείας χρῆμα λαβοῦσα παρὰ θεοῦ, ἣν ἔννομον ἀρχὴν οἱ πάλαι ὡρίσαντο, κἀντεῦθεν οὖσα νόμος ἔμψυχος ἀτεχνῶς, ὡς καὶ τὸ δόξαν ταύτῃ καθάπερ νόμον γραπτὸν καὶ λέγεσθαι καὶ πιστεύεσθαι, τὸν ἐντιμότατον ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεόδωρον διάκονον τῶν Σκουταριώτην ἄνδρα εὑροῦσα κατὰ τὴν παλαμηφορουμένην θεῷ καρδίαν αὐτῆς, καὶ πρὸς ταῖς ἄλλαις λογικαῖς ἐπιστήμαις καὶ τοὺς λόγους ἀκριβῶς μελετήσαντα, καὶ τῷ ἱερῷ καὶ θείῳ καταλόγῳ ἐμπρέποντα, τῇ τοῦ δικαιοφύλακος ἀξίᾳ τιμᾶν· χρεὼν γὰρ τὸν ἔκ τε θείων καὶ ἀποστολικῶν κανόνων, ἔκ τε τῶν νόμων, οὓς σοφοὶ ἄνδρες ἐξέθεντο, γνῶσιν εἰς τὰ μάλιστα συλλεξάμενον καὶ τῷ δικαιφυλακικῷ ἐνσεμνύνεσθαι ἀξιώματι. ὅθεν καὶ διορίζεται ἡ βασιλεία μου διὰ τῆς παρούσης αὐτῆς προστάξεως, διενεργεῖσθαι παρὰ τοῦ διαληφθέντος ἐντιμοτάτου ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεοδώρου διακόνου τοῦ Σκουταριώτου τὸ δικαιοφυλακικὸν ὀφφίκιον, μετὰ πάντων τῶν ἀπονενεμημένων αὐτῷ δικαίων καὶ καθὼς ἐνεργεῖτο καὶ παρὰ τῶν πάλαι κεκτημένων αὐτό, καὶ τῆς αὐτῆς ἐκείνης μετέχειν τοῦτον τιμῆς τε καὶ τάξεως, ἔν τε καθέδραις,

στάσεσι καὶ πᾶσιν ἄλλοις, καὶ ἐν τῷ εὐαγεῖ κλήρῳ τῆς βασιλείας μου, πάσας τε τὰς ἀνέκαθεν προσαρμοθείσας τῷ τοιούτῳ ὀφφικίῳ κρίσεις διεξάγειν καὶ περατοῦν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' διὰ τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus scribit patriarchae Joseph, ut promoveat diaconum Theodorum Scutariotam ad altiorem dignitatem ecclesiasticam.

Ἕτερον πρόσταγμα σεπτὸν τοῦ κοσμοποθήτου κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δι' οὗ μοι καὶ τόπος ἀπεδόθη κἀν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τοῦ θεοῦ ἀνάλογος, εἰ καὶ διὰ τά τινων ἀπρεπῆ σκάνδαλα καὶ τὴν ἐν τῷ χορῷ τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἄφιλον στάσιν ἀπέκλινα, τὴν εἰρήνην αἱρετισάμενος· μετ' οὐ πολὺ δὲ καὶ σακελλίου ἐσφραγίσθην, καὶ τὸν τόπον τοῦ σακελλίου ἀπέλαβον.

† Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα· οἶδεν ἡ ἁγιωσύνη σου, ὡς ἀνεδέξατο ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα κῦρ Θεόδωρον τὸν Σκουταριώτην, καὶ οἵας καὶ ὅσης[1]) αὐτὸν ἀξιοῖ προσπαθείας καὶ οἰκειώσεως, τῆς τε περὶ τὰ θεῖα γνώσεως αὐτοῦ χάριν, καὶ τῆς περὶ τὰ πράγματα προσούσης τούτῳ εἰδημοσύνης καὶ ἀρετῆς. ἐπεὶ οὖν οὕτως αὐτὸν ἀνεδέξατο καὶ οὕτως ἔχει τοῦτον ἡ βασιλεία μου καὶ τοιούτῳ ἀξιώματι κατεκόσμησεν, οὐ δέον πάντως τὸ μὴ καὶ παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς τῶν συγκλητικῶν [ἀρχόντων] αὐτὸν ἀναλόγως μετέχειν τιμῆς τε καὶ τάξεως ἔν τε τῷ ἐκκλησιαστικῷ ὀφφικίῳ κἀν ταῖς καθέδραις καὶ στάσεσι· χρεὼν γὰρ τόν, ὃν ἡ βασιλεία μου κατὰ λόγον τιμᾷ, καὶ παρὰ τῆς ἁγιωσύνης σου κατ' ἶσον τιμᾶσθαι καὶ τὸν ἐν τῇ βασιλείᾳ κἀν τῇ συγκλήτῳ τίμιον καὶ παρὰ τῇ ἐκκλησίᾳ σου καὶ τῷ κλήρῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τιμῆς καταξιοῦσθαι τῆς κρείττονος· εἴ περ ἐπιστημονάρχης, σὺν θεῷ φάναι, τῆς ἐκκλησίας σου ἡ βασιλεία μου καὶ κατὰ κρίσιν οἰκονομεῖ τοὺς λόγους αὐτῆς· πρὸς τύπον δὲ τῶν βασιλικῶν καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὀφφικίων παρὰ τῶν ἀοιδίμων καὶ φιλευσεβῶν βασιλέων ἐτάχθησαν, καθὼς κἀν τῷ θείῳ ἰδίῳ τοῦ πρώτου τῶν Χριστιανῶν βασιλέως, μεγάλου καὶ ἁγίου Κωνσταντίνου, ὃ

---

[1]) πόσης Z.

πρὸς τὸν μακάριον ἐξέθετο Σίλβεστρον, οὐκ ἀσαφῶς, ἀλλ' ἄριστα τεθέσπισται, ἐφ' ᾧ καὶ ὀφεῖλον τῷ πρωτοτύπῳ ἐπακολουθεῖν τὰ πρὸς μίμησιν. διά τοι τοῦτο καὶ οἰκονομήσαιτο ἡ ἁγιωσύνη σου ἔχειν ἀπὸ τοῦ νῦν τὸν τοιοῦτον δικαιοφύλακα καὶ τῇ τοῦ θεοῦ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὀφφίκιον τῶν προβαθμίων καὶ ὑψηλῶν καὶ ὡς τῷ κλήρῳ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας καταλεγόμενον ἵστασθαι καὶ προκόπτειν μετὰ τὸν νῦν τιμιώτατον πρωτέκδικον τὸν Γεμιστόν, ἔνι καὶ αὐτὸν ἀπὸ τῶν ἐξωκατακοίλων ἀπό γε τῆς σήμερον γνωριζόμενον, ἄτοπον γὰρ τὸν ἐν καθέδραις ταῖς μείζοσι καὶ προβαθμιαιτέραις τῶν ἐκκλησιαστικῶν ἁγιοσοφιτῶν ἀρχόντων ὡς τὸ εἰκὸς συντιμώμενον, μὴ κἂν τῇ ἐκκλησιαστικῇ στάσει καὶ προκοπῇ τὸν προσήκοντα τόπον ἔχειν καὶ τοῖς ἐξωκατακοίλοις συνίστασθαι καὶ τῆς αὐτῆς συμμετέχειν τούτων τιμῆς τε καὶ προκοπῆς. ἡ μὲν οὖν βασιλεία μου ἤδη τὰ περὶ τούτου προεδήλωσε τῇ ἁγιωσύνῃ σου, ᾗ καὶ ἔργον ἔσται, πρὸς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι τὸ τοιοῦτον τῆς βασιλείας μου θέλημα, ὡς θεάρεστόν τε καὶ δίκαιον· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου ἀπελύθη, ὀφεῖλον ἀντιστραφῆναι τῷ τιμιωτάτῳ δικαιοφύλακι κῦρ Θεοδώρῳ διακόνῳ τῷ Σκουταριώτῃ δι' ἀσφάλειαν †.

† Μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' †.

III. Inter 1275—1282.

Imperator Michaël Palaeologus condecorat metropolitam Cyzici, Theodorum Scutariotam, hypertimi dignitate.

Πρόσταγμα πρὸς τὸν Κυζίκου μητροπολίτην.

† Ἡ βασιλεία μου πρὸς τὴν πρῴην εὔκλειαν πρὸς τὰς χρυσᾶς ἐκείνας ἔννας καὶ εὐημερίας τάς τε πόλεις καὶ χώρας καὶ τὰς τοῦ θεοῦ ἐκκλησίας ἐπαναγαγεῖν ἐθέλουσα καὶ ἀναβιοῦν τὰ τῷ μακρῷ χρόνῳ γηράσαντα, καὶ εἰς ζῆλον τῶν προβεβασιλευκότων τῆς Ῥωμανίας ἀγαθῶν βασιλέων καὶ μεγαλουργῶν ἀνατρέχουσα, καὶ τὰ ἐκείνων ἔργα μεγαλουργὰ ἅμα δὲ καὶ θεῖα καὶ ἔνσεμνα ἐπειγομένη ἀνανεοῦν καὶ τὰ απονενεμημένα ἀνέκαθεν τοῖς ἀρχιερεῦσι τῆς λαμπρᾶς τῆς Κυζίκου πόλεως ἐπίσημα τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυζίκου ἐχαρίσατο, τὸ κεκτῆσθαι τοῦτον δηλονότι τὸ ἐμπρέπον ὑπέρτιμον τοῖς θεσπεσίοις ἀρχιερεῦσί τε καὶ [μητροπολίταις] ἀξίωμα, καὶ τὸ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις μυσταγωγίαις τοῦτον ἀμπίσχεσθαι καὶ λαμπαδοῦχον προτρέχειν αὐτοῦ ἀνὰ πᾶσαν τὴν αὐτῆς ἐνορίαν. ἐφ' ᾧ καὶ διορίζεται ἡ βασιλεία μου, ὑπέρτιμον λέγεσθαι καὶ ὀνομάζεσθαι τὸν διαληφθέντα

μητροπολίτην Κυζίκου, καὶ πᾶν τὸ ἀνέκαθεν προσαρμόσαν τῷ τοιούτῳ ἀξιώματι γνώρισμα ἔχειν κατὰ τὴν ἐπὶ τούτῳ συνήθειαν, ἐνδιδύσκεσθαι δὲ τοῦτον καὶ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις καὶ ἱεραῖς μυσταγωγίαις καὶ λαμπάδα φαίνουσαν ἔμπροσθεν τούτου προάγεσθαι [ἀνὰ] πᾶσαν τὴν ἐνορίαν· φῶς γὰρ εἶναι τοῦ κόσμου τοὺς μαθητὰς αὐτοῦ Χριστὸς ἀπεφήνατο, φαίνει δὲ καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ, ὁ ἠγαπημένος αὐτῷ φησι μαθητής. κατὰ τοὺς κυριακοὺς οὖν μαθητὰς καὶ τοὺς ὑπὸ τὴν ὑπήκοον τῆς βασιλείας μου πᾶσαν γῆν ἀρχιερεῖς πεφωτισμένους εἶναι θέλουσα καὶ ἐν τῷ σκότει τοῦ βίου τούτου παμφαέστατα διὰ τῆς ἀρετῆς αὐτῶν φαίνειν βουλομένη, (ὡς ἀπὸ μιᾶς γάρ τινος οὐρανομήκους κλίμακος τῶν ὑπηρετῶν τοῦ λόγου καὶ μαθητῶν τὸ μέγα τῆς ἀρχιερωσύνης χρῆμα καὶ πρᾶγμα καὶ εἰς αὐτοὺς καταβέβηκεν), εἰκότως καὶ φῶς τοῦ ἱερωτάτου αὐτοῦ μητροπολίτου Κυζίκου προπορεύεσθαι κέκρικε, καὶ τὰ ἄλλα δὲ ἐπίσημα αὐτῷ ἐδωρήσατο διὰ τῆς παρούσης αὐτῆς προστάξεως, ἥτις καὶ γεγονυῖα ἐπεδόθη αὐτῷ, ὀφείλουσα ἐγκαταστρωθῆναι[1]) καὶ τοῖς τοῦ ἱεροῦ χαρτοφύλακος χαρτίοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας †.

† Εἶχε τό· μηνὶ . . . καὶ ἰνδικτιῶνι . . . δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς [καὶ θείας] χειρός †.

E codice manuscripto Gerasimi archiepiscopi edid. Rhalles et Potles, Coll. can. V. p. 326. Zachariae, Jus graeco-romanum, III. p. 590 et 598.

---

[1]) ἐπιγνωσθῆναι Z.

XII.

Acta varia.

I. 6472—964, mense augusto, ind. IX.

Patriarcha Polyeuctus declarat monasterium Sanctae Mariae dictum Philosophi situm prope Demetsanam esse stauropegium.

Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἶσον ἀπαραλλάκτως τοῦ ἴσου τοῦ πρωτοτύπου πατριαρχικοῦ παλαιγενοῦς σιγιλλιώδους γράμματος, ἐκβληθὲν παρὰ τοῦ παλαιοῦ καὶ ἀρχαίου κώδικος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὁραθέντος παρά τε τῆς ἡμῶν μετριότητος καὶ τῆς ὑπερτελεστάτης ἱερᾶς τῶν ἀρχιερέων συνόδου, τῶν ἐν ἁγίῳ πνεύματι ποθεινοτάτων ἀδελφῶν καὶ συλλειτουργῶν, τῶν καὶ κάτωθεν ὑπογραψόντων.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καὶ λιμένων μὲν κατασκευαὶ τοῖς ἐκ πελάγους χειμαζομένοις, οἰκιῶν τε καταστάσεις πρόξενοι ὑποδοχῆς, τἄλλα τε, ὅσα τοῖς ἀνθρώποις ἐπινενόηται πρὸς ἐπικουρίαν τῶν ἐνοχλούντων, πρᾶγμα τοῦτο λυσιτελὲς καὶ πολλὴν ὠφέλειαν ἐμποιοῦν τοῖς περὶ ταῦτα ἐσπουδακόσιν· ἀλλ' οὔπω πάντα ταῦτα τοσοῦτον ἐπωφελεῖ, ὅσον ἱερῶν οἴκων οἰκοδομαὶ καὶ προσόδων χορηγία πρὸς τοῦτο τὴν διαμονὴν αὐτῶν διασώζουσα. τὰ μὲν γὰρ κἂν τινα παρέχωνται τὴν ὠφέλειαν, ἀλλὰ περὶ τὸ σῶμα, καὶ μόνον τούτου ἡ θεραπεία, ἡ δέ γε τῶν ἱερῶν σύστασις καὶ ἀμφοτέροις τὴν ἐπικουρίαν ἐπάγει·· ψυχὰς γὰρ οἰκειοῖ τῷ θεῷ διὰ πράξεώς τε καὶ θεωρίας, ὧν ἑκάτερα τῷ μονήρει βίῳ κάλλιστα κατορθοῦνται ἐκ τῆς κοσμικῆς τῶν ἀνθρώπων ἀναχωρήσεως, καὶ τὰ τοῦ σώματος πάνυ ἐν ἀσφαλείᾳ τηρεῖ. τὴν γὰρ βιωτικὴν ἀποφυγὼν αὐτοτρικυμίαν, καὶ τῇ μονῇ προσδραμών, ἤδη γαληνιᾷ, ἐκ χειμῶνος τοῦ βίου τῷ μονήρει βίῳ καθορμιζόμενος· τοῖς γὰρ πρὸς ταῦτα σπουδὴν ποιουμένοις συναίρεσθαι καὶ ἡμῖν τῶν ἀναγκαίων ἂν εἴη. συναίρεται δ' εἰς τοῦτο οὐ μόνον ὁ κοινωνὸς πρωτουργῶν τῇ χορηγίᾳ τῶν ἀναγκαίων, ἀλλὰ καὶ πᾶς τις ἄλλος, ὃς ἂν δυνηθῇ τι πραγματεύσασθαι ταῖς μοναῖς. ὃ δὲ πρὸ τῶν ἄλλων ἂν εἴη, εἴ τις τὰ προσόντα ταύταις κειμήλια ἐπ-

ασφαλῆ μένειν παρασκευάσειε, τοὺς δὲ τὸ πρότερον αὐτὰς δειμαμένους κἀκεῖνα ταύταις ἀφιερώσαντας εἰς ἐγκώμιον οὐκ ἔλαττον. οἱ μὲν γὰρ προσῆξαν αὐτὰς τῷ θεῷ, οἱ δὲ τὴν ἀσφάλειαν τούτων ἐπραγματεύσαντο. ὅπερ οὐκ ἂν ἄλλοθέν περ γένοιτο, ἢ ἐκ χρυσοβούλλων λόγων καὶ πατριαρχικῶν σιγιλλίων, δυναμένων πολλῷ γε τῷ περιιόντι τὰς ὁρμὰς τῶν πλεονεκτῶν ἀναστέλλειν καὶ τὴν ἐλευθερίαν αὐταῖς παρέχειν, ὡς ἡ πρόθεσις ἦν ἐξ ἀρχῆς τῶν αὐτὰς δειμαμένων, οὐ μὴν ἀλλὰ καὶ τιμῶν πνευματικῶν ἀξιοῦσθαι δεῖ παρ' ἡμῶν, ἅτε τῆς πρὸς αὐτὰς τιμῆς ἐπὶ τὸν κτίτορα τούτων παραπεμπούσης τὸν ἔπαινον, ἐξ ὧν τήν τε προθυμίαν αὐτῶν ἐστιν ἐπαυξῆσαι καὶ ἄλλους πρὸς τὸν ὅμοιον ζῆλον διερεθίσαι. εἰς τοῦτο δὲ τείνει τὰ τοῦ σκοποῦ. ἐπειδὴ τοίνυν καὶ ὁ οἰκεῖος τοῦ κρατίστου καὶ ἁγίου μου βασιλέως καὶ αὐτοκράτορος κυρίου Νικηφόρου τοῦ Φωκᾶ, τοῦ ἐν ἁγίῳ πνεύματι ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, κύριος Ἰωάννης Λαμπαρδόπουλος, φιλόσοφος, πρωτοσυγκρήτης, ἅτε φύσεως ὢν ἀγαθῆς καὶ πολλὴν περὶ τὰ θεῖα ποιούμενος τὴν φροντίδα, ζῆλόν τε ἀναλαβὼν ἔνθεον καὶ διάπυρον ἔρωτα, φιλοτίμῳ χρησάμενος χειρί, ἀνήγειρεν ἐκ βάθρων μονὴν ἱερὰν ἐν τῇ Πελοποννήσῳ, τῇ ἐπαρχίᾳ τῆς μητροπόλεως Παλαιῶν Πατρῶν, κατὰ τὴν ἐνορίαν τῆς ἐπισκοπῆς Λακεδαιμονίας, πλησίον χώρας Δημηστάνης, ἐν τῇ τοποθεσίᾳ τῆς Μονοπόρου, ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἣν διὰ τὴν τοῦ φιλοσόφου ἐπωνυμίαν μονὴν τοῦ Φιλοσόφου ἐκάλεσαν μετὰ ταῦτα, πρὸς καταμονὴν μοναζόντων ἀνδρῶν καὶ θεῷ ἀφιερωμένων ψυχικῆς αὐτοῦ σωτηρίας ἕνεκα· ναόν τε παρακείμενον καὶ φιλότιμον κατασκεύασεν ἐν αὐτῇ καὶ κελλίων οἰκοδομὰς καὶ ἄλλα τινὰ ἐργασάμενος πρὸς θεραπείαν καὶ ἀνάπαυσιν τῶν εὑρισκομένων ἐν αὐτῇ ψυχῶν, ἔτι δὲ καὶ ἱερὰ κειμήλια καὶ προσενέξεις, τὰς μὲν ἰδιοποιήσας, τὰς δὲ καὶ μετὰ ταῦτα μέλλων προσηλῶσαι ἐν αὐτῇ· ἠξίωσε τὰ νῦν, ἵνα καὶ παρὰ τῆς ἡμῶν μετριότητος τύχῃ σιγγιλιώδους γράμματος ἐπὶ τῷ καθιερωθῆναι μὲν ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ, εὑρίσκεσθαι δὲ καὶ εἰς τὸ ἑξῆς ἐπὶ τὴν [τῆς] πατριαρχείας [1]) περιωπὴν ἀκαταδούλωτόν τε καὶ ἀκαταπάτητον ὑπό τε τοῦ κατὰ καιροὺς εὑρισκομένου ἐκεῖσε μητροπολίτου Παλαιῶν Πατρῶν καὶ τοῦ ἐπισκόπου αὐτοῦ Λακεδαιμονίας, ὡς μηδεμίαν ἐχόντων ἐν αὐτῷ ἄδειαν ἢ ἀνάκρισιν ποιεῖν ἢ ἀπαιτεῖν παρ' αὐτοῦ τὸ τυχόν. ἰδοὺ τὴν τούτου αἴτησιν προσδεξαμένη ἡ μετριότης ἡμῶν, ὡς θεοφιλῆ καὶ καθάπαξ σκοποῦ μετέχουσαν ἀγαθοῦ, τὸ παρὸν σιγιλλιῶδες γράμμα ἐπιχορηγεῖ τῇ αὐτῇ μονῇ, δι' οὗ δὴ καὶ διορίζεται καὶ ἀποφαίνεται, ἵνα ἡ τοιαύτη θεία μονὴ τῆς Παναγίας μου τοῦ Φιλοσόφου, ἡ

---

[1]) Legendum videtur: ἐπὶ τὴν πατριαρχικὴν περιωπήν.

ἀρτίως ἀνεγερθεῖσα ἐκ βάθρων αὐτῶν παρὰ τοῦ προειρημένου ἄρχοντος Φιλοσόφου τοῦ πρωτασηκρήτου, εὑρίσκηται ἅμα τοῖς μετοχίοις αὐτῆς ὡς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνοικοδομηθεῖσα, ὑπὸ τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ μνημονεύῃ τοῦ ὀνόματος αὐτοῦ, ὥστε μήτε ἄδειαν ἔχειν τὸν κατὰ καιροὺς μητροπολίτην Παλαιῶν Πατρῶν ἢ τὸν ἐπίσκοπον αὐτοῦ Λακεδαιμονίας, μήτε ἕτερόν τινα τῶν ἐν τῇ Πελοποννήσῳ μητροπολιτῶν μετ' ἐξουσίας ἰδίας καὶ αὐθεντείας εἰσέρχεσθαι ἐν αὐτῇ, ἱερατικόν τι διαπράξασθαι ἢ ἀπατεῖν τὸ σύνολον ἀπ' αὐτῆς, ἀλλὰ καθάπαξ εὑρίσκεσθαι τοὺς τοιούτους ἐκκωλυομένους, ὀφείλοντος μόνου τοῦ κατὰ καιροὺς πατριαρχικοῦ ἐξάρχου κρίνειν καὶ θεωρεῖν πᾶσαν ἐμπίπτουσαν ἐκκλησιαστικὴν ὑπόθεσιν καὶ διορθοῦν ταῦτα κανονικῶς καὶ νομίμως καὶ ὡς φίλον θεῷ. οἱ δὲ ἐκεῖσε συνήθως εὑρισκόμενοι ψάλλοντες ἱερεῖς ὑπάρχωσι καὶ οὗτοι ὡς πατριαρχικοὶ ἐλεύθεροι καὶ ἀκαταδούλωτοι, ἔτι δὲ καὶ ἀναπαίτητοι καὶ ἀνεξέταστοι ὑπὸ πάντων τῶν ἐν [τῇ] Πελοποννήσῳ μητροπολιτῶν, ὑπόκηνται δὲ μόνον καὶ αὐτοὶ τῇ ἡμῶν μετριότητι καὶ τῷ κατὰ καιροὺς πατριάρχῃ καὶ πατριαρχικῷ ἐξάρχῳ, καὶ παρ' αὐτοῦ ἀνακρίνωνται καὶ ἐξετάζωνται νομίμως καὶ κανονικῶς. τὴν δὲ οἰκονομίαν καὶ διοίκησιν πάντων [τῶν κτημάτων] τῆς τοιαύτης μονῆς ἔχῃ μόνος ὁ κατὰ καιροὺς ἡγούμενος, ὅστις καὶ ὀφείλει ἐκλέγεσθαι ἐκ μέσου τῆς ἀδελφότητος καὶ ἀποκαθίστασθαι εἰς τὴν ἡγουμενίαν. πρὸς τούτοις δέ, ὅτε χρεία χειροτονίας γενήσεται αὐτοῖς, προσκαλῶνται ἕνα τινὰ τῶν ἀρχιερέων, ὃν ἂν ἐθέλωσιν, σφραγίζειν καὶ χειροτονεῖν ἀναγνώστας καὶ ὑποδιακόνους καὶ πρεσβυτέρους καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν χωρὶς τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, μηδενὸς ἐναντιουμένου περὶ τούτου ἢ ἀντιλέγοντος ἐν ἀργίᾳ καὶ ἀφορισμῷ. ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν σιγγιλιῶδες γράμμα, καὶ ἐπεδόθη τῇ διαλειφθείσῃ μονῇ τῆς Παναγίας μου τοῦ Φιλοσόφου τῇ πατριαρχικῇ καὶ σταυροπηγιακῇ †.

† Ἐν ἔτει ͵ϛυοβ' μηνὶ αὐγούστῳ ἰνδ. θ' †.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐν ἔτει ͵ζρλβ' ἰουνίῳ μηνὶ ἰνδ. ζ' †.

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Primus edidit Euthymios Kastorches in libro: Περὶ τῆς ἐν Δημητσάνῃ ἑλληνικῆς σχολῆς καὶ περὶ τῶν καθιδρυτῶν καὶ πρώτων αὐτῆς διδασκάλων. *Athenis. 1847. Iterum Ludov. Ross in ephemeridibus, quibus titulus: „Hallische Literaturzeitung", 1849. I. p. 811.*

II. 6615—1106, mense septembri, [ind. XV.].

Imperator Alexius Comnenus donat monasterio Transfigurationis in monte Sagmata Boeotiae partem Santae Crucis et lacum Ungriae, liberatque monachos a tributis.

† Ἀλέξιος Κομνηνὸς θείῳ ἐλέει βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων †.

† Ἐπειδήπερ παρὰ τῶν ἐνδημούντων ταύτῃ τῇ κραταιᾷ καὶ θεοφυλάκτῳ βασιλευούσῃ τῶν πόλεων ἀπὸ τῆς κατὰ Βοιωτίαν τῆς Ἑλλάδος ἐπαρχίας ἱκανῶς ἐπληροφορήθημεν, ὅτι ἐν αὐτῇ ὄρος Σαγματᾶ καλούμενον ὑπάρχει, ἐν ᾧ καὶ μονὴ ἱερὰ καὶ σεβάσμιος, πατέρων τε συλλογὴ οὐκ εὐαρίθμητος θεοπρεπῶς καὶ θεαρέστως ἀσκουμένων, εἰς τιμὴν δὲ καὶ ἐγκαίνια τῆς ἐνδόξου καὶ φρικτῆς τοῦ Σωτῆρος Μεταμορφώσεως τιμωμένη, κρείττονι νεύσει καὶ προμηθείᾳ διαναστάντες ἠβουλήθημεν ἀναθήματι θείῳ καὶ πολυτίμῳ αὐτὴν σεμνῦναι, καὶ δὴ ἐκ τοῦ ἐνυπάρχοντος τῷ ἡμετέρῳ θησαυροφυλακείῳ τιμίου ξύλου ἀφιερώσαμεν μέρος, ὅπερ ὀρθίως τὴν τοῦ λιχανοῦ ἐπιμέτρησιν ἀποτελεῖ, ἐγκαρσίως δὲ τὴν τοῦ ἀντίχειρος, τὸ πάχος πάλιν δακτύλου ἡμίσεως, στάθμη δὲ ἐπιθέμενον τὸ τῶν ὀκτὼ καὶ ἡμίσεως δραγμῶν ποσὸν ἐπαγγέλλεται, καὶ τοῦτο εἰς ἀείμνηστον ἡμῶν καὶ εἰς ἀεὶ διαμένον μνημόσυνον, διόπερ καὶ εἰς ἀναντίρρητον τῆς ἀληθείας ἔνδειξιν χρυσοβούλλῳ ἡμετέρῳ καισαρικῷ ἠσφαλισάμεθα τὸ ἀνάθημα, καὶ τὴν ἱερὰν μονὴν βασιλικῇ τιμῇ ἐνεκαλλωπίσαμεν, καὶ τὴν λίμνην κατὰ τὴν Οὐγκρίαν κειμένην τῇ μονῇ παρεδώκαμεν, τούς τε πατέρας ἀφορολογήτους ἐψηφισάμεθα. καὶ δέδοται ἐν τῷ ἡμετέρῳ παλατίῳ εἰς ἔνδειξιν †.

͵αρϛʹ ἐν μηνὶ σεπτεμβρίῳ.

Editum in ephemeridibus inscriptis: Εὐαγγελικὴ σάλπιγξ, *15. mensis aprilis 1838, et a* ***Ross*** *et* ***Schmeller*** *in dissertatione: „Urkunden zur Geschichte Griechenlands im Mittelalter". Abhandlungen der philos. philol. Cl. der k. bayerischen Akademie der Wissenschaften. 1837. Bd. II., p. 155. Diploma spurium. Vide observationes in fine voluminis.*

III. 6797—1289, mense martio, ind. II.

Imperator Andronicus II. confirmat possessiones monasterii Sanctae Mariae Eleusae dicti Lycusadis prope Phanarium.

† Οὐδὲν τῆς ἀληθείας ἐπικρατέστερον καὶ οὐδὲν τῆς κατ' αὐτὴν ἐπιγνώσεως ἀνθρώποις ἐπαινετώτερον· οἱ γὰρ ἐφ' ἑκάστῳ τῶν πραγμάτων τοῦ ὄντος κατ' ἀλη-

θειαν γινόμενοι ἐπιγνώμονες τὸ καλὸν ἂν πάντως ἐπὶ πᾶσι προέλοιντο καὶ οὐδέποτ' ἂν ἐκπέσαιεν τοῦ συμφέροντος· ἀλλὰ κἂν ἑαυτοῖς προσπορίσασθαί τι δέῃ τῶν ὠφελούντων, κἂν ἑτέροις οἷς τι προμηθείας οὗτοι μεταδιδόναι σπουδάζουσι, τοῦ ἀκριβοῦς ὑπάρχει τοιούτου κατευστοχεῖν. τοῦτο τοῖς συνετωτέροις τῶν ἀνθρώπων ἐν οἷσπερ ἂν ποιῶσι παρακολουθεῖν εἰωθὸς οὐχ ἧττον ἔστι διαγνῶναι καὶ τῆς τὴν παροῦσαν εἰσενεγκαμένης αἴτησιν ταῖς πράξεσι παρεπόμενον, τῆς μιᾶς δὴ ταύτης προσμαρτυρούσης καὶ ταῖς ἄλλαις τῶν πράξεων· τὸ γὰρ προσὸν ἀπὸ θεοῦ τῇ βασιλείᾳ δικαίωμα μέγα μὲν ἐν τοῖς κατὰ γῆν γνωρίζεται ἅπασιν, οὐ μὴν ὅτι πρόδηλον αὐτῷ τὸ περίοπτον, οὐχ ἐπαινετέοι παρὰ τοῦτο κριθήσονται οἱ καὶ λογιζόμενοι τὸν ὄγκον καὶ τὸ ἐπιβάλλον αὐτῷ τῆς ὀφειλῆς ἀποσώζοντες ἐν τῷ τὴν ὑποταγὴν ἀποδιδόναι καὶ ἔργοις οἷον συνεπιψηφίζεσθαι τῆς ἐξουσίας τῷ ὑπερέχοντι. τοῦτο δὴ τὸ τῆς ἀρχῆς τῆς ἡμετέρας δικαίωμα, καὶ εἰς μεῖζον μὲν ἦν διηρμένον τὰ πρότερα, ἀφοῦπερ πρὸς τὴν ἡμετέραν ταύτην ἀρχὴν ὁ πηξάμενος αὐτὴν καὶ συστησάμενος δημιουργὸς καὶ συνοχεὺς τοῦ παντὸς ἐκεῖνο ἐνιδὼν ἱλέῳ βλέμματι εἴρηκε· „πλάτυνον τὰ σχοινίσματά σου. ἔτι· ἐκπέτασον ἐπὶ δεξιὰ καὶ ἀριστερά· πῆξον καὶ μὴ φείσῃ τῶν αὐλαιῶν"· καὶ μέντοι καὶ ἐξετέλεσε καὶ διήγαγεν ἐπὶ πολλαῖς, ὅτι κρατυνομένη καὶ αὐξομένη περιόδοις ἐτῶν καὶ τῶν χεῖρα ὁτεδήποτε πειρασαμένων ἀνταῖραι κατευμεγεθοῦσα περιεγίνετο. εἶτα ἐκκαυθείσης ἄνωθεν ὀργῆς διὰ παιδείαν πάντως συμφέρουσαν, βήματι τὸ δὴ λεγόμενον ἐκινήθη καὶ μεταπεπτώκει πρὸς τὸ χεῖρον τὰ πράγματα καὶ ἡ ἀρχὴ ἐς τὸ βραχύτατον συνεστάλη· καὶ ἐπὶ μετρίοις ὅροις συνεληλαμένη ἐδείκνυτο· πρὸς γάρ τοι τοῖς ἄλλοις, μᾶλλον δέ γε πρὸ τῶν ἄλλων καὶ αὐτῆς ἐξεπεπτώκει τῆς βασιλευούσης τῶν πόλεων, ἕως ὁ παιδεύων ἄχρι τοῦ ἰάσασθαι μόνον καὶ εἰς τέλος μὴ παραδιδούς, οὐδ' ἵνα πλήξῃ πλήττων, ἀλλ' ἵνα πρὸς τὸ κρεῖττον μετάθηται, τά τε ἄλλα τῶν τῆς ἀρχῆς ἐξερρυηκότων καὶ αὐτὴν τὴν βασιλεύουσαν ἐπανεσώσατο πόλιν, καὶ ἐπὶ τὸ κρεῖττον αὖθις τῇ αὐτοῦ καὶ ἀρωγῇ καὶ συνάρσει, τὰ τῆς ἀρχῆς ἐπανέδραμε. τότε δὴ ἐν τῇ κινήσει τῶν πραγμάτων ἐκείνῃ, ἣ τὰ δυσχερῆ ἐπλεόνασε, τότε πρὸς πολλοὺς πολλὰ τῶν τῆς ἀρχῆς μεταπέπτωκε, καὶ ἔτι δὴ ἐς τὸ παρὸν πόλεων τινὲς καὶ χωρῶν ἔστιν οἷς τῶν τότε κατασχόντων ὡς εἰς ἰδιάζουσάν τινα τὴν δεσποτείαν κατέχονται, ἀλλ' ὑποκύπτουσι τῷ ἡμετέρῳ κράτει καὶ τὴν ὑποταγὴν δικαίως ἀσπάζονται. ἡ μέντοι τῷ περιποθήτῳ συμπενθέρῳ τῆς βασιλείας μου, τῷ σεβαστοκράτορι ἐκείνῳ Κομνηνῷ κυρῷ Ἰωάννῃ τῷ Δούκᾳ κατὰ κόσμον χρηματίσασα σύζυγος, εἶτα τὸν μοναδικὸν ζυγὸν ὑποδῦσα Κομνηνὴ κυρὰ Ὑπομονὴ ἡ Δούκαινα, τὸ τῆς βασιλείας καλῶς ἐπεγνωκυῖα δικαίωμα, καὶ ὡς οὐκ ἔστιν ἐν βεβαίῳ τὴν τῶν προσόντων ἀποφέρεσθαι κτῆσιν, οὔτε μὴν καθ' ἕνα τῶν ἐν βίῳ, οὔτε μοναστῶν καταγώγιον, εἰ μὴ τὸ

κῦρος ἐπιθείη τούτοις βασιλικὰ διατάγματα, διαπέμπεταί τε πρὸς τὴν ἡμετέραν βασιλείαν, καὶ τῇ παρ' αὐτῆς συστάσῃ σεβασμίᾳ μονῇ τὸ κῦρος τῶν ἐνυπαρχόντων αἰτεῖται διὰ χρυσοβούλλου προσγενέσθαι τῆς βασιλείας μου. ἔστι μὲν οὖν ἡ οἰκοδομηθεῖσα αὕτη καὶ συστᾶσα παρὰ ταύτης μονὴ πλησίον που διακειμένη τοῦ ἄστεος, ὃ Φανάριον ὀνομάζεται, τιμᾶται δὲ ἐπ' ὀνόματι τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης, καὶ ἐπικέκληται οὕτω πως τῆς Λυκουσάδος· ἃ δὲ αὐτῇ τῇ μονῇ προσήρμοσε κτήματα, ἐκεῖ μὲν ὁπουδήποτε τυγχάνουσι διακείμενα, καὶ ταῦτα δέ γε κατωτέρω ἐξ ὀνόματος δηλωθήσεται. τῇ τοιαύτῃ τοιγαροῦν αἰτήσει αὐτῆς οὐκ ἔγνω δέον εἶναι ἡ βασιλεία μου ὑπέρθεσίν τινα δοῦναι καὶ μὴ παραυτὰ τῷ τέλει ἐναγαγεῖν, ἀλλὰ τῆς εὐγνωμοσύνης ὥσπερ ἀμειβομένη ταύτην καὶ τῆς τοῦ καλοῦ ἐπιγνώσεως ἑτοιμότατα κατανεύει πρὸς τὸ αἰτούμενον, καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπορέγει αὐτῇ, δι' οὗ καὶ εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται κατέχεσθαι παρὰ τῆς διαληφθείσης σεβασμίας μονῆς τὰ παρὰ τῆς εἰρημένης συζύγου τοῦ μνημονευθέντος σεβαστοκράτορος προσαρμόσαντα αὐτῇ ὁποιαδήτινα κτήματα, ἃ δὴ καὶ κατὰ μέρος οὕτως ἐπ' ὀνόματος ἔχουσι· χωρίον ἡ Λυκουσάδα, ἐν ᾧ καὶ ἡ τοιαύτη ἀνηγέρθη μονή. ἕτερον χωρίον ἡ Βατουσιάνη. τὸ περὶ τὰ Τρίκκαλα χωρίον, ὅπερ εὑρίσκεται κατέχουσα ἡ μονὴ μετὰ τοῦ ἐκεῖσε λοετροῦ. μετόχιον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου ἐπιλεγόμενον ἡ Ῥάξα μετὰ τῶν ἐν αὐτῷ παροίκων τῶν διαλαμβανομένων κατ' ὄνομα ἐν τοῖς προσοῦσιν αὐτῷ δικαιώμασιν, ἔτι δὲ καὶ τῆς κατεχομένης παρ' αὐτοῦ τοῦ μετοχίου γῆς καὶ τῶν μυλοθεσίων καὶ ἀμπελίων. ἕτερον μετόχιον ὁ Τριστενίκος εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Γεωργίου. ἕτερον εἰς ὄνομα τοῦ ἁγίου Ἀνδρέου μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ἀμπελίων καὶ τῆς προστεθείσης ἀρτίως γῆς Βλαχοκατοῦνα ἡ ἐπιλεγομένη Πρακτικάτου. χωρίον ἡ Γοριάνη μετὰ τῶν ἐν αὐτῷ μυλοθεσίων καὶ ἀμπελίων. εἰς τὴν λίμνην τοῦ Ἐζεροῦ σανδάλια δύο μετὰ καὶ ἁλιέων δύο. μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Δημητρίου ἐν τῷ θέματι Βουναίνης διακείμενον μετὰ τῶν ἐν αὐτῷ παροίκων, ἀλλὰ δὴ καὶ τῶν ἀμπελίων καὶ μυλοθεσίων. ἔτι τε εἰς τὸν τόπον τοῦ Ἁλμυροῦ χωρίον ἡ Μαγοῦλα καὶ οἱ Σιμισαράτοι λεγόμενοι σὺν τῇ ἐκεῖσε γῇ τῶν Λεβαχάτων καὶ Ταρωνάτων. ἃ δὴ πάντα καθέξει ἡ εἰρημένη σεβασμία μονὴ τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης κατὰ δεσποτείαν καὶ νομὴν ἀναφαίρετον, ὡς κατὰ μέρος διαλαμβάνονται ἐν τοῖς γεγονόσιν ἐπ' αὐτοῖς πρακτικοῖς, ἔτι δὲ καὶ ὡς προσεκυρώθησαν καὶ προσετέθησαν ταύτῃ παρὰ τῆς διαληφθείσης συζύγου τοῦ δηλωθέντος σεβαστοκράτορος, καὶ νεμηθήσεται αὐτὰ ἀνενόχλητα, ἀδιάσειστά τε καὶ ἀναπόσπαστα εἰς ἅπαντα τὸν ἑξῆς

XI.

Privilegia Theodoro Scutariotae concessa.

I. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus diacono Theodoro Scutariotae confert dignitatem dicaeophylacis.

Ὁρισμὸς τοῦ βασιλέως [Μιχαὴλ Δούκα Ἀγγέλου] Κομνηνοῦ [τοῦ Παλαιολόγου] πρὸς [Θεόδωρον] τὸν Σχουταριώτην γεγονότα [μητροπολίτην] Κυζίκου. ὁρισμὸς προσκυνητὸς τοῦ κραταιοῦ καὶ θεοστεφοῦς ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅτε με τῷ τοῦ δικαιοφύλακος ἐτίμησεν ἀξιώματι.

† Μιμεῖται καὶ Μωϋσῆν ἐκεῖνον ἡ βασιλεία μου τὸν δημαγωγόν, καὶ πρὸς τὸν τῆς νομοθεσίας ἐκείνου ζῆλον ὡς ἐφικτὸν ἀπευθύνεται· ὡς γὰρ ἐκεῖνος τὸν δακτύλῳ θεοῦ γραφέντα νόμον ἐγχειρισθεὶς διὰ τοῦ Ἀαρών, σεμνυνομένου τὸ τηνικαῦτα τῷ ἱερατικῷ ἀξιώματι, τῷ ἰσραηλιτικῷ λαῷ διεπόρθμευε, κατὰ ταῦτα καὶ ἡ βασιλεία μου τὸ παντὸς τιμώμενον τῆς βασιλείας χρῆμα λαβοῦσα παρὰ θεοῦ, ἣν ἔννομον ἀρχὴν οἱ πάλαι ὡρίσαντο, κἀντεῦθεν οὖσα νόμος ἔμψυχος ἀτεχνῶς, ὡς καὶ τὸ δόξαν ταύτῃ καθάπερ νόμον γραπτὸν καὶ λέγεσθαι καὶ πιστεύεσθαι, τὸν ἐντιμότατον ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεόδωρον διάκονον τῶν Σχουταριώτην ἄνδρα εὑροῦσα κατὰ τὴν παλαμηφορουμένην θεῷ καρδίαν αὐτῆς, καὶ πρὸς ταῖς ἄλλαις λογικαῖς ἐπιστήμαις καὶ τοὺς λόγους ἀκριβῶς μελετήσαντα, καὶ τῷ ἱερῷ καὶ θείῳ καταλόγῳ ἐμπρέποντα, τῇ τοῦ δικαιοφύλακος ἀξίᾳ τιμᾶν· χρεὼν γὰρ τὸν ἔκ τε θείων καὶ ἀποστολικῶν κανόνων, ἔκ τε τῶν νόμων, οὓς σοφοὶ ἄνδρες ἐξέθεντο, γνῶσιν εἰς τὰ μάλιστα συλλεξάμενον καὶ τῷ δικαιφυλακικῷ ἐνσεμνύνεσθαι ἀξιώματι. ὅθεν καὶ διορίζεται ἡ βασιλεία μου διὰ τῆς παρούσης αὐτῆς προστάξεως, διενεργεῖσθαι παρὰ τοῦ διαληφθέντος ἐντιμοτάτου ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεοδώρου διακόνου τοῦ Σχουταριώτου τὸ δικαιοφυλακικὸν ὀφφίκιον, μετὰ πάντων τῶν ἀπονενεμημένων αὐτῷ δικαίων καὶ καθὼς ἐνεργεῖτο καὶ παρὰ τῶν πάλαι κεκτημένον αὐτό, καὶ τῆς αὐτῆς ἐκείνης μετέχειν τοῦτον τιμῆς τε καὶ τάξεως, ἔν τε καθέδραις,

στάσεσι καὶ πᾶσιν ἄλλοις, καὶ ἐν τῷ εὐγεῖ κλήρῳ τῆς βασιλείας μου, πάσας τε τὰς ἀνέκαθεν προσαρμοθείσας τῷ τοιούτῳ ὀφφικίῳ κρίσεις διεξάγειν καὶ περατοῦν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' διὰ τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus scribit patriarchae Joseph, ut promoveat diaconum Theodorum Scutariotam ad altiorem dignitatem ecclesiasticam.

Ἕτερον πρόσταγμα σεπτὸν τοῦ κοσμοποθήτου κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δι' οὗ μοι καὶ τόπος ἀπεδόθη κἀν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τοῦ θεοῦ ἀνάλογος, εἰ καὶ διά τά τινων ἀπρεπῆ σκάνδαλα καὶ τὴν ἐν τῷ χορῷ τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἄφιλον στάσιν ἀπέκλινα, τὴν εἰρήνην αἱρετισάμενος· μετ' οὐ πολὺ δὲ καὶ σακελλίου ἐσφραγίσθην, καὶ τὸν τόπον τοῦ σακελλίου ἀπέλαβον.

† Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα· οἶδεν ἡ ἁγιωσύνη σου, ὡς ἀνεδέξατο ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα κῦρ Θεόδωρον τὸν Σκουταριώτην, καὶ οἵας καὶ ὅσης[1]) αὐτὸν ἀξιοῖ προσπαθείας καὶ οἰκειώσεως, τῆς τε περὶ τὰ θεῖα γνώσεως αὐτοῦ χάριν, καὶ τῆς περὶ τὰ πράγματα προσούσης τούτῳ εἰδημοσύνης καὶ ἀρετῆς. ἐπεὶ οὖν οὕτως αὐτὸν ἀνεδέξατο καὶ οὕτως ἔχει τοῦτον ἡ βασιλεία μου καὶ τοιούτῳ ἀξιώματι κατεκόσμησεν, οὐ δέον πάντως τὸ μὴ καὶ παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς τῶν συγκλητικῶν [ἀρχόντων] αὐτὸν ἀναλόγως μετέχειν τιμῆς τε καὶ τάξεως ἔν τε τῷ ἐκκλησιαστικῷ ὀφφικίῳ κἀν ταῖς καθέδραις καὶ στάσεσι· χρεὼν γὰρ τόν, ὃν ἡ βασιλεία μου κατὰ λόγον τιμᾷ, καὶ παρὰ τῆς ἁγιωσύνης σου κατ' ἴσον τιμᾶσθαι καὶ τὸν ἐν τῇ βασιλείᾳ κἀν τῇ συγκλήτῳ τίμιον καὶ παρὰ τῇ ἐκκλησίᾳ σου καὶ τῷ κλήρῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τιμῆς καταξιοῦσθαι τῆς κρείττονος· εἴ περ ἐπιστημονάρχης, σὺν θεῷ φάναι, τῆς ἐκκλησίας σου ἡ βασιλεία μου καὶ κατὰ κρίσιν οἰκονομεῖ τοὺς λόγους αὐτῆς· πρὸς τύπον δὲ τῶν βασιλικῶν καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὀφφικίων παρὰ τῶν ἀοιδίμων καὶ φιλευσεβῶν βασιλέων ἐτάχθησαν, καθὼς κἀν τῷ θείῳ ἰδίῳ τοῦ πρώτου τῶν Χριστιανῶν βασιλέως, μεγάλου καὶ ἁγίου Κωνσταντίνου, ὃ

[1]) πόσης Z.

πρὸς τὸν μακάριον ἐξέθετο Σίλβεστρον, οὐκ ἀσαφῶς, ἀλλ' ἄριστα τεθέσπισται, ἐ ᾧ καὶ ὀφεῖλον τῷ πρωτοτύπῳ ἐπακολουθεῖν τὰ πρὸς μίμησιν. διά τοι τοῦτο κ οἰκονομήσαιτο ἡ ἁγιωσύνη σου ἔχειν ἀπὸ τοῦ νῦν τὸν τοιοῦτον δικαιοφύλακα κα τῇ τοῦ θεοῦ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὀφφίκιον τῶν προβαθμίων καὶ ὑψηλ καὶ ὡς τῷ κλήρῳ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας καταλεγόμεν ἵστασθαι καὶ προκόπτειν μετὰ τὸν νῦν τιμιώτατον πρωτέκδικον τὸν Γεμιστόν, ἔν καὶ αὐτὸν ἀπὸ τῶν ἐξωκατακοίλων ἀπό γε τῆς σήμερον γνωριζόμενον, ἄτοπ γὰρ τὸν ἐν καθέδραις ταῖς μείζοσι καὶ προβαθμιαιτέραις τῶν ἐκκλησιαστικῶν ἁγίω σοφιτῶν ἀρχόντων ὡς τὸ εἰκὸς συντιμώμενον, μὴ κἂν τῇ ἐκκλησιαστικῇ στάσε καὶ προκοπῇ τὸν προσήκοντα τόπον ἔχειν καὶ τοῖς ἐξωκατακοίλοις συνίστασθαι κα τῆς αὐτῆς συμμετέχειν τούτων τιμῆς τε καὶ προκοπῆς. ἡ μὲν οὖν βασιλεία μου ἤδη τὰ περὶ τούτου προεδήλωσε τῇ ἁγιωσύνῃ σου, ᾗ καὶ ἔργον ἔσται, πρὸς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι τὸ τοιοῦτον τῆς βασιλείας μου θέλημα, ὡς θεάρεστόν τε καὶ δίκαιον· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου ἀπελύθη, ὀφεῖλον ἀντιστραφῆναι τῷ τιμιωτάτῳ δικαιοφύλακι κῦρ Θεοδώρῳ διακόνῳ τῷ Σχουταριώτῃ δι' ἀσφάλειαν †.

† Μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' †.

III. Inter 1275—1282.

Imperator Michaël Palaeologus condecorat metropolitam Cyzici, Theodorum Scutariotam, hypertimi dignitate.

Πρόσταγμα πρὸς τὸν Κυζίκου μητροπολίτην.

† Ἡ βασιλεία μου πρὸς τὴν πρῴην εὔκλειαν πρὸς τὰς χρυσᾶς ἐκείνας ἔννας καὶ εὐημερίας τάς τε πόλεις καὶ χώρας καὶ τὰς τοῦ θεοῦ ἐκκλησίας ἐπαναγαγεῖν ἐθέλουσα καὶ ἀναβιοῦν τὰ τῷ μακρῷ χρόνῳ γηράσαντα, καὶ εἰς ζῆλον τῶν προβεβασιλευκότων τῆς Ῥωμανίας ἀγαθῶν βασιλέων καὶ μεγαλουργῶν ἀνατρέχουσα, καὶ τὰ ἐκείνων ἔργα μεγαλουργὰ ἅμα δὲ καὶ θεῖα καὶ ἔνσεμνα ἐπειγομένη ἀνανεοῦν καὶ τὰ ἀπονενεμημένα ἀνέκαθεν τοῖς ἀρχιερεῦσι τῆς λαμπρᾶς τῆς Κυζίκου πόλεως ἐπίσημα τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυζίκου ἐχαρίσατο, τὸ κεκτῆσθαι τοῦτον δηλονότι τὸ ἐμπρέπον ὑπέρτιμον τοῖς θεσπεσίοις ἀρχιερεῦσί τε καὶ [μητροπολίταις] ἀξίωμα, καὶ τὸ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις μυσταγωγίαις τοῦτον ἀμπίσχεσθαι καὶ λαμπαδοῦχον προτρέχειν αὐτοῦ ἀνὰ πᾶσαν τὴν αὐτῆς ἐνορίαν. ἐφ' ᾧ καὶ διορίζεται ἡ βασιλεία μου, ὑπέρτιμον λέγεσθαι καὶ ὀνομάζεσθαι τὸν διαληφθέντα

τροπολίτην Κυζίκου, καὶ πᾶν τὸ ἀνέκαθεν προσαρμόσαν τῷ τοιούτῳ ἀξιώματι γνωμα ἔχειν κατὰ τὴν ἐπὶ τούτῳ συνήθειαν, ἐνδιδύσκεσθαι δὲ τοῦτον καὶ σάκκον ὶ πολυσταύριον ἐν ταῖς θείαις καὶ ἱεραῖς μυσταγωγίαις καὶ λαμπάδα φαίνουσαν προσθεν τούτου προάγεσθαι [ἀνὰ] πᾶσαν τὴν ἐνορίαν· φῶς γὰρ εἶναι τοῦ κόσμου ὡς μαθητὰς αὐτοῦ Χριστὸς ἀπεφήνατο, φαίνει δὲ καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ, ὁ γαπημένος αὐτῷ φησι μαθητής. κατὰ τοὺς κυριακοὺς οὖν μαθητὰς καὶ τοὺς ὑπὸ ν ὑπήκοον τῆς βασιλείας μου πᾶσαν γῆν ἀρχιερεῖς πεφωτισμένους εἶναι θέλουσα ὶ ἐν τῷ σκότει τοῦ βίου τούτου παμφαέστατα διὰ τῆς ἀρετῆς αὐτῶν φαίνειν ουλομένη, (ὡς ἀπὸ μιᾶς γάρ τινος οὐρανομήκους κλίμακος τῶν ὑπηρετῶν τοῦ όγου καὶ μαθητῶν τὸ μέγα τῆς ἀρχιερωσύνης χρῆμα καὶ πρᾶγμα καὶ εἰς αὐτοὺς αταβέβηκεν), εἰκότως καὶ φῶς τοῦ ἱερωτάτου αὐτοῦ μητροπολίτου Κυζίκου προ-χορεύεσθαι κέκρικε, καὶ τὰ ἄλλα δὲ ἐπίσημα αὐτῷ ἐδωρήσατο διὰ τῆς παρούσης ὐτῆς προστάξεως, ἥτις καὶ γεγονυῖα ἐπεδόθη αὐτῷ, ὀφείλουσα ἐγκαταστρωθῆναι[1]) καὶ οῖς τοῦ ἱεροῦ χαρτοφύλακος χαρτίοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας †.

† Εἶχε τό· μηνὶ . . . καὶ ἰνδικτιῶνι . . . δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς [καὶ θείας] χειρός †.

E codice manuscripto Gerasimi archiepiscopi edid. Rhalles et Potles, Coll. can. V. p. 326. Zachariae, Jus graeco-romanum, III. p. 590 et 598.

---

1) ἐπιγνωσθῆναι Z.

XII.

Acta varia.

I. 6472—964, mense augusto, ind. IX.

Patriarcha Polyeuctus declarat monasterium Sanctae Mariae dictum Philosophi situm prope Demetsanam esse stauropegium.

Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἴσον ἀπαραλλάκτως τοῦ ἴσου τοῦ πρωτοτύπου πατριαρχικοῦ παλαιγενοῦς σιγιλλιώδους γράμματος, ἐκβληθὲν παρὰ τοῦ παλαιοῦ καὶ ἀρχαίου κώδικος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὁραθέντος παρά τε τῆς ἡμῶν μετριότητος καὶ τῆς ὑπερτελεστάτης ἱερᾶς τῶν ἀρχιερέων συνόδου, τῶν ἐν ἁγίῳ πνεύματι ποθεινοτάτων ἀδελφῶν καὶ συλλειτουργῶν, τῶν καὶ κάτωθεν ὑπογραψόντων.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καὶ λιμένων μὲν κατασκευαὶ τοῖς ἐκ πελάγους χειμαζομένοις, οἰκιῶν τε καταστάσεις πρόξενοι ὑποδοχῆς, τἄλλα τε, ὅσα τοῖς ἀνθρώποις ἐπινενόηται πρὸς ἐπικουρίαν τῶν ἐνοχλούντων, πρᾶγμα τοῦτο λυσιτελὲς καὶ πολλὴν ὠφέλειαν ἐμποιοῦν τοῖς περὶ ταῦτα ἐσπουδακόσιν· ἀλλ' οὔπω πάντα ταῦτα τοσοῦτον ἐπωφελεῖ, ὅσον ἱερῶν οἴκων οἰκοδομαὶ καὶ προσόδων χορηγία πρὸς τοῦτο τὴν διαμονὴν αὐτῶν διασώζουσα. τὰ μὲν γὰρ κἂν τινα παρέχωνται τὴν ὠφέλειαν, ἀλλὰ περὶ τὸ σῶμα, καὶ μόνον τούτου ἡ θεραπεία, ἡ δέ γε τῶν ἱερῶν σύστασις καὶ ἀμφοτέροις τὴν ἐπικουρίαν ἐπάγει·' ψυχὰς γὰρ οἰκειοῖ τῷ θεῷ διὰ πράξεώς τε καὶ θεωρίας, ὧν ἑκάτερα τῷ μονήρει βίῳ κάλλιστα κατορθοῦνται ἐκ τῆς κοσμικῆς τῶν ἀνθρώπων ἀναχωρήσεως, καὶ τὰ τοῦ σώματος πάνυ ἐν ἀσφαλείᾳ τηρεῖ. τὴν γὰρ βιωτικὴν ἀποφυγὼν αὐτοτριχυμίαν, καὶ τῇ μονῇ προσδραμών, ἤδη γαληνιᾷ, ἐκ χειμῶνος τοῦ βίου τῷ μονήρει βίῳ καθορμιζόμενος· τοῖς γὰρ πρὸς ταῦτα σπουδὴν ποιουμένοις συναίρεσθαι καὶ ἡμῖν τῶν ἀναγκαίων ἂν εἴη. συναίρεται δ' εἰς τοῦτο οὐ μόνον ὁ κοινωνὸς πρωτουργῶν τῇ χορηγίᾳ τῶν ἀναγκαίων, ἀλλὰ καὶ πᾶς τις ἄλλος, ὃς ἂν δυνηθῇ τι πραγματεύσασθαι ταῖς μοναῖς. ὃ δὲ πρὸ τῶν ἄλλων ἂν εἴη, εἴ τις τὰ προσόντα ταύταις κειμήλια ἐπ–

ασφαλῆ μένειν παρασκευάσειε, τοὺς δὲ τὸ πρότερον αὐτὰς δειμαμένους κἀκεῖνα ταύταις ἀφιερώσαντας εἰς ἐγκώμιον οὐκ ἔλαττον. οἱ μὲν γὰρ προσῆξαν αὐτὰς τῷ θεῷ, οἱ δὲ τὴν ἀσφάλειαν τούτων ἐπραγματεύσαντο. ὅπερ οὐκ ἂν ἄλλοθέν περ γένοιτο, ἢ ἐκ χρυσοβούλλων λόγων καὶ πατριαρχικῶν σιγιλλίων, δυναμένων πολλῷ γε τῷ περιιόντι τὰς ὁρμὰς τῶν πλεονεκτῶν ἀναστέλλειν καὶ τὴν ἐλευθερίαν αὐταῖς παρέχειν, ὡς ἡ πρόθεσις ἦν ἐξ ἀρχῆς τῶν αὐτὰς δειμαμένων, οὐ μὴν ἀλλὰ καὶ τιμῶν πνευματικῶν ἀξιοῦσθαι δεῖ παρ' ἡμῶν, ἅτε τῆς πρὸς αὐτὰς τιμῆς ἐπὶ τὸν κτίτορα τούτων παραπεμπούσης τὸν ἔπαινον, ἐξ ὧν τήν τε προθυμίαν αὐτῶν ἐστιν ἐπαυξῆσαι καὶ ἄλλους πρὸς τὸν ὅμοιον ζῆλον διερεθίσαι. εἰς τοῦτο δὲ τείνει τὰ τοῦ σκοποῦ. ἐπειδὴ τοίνυν καὶ ὁ οἰκεῖος τοῦ κρατίστου καὶ ἁγίου μου βασιλέως καὶ αὐτοκράτορος κυρίου Νικηφόρου τοῦ Φωκᾶ, τοῦ ἐν ἁγίῳ πνεύματι ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, κύριος Ἰωάννης Λαμπαρδόπουλος, φιλόσοφος, πρωτοσυκρήτης, ἅτε φύσεως ὢν ἀγαθῆς καὶ πολλὴν περὶ τὰ θεῖα ποιούμενος τὴν φροντίδα, ζῆλόν τε ἀναλαβὼν ἔνθεον καὶ διάπυρον ἔρωτα, φιλοτίμῳ χρησάμενος χειρί, ἀνήγειρεν ἐκ βάθρων μονὴν ἱερὰν ἐν τῇ Πελοποννήσῳ, τῇ ἐπαρχίᾳ τῆς μητροπόλεως Παλαιῶν Πατρῶν, κατὰ τὴν ἐνορίαν τῆς ἐπισκοπῆς Λακεδαιμονίας, πλησίον χώρας Δημηστάνης, ἐν τῇ τοποθεσίᾳ τῆς Μονοπόρου, ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἣν διὰ τὴν τοῦ φιλοσόφου ἐπωνυμίαν μονὴν τοῦ Φιλοσόφου ἐκάλεσαν μετὰ ταῦτα, πρὸς καταμονὴν μοναζόντων ἀνδρῶν καὶ θεῷ ἀφιερωμένων ψυχικῆς αὐτοῦ σωτηρίας ἕνεκα· ναόν τε παρακείμενον καὶ φιλότιμον κατασκεύασεν ἐν αὐτῇ καὶ κελλίων οἰκοδομὰς καὶ ἄλλα τινὰ ἐργασάμενος πρὸς θεραπείαν καὶ ἀνάπαυσιν τῶν εὑρισκομένων ἐν αὐτῇ ψυχῶν, ἔτι δὲ καὶ ἱερὰ κειμήλια καὶ προσενέξεις, τὰς μὲν ἰδιοποιήσας, τὰς δὲ καὶ μετὰ ταῦτα μέλλων προσηλῶσαι ἐν αὐτῇ· ἠξίωσε τὰ νῦν, ἵνα καὶ παρὰ τῆς ἡμῶν μετριότητος τύχῃ σιγγιλιώδους γράμματος ἐπὶ τῷ καθιερωθῆναι μὲν ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ, εὑρίσκεσθαι δὲ καὶ εἰς τὸ ἑξῆς ἐπὶ τὴν [τῆς] πατριαρχείας[1]) περιωπὴν ἀκαταδούλωτόν τε καὶ ἀκαταπάτητον ὑπό τε τοῦ κατὰ καιροὺς εὑρισκομένου ἐκεῖσε μητροπολίτου Παλαιῶν Πατρῶν καὶ τοῦ ἐπισκόπου αὐτοῦ Λακεδαιμονίας, ὡς μηδεμίαν ἐχόντων ἐν αὐτῷ ἄδειαν ἢ ἀνάκρισιν ποιεῖν ἢ ἀπαιτεῖν παρ' αὐτοῦ τὸ τυχόν. ἰδοὺ τὴν τούτου αἴτησιν προσδεξαμένη ἡ μετριότης ἡμῶν, ὡς θεοφιλῆ καὶ καθάπαξ σκοποῦ μετέχουσαν ἀγαθοῦ, τὸ παρὸν σιγιλλιῶδες γράμμα ἐπιχορηγεῖ τῇ αὐτῇ μονῇ, δι' οὗ δὴ καὶ διορίζεται καὶ ἀποφαίνεται, ἵνα ἡ τοιαύτη θεία μονὴ τῆς Παναγίας μου τοῦ Φιλοσόφου, ἡ

---

[1]) Legendum videtur: ἐπὶ τὴν πατριαρχικὴν περιωπήν.

ἀρτίως ἀνεγερθεῖσα ἐκ βάθρων αὐτῶν παρὰ τοῦ προειρημένου ἄρχοντος Φιλοσόφου τοῦ πρωτασηκρήτου, εὑρίσκηται ἅμα τοῖς μετοχίοις αὐτῆς ὡς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνοικοδομηθεῖσα, ὑπὸ τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ μνημονεύῃ τοῦ ὀνόματος αὐτοῦ, ὥστε μήτε ἄδειαν ἔχειν τὸν κατὰ καιροὺς μητροπολίτην Παλαιῶν Πατρῶν ἢ τὸν ἐπίσκοπον αὐτοῦ Λακεδαιμονίας, μήτε ἕτερόν τινα τῶν ἐν τῇ Πελοποννήσῳ μητροπολιτῶν μετ' ἐξουσίας ἰδίας καὶ αὐθεντείας εἰσέρχεσθαι ἐν αὐτῇ, ἱερατικόν τι διαπράξασθαι ἢ ἀπατεῖν τὸ σύνολον ἀπ' αὐτῆς, ἀλλὰ καθάπαξ εὑρίσκεσθαι τοὺς τοιούτους ἐκκωλυομένους, ὀφείλοντος μόνου τοῦ κατὰ καιροὺς πατριαρχικοῦ ἐξάρχου κρίνειν καὶ θεωρεῖν πᾶσαν ἐμπίπτουσαν ἐκκλησιαστικὴν ὑπόθεσιν καὶ διορθοῦν ταῦτα κανονικῶς καὶ νομίμως καὶ ὡς φίλον θεῷ. οἱ δὲ ἐκεῖσε συνήθως εὑρισκόμενοι ψάλλοντες ἱερεῖς ὑπάρχωσι καὶ οὗτοι ὡς πατριαρχικοὶ ἐλεύθεροι καὶ ἀκαταδούλωτοι, ἔτι δὲ καὶ ἀναπαίτητοι καὶ ἀνεξέταστοι ὑπὸ πάντων τῶν ἐν [τῇ] Πελοποννήσῳ μητροπολιτῶν, ὑπόκηνται δὲ μόνον καὶ αὐτοὶ τῇ ἡμῶν μετριότητι καὶ τῷ κατὰ καιροὺς πατριάρχῃ καὶ πατριαρχικῷ ἐξάρχῳ, καὶ παρ' αὐτοῦ ἀνακρίνωνται καὶ ἐξετάζωνται νομίμως καὶ κανονικῶς. τὴν δὲ οἰκονομίαν καὶ διοίκησιν πάντων [τῶν κτημάτων] τῆς τοιαύτης μονῆς ἔχῃ μόνος ὁ κατὰ καιροὺς ἡγούμενος, ὅστις καὶ ὀφείλει ἐκλέγεσθαι ἐκ μέσου τῆς ἀδελφότητος καὶ ἀποκαθίστασθαι εἰς τὴν ἡγουμενίαν. πρὸς τούτοις δέ, ὅτε χρεία χειροτονίας γενήσεται αὐτοῖς, προσκαλῶνται ἕνα τινὰ τῶν ἀρχιερέων, ὃν ἂν ἐθέλωσιν, σφραγίζειν καὶ χειροτονεῖν ἀναγνώστας καὶ ὑποδιακόνους καὶ πρεσβυτέρους καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν χωρὶς τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, μηδενὸς ἐναντιουμένου περὶ τούτου ἢ ἀντιλέγοντος ἐν ἀργίᾳ καὶ ἀφορισμῷ. ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν σιγγιλιῶδες γράμμα, καὶ ἐπεδόθη τῇ διαλειφθείσῃ μονῇ τῆς Παναγίας μου τοῦ Φιλοσόφου τῇ πατριαρχικῇ καὶ σταυροπηγιακῇ †.

† Ἐν ἔτει ͵ϛυοβ' μηνὶ αὐγούστῳ ἰνδ. θ' †.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐν ἔτει ͵ζρλβ' ἰουνίῳ μηνὶ ἰνδ. ζ' †.

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Primus edidit Euthymios Kastorches in libro: Περὶ τῆς ἐν Δημητσάνῃ ἑλληνικῆς σχολῆς καὶ περὶ τῶν καθιδρυτῶν καὶ πρώτων αὐτῆς διδασκάλων. *Athenis. 1847. Iterum Ludov. Ross in ephemeridibus, quibus titulus: „Hallische Literaturzeitung", 1849. I. p. 811.*

II. 6615—1106, mense septembri, [ind. XV.].

Imperator Alexius Comnenus donat monasterio Transfigurationis in monte Sagmata Boeotiae partem Santae Crucis et lacum Ungriae, liberatque monachos a tributis.

† Ἀλέξιος Κομνηνὸς θείῳ ἐλέει βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων †.

† Ἐπειδήπερ παρὰ τῶν ἐνδημούντων ταύτῃ τῇ κραταιᾷ καὶ θεοφυλάκτῳ βασιλευούσῃ τῶν πόλεων ἀπὸ τῆς κατὰ Βοιωτίαν τῆς Ἑλλάδος ἐπαρχίας ἱκανῶς ἐπληροφορήθημεν, ὅτι ἐν αὐτῇ ὄρος Σαγματᾶ καλούμενον ὑπάρχει, ἐν ᾧ καὶ μονὴ ἱερὰ καὶ σεβάσμιος, πατέρων τε συλλογὴ οὐκ εὐαρίθμητος θεοπρεπῶς καὶ θεαρέστως ἀσκουμένων, εἰς τιμὴν δὲ καὶ ἐγκαίνια τῆς ἐνδόξου καὶ φρικτῆς τοῦ Σωτῆρος Μεταμορφώσεως τιμωμένη, κρείττονι νεύσει καὶ προμηθείᾳ διαναστάντες ἠβουλήθημεν ἀναθήματι θείῳ καὶ πολυτίμῳ αὐτὴν σεμνῦναι, καὶ δὴ ἐκ τοῦ ἐνυπάρχοντος τῷ ἡμετέρῳ θησαυροφυλακείῳ τιμίου ξύλου ἀφιερώσαμεν μέρος, ὅπερ ὀρθίως τὴν τοῦ λιχανοῦ ἐπιμέτρησιν ἀποτελεῖ, ἐγκαρσίως δὲ τὴν τοῦ ἀντίχειρος, τὸ πάχος πάλιν δακτύλου ἡμίσεως, στάθμῃ δὲ ἐπιθέμενον τὸ τῶν ὀκτὼ καὶ ἡμίσεως δραχμῶν ποσὸν ἐπαγγέλλεται, καὶ τοῦτο εἰς ἀείμνηστον ἡμῶν καὶ εἰς ἀεὶ διαμένον μνημόσυνον, διόπερ καὶ εἰς ἀναντίρρητον τῆς ἀληθείας ἔνδειξιν χρυσοβούλλῳ ἡμετέρῳ καισαρικῷ ἠσφαλισάμεθα τὸ ἀνάθημα, καὶ τὴν ἱερὰν μονὴν βασιλικῇ τιμῇ ἐνεκαλλωπίσαμεν, καὶ τὴν λίμνην κατὰ τὴν Οὐγκρίαν κειμένην τῇ μονῇ παρεδώκαμεν, τούς τε πατέρας ἀφορολογήτους ἐψηφισάμεθα. καὶ δέδοται ἐν τῷ ἡμετέρῳ παλατίῳ εἰς ἔνδειξιν †.

͵αρς′ ἐν μηνὶ σεπτεμβρίῳ.

Editum in ephemeridibus inscriptis: Εὐαγγελικὴ σάλπιγξ, *15. mensis aprilis 1838, et a* **Ross** *et* **Schmeller** *in dissertatione: „Urkunden zur Geschichte Griechenlands im Mittelalter". Abhandlungen der philos. philol. Cl. der k. bayerischen Akademie der Wissenschaften. 1837. Bd. II., p. 155. Diploma spurium. Vide observationes in fine voluminis.*

III. 6797—1289, mense martio, ind. II.

Imperator Andronicus II. confirmat possessiones monasterii Sanctae Mariae Eleusae dicti Lycusadis prope Phanarium.

† Οὐδὲν τῆς ἀληθείας ἐπικρατέστερον καὶ οὐδὲν τῆς κατ' αὐτὴν ἐπιγνώσεως ἀνθρώποις ἐπαινετώτερον· οἱ γὰρ ἐφ' ἑκάστῳ τῶν πραγμάτων τοῦ ὄντος κατ' ἀλη-

θειαν γινόμενοι ἐπιγνώμονες τὸ καλὸν ἂν πάντως ἐπὶ πᾶσι προέλοιντο καὶ οὐδέποτ' ἂν ἐκπέσαιεν τοῦ συμφέροντος· ἀλλὰ κἂν ἑαυτοῖς προσπορίσασθαί τι δέῃ τῶν ὠφελούντων, κἂν ἑτέροις οἷς τι προμηθείας οὗτοι μεταδιδόναι σπουδάζουσι, τοῦ ἀκριβοῦς ὑπάρχει τοιούτου κατευστοχεῖν. τοῦτο τοῖς συνετωτέροις τῶν ἀνθρώπων ἐν οἷσπερ ἂν ποιῶσι παρακολουθεῖν εἰωθὸς οὐχ ἧττον ἔστι διαγνῶναι καὶ τῆς τὴν παροῦσαν εἰσενεγκαμένης αἴτησιν ταῖς πράξεσι παρεπόμενον, τῆς μιᾶς δὴ ταύτης προσμαρτυρούσης καὶ ταῖς ἄλλαις τῶν πράξεων· τὸ γὰρ προσὸν ἀπὸ θεοῦ τῇ βασιλείᾳ δικαίωμα μέγα μὲν ἐν τοῖς κατὰ γῆν γνωρίζεται ἅπασιν, οὐ μὴν ὅτι πρόδηλον αὐτῷ τὸ περίοπτον, οὐκ ἐπαινετέοι παρὰ τοῦτο κριθήσονται οἱ καὶ λογιζόμενοι τὸν ὄγκον καὶ τὸ ἐπιβάλλον αὐτῷ τῆς ὀφειλῆς ἀποσώζοντες ἐν τῷ τὴν ὑποταγὴν ἀποδιδόναι καὶ ἔργοις οἷον συνεπιψηφίζεσθαι τῆς ἐξουσίας τῷ ὑπερέχοντι. τοῦτο δὴ τὸ τῆς ἀρχῆς τῆς ἡμετέρας δικαίωμα, καὶ εἰς μεῖζον μὲν ἦν διηρμένον τὰ πρότερα, ἀφοῦπερ πρὸς τὴν ἡμετέραν ταύτην ἀρχὴν ὁ πηξάμενος αὐτὴν καὶ συστησάμενος δημιουργὸς καὶ συνοχεὺς τοῦ παντὸς ἐκεῖνο ἐνιδὼν ἱλέῳ βλέμματι εἴρηκε· „πλάτυνον τὰ σχοινίσματά σου. ἔτι ἐκπέτασον ἐπὶ δεξιὰ καὶ ἀριστερά· πῆξον καὶ μὴ φείσῃ τῶν αὐλαιῶν": καὶ μέντοι καὶ ἐξετέλεσε καὶ διήγαγεν ἐπὶ πολλαῖς, ὅτι κρατυνομένη καὶ αὐξομένη περιόδοις ἐτῶν καὶ τῶν χεῖρα ὁτεδήποτε πειρασαμένων ἀνταῖραι κατευμεγεθοῦσα περιεγίνετο. εἶτα ἐκκαυθείσης ἄνωθεν ὀργῆς διὰ παιδείαν πάντως συμφέρουσαν, βήματι τὸ δὴ λεγόμενον ἐκινήθη καὶ μεταπεπτώκει πρὸς τὸ χεῖρον τὰ πράγματα καὶ ἡ ἀρχὴ ἐς τὸ βραχύτατον συνεστάλη· καὶ ἐπὶ μετρίοις ὅροις συνεληλαμένη ἐδείκνυτο· πρὸς γάρ τοι τοῖς ἄλλοις, μᾶλλον δέ γε πρὸ τῶν ἄλλων καὶ αὐτῆς ἐξεπεπτώκει τῆς βασιλευούσης τῶν πόλεων, ἕως ὁ παιδεύων ἄχρι τοῦ ἰάσασθαι μόνον καὶ εἰς τέλος μὴ παραδιδούς, οὐδ' ἵνα πλήξῃ πλήττων, ἀλλ' ἵνα πρὸς τὸ κρεῖττον μετάθηται, τά τε ἄλλα τῶν τῆς ἀρχῆς ἐξερρυηκότων καὶ αὐτὴν τὴν βασιλεύουσαν ἐπανεσώσατο πόλιν, καὶ ἐπὶ τὸ κρεῖττον αὖθις τῇ αὐτοῦ καὶ ἀρωγῇ καὶ συνάρσει, τὰ τῆς ἀρχῆς ἐπανέδραμε. τότε δὴ ἐν τῇ κινήσει τῶν πραγμάτων ἐκείνῃ, ᾗ τὰ δυσχερῆ ἐπλεόνασε, τότε πρὸς πολλοὺς πολλὰ τῶν τῆς ἀρχῆς μεταπέπτωκε, καὶ ἔτι δὴ ἐς τὸ παρὸν πόλεων τινὲς καὶ χωρῶν ἔστιν οἷς τῶν τότε κατασχόντων ὡς εἰς ἰδιάζουσάν τινα τὴν δεσποτείαν κατέχονται, ἀλλ' ὑποκύπτουσι τῷ ἡμετέρῳ κράτει καὶ τὴν ὑποταγὴν δικαίως ἀσπάζονται. ἡ μέντοι τῷ περιποθήτῳ συμπενθέρῳ τῆς βασιλείας μου, τῷ σεβαστοκράτορι ἐκείνῳ Κομνηνῷ κυρῷ Ἰωάννῃ τῷ Δούκᾳ κατὰ κόσμον χρηματίσασα σύζυγος, εἶτα τὸν μοναδικὸν ζυγὸν ὑποδῦσα Κομνηνὴ κυρὰ Ὑπομονὴ ἡ Δούκαινα, τὸ τῆς βασιλείας καλῶς ἐπεγνωκυῖα δικαίωμα, καὶ ὡς οὐκ ἔστιν ἐν βεβαίῳ τὴν τῶν προσόντων ἀποφέρεσθαι κτῆσιν, οὔτε μὴν καθ' ἕνα τῶν ἐν βίῳ, οὔτε μοναστῶν καταγώγιον, εἰ μὴ τὸ

κῦρος ἐπιθείη τούτοις βασιλικὰ διατάγματα, διαπέμπεταί τε πρὸς τὴν ἡμετέραν βασιλείαν, καὶ τῇ παρ' αὐτῆς συστάσῃ σεβασμίᾳ μονῇ τὸ κῦρος τῶν ἐνυπαρχόντων αἰτεῖται διὰ χρυσοβούλλου προσγενέσθαι τῆς βασιλείας μου. ἔστι μὲν οὖν ἡ οἰκοδομηθεῖσα αὕτη καὶ συστᾶσα παρὰ ταύτης μονὴ πλησίον που διακειμένη τοῦ ἄστεος, ὃ Φανάριον ὀνομάζεται, τιμᾶται δὲ ἐπ' ὀνόματι τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης, καὶ ἐπικέκληται οὕτω πως τῆς Λυκουσάδος· ἃ δὲ αὐτῇ τῇ μονῇ προσήρμοσε κτήματα, ἐκεῖ μὲν ὁπουδήποτε τυγχάνουσι διακείμενα, καὶ ταῦτα δέ γε κατωτέρω ἐξ ὀνόματος δηλωθήσεται. τῇ τοιαύτῃ τοιγαροῦν αἰτήσει αὐτῆς οὐκ ἔγνω δέον εἶναι ἡ βασιλεία μου ὑπέρθεσίν τινα δοῦναι καὶ μὴ παραυτὰ τῷ τέλει ἐναγαγεῖν, ἀλλὰ τῆς εὐγνωμοσύνης ὥσπερ ἀμειβομένη ταύτην καὶ τῆς τοῦ καλοῦ ἐπιγνώσεως ἑτοιμότατα κατανεύει πρὸς τὸ αἰτούμενον, καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπορέγει αὐτῇ, δι' οὗ καὶ εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται κατέχεσθαι παρὰ τῆς διαληφθείσης σεβασμίας μονῆς τὰ παρὰ τῆς εἰρημένης συζύγου τοῦ μνημονευθέντος σεβαστοκράτορος προσαρμόσαντα αὐτῇ ὁποιαδήτινα κτήματα, ἃ δὴ καὶ κατὰ μέρος οὕτως ἐπ' ὀνόματος ἔχουσι· χωρίον ἡ Λυκουσάδα, ἐν ᾧ καὶ ἡ τοιαύτη ἀνηγέρθη μονή. ἕτερον χωρίον ἡ Βατουσιάνη. τὸ περὶ τὰ Τρίκκαλα χωρίον, ὅπερ εὑρίσκεται κατέχουσα ἡ μονὴ μετὰ τοῦ ἐκεῖσε λουτροῦ. μετόχιον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου ἐπιλεγόμενον ἡ Ῥάξα μετὰ τῶν ἐν αὐτῷ παροίκων τῶν διαλαμβανομένων κατ' ὄνομα ἐν τοῖς προσοῦσιν αὐτῷ δικαιώμασιν, ἔτι δὲ καὶ τῆς κατεχομένης παρ' αὐτοῦ τοῦ μετοχίου γῆς καὶ τῶν μυλοθεσίων καὶ ἀμπελίων. ἕτερον μετόχιον ὁ Τριστενίκος εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Γεωργίου. ἕτερον εἰς ὄνομα τοῦ ἁγίου Ἀνδρέου μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ἀμπελίων καὶ τῆς προστεθείσης ἀρτίως γῆς Βλαχοκατοῦνα ἡ ἐπιλεγομένη Πρακτικάτου. χωρίον ἡ Γοριάνη μετὰ τῶν ἐν αὐτῷ μυλοθεσίων καὶ ἀμπελίων. εἰς τὴν λίμνην τοῦ Ἐζεροῦ σανδάλια δύο μετὰ καὶ ἁλιέων δύο. μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Δημητρίου ἐν τῷ θέματι Βουναίνης διακείμενον μετὰ τῶν ἐν αὐτῷ παροίκων, ἀλλὰ δὴ καὶ τῶν ἀμπελίων καὶ μυλοθεσίων. ἔτι τε εἰς τὸν τόπον τοῦ Ἁλμυροῦ χωρίον ἡ Μαγοῦλα καὶ οἱ Σιμισαρᾶτοι λεγόμενοι σὺν τῇ ἐκεῖσε γῇ τῶν Λεβαχάτων καὶ Ταρωνάτων. ἃ δὴ πάντα καθέξει ἡ εἰρημένη σεβασμία μονὴ τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης κατὰ δεσποτείαν καὶ νομὴν ἀναφαίρετον, ὡς κατὰ μέρος διαλαμβάνονται ἐν τοῖς γεγονόσιν ἐπ' αὐτοῖς πρακτικοῖς, ἔτι δὲ καὶ ὡς προσεκυρώθησαν καὶ προσετέθησαν ταύτῃ παρὰ τῆς διαληφθείσης συζύγου τοῦ δηλωθέντος σεβαστοκράτορος, καὶ νεμηθήσεται αὐτὰ ἀνενόχλητα, ἀδιάσειστά τε καὶ ἀναπόσπαστα εἰς ἅπαντα τὸν ἑξῆς

XI.

Privilegia Theodoro Scutariotae concessa.

I. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus diacono Theodoro Scutariotae confert dignitatem dicaeophylacis.

Ὁρισμὸς τοῦ βασιλέως [Μιχαὴλ Δούκα Ἀγγέλου] Κομνηνοῦ [τοῦ Παλαιολόγου] πρὸς [Θεόδωρον] τὸν Σκουταριώτην γεγονότα [μητροπολίτην] Κυζίκου. ὁρισμὸς προσκυνητὸς τοῦ κραταιοῦ καὶ θεοστεφοῦς ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅτε με τῷ τοῦ δικαιοφύλακος ἐτίμησεν ἀξιώματι.

† Μιμεῖται καὶ Μωϋσῆν ἐκεῖνον ἡ βασιλεία μου τὸν δημαγωγόν, καὶ πρὸς τὸν τῆς νομοθεσίας ἐκείνου ζῆλον ὡς ἐφικτὸν ἀπευθύνεται· ὡς γὰρ ἐκεῖνος τὸν δακτύλῳ θεοῦ γραφέντα νόμον ἐγχειρισθεὶς διὰ τοῦ Ἀαρών, σεμνυνομένου τὸ τηνικαῦτα τῷ ἱερατικῷ ἀξιώματι, τῷ ἰσραηλιτικῷ λαῷ διεπόρθμευε, κατὰ ταῦτα καὶ ἡ βασιλεία μου τὸ παντὸς τιμώμενον τῆς βασιλείας χρῆμα λαβοῦσα παρὰ θεοῦ, ἣν ἔννομον ἀρχὴν οἱ πάλαι ὡρίσαντο, κἀντεῦθεν οὖσα νόμος ἔμψυχος ἀτεχνῶς, ὡς καὶ τὸ δόξαν ταύτῃ καθάπερ νόμον γραπτὸν καὶ λέγεσθαι καὶ πιστεύεσθαι, τὸν ἐντιμότατον ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεόδωρον διάκονον τῶν Σκουταριώτην ἄνδρα εὑροῦσα κατὰ τὴν παλαμηφορουμένην θεῷ καρδίαν αὐτῆς, καὶ πρὸς ταῖς ἄλλαις λογικαῖς ἐπιστήμαις καὶ τοὺς λόγους ἀκριβῶς μελετήσαντα, καὶ τῷ ἱερῷ καὶ θείῳ καταλόγῳ ἐμπρέποντα, τῇ τοῦ δικαιοφύλακος ἀξίᾳ τιμᾶν· χρεὼν γὰρ τὸν ἔκ τε θείων καὶ ἀποστολικῶν κανόνων, ἔκ τε τῶν νόμων, οὓς σοφοὶ ἄνδρες ἐξέθεντο, γνῶσιν εἰς τὰ μάλιστα συλλεξάμενον καὶ τῷ δικαιφυλακικῷ ἐνσεμνύνεσθαι ἀξιώματι. ὅθεν καὶ διορίζεται ἡ βασιλεία μου διὰ τῆς παρούσης αὐτῆς προστάξεως, διενεργεῖσθαι παρὰ τοῦ διαληφθέντος ἐντιμοτάτου ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεοδώρου διακόνου τοῦ Σκουταριώτου τὸ δικαιοφυλακικὸν ὀφφίκιον, μετὰ πάντων τῶν ἀπονενεμημένων αὐτῷ δικαίων καὶ καθὼς ἐνεργεῖτο καὶ παρὰ τῶν πάλαι κεκτημένον αὐτό, καὶ τῆς αὐτῆς ἐκείνης μετέχειν τοῦτον τιμῆς τε καὶ τάξεως, ἔν τε καθέδραις,

στάσεσι καὶ πᾶσιν ἄλλοις, καὶ ἐν τῷ εὐχγεῖ κλήρῳ τῆς βασιλείας μου, πάσας τε τὰς ἀνέκαθεν προσαρμοθείσας τῷ τοιούτῳ ὀφφικίῳ κρίσεις διεξάγειν καὶ περατοῦν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ′ διὰ τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus scribit patriarchae Joseph, ut promoveat diaconum Theodorum Scutariotam ad altiorem dignitatem ecclesiasticam.

Ἕτερον πρόσταγμα σεπτὸν τοῦ κοσμοποθήτου κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δι' οὗ μοι καὶ τόπος ἀπεδόθη κἀν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τοῦ θεοῦ ἀνάλογος, εἰ καὶ διὰ τά τινων ἀπρεπῆ σκάνδαλα καὶ τὴν ἐν τῷ χορῷ τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἄφιλον στάσιν ἀπέκλινα, τὴν εἰρήνην αἱρετισάμενος· μετ' οὐ πολὺ δὲ καὶ σακελλίου ἐσφραγίσθην, καὶ τὸν τόπον τοῦ σακελλίου ἀπέλαβον.

† Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα· οἶδεν ἡ ἁγιωσύνη σου, ὡς ἀνεδέξατο ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα κῦρ Θεόδωρον τὸν Σκουταριώτην, καὶ οἵας καὶ ὅσης[1]) αὐτὸν ἀξιοῖ προσπαθείας καὶ οἰκειώσεως, τῆς τε περὶ τὰ θεῖα γνώσεως αὐτοῦ χάριν, καὶ τῆς περὶ τὰ πράγματα προσούσης τούτῳ εἰδημοσύνης καὶ ἀρετῆς. ἐπεὶ οὖν οὕτως αὐτὸν ἀνεδέξατο καὶ οὕτως ἔχει τοῦτον ἡ βασιλεία μου καὶ τοιούτῳ ἀξιώματι κατεκόσμησεν, οὐ δέον πάντως τὸ μὴ καὶ παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς τῶν συγκλητικῶν [ἀρχόντων] αὐτὸν ἀναλόγως μετέχειν τιμῆς τε καὶ τάξεως ἔν τε τῷ ἐκκλησιαστικῷ ὀφφικίῳ κἀν ταῖς καθέδραις καὶ στάσεσι· χρεὼν γὰρ τόν, ὃν ἡ βασιλεία μου κατὰ λόγον τιμᾷ, καὶ παρὰ τῆς ἁγιωσύνης σου κατ' ἶσον τιμᾶσθαι καὶ τὸν ἐν τῇ βασιλείᾳ κἀν τῇ συγκλήτῳ τίμιον καὶ παρὰ τῇ ἐκκλησίᾳ σου καὶ τῷ κλήρῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τιμῆς καταξιοῦσθαι τῆς κρείττονος· εἴ περ ἐπιστημονάρχης, σὺν θεῷ φάναι, τῆς ἐκκλησίας σου ἡ βασιλεία μου καὶ κατὰ κρίσιν οἰκονομεῖ τοὺς λόγους αὐτῆς· πρὸς τύπον δὲ τῶν βασιλικῶν καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὀφφικίων παρὰ τῶν ἀοιδίμων καὶ φιλευσεβῶν βασιλέων ἐτάχθησαν, καθὼς κἀν τῷ θείῳ ἰδίῳ τοῦ πρώτου τῶν Χριστιανῶν βασιλέως, μεγάλου καὶ ἁγίου Κωνσταντίνου, ὃ

[1]) πόσης Z.

πρὸς τὸν μακάριον ἐξέθετο Σίλβεστρον, οὐκ ἀσαφῶς, ἀλλ' ἄριστα τεθέσπισται. ᾧ καὶ ὀφεῖλον τῷ πρωτοτύπῳ ἐπακολουθεῖν τὰ πρὸς μίμησιν. διά τοι τοῦτο οἰκονομήσαιτο ἡ ἁγιωσύνη σου ἔχειν ἀπὸ τοῦ νῦν τὸν τοιοῦτον δικαιοφύλακα τῇ τοῦ θεοῦ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὀφφίκιον τῶν προβαθμίων καὶ ὑψη καὶ ὡς τῷ κλήρῳ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας καταλεγόμεν ἵστασθαι καὶ προκόπτειν μετὰ τὸν νῦν τιμιώτατον πρωτέκδικον τὸν Γεμιστόν, καὶ αὐτὸν ἀπὸ τῶν ἐξωκατακοίλων ἀπό γε τῆς σήμερον γνωριζόμενον, ἅτε γὰρ τὸν ἐν καθέδραις ταῖς μείζοσι καὶ προβαθμιαιτέραις τῶν ἐκκλησιαστικῶν σοφιτῶν ἀρχόντων ὡς τὸ εἰκὸς συντιμώμενον, μὴ κἂν τῇ ἐκκλησιαστικῇ στάσ καὶ προκοπῇ τὸν προσήκοντα τόπον ἔχειν καὶ τοῖς ἐξωκατακοίλοις συνίστασθαι κ τῆς αὐτῆς συμμετέχειν τούτων τιμῆς τε καὶ προκοπῆς. ἡ μὲν οὖν βασιλεία μου ἤδ τὰ περὶ τούτου προεδήλωσε τῇ ἁγιωσύνῃ σου, ἣ καὶ ἔργον ἔσται, πρὸς ἔργ ἀγαγεῖν καὶ πληρῶσαι τὸ τοιοῦτον τῆς βασιλείας μου θέλημα, ὡς θεάρεστόν τ καὶ δίκαιον· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου ἀπελύθη ὀφεῖλον ἀντιστραφῆναι τῷ τιμιωτάτῳ δικαιοφύλακι κῦρ Θεοδώρῳ διακόνῳ τῷ Σκουταριώτῃ δι' ἀσφάλειαν †.

† Μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' †.

III. Inter 1275—1282.

Imperator Michaël Palaeologus condecorat metropolitam Cyzici, Theodorum Scutariotam, hypertimi dignitate.

Πρόσταγμα πρὸς τὸν Κυζίκου μητροπολίτην.

† Ἡ βασιλεία μου πρὸς τὴν πρῴην εὔκλειαν πρὸς τὰς χρυσᾶς ἐκείνας ἔννας καὶ εὐημερίας τάς τε πόλεις καὶ χώρας καὶ τὰς τοῦ θεοῦ ἐκκλησίας ἐπαναγαγεῖν ἐθέλουσα καὶ ἀναβιοῦν τὰ τῷ μακρῷ χρόνῳ γηράσαντα, καὶ εἰς ζῆλον τῶν προβεβασιλευκότων τῆς Ῥωμανίας ἀγαθῶν βασιλέων καὶ μεγαλουργῶν ἀνατρέχουσα, καὶ τὰ ἐκείνων ἔργα μεγαλουργὰ ἅμα δὲ καὶ θεῖα καὶ ἔνσεμνα ἐπειγομένη ἀνανεοῦν καὶ τὰ ἀπονενεμημένα ἀνέκαθεν τοῖς ἀρχιερεῦσι τῆς λαμπρᾶς τῆς Κυζίκου πόλεως ἐπίσημα τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυζίκου ἐχαρίσατο, τὸ κεκτῆσθαι τοῦτον δηλονότι τὸ ἐμπρέπον ὑπέρτιμον τοῖς θεσπεσίοις ἀρχιερεῦσί τε καὶ [μητροπολίταις] ἀξίωμα, καὶ τὸ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις μυσταγωγίαις τοῦτον ἀμπίσχεσθαι καὶ λαμπαδοῦχον προτρέχειν αὐτοῦ ἀνὰ πᾶσαν τὴν αὐτῆς ἐνορίαν. ἐφ' ᾧ καὶ διορίζεται ἡ βασιλεία μου, ὑπέρτιμον λέγεσθαι καὶ ὀνομάζεσθαι τὸν διαληφθέντα

ροπολίτην Κυζίκου, καὶ πᾶν τὸ ἀνέκαθεν προσαρμόσαν τῷ τοιούτῳ ἀξιώματι γνωμα ἔχειν κατὰ τὴν ἐπὶ τούτῳ συνήθειαν, ἐνδιδύσκεσθαι δὲ τοῦτον καὶ σάκκον πολυσταύριον ἐν ταῖς θείαις καὶ ἱεραῖς μυσταγωγίαις καὶ λαμπάδα φαίνουσαν προσθεν τούτου προάγεσθαι [ἀνὰ] πᾶσαν τὴν ἐνορίαν· φῶς γὰρ εἶναι τοῦ κόσμου ς μαθητὰς αὐτοῦ Χριστὸς ἀπεφήνατο, φαίνει δὲ καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ, ὁ απημένος αὐτῷ φησι μαθητής. κατὰ τοὺς κυριακοὺς οὖν μαθητὰς καὶ τοὺς ὑπὸ ὑπήκοον τῆς βασιλείας μου πᾶσαν γῆν ἀρχιερεῖς πεφωτισμένους εἶναι θέλουσα ἐν τῷ σκότει τοῦ βίου τούτου παμφαέστατα διὰ τῆς ἀρετῆς αὐτῶν φαίνειν υλομένη, (ὡς ἀπὸ μιᾶς γάρ τινος οὐρανομήκους κλίμακος τῶν ὑπηρετῶν τοῦ γου καὶ μαθητῶν τὸ μέγα τῆς ἀρχιερωσύνης χρῆμα καὶ πρᾶγμα καὶ εἰς αὐτοὺς εταβέβηκεν), εἰκότως καὶ φῶς τοῦ ἱερωτάτου αὐτοῦ μητροπολίτου Κυζίκου προρεύεσθαι κέκρικε, καὶ τὰ ἄλλα δὲ ἐπίσημα αὐτῷ ἐδωρήσατο διὰ τῆς παρούσης ντῆς προστάξεως, ἥτις καὶ γεγονυῖα ἐπεδόθη αὐτῷ, ὀφείλουσα ἐγκαταστρωθῆναι[1]) καὶ οῖς τοῦ ἱεροῦ χαρτοφύλακος χαρτίοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας †.

† Εἶχε τό· μηνὶ . . . καὶ ἰνδικτιῶνι . . . δι' ἐρυθρῶν γραμμάτων ῆς βασιλικῆς [καὶ θείας] χειρός †.

E codice manuscripto Gerasimi archiepiscopi edid. Rhalles et Potles, Coll. can. V. p. 326. Zachariae, Jus graeco-romanum, III. p. 590 et 598.

---

[1]) ἐπιγνωσθῆναι Z.

XII.

Acta varia.

I. 6472—964, mense augusto, ind. IX.

Patriarcha Polyeuctus declarat monasterium Sanctae Mariae dictum Philosophi situm prope Demetsanam esse stauropegium.

Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἴσον ἀπαραλλάκτως τοῦ ἴσου τοῦ πρωτοτύπου πατριαρχικοῦ παλαιγενοῦς σιγιλλιώδους γράμματος, ἐκβληθὲν παρὰ τοῦ παλαιοῦ καὶ ἀρχαίου κώδικος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὁραθέντος παρά τε τῆς ἡμῶν μετριότητος καὶ τῆς ὑπερτελεστάτης ἱερᾶς τῶν ἀρχιερέων συνόδου, τῶν ἐν ἁγίῳ πνεύματι ποθεινοτάτων ἀδελφῶν καὶ συλλειτουργῶν, τῶν καὶ κάτωθεν ὑπογραψόντων.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καὶ λιμένων μὲν κατασκευαὶ τοῖς ἐκ πελάγους χειμαζομένοις, οἰκιῶν τε καταστάσεις πρόξενοι ὑποδοχῆς, τἆλλα τε, ὅσα τοῖς ἀνθρώποις ἐπινενόηται πρὸς ἐπικουρίαν τῶν ἐνοχλούντων, πρᾶγμα τοῦτο λυσιτελὲς καὶ πολλὴν ὠφέλειαν ἐμποιοῦν τοῖς περὶ ταῦτα ἐσπουδακόσιν· ἀλλ' οὔπω πάντα ταῦτα τοσοῦτον ἐπωφελεῖ, ὅσον ἱερῶν οἴκων οἰκοδομαὶ καὶ προσόδων χορηγία πρὸς τοῦτο τὴν διαμονὴν αὐτῶν διασώζουσα. τὰ μὲν γὰρ κἂν τινα παρέχωνται τὴν ὠφέλειαν, ἀλλὰ περὶ τὸ σῶμα, καὶ μόνον τούτου ἡ θεραπεία, ἡ δέ γε τῶν ἱερῶν σύστασις καὶ ἀμφοτέροις τὴν ἐπικουρίαν ἐπάγει· ψυχὰς γὰρ οἰκειοῖ τῷ θεῷ διὰ πράξεώς τε καὶ θεωρίας, ὧν ἑκάτερα τῷ μονήρει βίῳ κάλλιστα κατορθοῦνται ἐκ τῆς κοσμικῆς τῶν ἀνθρώπων ἀναχωρήσεως, καὶ τὰ τοῦ σώματος πάνυ ἐν ἀσφαλείᾳ τηρεῖ. τὴν γὰρ βιωτικὴν ἀποφυγὼν αὐτοτρικυμίαν, καὶ τῇ μονῇ προσδραμών, ἤδη γαληνιᾷ, ἐκ χειμῶνος τοῦ βίου τῷ μονήρει βίῳ καθορμιζόμενος· τοῖς γὰρ πρὸς ταῦτα σπουδὴν ποιουμένοις συναίρεσθαι καὶ ἡμῖν τῶν ἀναγκαίων ἂν εἴη. συναίρεται δ' εἰς τοῦτο οὐ μόνον ὁ κοινωνὸς πρωτουργῶν τῇ χορηγίᾳ τῶν ἀναγκαίων, ἀλλὰ καὶ πᾶς τις ἄλλος, ὃς ἂν δυνηθῇ τι πραγματεύσασθαι ταῖς μοναῖς. ὃ δὲ πρὸ τῶν ἄλλων ἂν εἴη, εἴ τις τὰ προσόντα ταύταις κειμήλια ἐπ-

ασφαλῆ μένειν παρασκευάσειε, τοὺς δὲ τὸ πρότερον αὐτὰς δειμαμένους κἀκεῖνα ταύταις ἀφιερώσαντας εἰς ἐγκώμιον οὐκ ἔλαττον. οἱ μὲν γὰρ προσῆξαν αὐτὰς τῷ Θεῷ, οἱ δὲ τὴν ἀσφάλειαν τούτων ἐπραγματεύσαντο. ὅπερ οὐκ ἂν ἄλλοθέν περ γένοιτο, ἢ ἐκ χρυσοβούλλων λόγων καὶ πατριαρχικῶν σιγιλλίων, δυναμένων πολλῷ γε τῷ περιιόντι τὰς ὁρμὰς τῶν πλεονεκτῶν ἀναστέλλειν καὶ τὴν ἐλευθερίαν αὐταῖς παρέχειν, ὡς ἡ πρόθεσις ἦν ἐξ ἀρχῆς τῶν αὐτὰς δειμαμένων, οὐ μὴν ἀλλὰ καὶ τιμῶν πνευματικῶν ἀξιοῦσθαι δεῖ παρ' ἡμῶν, ἅτε τῆς πρὸς αὐτὰς τιμῆς ἐπὶ τὸν κτίτορα τούτων παραπεμπούσης τὸν ἔπαινον, ἐξ ὧν τήν τε προθυμίαν αὐτῶν ἐστιν ἐπαυξῆσαι καὶ ἄλλους πρὸς τὸν ὅμοιον ζῆλον διερεθίσαι. εἰς τοῦτο δὲ τείνει τὰ τοῦ σκοποῦ. ἐπειδὴ τοίνυν καὶ ὁ οἰκεῖος τοῦ κρατίστου καὶ ἁγίου μου βασιλέως καὶ αὐτοκράτορος κυρίου Νικηφόρου τοῦ Φωκᾶ, τοῦ ἐν ἁγίῳ πνεύματι ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, κύριος Ἰωάννης Λαμπαρδόπουλος, φιλόσοφος, πρωτοσυκρήτης, ἅτε φύσεως ὢν ἀγαθῆς καὶ πολλὴν περὶ τὰ θεῖα ποιούμενος τὴν φροντίδα, ζῆλόν τε ἀναλαβὼν ἔνθεον καὶ διάπυρον ἔρωτα, φιλοτίμῳ χρησάμενος χειρί, ἀνήγειρεν ἐκ βάθρων μονὴν ἱερὰν ἐν τῇ Πελοποννήσῳ, τῇ ἐπαρχίᾳ τῆς μητροπόλεως Παλαιῶν Πατρῶν, κατὰ τὴν ἐνορίαν τῆς ἐπισκοπῆς Λακεδαιμονίας, πλησίον χώρας Δημητσάνης, ἐν τῇ τοποθεσίᾳ τῆς Μονοπόρου, ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἣν διὰ τὴν τοῦ φιλοσόφου ἐπωνυμίαν μονὴν τοῦ Φιλοσόφου ἐκάλεσαν μετὰ ταῦτα, πρὸς καταμονὴν μοναζόντων ἀνδρῶν καὶ θεῷ ἀφιερωμένων ψυχικῆς αὐτοῦ σωτηρίας ἕνεκα· ναόν τε παρακείμενον καὶ φιλότιμον κατασκεύασεν ἐν αὐτῇ καὶ κελλίων οἰκοδομὰς καὶ ἄλλα τινὰ ἐργασάμενος πρὸς θεραπείαν καὶ ἀνάπαυσιν τῶν εὑρισκομένων ἐν αὐτῇ ψυχῶν, ἔτι δὲ καὶ ἱερὰ κειμήλια καὶ προσενέξεις, τὰς μὲν ἰδιοποιήσας, τὰς δὲ καὶ μετὰ ταῦτα μέλλων προσηλῶσαι ἐν αὐτῇ· ἠξίωσε τὰ νῦν, ἵνα καὶ παρὰ τῆς ἡμῶν μετριότητος τύχῃ σιγγιλιώδους γράμματος ἐπὶ τῷ καθιερωθῆναι μὲν ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ, εὑρίσκεσθαι δὲ καὶ εἰς τὸ ἑξῆς ἐπὶ τὴν [τῆς] πατριαρχείας [1]) περιωπὴν ἀκαταδούλωτόν τε καὶ ἀκαταπάτητον ὑπό τε τοῦ κατὰ καιροὺς εὑρισκομένου ἐκεῖσε μητροπολίτου Παλαιῶν Πατρῶν καὶ τοῦ ἐπισκόπου αὐτοῦ Λακεδαιμονίας, ὡς μηδεμίαν ἐχόντων ἐν αὐτῷ ἄδειαν ἢ ἀνάκρισιν ποιεῖν ἢ ἀπαιτεῖν παρ' αὐτοῦ τὸ τυχόν. ἰδοὺ τὴν τούτου αἴτησιν προσδεξαμένη ἡ μετριότης ἡμῶν, ὡς θεοφιλῆ καὶ καθάπαξ σκοποῦ μετέχουσαν ἀγαθοῦ, τὸ παρὸν σιγιλλιῶδες γράμμα ἐπιχορηγεῖ τῇ αὐτῇ μονῇ, δι' οὗ δὴ καὶ διορίζεται καὶ ἀποφαίνεται, ἵνα ἡ τοιαύτη θεία μονὴ τῆς Παναγίας μου τοῦ Φιλοσόφου, ἡ

---

[1]) Legendum videtur: ἐπὶ τὴν πατριαρχικὴν περιωπήν.

ἀρτίως ἀνεγερθεῖσα ἐκ βάθρων αὐτῶν παρὰ τοῦ προειρημένου ἄρχοντος Φιλοσόφου τοῦ πρωτασηκρήτου, εὑρίσκηται ἅμα τοῖς μετοχίοις αὐτῆς ὡς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνοικοδομηθεῖσα, ὑπὸ τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ μνημονεύῃ τοῦ ὀνόματος αὐτοῦ, ὥστε μήτε ἄδειαν ἔχειν τὸν κατὰ καιροὺς μητροπολίτην Παλαιῶν Πατρῶν ἢ τὸν ἐπίσκοπον αὐτοῦ Λακεδαιμονίας, μήτε ἕτερόν τινα τῶν ἐν τῇ Πελοποννήσῳ μητροπολιτῶν μετ' ἐξουσίας ἰδίας καὶ αὐθεντείας εἰσέρχεσθαι ἐν αὐτῇ, ἱερατικόν τι διαπράξασθαι ἢ ἀπατεῖν τὸ σύνολον ἀπ' αὐτῆς, ἀλλὰ καθάπαξ εὑρίσκεσθαι τοὺς τοιούτους ἐκκωλυομένους, ὀφείλοντος μόνου τοῦ κατὰ καιροὺς πατριαρχικοῦ ἐξάρχου κρίνειν καὶ θεωρεῖν πᾶσαν ἐμπίπτουσαν ἐκκλησιαστικὴν ὑπόθεσιν καὶ διορθοῦν ταῦτα κανονικῶς καὶ νομίμως καὶ ὡς φίλον θεῷ. οἱ δὲ ἐκεῖσε συνήθως εὑρισκόμενοι ψάλλοντες ἱερεῖς ὑπάρχωσι καὶ οὗτοι ὡς πατριαρχικοὶ ἐλεύθεροι καὶ ἀκαταδούλωτοι, ἔτι δὲ καὶ ἀναπαίτητοι καὶ ἀνεξέταστοι ὑπὸ πάντων τῶν ἐν [τῇ] Πελοποννήσῳ μητροπολιτῶν, ὑπόκηνται δὲ μόνον καὶ αὐτοὶ τῇ ἡμῶν μετριότητι καὶ τῷ κατὰ καιροὺς πατριάρχῃ καὶ πατριαρχικῷ ἐξάρχῳ, καὶ παρ' αὐτοῦ ἀνακρίνωνται καὶ ἐξετάζωνται νομίμως καὶ κανονικῶς. τὴν δὲ οἰκονομίαν καὶ διοίκησιν πάντων [τῶν κτημάτων] τῆς τοιαύτης μονῆς ἔχῃ μόνος ὁ κατὰ καιροὺς ἡγούμενος, ὅστις καὶ ὀφείλει ἐκλέγεσθαι ἐκ μέσου τῆς ἀδελφότητος καὶ ἀποκαθίστασθαι εἰς τὴν ἡγουμενίαν. πρὸς τούτοις δέ, ὅτε χρεία χειροτονίας γενήσεται αὐτοῖς, προσκαλῶνται ἕνα τινὰ τῶν ἀρχιερέων, ὃν ἂν ἐθέλωσιν, σφραγίζειν καὶ χειροτονεῖν ἀναγνώστας καὶ ὑποδιακόνους καὶ πρεσβυτέρους καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν χωρὶς τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, μηδενὸς ἐναντιουμένου περὶ τούτου ἢ ἀντιλέγοντος ἐν ἀργίᾳ καὶ ἀφορισμῷ. ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν σιγγιλιῶδες γράμμα, καὶ ἐπεδόθη τῇ διαλειφθείσῃ μονῇ τῆς Παναγίας μου τοῦ Φιλοσόφου τῇ πατριαρχικῇ καὶ σταυροπηγιακῇ †.

† Ἐν ἔτει ,ϛυοβ' μηνὶ αὐγούστῳ ἰνδ. θ' †.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐν ἔτει ,ζρλβ' ἰουνίῳ μηνὶ ἰνδ. ζ' †.

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Primus edidit Euthymios Kastorches in libro: Περὶ τῆς ἐν Δημητσάνῃ ἑλληνικῆς σχολῆς καὶ περὶ τῶν καθιδρυτῶν καὶ πρώτων αὐτῆς διδασκάλων. *Athenis. 1847. Iterum Ludov. Ross in ephemeridibus, quibus titulus: „Hallische Literaturzeitung", 1849. I. p. 811.*

II. 6615—1106, mense septembri, [ind. XV.].

Imperator Alexius Comnenus donat monasterio Transfigurationis in monte Sagmata Boeotiae partem Santae Crucis et lacum Ungriae, liberatque monachos a tributis.

† Ἀλέξιος Κομνηνὸς θείῳ ἐλέει βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων †.

† Ἐπειδήπερ παρὰ τῶν ἐνδημούντων ταύτῃ τῇ κραταιᾷ καὶ θεοφυλάκτῳ βασιλευούσῃ τῶν πόλεων ἀπὸ τῆς κατὰ Βοιωτίαν τῆς Ἑλλάδος ἐπαρχίας ἱκανῶς ἐπληροφορήθημεν, ὅτι ἐν αὐτῇ ὄρος Σαγματᾶ καλούμενον ὑπάρχει, ἐν ᾧ καὶ μονὴ ἱερὰ καὶ σεβάσμιος, πατέρων τε συλλογὴ οὐκ εὐαρίθμητος θεοπρεπῶς καὶ θεαρέστως ἀσκουμένων, εἰς τιμὴν δὲ καὶ ἐγκαίνια τῆς ἐνδόξου καὶ φρικτῆς τοῦ Σωτῆρος Μεταμορφώσεως τιμωμένη, κρείττονι νεύσει καὶ προμηθείᾳ διαναστάντες ἠβουλήθημεν ἀναθήματι θείῳ καὶ πολυτίμῳ αὐτὴν σεμνῦναι, καὶ δὴ ἐκ τοῦ ἐνυπάρχοντος τῷ ἡμετέρῳ θησαυροφυλακείῳ τιμίου ξύλου ἀφιερώσαμεν μέρος, ὅπερ ὀρθίως τὴν τοῦ λιχανοῦ ἐπιμέτρησιν ἀποτελεῖ, ἐγκαρσίως δὲ τὴν τοῦ ἀντίχειρος, τὸ πάχος πάλιν δακτύλου ἡμίσεως, στάθμῃ δὲ ἐπιθέμενον τὸ τῶν ὀκτὼ καὶ ἡμίσεως δραχμῶν ποσὸν ἐπαγγέλλεται, καὶ τοῦτο εἰς ἀείμνηστον ἡμῶν καὶ εἰς ἀεὶ διαμένον μνημόσυνον, διόπερ καὶ εἰς ἀναντίρρητον τῆς ἀληθείας ἔνδειξιν χρυσοβούλλῳ ἡμετέρῳ καισαρικῷ ἠσφαλισάμεθα τὸ ἀνάθημα, καὶ τὴν ἱερὰν μονὴν βασιλικῇ τιμῇ ἐνεκαλλωπίσαμεν, καὶ τὴν λίμνην κατὰ τὴν Οὐγκρίαν κειμένην τῇ μονῇ παρεδώκαμεν, τούς τε πατέρας ἀφορολογήτους ἐψηφισάμεθα. καὶ δέδοται ἐν τῷ ἡμετέρῳ παλατίῳ εἰς ἔνδειξιν †.

͵αρϛ΄ ἐν μηνὶ σεπτεμβρίῳ.

Editum in ephemeridibus inscriptis: Εὐαγγελικὴ σάλπιγξ, *15. mensis aprilis 1838, et a* ***Ross*** *et* ***Schmeller*** *in dissertatione: „Urkunden zur Geschichte Griechenlands im Mittelalter". Abhandlungen der philos. philol. Cl. der k. bayerischen Akademie der Wissenschaften. 1837. Bd. II., p. 155. Diploma spurium. Vide observationes in fine voluminis.*

III. 6797—1289, mense martio, ind. II.

Imperator Andronicus II. confirmat possessiones monasterii Sanctae Mariae Eleusae dicti Lycusadis prope Phanarium.

† Οὐδὲν τῆς ἀληθείας ἐπικρατέστερον καὶ οὐδὲν τῆς κατ' αὐτὴν ἐπιγνώσεως ἀνθρώποις ἐπαινετώτερον· οἱ γὰρ ἐφ' ἑκάστῳ τῶν πραγμάτων τοῦ ὄντος κατ' ἀλή-

θειαν γινόμενοι ἐπιγνώμονες τὸ καλὸν ἂν πάντως ἐπὶ πᾶσι προέλοιντο καὶ οὐδέποτ' ἂν ἐκπέσαιεν τοῦ συμφέροντος· ἀλλὰ κἂν ἑαυτοῖς προσπορίσασθαί τι δέῃ τῶν ὠφελούντων, κἂν ἑτέροις οἷς τι προμηθείας οὗτοι μεταδιδόναι σπουδάζουσι, τοῦ ἀκριβοῦς ὑπάρχει τοιούτου κατευστοχεῖν. τοῦτο τοῖς συνετωτέροις τῶν ἀνθρώπων ἐν οἷσπερ ἂν ποιῶσι παρακολουθεῖν εἰωθὸς οὐχ ἧττον ἔστι διαγνῶναι καὶ τῆς τὴν παροῦσαν εἰσενεγκαμένης αἴτησιν ταῖς πράξεσι παρεπόμενον, τῆς μιᾶς δὴ ταύτης προσμαρτυρούσης καὶ ταῖς ἄλλαις τῶν πράξεων· τὸ γὰρ προσὸν ἀπὸ θεοῦ τῇ βασιλείᾳ δικαίωμα μέγα μὲν ἐν τοῖς κατὰ γῆν γνωρίζεται ἅπασιν, οὐ μὴν ὅτι πρόδηλον αὐτῷ τὸ περίοπτον, οὐκ ἐπαινετέοι παρὰ τοῦτο κριθήσονται οἱ καὶ λογιζόμενοι τὸν ὄγκον καὶ τὸ ἐπιβάλλον αὐτῷ τῆς ὀφειλῆς ἀποσώζοντες ἐν τῷ τὴν ὑποταγὴν ἀποδιδόναι καὶ ἔργοις οἷον συνεπιψηφίζεσθαι τῆς ἐξουσίας τῷ ὑπερέχοντι. τοῦτο δὴ τὸ τῆς ἀρχῆς τῆς ἡμετέρας δικαίωμα, καὶ εἰς μεῖζον μὲν ἦν διηρμένον τὰ πρότερα, ἀφοῦπερ πρὸς τὴν ἡμετέραν ταύτην ἀρχὴν ὁ πηξάμενος αὐτὴν καὶ συστησάμενος δημιουργὸς καὶ συνοχεὺς τοῦ παντὸς ἐκεῖνο ἐνιδὼν ἱλέῳ βλέμματι εἴρηκε· „πλάτυνον τὰ σχοινίσματά σου. ἔτι· ἐκπέτασον ἐπὶ δεξιὰ καὶ ἀριστερά· πῆξον καὶ μὴ φείσῃ τῶν αὐλαιῶν“· καὶ μέντοι καὶ ἐξετέλεσε καὶ διήγαγεν ἐπὶ πολλαῖς, ὅτι κρατυνομένη καὶ αὐξομένη περιόδοις ἐτῶν καὶ τῶν χεῖρα ὁτεδήποτε πειρασαμένων ἀνταῖραι κατευμεγεθοῦσα περιεγίνετο. εἶτα ἐκκαυθείσης ἄνωθεν ὀργῆς διὰ παιδείαν πάντως συμφέρουσαν, βήματι τὸ δὴ λεγόμενον ἐκινήθη καὶ μεταπεπτώκει πρὸς τὸ χεῖρον τὰ πράγματα καὶ ἡ ἀρχὴ ἐς τὸ βραχύτατον συνεστάλη· καὶ ἐπὶ μετρίοις ὅροις συνεληλαμένη ἐδείκνυτο· πρὸς γάρ τοι τοῖς ἄλλοις, μᾶλλον δέ γε πρὸ τῶν ἄλλων καὶ αὐτῆς ἐξεπεπτώκει τῆς βασιλευούσης τῶν πόλεων, ἕως ὁ παιδεύων ἄχρι τοῦ ἰάσασθαι μόνον καὶ εἰς τέλος μὴ παραδιδούς, οὐδ' ἵνα πλήξῃ πλήττων, ἀλλ' ἵνα πρὸς τὸ κρεῖττον μετάθηται, τά τε ἄλλα τῶν τῆς ἀρχῆς ἐξερρυηκότων καὶ αὐτὴν τὴν βασιλεύουσαν ἐπανεσώσατο πόλιν, καὶ ἐπὶ τὸ κρεῖττον αὖθις τῇ αὐτοῦ καὶ ἀρωγῇ καὶ συνάρσει, τὰ τῆς ἀρχῆς ἐπανέδραμε. τότε δὴ ἐν τῇ κινήσει τῶν πραγμάτων ἐκείνῃ, ᾗ τὰ δυσχερῆ ἐπλεόνασε, τότε πρὸς πολλοὺς πολλὰ τῶν τῆς ἀρχῆς μεταπέπτωκε, καὶ ἔτι δὴ ἐς τὸ παρὸν πόλεων τινὲς καὶ χωρῶν ἔστιν οἷς τῶν τότε κατασχόντων ὡς εἰς ἰδιάζουσάν τινα τὴν δεσποτείαν κατέχονται, ἀλλ' ὑποκύπτουσι τῷ ἡμετέρῳ κράτει καὶ τὴν ὑποταγὴν δικαίως ἀσπάζονται. ἡ μέντοι τῷ περιποθήτῳ συμπενθέρῳ τῆς βασιλείας μου, τῷ σεβαστοκράτορι ἐκείνῳ Κομνηνῷ κυρῷ Ἰωάννῃ τῷ Δούκᾳ κατὰ κόσμον χρηματίσασα σύζυγος, εἶτα τὸν μοναδικὸν ζυγὸν ὑποδῦσα Κομνηνὴ κυρὰ Ὑπομονὴ ἡ Δούκαινα, τὸ τῆς βασιλείας καλῶς ἐπεγνωκυῖα δικαίωμα, καὶ ὡς οὐκ ἔστιν ἐν βεβαίῳ τὴν τῶν προσόντων ἀποφέρεσθαι κτῆσιν, οὔτε μὴν καθ' ἕνα τῶν ἐν βίῳ, οὔτε μοναστῶν καταγώγιον, εἰ μὴ τὸ

κῦρος ἐπιθείη τούτοις βασιλικὰ διατάγματα, διαπέμπεταί τε πρὸς τὴν ἡμετέραν βασιλείαν, καὶ τῇ παρ' αὐτῆς συστάσῃ σεβασμίᾳ μονῇ τὸ κῦρος τῶν ἐνυπαρχόντων αἰτεῖται διὰ χρυσοβούλλου προσγενέσθαι τῆς βασιλείας μου. ἔστι μὲν οὖν ἡ οἰκοδομηθεῖσα αὕτη καὶ συστᾶσα παρὰ ταύτης μονὴ πλησίον που διακειμένη τοῦ ἄστεος, ὃ Φανάριον ὀνομάζεται, τιμᾶται δὲ ἐπ' ὀνόματι τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης, καὶ ἐπικέκληται οὕτω πως τῆς Λυκουσάδος· ἃ δὲ αὐτῇ τῇ μονῇ προσήρμοσε κτήματα, ἐκεῖ μὲν ὁπουδήποτε τυγχάνουσι διακείμενα, καὶ ταῦτα δέ γε κατωτέρω ἐξ ὀνόματος δηλωθήσεται. τῇ τοιαύτῃ τοιγαροῦν αἰτήσει αὐτῆς οὐκ ἔγνω δέον εἶναι ἡ βασιλεία μου ὑπέρθεσίν τινα δοῦναι καὶ μὴ παραυτὰ τῷ τέλει ἐναγαγεῖν, ἀλλὰ τῆς εὐγνωμοσύνης ὥσπερ ἀμειβομένη ταύτην καὶ τῆς τοῦ καλοῦ ἐπιγνώσεως ἑτοιμότατα κατανεύει πρὸς τὸ αἰτούμενον, καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπορέγει αὐτῇ, δι' οὗ καὶ εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται κατέχεσθαι παρὰ τῆς διαληφθείσης σεβασμίας μονῆς τὰ παρὰ τῆς εἰρημένης συζύγου τοῦ μνημονευθέντος σεβαστοκράτορος προσαρμόσαντα αὐτῇ ὁποιαδήτινα κτήματα, ἃ δὴ καὶ κατὰ μέρος οὕτως ἐπ' ὀνόματος ἔχουσι· χωρίον ἡ Λυκουσάδα, ἐν ᾧ καὶ ἡ τοιαύτη ἀνηγέρθη μονή. ἕτερον χωρίον ἡ Βατουσιάνη. τὸ περὶ τὰ Τρίκκαλα χωρίον, ὅπερ εὑρίσκεται κατέχουσα ἡ μονὴ μετὰ τοῦ ἐκεῖσε λοετροῦ. μετόχιον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου ἐπιλεγόμενον ἡ Ῥάξα μετὰ τῶν ἐν αὐτῷ παροίκων τῶν διαλαμβανομένων κατ' ὄνομα ἐν τοῖς προσοῦσιν αὐτῷ δικαιώμασιν, ἔτι δὲ καὶ τῆς κατεχομένης παρ' αὐτοῦ τοῦ μετοχίου γῆς καὶ τῶν μυλοθεσίων καὶ ἀμπελίων. ἕτερον μετόχιον ὁ Τριστενίκος εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Γεωργίου. ἕτερον εἰς ὄνομα τοῦ ἁγίου Ἀνδρέου μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ἀμπελίων καὶ τῆς προστεθείσης ἀρτίως γῆς Βλαχοκατοῦνα ἡ ἐπιλεγομένη Πρακτικάτου. χωρίον ἡ Γοριάνη μετὰ τῶν ἐν αὐτῷ μυλοθεσίων καὶ ἀμπελίων. εἰς τὴν λίμνην τοῦ Ἐζεροῦ σανδάλια δύο μετὰ καὶ ἁλιέων δύο. μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Δημητρίου ἐν τῷ θέματι Βουναίνης διακείμενον μετὰ τῶν ἐν αὐτῷ παροίκων, ἀλλὰ δὴ καὶ τῶν ἀμπελίων καὶ μυλοθεσίων. ἔτι τε εἰς τὸν τόπον τοῦ Ἁλμυροῦ χωρίον ἡ Μαγοῦλα καὶ οἱ Σιμισαράτοι λεγόμενοι σὺν τῇ ἐκεῖσε γῇ τῶν Λεβαχάτων καὶ Ταρωνάτων. ἃ δὴ πάντα καθέξει ἡ εἰρημένη σεβασμία μονὴ τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης κατὰ δεσποτείαν καὶ νομὴν ἀναφαίρετον, ὡς κατὰ μέρος διαλαμβάνονται ἐν τοῖς γεγονόσιν ἐπ' αὐτοῖς πρακτικοῖς, ἔτι δὲ καὶ ὡς προσεκυρώθησαν καὶ προσετέθησαν ταύτῃ παρὰ τῆς διαληφθείσης συζύγου τοῦ δηλωθέντος σεβαστοκράτορος, καὶ νεμηθήσεται αὐτὰ ἀνενόχλητα, ἀδιάσειστά τε καὶ ἀναπόσπαστα εἰς ἅπαντα τὸν ἑξῆς

XI.

Privilegia Theodoro Scutariotae concessa.

I. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus diacono Theodoro Scutariotae confert dignitatem dicaeophylacis.

Ὁρισμὸς τοῦ βασιλέως [Μιχαὴλ Δούκα Ἀγγέλου] Κομνηνοῦ [τοῦ Παλαιολόγου] πρὸς [Θεόδωρον] τὸν Σκουταριώτην γεγονότα [μητροπολίτην] Κυζίκου. ὁρισμὸς προσκυνητὸς τοῦ κραταιοῦ καὶ θεοστεφοῦς ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅτε με τῷ τοῦ δικαιοφύλακος ἐτίμησεν ἀξιώματι.

† Μιμεῖται καὶ Μωϋσῆν ἐκεῖνον ἡ βασιλεία μου τὸν δημαγωγόν, καὶ πρὸς τὸν τῆς νομοθεσίας ἐκείνου ζῆλον ὡς ἐφικτὸν ἀπευθύνεται· ὡς γὰρ ἐκεῖνος τὸν δακτύλῳ θεοῦ γραφέντα νόμον ἐγχειρισθεὶς διὰ τοῦ Ἀαρών, σεμνυνομένου τὸ τηνικαῦτα τῷ ἱερατικῷ ἀξιώματι, τῷ ἰσραηλιτικῷ λαῷ διεπόρθμευε, κατὰ ταῦτα καὶ ἡ βασιλεία μου τὸ παντὸς τιμώμενον τῆς βασιλείας χρῆμα λαβοῦσα παρὰ θεοῦ, ἣν ἔννομον ἀρχὴν οἱ πάλαι ὡρίσαντο, κἀντεῦθεν οὖσα νόμος ἔμψυχος ἀτεχνῶς, ὡς καὶ τὸ δόξαν ταύτῃ καθάπερ νόμον γραπτὸν καὶ λέγεσθαι καὶ πιστεύεσθαι, τὸν ἐντιμότατον ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεόδωρον διάκονον τῶν Σκουταριώτην ἄνδρα εὑροῦσα κατὰ τὴν παλαμηφορουμένην θεῷ καρδίαν αὐτῆς, καὶ πρὸς ταῖς ἄλλαις λογικαῖς ἐπιστήμαις καὶ τοὺς λόγους ἀκριβῶς μελετήσαντα, καὶ τῷ ἱερῷ καὶ θείῳ καταλόγῳ ἐμπρέποντα, τῇ τοῦ δικαιοφύλακος ἀξίᾳ τιμᾶν· χρεὼν γὰρ τὸν ἔκ τε θείων καὶ ἀποστολικῶν κανόνων, ἔκ τε τῶν νόμων, οὓς σοφοὶ ἄνδρες ἐξέθεντο, γνῶσιν εἰς τὰ μάλιστα συλλεξάμενον καὶ τῷ δικαιφυλακικῷ ἐνσεμνύνεσθαι ἀξιώματι. ὅθεν καὶ διορίζεται ἡ βασιλεία μου διὰ τῆς παρούσης αὐτῆς προστάξεως, διενεργεῖσθαι παρὰ τοῦ διαληφθέντος ἐντιμοτάτου ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεοδώρου διακόνου τοῦ Σκουταριώτου τὸ δικαιοφυλακικὸν ὀφφίκιον, μετὰ πάντων τῶν ἀπονενεμημένων αὐτῷ δικαίων καὶ καθὼς ἐνεργεῖτο καὶ παρὰ τῶν πάλαι κεκτημένον αὐτό, καὶ τῆς αὐτῆς ἐκείνης μετέχειν τοῦτον τιμῆς τε καὶ τάξεως, ἔν τε καθέδραις,

στάσεσι καὶ πᾶσιν ἄλλοις, καὶ ἐν τῷ εὐχγεῖ κλήρῳ τῆς βασιλείας μου, πάσας τε τὰς ἀνέκαθεν προσαρμοθείσας τῷ τοιούτῳ ὀφφικίῳ κρίσεις διεξάγειν καὶ περατοῦν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' διὰ τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus scribit patriarchae Joseph, ut promoveat diaconum Theodorum Scutariotam ad altiorem dignitatem ecclesiasticam.

Ἕτερον πρόσταγμα σεπτὸν τοῦ κοσμοποθήτου κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δι' οὗ μοι καὶ τόπος ἀπεδόθη κἂν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τοῦ θεοῦ ἀνάλογος, εἰ καὶ διὰ τά τινων ἀπρεπῆ σκάνδαλα καὶ τὴν ἐν τῷ χορῷ τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἄφιλον στάσιν ἀπέκλινα, τὴν εἰρήνην αἱρετισάμενος· μετ' οὐ πολὺ δὲ καὶ σακελλίου ἐσφραγίσθην, καὶ τὸν τόπον τοῦ σακελλίου ἀπέλαβον.

† Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα· οἶδεν ἡ ἁγιωσύνη σου, ὡς ἀνεδέξατο ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα κῦρ Θεόδωρον τὸν Σκουταριώτην, καὶ οἵας καὶ ὅσης[1]) αὐτὸν ἀξιοῖ προσπαθείας καὶ οἰκειώσεως, τῆς τε περὶ τὰ θεῖα γνώσεως αὐτοῦ χάριν, καὶ τῆς περὶ τὰ πράγματα προσούσης τούτῳ εἰδημοσύνης καὶ ἀρετῆς. ἐπεὶ οὖν οὕτως αὐτὸν ἀνεδέξατο καὶ οὕτως ἔχει τοῦτον ἡ βασιλεία μου καὶ τοιούτῳ ἀξιώματι κατεκόσμησεν, οὐ δέον πάντως τὸ μὴ καὶ παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς τῶν συγκλητικῶν [ἀρχόντων] αὐτὸν ἀναλόγως μετέχειν τιμῆς τε καὶ τάξεως ἔν τε τῷ ἐκκλησιαστικῷ ὀφφικίῳ κἂν ταῖς καθέδραις καὶ στάσεσι· χρεὼν γὰρ τόν, ὃν ἡ βασιλεία μου κατὰ λόγον τιμᾷ, καὶ παρὰ τῆς ἁγιωσύνης σου κατ' ἶσον τιμᾶσθαι καὶ τὸν ἐν τῇ βασιλείᾳ κἂν τῇ συγκλήτῳ τίμιον καὶ παρὰ τῇ ἐκκλησίᾳ σου καὶ τῷ κλήρῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τιμῆς καταξιοῦσθαι τῆς κρείττονος· εἴ περ ἐπιστημονάρχης, σὺν θεῷ φάναι, τῆς ἐκκλησίας σου ἡ βασιλεία μου καὶ κατὰ κρίσιν οἰκονομεῖ τοὺς λόγους αὐτῆς· πρὸς τύπον δὲ τῶν βασιλικῶν καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὀφφικίων παρὰ τῶν ἀοιδίμων καὶ φιλευσεβῶν βασιλέων ἐτάχθησαν, καθὼς κἂν τῷ θείῳ ἰδίῳ τοῦ πρώτου τῶν Χριστιανῶν βασιλέως, μεγάλου καὶ ἁγίου Κωνσταντίνου, ὃ

[1]) πόσης Z.

πρὸς τὸν μακάριον ἐξέθετο Σίλβεστρον, οὐκ ἀσαφῶς, ἀλλ' ἄριστα τεθέσπισται, ᾧ καὶ ὀφεῖλον τῷ πρωτοτύπῳ ἐπακολουθεῖν τὰ πρὸς μίμησιν. διά τοι τοῦτο κ οἰκονομήσαιτο ἡ ἁγιωσύνη σου ἔχειν ἀπὸ τοῦ νῦν τὸν τοιοῦτον δικαιοφύλακα κ τῇ τοῦ θεοῦ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὀφφίκιον τῶν προβαθμίων καὶ ὑψηλ καὶ ὡς τῷ κλήρῳ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας καταλεγόμεν ἵστασθαι καὶ προκόπτειν μετὰ τὸν νῦν τιμιώτατον πρωτέκδικον τὸν Γεμιστόν, ἐν καὶ αὐτὸν ἀπὸ τῶν ἐξωκατακοίλων ἀπό γε τῆς σήμερον γνωριζόμενον, ἄτοπα γὰρ τὸν ἐν καθέδραις ταῖς μείζοσι καὶ προβαθμιαιτέραις τῶν ἐκκλησιαστικῶν ἁγιο σοφιτῶν ἀρχόντων ὡς τὸ εἰκὸς συντιμώμενον, μὴ κὰν τῇ ἐκκλησιαστικῇ στάσε καὶ προκοπῇ τὸν προσήκοντα τόπον ἔχειν καὶ τοῖς ἐξωκατακοίλοις συνίστασθαι κα τῆς αὐτῆς συμμετέχειν τούτων τιμῆς τε καὶ προκοπῆς. ἡ μὲν οὖν βασιλεία μου ἤδη τὰ περὶ τούτου προεδήλωσε τῇ ἁγιωσύνῃ σου, ᾗ καὶ ἔργον ἔσται, πρὸς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι τὸ τοιοῦτον τῆς βασιλείας μου θέλημα, ὡς θεάρεστόν τε καὶ δίκαιον· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου ἀπελύθη, ὀφεῖλον ἀντιστραφῆναι τῷ τιμιωτάτῳ δικαιοφύλακι κῦρ Θεοδώρῳ διακόνῳ τῷ Σχουταριώτῃ δι' ἀσφάλειαν †.

† Μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' †.

III. Inter 1275—1282.

Imperator Michaël Palaeologus condecorat metropolitam Cyzici, Theodorum Scutariotam, hypertimi dignitate.

Πρόσταγμα πρὸς τὸν Κυζίκου μητροπολίτην.

† Ἡ βασιλεία μου πρὸς τὴν πρῴην εὔκλειαν πρὸς τὰς χρυσᾶς ἐκείνας ἔννας καὶ εὐημερίας τάς τε πόλεις καὶ χώρας καὶ τὰς τοῦ θεοῦ ἐκκλησίας ἐπαναγαγεῖν ἐθέλουσα καὶ ἀναβιοῦν τὰ τῷ μακρῷ χρόνῳ γηράσαντα, καὶ εἰς ζῆλον τῶν προβεβασιλευκότων τῆς Ῥωμανίας ἀγαθῶν βασιλέων καὶ μεγαλουργῶν ἀνατρέχουσα, καὶ τὰ ἐκείνων ἔργα μεγαλουργὰ ἅμα δὲ καὶ θεῖα καὶ ἔνσεμνα ἐπειγομένη ἀνανεοῦν καὶ τὰ ἀπονενεμημένα ἀνέκαθεν τοῖς ἀρχιερεῦσι τῆς λαμπρᾶς τῆς Κυζίκου πόλεως ἐπίσημα τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυζίκου ἐχαρίσατο, τὸ κεκτῆσθαι τοῦτον δηλονότι τὸ ἐμπρέπον ὑπέρτιμον τοῖς θεσπεσίοις ἀρχιερεῦσί τε καὶ [μητροπολίταις] ἀξίωμα, καὶ τὸ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις μυσταγωγίαις τοῦτον ἀμπίσχεσθαι καὶ λαμπαδοῦχον προτρέχειν αὐτοῦ ἀνὰ πᾶσαν τὴν αὐτῆς ἐνορίαν. ἐφ' ᾧ καὶ διορίζεται ἡ βασιλεία μου, ὑπέρτιμον λέγεσθαι καὶ ὀνομάζεσθαι τὸν διαληφθέντα

μητροπολίτην Κυζίκου, καὶ πᾶν τὸ ἀνέκαθεν προσαρμόσαν τῷ τοιούτῳ ἀξιώματι γνώρισμα ἔχειν κατὰ τὴν ἐπὶ τούτῳ συνήθειαν, ἐνδιδύσκεσθαι δὲ τοῦτον καὶ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις καὶ ἱεραῖς μυσταγωγίαις καὶ λαμπάδα φαίνουσαν ἔμπροσθεν τούτου προάγεσθαι [ἀνὰ] πᾶσαν τὴν ἐνορίαν· φῶς γὰρ εἶναι τοῦ κόσμου τοὺς μαθητὰς αὐτοῦ Χριστὸς ἀπεφήνατο, φαίνει δὲ καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ, ὁ ἠγαπημένος αὐτῷ φησι μαθητής. κατὰ τοὺς κυριακοὺς οὖν μαθητὰς καὶ τοὺς ὑπὸ τὴν ὑπήκοον τῆς βασιλείας μου πᾶσαν γῆν ἀρχιερεῖς πεφωτισμένους εἶναι θέλουσα καὶ ἐν τῷ σκότει τοῦ βίου τούτου παμφαέστατα διὰ τῆς ἀρετῆς αὐτῶν φαίνειν βουλομένη, (ὡς ἀπὸ μιᾶς γάρ τινος οὐρανομήκους κλίμακος τῶν ὑπηρετῶν τοῦ λόγου καὶ μαθητῶν τὸ μέγα τῆς ἀρχιερωσύνης χρῆμα καὶ πρᾶγμα καὶ εἰς αὐτοὺς καταβέβηκεν), εἰκότως καὶ φῶς τοῦ ἱερωτάτου αὐτοῦ μητροπολίτου Κυζίκου προπορεύεσθαι κέκρικε, καὶ τὰ ἄλλα δὲ ἐπίσημα αὐτῷ ἐδωρήσατο διὰ τῆς παρούσης αὐτῆς προστάξεως, ἥτις καὶ γεγονυῖα ἐπεδόθη αὐτῷ, ὀφείλουσα ἐγκαταστρωθῆναι[1]) καὶ τοῖς τοῦ ἱεροῦ χαρτοφύλακος χαρτίοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας †.

† Εἶχε τό· μηνὶ . . . καὶ ἰνδικτιῶνι . . . δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς [καὶ θείας] χειρός †.

E codice manuscripto Gerasimi archiepiscopi edid. Rhalles et Potles, Coll. can. V. p. 326. Zachariae, Jus graeco-romanum, III. p. 590 et 598.

---

1) ἐπιγνωσθῆναι Z.

XII.

Acta varia.

I. 6472—964, mense augusto, ind. IX.

Patriarcha Polyeuctus declarat monasterium Sanctae Mariae dictum Philosophi situm prope Demetsanam esse stauropegium.

Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἴσον ἀπαραλλάκτως τοῦ ἴσου τοῦ πρωτοτύπου πατριαρχικοῦ παλαιγενοῦς σιγιλλιώδους γράμματος, ἐκβληθὲν παρὰ τοῦ παλαιοῦ καὶ ἀρχαίου κώδικος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὁραθέντος παρά τε τῆς ἡμῶν μετριότητος καὶ τῆς ὑπερτελεστάτης ἱερᾶς τῶν ἀρχιερέων συνόδου, τῶν ἐν ἁγίῳ πνεύματι ποθεινοτάτων ἀδελφῶν καὶ συλλειτουργῶν, τῶν καὶ κάτωθεν ὑπογραψόντων.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καὶ λιμένων μὲν κατασκευαὶ τοῖς ἐκ πελάγους χειμαζομένοις, οἰκιῶν τε καταστάσεις πρόξενοι ὑποδοχῆς, τἄλλα τε, ὅσα τοῖς ἀνθρώποις ἐπινενόηται πρὸς ἐπικουρίαν τῶν ἐνοχλούντων, πρᾶγμα τοῦτο λυσιτελὲς καὶ πολλὴν ὠφέλειαν ἐμποιοῦν τοῖς περὶ ταῦτα ἐσπουδακόσιν· ἀλλ' οὔπω πάντα ταῦτα τοσοῦτον ἐπωφελεῖ, ὅσον ἱερῶν οἴκων οἰκοδομαὶ καὶ προσόδων χορηγία πρὸς τοῦτο τὴν διαμονὴν αὐτῶν διασώζουσα. τὰ μὲν γὰρ κἂν τινα παρέχωνται τὴν ὠφέλειαν, ἀλλὰ περὶ τὸ σῶμα, καὶ μόνον τούτου ἡ θεραπεία, ἡ δέ γε τῶν ἱερῶν σύστασις καὶ ἀμφοτέροις τὴν ἐπικουρίαν ἐπάγει·· ψυχὰς γὰρ οἰκειοῖ τῷ θεῷ διὰ πράξεώς τε καὶ θεωρίας, ὧν ἑκάτερα τῷ μονήρει βίῳ κάλλιστα κατορθοῦνται ἐκ τῆς κοσμικῆς τῶν ἀνθρώπων ἀναχωρήσεως, καὶ τὰ τοῦ σώματος πάνυ ἐν ἀσφαλείᾳ τηρεῖ. τὴν γὰρ βιωτικὴν ἀποφυγὼν αὐτοτριχυμίαν, καὶ τῇ μονῇ προσδραμών, ἤδη γαληνιᾷ, ἐκ χειμῶνος τοῦ βίου τῷ μονήρει βίῳ καθορμιζόμενος· τοῖς γὰρ πρὸς ταῦτα σπουδὴν ποιουμένοις συναίρεσθαι καὶ ἡμῖν τῶν ἀναγκαίων ἂν εἴη. συναίρεται δ' εἰς τοῦτο οὐ μόνον ὁ κοινωνὸς πρωτουργῶν τῇ χορηγίᾳ τῶν ἀναγκαίων, ἀλλὰ καὶ πᾶς τις ἄλλος, ὃς ἂν δυνηθῇ τι πραγματεύσασθαι ταῖς μοναῖς. ὃ δὲ πρὸ τῶν ἄλλων ἂν εἴη, εἴ τις τὰ προσόντα ταύταις κειμήλια ἐπ-

ασφαλῆ μένειν παρασκευάσειε, τοὺς δὲ τὸ πρότερον αὐτὰς δειμαμένους κἀκεῖνα ταύταις ἀφιερώσαντας εἰς ἐγκώμιον οὐκ ἔλαττον. οἱ μὲν γὰρ προσῆξαν αὐτὰς τῷ θεῷ, οἱ δὲ τὴν ἀσφάλειαν τούτων ἐπραγματεύσαντο. ὅπερ οὐκ ἂν ἄλλοθέν περ γένοιτο, ἢ ἐκ χρυσοβούλλων λόγων καὶ πατριαρχικῶν σιγιλλίων, δυναμένων πολλῷ γε τῷ περιιόντι τὰς ὁρμὰς τῶν πλεονεκτῶν ἀναστέλλειν καὶ τὴν ἐλευθερίαν αὐταῖς παρέχειν, ὡς ἡ πρόθεσις ἦν ἐξ ἀρχῆς τῶν αὐτὰς δειμαμένων, οὐ μὴν ἀλλὰ καὶ τιμῶν πνευματικῶν ἀξιοῦσθαι δεῖ παρ' ἡμῶν, ἅτε τῆς πρὸς αὐτὰς τιμῆς ἐπὶ τὸν κτίτορα τούτων παραπεμπούσης τὸν ἔπαινον, ἐξ ὧν τήν τε προθυμίαν αὐτῶν ἔστιν ἐπαυξῆσαι καὶ ἄλλους πρὸς τὸν ὅμοιον ζῆλον διερεθίσαι. εἰς τοῦτο δὲ τείνει τὰ τοῦ σκοποῦ. ἐπειδὴ τοίνυν καὶ ὁ οἰκεῖος τοῦ κρατίστου καὶ ἁγίου μου βασιλέως καὶ αὐτοκράτορος κυρίου Νικηφόρου τοῦ Φωκᾶ, τοῦ ἐν ἁγίῳ πνεύματι ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, κύριος Ἰωάννης Λαμπαρδόπουλος, φιλόσοφος, πρωτοσυκρήτης, ἅτε φύσεως ὢν ἀγαθῆς καὶ πολλὴν περὶ τὰ θεῖα ποιούμενος τὴν φροντίδα, ζῆλόν τε ἀναλαβὼν ἔνθεον καὶ διάπυρον ἔρωτα, φιλοτίμῳ χρησάμενος χειρί, ἀνήγειρεν ἐκ βάθρων μονὴν ἱερὰν ἐν τῇ Πελοποννήσῳ, τῇ ἐπαρχίᾳ τῆς μητροπόλεως Παλαιῶν Πατρῶν, κατὰ τὴν ἐνορίαν τῆς ἐπισκοπῆς Λακεδαιμονίας, πλησίον χώρας Δημηστάνης, ἐν τῇ τοποθεσίᾳ τῆς Μονοπόρου, ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἣν διὰ τὴν τοῦ φιλοσόφου ἐπωνυμίαν μονὴν τοῦ Φιλοσόφου ἐκάλεσαν μετὰ ταῦτα, πρὸς καταμονὴν μοναζόντων ἀνδρῶν καὶ θεῷ ἀφιερωμένων ψυχικῆς αὐτοῦ σωτηρίας ἕνεκα· ναόν τε παρακείμενον καὶ φιλότιμον κατασκεύασεν ἐν αὐτῇ καὶ κελλίων οἰκοδομὰς καὶ ἄλλα τινὰ ἐργασάμενος πρὸς θεραπείαν καὶ ἀνάπαυσιν τῶν εὑρισκομένων ἐν αὐτῇ ψυχῶν, ἔτι δὲ καὶ ἱερὰ κειμήλια καὶ προσενέξεις, τὰς μὲν ἰδιοποιήσας, τὰς δὲ καὶ μετὰ ταῦτα μέλλων προσηλῶσαι ἐν αὐτῇ· ἠξίωσε τὰ νῦν, ἵνα καὶ παρὰ τῆς ἡμῶν μετριότητος τύχῃ σιγγιλιώδους γράμματος ἐπὶ τῷ καθιερωθῆναι μὲν ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ, εὑρίσκεσθαι δὲ καὶ εἰς τὸ ἑξῆς ἐπὶ τὴν [τῆς] πατριαρχείας [1]) περιωπὴν ἀκαταδούλωτόν τε καὶ ἀκαταπάτητον ὑπό τε τοῦ κατὰ καιροὺς εὑρισκομένου ἐκεῖσε μητροπολίτου Παλαιῶν Πατρῶν καὶ τοῦ ἐπισκόπου αὐτοῦ Λακεδαιμονίας, ὡς μηδεμίαν ἐχόντων ἐν αὐτῷ ἄδειαν ἢ ἀνάκρισιν ποιεῖν ἢ ἀπαιτεῖν παρ' αὐτοῦ τὸ τυχόν. ἰδοὺ τὴν τούτου αἴτησιν προσδεξαμένη ἡ μετριότης ἡμῶν, ὡς θεοφιλῆ καὶ καθάπαξ σκοποῦ μετέχουσαν ἀγαθοῦ, τὸ παρὸν σιγιλλιῶδες γράμμα ἐπιχορηγεῖ τῇ αὐτῇ μονῇ, δι' οὗ δὴ καὶ διορίζεται καὶ ἀποφαίνεται, ἵνα ἡ τοιαύτη θεία μονὴ τῆς Παναγίας μου τοῦ Φιλοσόφου, ἡ

---

[1]) Legendum videtur: ἐπὶ τὴν πατριαρχικὴν περιωπήν.

ἀρτίως ἀνεγερθεῖσα ἐκ βάθρων αὐτῶν παρὰ τοῦ προειρημένου ἄρχοντος Φιλοσόφου τοῦ πρωτασηκρήτου, εὑρίσκηται ἅμα τοῖς μετοχίοις αὐτῆς ὡς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνοικοδομηθεῖσα, ὑπὸ τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ μνημονεύῃ τοῦ ὀνόματος αὐτοῦ, ὥστε μήτε ἄδειαν ἔχειν τὸν κατὰ καιροὺς μητροπολίτην Παλαιῶν Πατρῶν ἢ τὸν ἐπίσκοπον αὐτοῦ Λακεδαιμονίας, μήτε ἕτερόν τινα τῶν ἐν τῇ Πελοποννήσῳ μητροπολιτῶν μετ' ἐξουσίας ἰδίας καὶ αὐθεντείας εἰσέρχεσθαι ἐν αὐτῇ, ἱερατικόν τι διαπράξασθαι ἢ ἀπατεῖν τὸ σύνολον ἀπ' αὐτῆς, ἀλλὰ καθάπαξ εὑρίσκεσθαι τοὺς τοιούτους ἐκκωλυομένους, ὀφείλοντος μόνου τοῦ κατὰ καιροὺς πατριαρχικοῦ ἐξάρχου κρίνειν καὶ θεωρεῖν πᾶσαν ἐμπίπτουσαν ἐκκλησιαστικὴν ὑπόθεσιν καὶ διορθοῦν ταῦτα κανονικῶς καὶ νομίμως καὶ ὡς φίλον θεῷ. οἱ δὲ ἐκεῖσε συνήθως εὑρισκόμενοι ψάλλοντες ἱερεῖς ὑπάρχωσι καὶ οὗτοι ὡς πατριαρχικοὶ ἐλεύθεροι καὶ ἀκαταδούλωτοι, ἔτι δὲ καὶ ἀναπαίτητοι καὶ ἀνεξέταστοι ὑπὸ πάντων τῶν ἐν [τῇ] Πελοποννήσῳ μητροπολιτῶν, ὑπόκηνται δὲ μόνον καὶ αὐτοὶ τῇ ἡμῶν μετριότητι καὶ τῷ κατὰ καιροὺς πατριάρχῃ καὶ πατριαρχικῷ ἐξάρχῳ, καὶ παρ' αὐτοῦ ἀνακρίνωνται καὶ ἐξετάζωνται νομίμως καὶ κανονικῶς. τὴν δὲ οἰκονομίαν καὶ διοίκησιν πάντων [τῶν κτημάτων] τῆς τοιαύτης μονῆς ἔχῃ μόνος ὁ κατὰ καιροὺς ἡγούμενος, ὅστις καὶ ὀφείλει ἐκλέγεσθαι ἐκ μέσου τῆς ἀδελφότητος καὶ ἀποκαθίστασθαι εἰς τὴν ἡγουμενίαν. πρὸς τούτοις δέ, ὅτε χρεία χειροτονίας γενήσεται αὐτοῖς, προσκαλῶνται ἕνα τινὰ τῶν ἀρχιερέων, ὃν ἂν ἐθέλωσιν, σφραγίζειν καὶ χειροτονεῖν ἀναγνώστας καὶ ὑποδιακόνους καὶ πρεσβυτέρους καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν χωρὶς τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, μηδενὸς ἐναντιουμένου περὶ τούτου ἢ ἀντιλέγοντος ἐν ἀργίᾳ καὶ ἀφορισμῷ. ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν σιγγιλιῶδες γράμμα, καὶ ἐπεδόθη τῇ διαλειφθείσῃ μονῇ τῆς Παναγίας μου τοῦ Φιλοσόφου τῇ πατριαρχικῇ καὶ σταυροπηγιακῇ †.

† Ἐν ἔτει ,ϛυοβ' μηνὶ αὐγούστῳ ἰνδ. θ' †.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐν ἔτει ,ζρλβ' ἰουνίῳ μηνὶ ἰνδ. ζ' †.

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Primus edidit Euthymios Kastorches in libro: Περὶ τῆς ἐν Δημητσάνῃ ἑλληνικῆς σχολῆς καὶ περὶ τῶν καθιδρυτῶν καὶ πρώτων αὐτῆς διδασκάλων. *Athenis. 1847. Iterum Ludov. Ross in ephemeridibus, quibus titulus: „Hallische Literaturzeitung", 1849. I. p. 811.*

II. 6615—1106, mense septembri, [ind. XV.].

Imperator Alexius Comnenus donat monasterio Transfigurationis in monte Sagmata Boeotiae partem Santae Crucis et lacum Ungriae, liberatque monachos a tributis.

† Ἀλέξιος Κομνηνὸς θείῳ ἐλέει βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων †.

† Ἐπειδήπερ παρὰ τῶν ἐνδημούντων ταύτῃ τῇ κραταιᾷ καὶ θεοφυλάκτῳ βασιλευούσῃ τῶν πόλεων ἀπὸ τῆς κατὰ Βοιωτίαν τῆς Ἑλλάδος ἐπαρχίας ἱκανῶς ἐπληροφορήθημεν, ὅτι ἐν αὐτῇ ὄρος Σαγματᾶ καλούμενον ὑπάρχει, ἐν ᾧ καὶ μονὴ ἱερὰ καὶ σεβάσμιος, πατέρων τε συλλογὴ οὐκ εὐαρίθμητος θεοπρεπῶς καὶ θεαρέστως ἀσκουμένων, εἰς τιμὴν δὲ καὶ ἐγκαίνια τῆς ἐνδόξου καὶ φρικτῆς τοῦ Σωτῆρος Μεταμορφώσεως τιμωμένη, κρείττονι νεύσει καὶ προμηθείᾳ διαναστάντες ἠβουλήθημεν ἀναθήματι θείῳ καὶ πολυτίμῳ αὐτὴν σεμνῦναι, καὶ δὴ ἐκ τοῦ ἐνυπάρχοντος τῷ ἡμετέρῳ θησαυροφυλακείῳ τιμίου ξύλου ἀφιερώσαμεν μέρος, ὅπερ ὀρθίως τὴν τοῦ λιχανοῦ ἐπιμέτρησιν ἀποτελεῖ, ἐγκαρσίως δὲ τὴν τοῦ ἀντίχειρος, τὸ πάχος πάλιν δακτύλου ἡμίσεως, στάθμη δὲ ἐπιθέμενον τὸ τῶν ὀκτὼ καὶ ἡμίσεως δραχμῶν ποσὸν ἐπαγγέλλεται, καὶ τοῦτο εἰς ἀείμνηστον ἡμῶν καὶ εἰς ἀεὶ διαμένον μνημόσυνον, διόπερ καὶ εἰς ἀναντίρρητον τῆς ἀληθείας ἔνδειξιν χρυσοβούλλῳ ἡμετέρῳ καισαρικῷ ἠσφαλισάμεθα τὸ ἀνάθημα, καὶ τὴν ἱερὰν μονὴν βασιλικῇ τιμῇ ἐνεκαλλωπίσαμεν, καὶ τὴν λίμνην κατὰ τὴν Οὐγκρίαν κειμένην τῇ μονῇ παρεδώκαμεν, τούς τε πατέρας ἀφορολογήτους ἐψηφισάμεθα. καὶ δέδοται ἐν τῷ ἡμετέρῳ παλατίῳ εἰς ἔνδειξιν †.

,αρϛ' ἐν μηνὶ σεπτεμβρίῳ.

Editum in ephemeridibus inscriptis: Εὐαγγελικὴ σάλπιγξ, *15. mensis aprilis 1838, et a* **Ross** *et* **Schmeller** *in dissertatione: „Urkunden zur Geschichte Griechenlands im Mittelalter". Abhandlungen der philos. philol. Cl. der k. bayerischen Akademie der Wissenschaften. 1837. Bd. II., p. 155. Diploma spurium. Vide observationes in fine voluminis.*

III. 6797—1289, mense martio, ind. II.

Imperator Andronicus II. confirmat possessiones monasterii Sanctae Mariae Eleusae dicti Lycusadis prope Phanarium.

† Οὐδὲν τῆς ἀληθείας ἐπικρατέστερον καὶ οὐδὲν τῆς κατ' αὐτὴν ἐπιγνώσεως ἀνθρώποις ἐπαινετώτερον· οἱ γὰρ ἐφ' ἑκάστῳ τῶν πραγμάτων τοῦ ὄντος κατ' ἀλη-

θειαν γινόμενοι ἐπιγνώμονες τὸ καλὸν ἂν πάντως ἐπὶ πᾶσι προέλοιντο καὶ οὐδέποτ' ἂν ἐκπέσαιεν τοῦ συμφέροντος· ἀλλὰ κἂν ἑαυτοῖς προσπορίσασθαί τι δέῃ τῶν ὠφελούντων, κἂν ἑτέροις οἷς τι προμηθείας οὗτοι μεταδιδόναι σπουδάζουσι, τοῦ ἀκριβοῦς ὑπάρχει τοιούτου κατευστοχεῖν. τοῦτο τοῖς συνετωτέροις τῶν ἀνθρώπων ἐν οἷσπερ ἂν ποιῶσι παρακολουθεῖν εἰωθὸς οὐχ ἧττον ἔστι διαγνῶναι καὶ τῆς τὴν παροῦσαν εἰσενεγκαμένης αἴτησιν ταῖς πράξεσι παρεπόμενον, τῆς μιᾶς δὴ ταύτης προσμαρτυρούσης καὶ ταῖς ἄλλαις τῶν πράξεων· τὸ γὰρ προσὸν ἀπὸ θεοῦ τῇ βασιλείᾳ δικαίωμα μέγα μὲν ἐν τοῖς κατὰ γῆν γνωρίζεται ἅπασιν, οὐ μὴν ὅτι πρόδηλον αὐτῷ τὸ περίοπτον, οὐκ ἐπαινετέοι παρὰ τοῦτο κριθήσονται οἱ καὶ λογιζόμενοι τὸν ὄγκον καὶ τὸ ἐπιβάλλον αὐτῷ τῆς ὀφειλῆς ἀποσώζοντες ἐν τῷ τὴν ὑποταγὴν ἀποδιδόναι καὶ ἔργοις οἷον συνεπιψηφίζεσθαι τῆς ἐξουσίας τῷ ὑπερέχοντι. τοῦτο δὴ τὸ τῆς ἀρχῆς τῆς ἡμετέρας δικαίωμα, καὶ εἰς μεῖζον μὲν ἦν διῃρημένον τὰ πρότερα, ἀφοῦπερ πρὸς τὴν ἡμετέραν ταύτην ἀρχὴν ὁ πηξάμενος αὐτὴν καὶ συστησάμενος δημιουργὸς καὶ συνοχεὺς τοῦ παντὸς ἐκεῖνο ἐνιδὼν ἵλεῳ βλέμματι εἴρηκε· „πλάτυνον τὰ σχοινίσματά σου, ἔτι ἐκπέτασον ἐπὶ δεξιὰ καὶ ἀριστερά· πῆξον καὶ μὴ φείσῃ τῶν αὐλαιῶν“· καὶ μέντοι καὶ ἐξετέλεσε καὶ διήγαγεν ἐπὶ πολλαῖς, ὅτι κρατυνομένη καὶ αὐξομένη περιόδοις ἐτῶν καὶ τῶν χεῖρα ὁτεδήποτε πειρασαμένων ἀνταῖραι κατευμεγεθοῦσα περιεγίνετο. εἶτα ἐκκαυθείσης ἄνωθεν ὀργῆς διὰ παιδείαν πάντως συμφέρουσαν βήματι τὸ δὴ λεγόμενον ἐκινήθη καὶ μεταπεπτώκει πρὸς τὸ χεῖρον τὰ πράγματα καὶ ἡ ἀρχὴ ἐς τὸ βραχύτατον συνεστάλη· καὶ ἐπὶ μετρίοις ὅροις συνεληλαμένη ἐδείκνυτο· πρὸς γάρ τοι τοῖς ἄλλοις, μᾶλλον δέ γε πρὸ τῶν ἄλλων καὶ αὐτῆς ἐξεπεπτώκει τῆς βασιλευούσης τῶν πόλεων, ἕως ὁ παιδεύων ἄχρι τοῦ ἰάσασθαι μόνον καὶ εἰς τέλος μὴ παραδιδούς, οὐδ' ἵνα πλήξῃ πλήττων, ἀλλ' ἵνα πρὸς τὸ κρεῖττον μετάθηται, τά τε ἄλλα τῶν τῆς ἀρχῆς ἐξερρυηκότων καὶ αὐτὴν τὴν βασιλεύουσαν ἐπανεσώσατο πόλιν, καὶ ἐπὶ τὸ κρεῖττον αὖθις τῇ αὐτοῦ καὶ ἀρωγῇ καὶ συνάρσει, τὰ τῆς ἀρχῆς ἐπανέδραμε. τότε δὴ ἐν τῇ κινήσει τῶν πραγμάτων ἐκείνῃ, ᾗ τὰ δυσχερῆ ἐπλεόνασε, τότε πρὸς πολλοὺς πολλὰ τῶν τῆς ἀρχῆς μεταπέπτωκε, καὶ ἔτι δὴ ἐς τὸ παρὸν πόλεων τινὲς καὶ χωρῶν ἔστιν οἷς τῶν τότε κατασχόντων ὡς εἰς ἰδιάζουσάν τινα τὴν δεσποτείαν κατέχονται, ἀλλ' ὑποκύπτουσι τῷ ἡμετέρῳ κράτει καὶ τὴν ὑποταγὴν δικαίως ἀσπάζονται. ἡ μέντοι τῷ περιποθήτῳ συμπενθέρῳ τῆς βασιλείας μου, τῷ σεβαστοκράτορι ἐκείνῳ Κομνηνῷ κυρῷ Ἰωάννῃ τῷ Δούκᾳ κατὰ κόσμον χρηματίσασα σύζυγος, εἶτα τὸν μοναδικὸν ζυγὸν ὑποδῦσα Κομνηνὴ κυρὰ Ὑπομονὴ ἡ Δούκαινα, τὸ τῆς βασιλείας καλῶς ἐπεγνωκυῖα δικαίωμα, καὶ ὡς οὐκ ἔστιν ἐν βεβαίῳ τὴν τῶν προσόντων ἀποφέρεσθαι κτῆσιν, οὔτε μὴν καθ' ἕνα τῶν ἐν βίῳ, οὔτε μοναστῶν καταγώγιον, εἰ μὴ τὸ

κῦρος ἐπιθείη τούτοις βασιλικὰ διατάγματα, διαπέμπεταί τε πρὸς τὴν ἡμετέραν βασιλείαν, καὶ τῇ παρ' αὐτῆς συστάσῃ σεβασμίᾳ μονῇ τὸ κῦρος τῶν ἐνυπαρχόντων αἰτεῖται διὰ χρυσοβούλλου προσγενέσθαι τῆς βασιλείας μου. ἔστι μὲν οὖν ἡ οἰκοδομηθεῖσα αὕτη καὶ συστᾶσα παρὰ ταύτης μονὴ πλησίον που διακειμένη τοῦ ἄστεος, ὃ Φανάριον ὀνομάζεται, τιμᾶται δὲ ἐπ' ὀνόματι τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης, καὶ ἐπικέκληται οὕτω πως τῆς Λυκουσάδος· ἃ δὲ αὐτῇ τῇ μονῇ προσήρμοσε κτήματα, ἐκεῖ μὲν ὁπουδήποτε τυγχάνουσι διακείμενα, καὶ ταῦτα δέ γε κατωτέρω ἐξ ὀνόματος δηλωθήσεται. τῇ τοιαύτῃ τοιγαροῦν αἰτήσει αὐτῆς οὐκ ἔγνω δέον εἶναι ἡ βασιλεία μου ὑπέρθεσίν τινα δοῦναι καὶ μὴ παραυτὰ τῷ τέλει ἐναγαγεῖν, ἀλλὰ τῆς εὐγνωμοσύνης ὥσπερ ἀμειβομένη ταύτην καὶ τῆς τοῦ καλοῦ ἐπιγνώσεως ἑτοιμότατα κατανεύει πρὸς τὸ αἰτούμενον, καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπορέγει αὐτῇ, δι' οὗ καὶ εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται κατέχεσθαι παρὰ τῆς διαληφθείσης σεβασμίας μονῆς τὰ παρὰ τῆς εἰρημένης συζύγου τοῦ μνημονευθέντος σεβαστοκράτορος προσαρμόσαντα αὐτῇ ὁποιαδήτινα κτήματα, ἃ δὴ καὶ κατὰ μέρος οὕτως ἐπ' ὀνόματος ἔχουσι· χωρίον ἡ Λυκουσάδα, ἐν ᾧ καὶ ἡ τοιαύτη ἀνηγέρθη μονή. ἕτερον χωρίον ἡ Βατουσιάνη. τὸ περὶ τὰ Τρίκκαλα χωρίον, ὅπερ εὑρίσκεται κατέχουσα ἡ μονὴ μετὰ τοῦ ἐκεῖσε λουτροῦ. μετόχιον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου ἐπιλεγόμενον ἡ Ῥάξα μετὰ τῶν ἐν αὐτῷ παροίκων τῶν διαλαμβανομένων κατ' ὄνομα ἐν τοῖς προσοῦσιν αὐτῷ δικαιώμασιν, ἔτι δὲ καὶ τῆς κατεχομένης παρ' αὐτοῦ τοῦ μετοχίου γῆς καὶ τῶν μυλοθεσίων καὶ ἀμπελίων. ἕτερον μετόχιον ὁ Τριστενίκος εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Γεωργίου. ἕτερον εἰς ὄνομα τοῦ ἁγίου Ἀνδρέου μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ἀμπελίων καὶ τῆς προστεθείσης ἀρτίως γῆς Βλαχοκατοῦνα ἡ ἐπιλεγομένη Πρακτικάτου. χωρίον ἡ Γοριάνη μετὰ τῶν ἐν αὐτῷ μυλοθεσίων καὶ ἀμπελίων. εἰς τὴν λίμνην τοῦ Ἐζεροῦ σανδάλια δύο μετὰ καὶ ἁλιέων δύο. μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Δημητρίου ἐν τῷ θέματι Βουναίνης διακείμενον μετὰ τῶν ἐν αὐτῷ παροίκων, ἀλλὰ δὴ καὶ τῶν ἀμπελίων καὶ μυλοθεσίων. ἔτι τε εἰς τὸν τόπον τοῦ Ἁλμυροῦ χωρίον ἡ Μαγοῦλα καὶ οἱ Σιμισαράτοι λεγόμενοι σὺν τῇ ἐκεῖσε γῇ τῶν Λεβαχάτων καὶ Ταρωνάτων. ἃ δὴ πάντα καθέξει ἡ εἰρημένη σεβασμία μονὴ τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης κατὰ δεσποτείαν καὶ νομὴν ἀναφαίρετον, ὡς κατὰ μέρος διαλαμβάνονται ἐν τοῖς γεγονόσιν ἐπ' αὐτοῖς πρακτικοῖς, ἔτι δὲ καὶ ὡς προσεκυρώθησαν καὶ προσετέθησαν ταύτῃ παρὰ τῆς διαληφθείσης συζύγου τοῦ δηλωθέντος σεβαστοκράτορος, καὶ νεμηθήσεται αὐτὰ ἀνενόχλητα, ἀδιάσειστά τε καὶ ἀναπόσπαστα εἰς ἅπαντα τὸν ἑξῆς

ἄλλως ἡγεῖσθαι τὸ τοιοῦτον ὄρος αἰδέσιμον καὶ τιμῆς ἁπάσης ἐπαπολαύειν δίκαιον ὂν καὶ νομίζειν μᾶλλον τιμᾶσθαι τὴν βασιλείαν μου ἐκ τῆς πρὸς τοῦτο τιμῆς, ἐπεὶ καὶ δοξάζειν οἶδε θεὸς τοὺς τοῦτον δοξάζοντας· ὄρος γὰρ τοῦτο ὑπερηρμένον τῶν καθ' ἡμᾶς, ὄρος θεῖον, κατὰ τὸν Ἀββακούμ, δασὺ καὶ κατάσκιον ταῖς τῶν ἀρετῶν ἐργασίαις καὶ ἀρεταῖς παντοίαις κατάκοσμον· εἰ δὲ καὶ ἁγιάσματος τόπον καλέσαι τὶς βούλεται καὶ οἶκον τοῦ θείου Ἰακώβ, προσφυὲς μὲν τὸ πρᾶγμα καὶ τῆς ἀληθείας ἄκρως ἐχόμενον. κἂν τις θεωρείη τρανώτερον, πλήρης ὁ θεῖος οἶκος οὗτος δόξης πολλῆς· πλὴν ἔσται κἂν τοῖς ἐσχάτοις τούτοις καιροῖς μέρος δόξης ἀπονενεμημένον τούτῳ παρὰ τῆς βασιλείας μου, οὕτω καὶ ἣν εἶχε πάλαι ἴδοι τις ἂν ἐπὶ τὸ μεῖζον κατὰ τὸν προφήτην προκόπτουσαν. ταῦτα τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα βούλεται· τιμᾷ γὰρ ἡ βασιλεία μου τὸν κατὰ καιροὺς ἐν τῷ Σινᾷ προστησόμενον τῶν ὑπερτίμων τῷ ἀξιώματι, καὶ διορίζεται συναριθμεῖσθαι τρίτον τοῖς οὕτω τετιμημένοις ἐν ἅπασι, καὶ συντιμᾶσθαι ἐν ταῖς προόδοις, καθέδραις, στάσεσί τε καὶ συνελεύσεσιν· ἀμφιέννυσθαι δὲ καὶ ἄμφια, ὁποῖα καὶ τῶν ἀρχιερέων, ὁπόσοι τὴν τοιαύτην τιμὴν ἐκ τῶν ἔκαθεν χρόνων καὶ νῦν ἀπέλαβον, τἄλλα τε πάντα, ὅσα τούτοις καὶ τούτῳ προσέσται, κατὰ μηδὲν ἐλαττούμενα. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου κατὰ μῆνα ἰούλιον ἰνδ. ιδ' †.

Εἶχε δὲ καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρός . . .

Primi ediderunt Rhalles et Potles in Collect. Canon. V. p. 326 e cod. msc. Gerasimi archiepiscopi, iterum Zachariae, Jus graeco-romanum III. p. 593.

II. 7091—1583, mense iulio, [ind. XI.].

Synodus decernit, monasterium Christi Salvatoris in monte Sinai liberum esse et ejus abbatem dignitate episcopi frui.

Ἴσον ἀπαράλλακτον τοῦ καθολικοῦ συνοδικοῦ γράμματος τοῦ γεγονότος ἐν τῷ καιρῷ τοῦ ἀοιδίμου πατριάρχου Κωνσταντινουπόλεως, κῦρ Ἱερεμίου καὶ δοθὲν τοῖς Σιναΐταις.

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †

† Ἔδει μὲν τοὺς βουλομένους διὰ γραμμάτων συνοδικῶν τὴν ὀφειλομένην καὶ πρέπουσαν παρέχειν βοήθειαν ἑκάστῳ τῶν ὑπὸ βασιλικῆς προμηθείας ἀνεγερθέντων μοναστηρίων, μὴ μόνον ἁπλῶς καὶ ἀπερισκέπτως κεχρῆσθαι τοῖς γράμμασιν,

ἀλλὰ καὶ πρὸ παντὸς ἄλλου σκοπεῖν, ὅπως τε ταῦτα βασιλικὰ ἐκλήθησαν ἐξ ἀρχῆς καὶ τίσι νόμοις τε καὶ θεσπίσμασι τῆς τοιαύτης τετύχηκε κλήσεως· ἐπειδὴ δέ τινες τῶν πρὸ ἡμῶν πατριαρχευσάντων ἀγνοήσαντες ὅλως, ὡς φαίνεται, τὴν πάλαι περὶ τὸ Σίναιον ὄρος βασιλικὴν πρόνοιαν, μηδὲ ἐντυχόντες ταῖς νεαραῖς καὶ τοῖς συνοδικοῖς θείοις θεσπίσμασιν, ἃ δὴ πάντα τὰ περὶ τούτου δηλοῦσι πλατύτερον, ἀγνοίᾳ, ὡς ἔοικε, τῶν τοιούτων γράμματά τινα κατὰ καιροὺς ἔφθασαν ἐπιδεδωκότες κατὰ μηδὲν τῆς ἀρχαίας ἐκείνης ἀκολουθίας ἐχόμενα, ἀναγκαῖον καὶ δίκαιον ἔγνωμεν, ἵνα πρῶτον μὲν αὐταῖς λέξεσιν ὧδε ἐγχαραχθῇ ἡ φαινομένη νεαρὰ τοῦ ἀοιδίμου βασιλέως Ῥωμαίων Ἰουστινιανοῦ τοῦ Μεγάλου, ἐν ᾗ πρὸς τοῖς ἄλλοις καὶ τὸ Σίναιον ὄρος ἐπισκοπὴ φαίνεται· εἶθ' οὕτως καὶ τὰ μετὰ τοῦτο συμβάντα δῆλα ποιήσωμεν. ἔχει δὲ οὕτως ἡ νεαρὰ ἤτοι τὸ ἐκβληθὲν ἀπὸ τοῦ παλαιοῦ κώδικος ἐπὶ Ἀναστασίου πατριάρχου θεουπόλεως μεγάλης Ἀντιοχείας, τὰ σκῆπτρα Ῥωμαίων διιθύνοντος τοῦ Μεγάλου Ἰουστινιανοῦ, ὅτε τὰ Ἱεροσόλυμα ἐτιμήθη εἰς πατριαρχεῖον τοῦ ͵ςμβ' ἔτους· „συνελθόντων συνοδικῶς τοῦ Κωνσταντινουπόλεως, τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἀντιοχείας κατὰ μῆνα αὔγουστον ἰνδικτιῶνος ιγ' καὶ θεσπισάντων ἀρᾷ ὑποκεῖσθαι τὸν τολμήσαντα παραθραῦσαι ἢ παρασαλεῦσαι τὸ τοιοῦτον θέσπισμα, καὶ δέδωκεν ὁ Ἀντιοχείας ἀπὸ τῶν ὑποκειμένων μητροπόλεων τῷ ἑαυτοῦ θρόνῳ δύω, τὴν τῆς Καισαρείας τῆς Παλαιστίνης καὶ τῆς Σκυθουπόλεως, ἀπέσπασε δὲ καὶ ἀπὸ τῆς μητροπόλεως Τύρου τὴν Πορφυρόπολιν, καὶ ἔθεντο σύνορον τὸν ποταμὸν τὸν ἀνὰ μέσον Πτολεμαΐδος καὶ τὸν Καρμηλίου ὄρους Ζαβουλών, ὡσαύτως καὶ ἀπὸ τῆς μητροπόλεως Βόστρας τῆς Αὐσίτιδος ἐπισκοπὰς τέσσαρας, τὴν Γαδείρων, τὴν Καπετωλιάδος, τὴν Ἀβίλλης καὶ τὴν Γάβα, καὶ ἀφιέρωσε ταῦτα εἰς Ἱεροσόλυμα, καὶ ἔθεντο σύνορον ἕως τῆς Αὐσίτιδος χώρας. ὁ δὲ Ἀλεξανδρείας δέδωκε καὶ αὐτὸς ἀπὸ τῶν ὑποκειμένων ἑαυτοῦ θρόνῳ μητροπόλεων τὴν Βόστραν τῆς Ἀραβίας καὶ τὴν Πέτρας καὶ ἐπισκοπὰς ἕξ, τὴν Γάζαν, τὴν Ἀσκάλωνος, τὴν Ἐλευθερούπολιν, τὴν Φαράν, τὴν Αἰλίας καὶ τὸ Σινᾶ ὄρος· ἠσφαλίσαντο δὲ τὸν θρόνον τοῦ Σινᾶ ὄρους, ἵνα μηδεὶς καθίσῃ ἐπ' αὐτῷ, καὶ ἐποίησαν σύνορον ἕως τῆς Ἐρυθρᾶς Θαλάσσης"· καὶ ταῦτα μὲν ἡ νεαρά. ἐν δὲ τῷ τακτικῷ ἔχει οὕτως· „ὁ τοῦ Σινᾶ ὄρους οὗτός ἐστιν ἡγούμενος καὶ ἐπίσκοπος": ἐκ δὴ τούτων καὶ τῶν τοιούτων ἐπισκοπῆς ἀναφαινομένης τῆς κατὰ τὸ Σίναιον ὄρος βασιλικῆς καὶ θείας μονῆς πρὸ χρόνων οὐκ ὀλίγων τινὲς τῶν τότε ἐνασκουμένων ἐν τῇ θείᾳ μονῇ ταύτῃ οὐκ οἶδ' ὅπως κινηθέντες ἐν τοῖς καιροῖς ἐκείνοις, παραιτησάμενοι τὸ ἔχειν ἐπίσκοπον καὶ ὅλως κατὰ τὴν ἀρχαίαν στοιχεῖν ὑποτύπωσιν, βουλὴν κακίστην καὶ παρὰ νόμους ἐκύρωσαν ἐν αὐτοῖς, ἵνα δηλονότι μηκέτι χειροτονῆται ἐν τῷ μοναστηρίῳ τούτῳ ἐπίσκοπος· τούτου δὲ γενομένου πλήρη τὰ πράγματα συγχύσεως γέγονε, καὶ πατρι-

αρχικὰ προέβησαν γράμματα, ἄλλοις παρὰ τὸ πρέπον καὶ δίκαιον τὴν ἐξουσίαν τε καὶ διοίκησιν χορηγοῦντα τοῦ αὐτοῦ θείου μοναστηρίου· ἀλλὰ ταῦτα μὲν πρότερον καὶ ἕως οὗ ἀφανὴς ἦν ἡ ἀνωτέρω ῥηθεῖσα νεαρά, τοῦ δὲ ἀοιδίμου ἐκείνου πατριάρχου κῦρ Διονυσίου τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον διέποντος, ὁ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων κῦρ Γερμανός, σωματικῶς ὧδε ἐν Κωνσταντίνου παραγενόμενος καὶ ἐντυχὼν νομίμῳ βασιλικῷ παλαιῷ [κώδικι], πρὸς τοῖς ἄλλοις καὶ τὴν ῥηθεῖσαν νεαρὰν ἔχοντι γεγραμμένην, τὰ μὲν οὕτως ἔχοντα τῆς ἐπαρχίας αὐτοῦ πάσης ὅρια, ἐζήτησεν ἐπιβεβαιωθῆναι παρὰ τῆς τότε ἐνδημούσης μεγάλης τῶν ἀρχιερέων συνόδου. καὶ τοῦ σκοποῦ οὐ διήμαρτεν, ὥσπερ τὸ δοθὲν αὐτῷ τότε συνοδικὸν γράμμα δηλοποιεῖ, ὅπερ ἡ μετριότης ἡμῶν ἀρτίως ἀνέγνω καὶ ἐθεάσατο. οὐδὲν δὲ ἰδίως περὶ τῆς ἐλευθερίας τῆς θείας ταύτης καὶ βασιλικῆς μονῆς καὶ τοῦ ἐν αὐτῇ ὀφείλοντος εἶναι ἐπισκόπου καὶ τῶν ἄλλων, ὅσα συντείνουσι εἰς σύστασιν καὶ διαμονὴν ταύτην ἐζητήθη ἢ ἐλαλήθη τῷ τότε συνοδικῶς, διὸ καὶ ἔτι μέχρι τοῦ νῦν ἀμφίβολα ἦσαν τὰ περὶ τούτου, μὴ φαινομένων τῶν εἰρημένων γραμμάτων καὶ νεαρῶν, καὶ ἕκαστος τῶν πατριαρχῶν ἐζήτει καὶ ἤθελεν ἐξουσιάζειν καὶ διοικεῖν ἐν αὐτῇ τῇ θείᾳ μονῇ ἄνευ ἐπισκόπου μενούσης. ἐπεὶ δὲ τῆς ἡμῶν μετριότητος συνοδικῶς ἄρτι προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν παρευρεθέντων ἱερωτάτων μητροπολιτῶν καὶ θεοφιλεστάτων ἐπισκόπων, παραστάντες οἱ ἐπὶ τούτῳ ἀποσταλέντες παρὰ τῆς θείας ταύτης μονῆς, ὅ τε ὁσιώτατος ἱερομόναχος καὶ πνευματικὸς [πατὴρ] κῦρ Ἰωσὴφ καὶ ὁ ἐν μοναχοῖς ὁσιώτατος Μωϋσῆς ἤρξαντο δικαιολογεῖσθαι καὶ ἀναφέρειν τὰ κατὰ τὴν μονὴν δίκαια, δίκαιον ἐφάνη καὶ εὔλογον καὶ θεάρεστον, ἵνα ἡ παλαιὰ αὕτη βασιλικὴ νεαρά, ἥτις τὰ νῦν εὑρέθη καὶ ἀνεγνώσθη ἐνώπιον ἡμῶν, ὑπάρχῃ βεβαία καὶ ἀμετάτρεπτος, ἕως οὗ ὁ ἥλιος ἐφορᾷ, καὶ προτιμᾶται τῶν ἄλλων ἁπάντων γραμμάτων τῶν μεταγενεστέρων παρὰ μηδὲν καταλυομένη τὸ σύνολον. ὁ γὰρ ἑπτακαιδέκατος κανὼν τῆς ἁγίας οἰκουμενικῆς δ΄ συνόδου πρὸς τοῖς ἄλλοις καὶ ταῦτά φησιν· „ὡς δέον ἐστὶ καὶ τὴν τῶν ἐκκλησιαστικῶν παροικιῶν τε καὶ πραγμάτων τάξιν τοῖς βασιλικοῖς τύποις ἀκολουθεῖν". καὶ μετ' ὀλίγον πάλιν· „ἔξεστι γὰρ τῷ βασιλεῖ περὶ ἐνοριῶν ἐκκλησιαστικῶν διατάττεσθαι καὶ προνόμιά τινων ἀφαιρεῖσθαι καὶ ἐπισκοπὰς αὖθις εἰς μητροπόλεις τιμᾶν καὶ ἡγουμένους προχειρίζεσθαι καὶ ἕτερά τινα τοιαῦτα ποιεῖν". ἔπειτα κατὰ τὴν δοθεῖσαν τότε βασιλικὴν καὶ συνοδικὴν ἐξουσίαν καὶ διατύπωσιν ἐπισκοπὴ εἴη καὶ διαμένῃ τὸ κατὰ τὸ Σίναιον ὄρος σεπτὸν μοναστήριον τὸ ἐπ' ὀνόματι τιμώμενον τοῦ Σωτῆρος Χριστοῦ, καὶ ἔχῃ διηνεκῶς καὶ ἀμεταθέτως τὸν αὐτὸν ἡγούμενον καὶ ἐπίσκοπον, ὡς ἐν τῷ τακτικῷ εἴρηται, ὅπερ αὐταῖς λέξεσιν ἀνωτέρω ἐσημειώσαμεν, ὡς ἂν αἵ τε βασιλικαὶ καὶ συνοδικαὶ διατάξεις μένωσιν

ἀπαράθραυστοι, καὶ τὸ αὐτὸ θεῖον μοναστήριον παρὰ τοῦ γνησίου ἐπισκόπου αὐτοῦ καὶ ἡγουμένου οἰκονομῆται καὶ διεξάγηται, γνησίως δηλονότι καὶ ἐλευθέρως, καὶ μηδεὶς ἄλλως τῶν ἁπάντων ἀρχιερεὺς τολμᾷ παρ' ἐνορίας χειροτονεῖν ἐν αὐτῷ σωζομένου καὶ μένοντος τοῦ καθολικοῦ ἐπισκόπου Σινᾶ· καὶ ὡς ἀληθῶς ἐμάθομεν παρὰ τῶν κανόνων, ὁπόσοι οἱ παρ' ἐνορίας χειροτονοῦντες παιδεύονται, καὶ πρῶτον ὁ λε' τῶν ἁγίων ἀποστόλων κανὼν οὕτω φησίν· „ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν αὐτοῦ ὅρων χειροτονίας ποιεῖσθαι ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ πόλεσι καὶ χώραις. εἰ δέ τις τοῦτο πεποιηκὼς ἐλεγχθείη παρὰ γνώμης τῶν αὐτὰς κατεχόντων, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησεν. ἀλλ' οὐδὲ αὐτῷ τῷ μητροπολίτῃ ἔξεστιν εἰς ἐνορίας τινὸς τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἀνιέναι καὶ ἱεραρχικόν τι τελεῖν γνώμης ἄνευ τοῦ ἐπισκόπου". ὁμοίως δὲ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου ιγ' καὶ κβ' κανὼν τὰ αὐτὰ τούτοις διαλαμβάνει, ὧν οὕτως ἐχόντων δίκαιον τοὺς πάντας φυλάττεσθαι, ὥστε μὴ ὑποδίκους γενέσθαι ταῖς συνοδικαῖς ἐκείναις πρώταις ἀραῖς καὶ τῇ καταδίκῃ τῶν ῥηθέντων κανόνων· καὶ γὰρ ἡμεῖς ταῦτα ἀκριβῶς καταμαθόντες τὰ νῦν, πάντα τὰ ἄλλα ἀφέμενοι τὰ καιρικῶς οἰκονομηθέντα τὸ παρὸν συνοδικὸν γράμμα ἤδη παρέχομεν, δι' οὗ γράφουσι συνοδικῶς διορίζεται καὶ ἐντέλλεται, ἵνα κατὰ τὴν ἀρχαίαν ταύτην βασιλικὴν καὶ συνοδικὴν διατύπωσιν τὴν ἀνωτέρω ῥηθεῖσαν ἐν τῇ θείᾳ μονῇ ταύτῃ ὁ αὐτὸς ἡγούμενος καὶ ἐπίσκοπος, ἕως οὗ ὁ ἥλιος ἐφορᾷ, γνησίως καὶ ἐνοριακῶς ἀρχιερατεύῃ καὶ διακρίνῃ καὶ οἰκονομῇ καὶ πάντα ποιῇ εἰς σύστασιν τῆς μονῆς, ἔπειτα κατὰ τὴν δοθεῖσαν τῇ μονῇ ταύτῃ βασιλικὴν ἀσφάλειαν ὑπάρχῃ τὸ μοναστήριον τοῦτο ἐλεύθερον, ἀδούλωτον καὶ ἀκαταπάτητον ἐκ παντὸς προσώπου, μόνον ἔχον κατὰ καιροὺς τὸν αὐτὸν ἐπίσκοπον καὶ ἡγούμενον, ὡς ἀνωτέρω πολλάκις εἰρήκαμεν, ὅστις ἐπίσκοπος, ἵνα γνήσιος εἴη τοῦ μοναστηρίου ἄνθρωπος καὶ μὴ ἐντὸς καθεζόμενος ἔξω βλέπῃ καὶ εἰς ἀφανισμὸν ἀντὶ συστάσεως ἀφορᾷ τῆς μονῆς, ἐκλέγεσθαι ὀφείλει παρὰ τῆς κοινότητος πάσης τῶν προκρίτων τοῦ μοναστηρίου γερόντων, εἶθ' οὕτως κανονικῶς καὶ ἀδωροδοκήτως παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων τὴν χειροτονίαν δέχεσθαι, ἅτε καὶ τῆς ταύτης ἐπισκοπῆς ἐντὸς τῶν ὁρίων τοῦ Ἱεροσολύμων οὔσης. τούτων οὖν οὕτως εἰρημένων κατὰ τὸ πρέπον καὶ δίκαιον καὶ ἐπισκόπου γνησίου ὀφείλοντος εἶναι ἐν αὐτῷ διηνεκῶς, εἰκότως ἄρα παραβάτης καὶ τῷ παρ' ἐνορίας ὑπόδικος ἔσται ἐγκλήματι, ὁποίου ἂν εἴη καταλόγου ὁ τολμήσων χειροτονίαν ποιεῖν ἐν αὐτῷ, γνησίου παρόντος ἀρχιερέως καὶ διακρίνειν καὶ ἐξουσιάζειν καὶ ἄρχειν, ὅπερ ἵνα μὴ συμβῇ τινι καὶ ὑπεύθυνος τῷ τε θεῷ καὶ τοῖς κανόσι εἴη ὁ τοῦτο δρᾶσαι τολμήσας, ἕκαστος μενέτω ἐν ᾗ ἐτάχθη καταστάσει καὶ μὴ ἀπτέσθω τοῦ μοναστηρίου τὸ σύνολον. καὶ γὰρ τὸ μοναστήριον τοῦτο ἐλεύθερόν ἐστι

καὶ ἐπίσκοπον ἔχειν ὀφείλει ἀεὶ καὶ διοικητήν, ὡς εἰρήκαμεν· ταῦτα δὲ λέγοντες συνεπινοεῖσθαι καὶ τοῦτο βουλόμεθα, ὅτι ὅσα κατά τινα οἰκονομίαν ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐγένοντο γράμματα, ταῦτα φανείσης ἤδη τῆς ἀληθοῦς ἀποδείξεως τῶν γραμμάτων δικαίως ἀργεῖν ὀφείλουσιν, ὥστε μηδένα τῶν στηριζομένων ἐν τούτοις ἰσχύειν εἰς τὸ ἑξῆς ἐναντιοῦσθαι ἢ ἀνατρέπειν ὅλως τὴν καθολικὴν ταύτην καὶ βεβαίαν βασιλικὴν καὶ συνοδικὴν διάγνωσιν ἐν τῷ ἐθέλειν αὖθις ἐξουσιάζειν ἐν αὐτῇ. ὁ γοῦν ταῦτα ἀνατρέψαι βουληθησόμενος, οἷς οἶομαι καὶ τοὺς ἄλλους τῶν ἁγιωτάτων πατριαρχικῶν ἀπαραιτήτως συναινέσειν, ἀρᾷ καὶ ἀναθέματι ὑποκείσεται κατὰ τὸν κανόνα τὸν οὑτωσὶ διαγορεύοντα· „τοὺς παρὰ τῶν ἁγίων πατέρων ἐκτεθέντας κανόνας ἐν γνώσει παραβαίνοντας καὶ μὴ ὡς ἄνωθεν κατενεχθέντας θείους χρησμοὺς ἐν τιμῇ καὶ εὐλαβείᾳ ἔχοντας, τούτους ἡ ἁγία τετάρτη καὶ οἰκουμενικὴ σύνοδος καὶ ἡ ἑβδόμη ἀναθέματι καθυποβάλλουσιν". ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν γράμμα συνοδικῶς ἐγεγόνει καὶ ἐπεδόθη τῇ θείᾳ καὶ βασιλικῇ μονῇ τοῦ Σιναίου ὄρους τῇ ἐπ' ὀνόματι τοῦ Σωτῆρος Χριστοῦ τιμωμένῃ καὶ τῷ κατὰ καιροὺς αὐτῆς ἐπισκόπῳ σὺν τοῖς ἐκεῖ θεοφιλῶς ἐνασκουμένοις τιμίοις ἀδελφοῖς εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐν ἔτει ,αεπγ' [1]) κατὰ μῆνα ἰούλιον.

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἰωακείμ, ἐλέῳ θεοῦ πατριάρχης τῆς μεγάλης θεουπόλεως Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς †.

† Γερμανός, ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης †.

† Ἀρχιεπίσκοπος Κύπρου Τιμόθεος †.

† Ταπεινὸς μητροπολίτης Ἐφέσου Ἀθανάσιος †.

† Νικαίας Κύριλλος †.

† Ταπεινὸς Συμεὼν ἐπίσκοπος Παναγίας †.

† Ταπεινὸς μητροπολίτης Ἡρακλείας Γεράσιμος †.

† Γρηγορίος Προύσης †.

† Ταπεινὸς μητροπολίτης Νικομηδείας Σισίννιος †.

† Περιθεωρίου Γρηγόριος †.

† Ταπεινὸς μητροπολίτης Τραπεζοῦντος Ἄνθιμος †.

† Ἐπίσκοπος Λαζίας Ἄνθιμος †.

† Ταπεινὸς μητροπολίτης Σερρῶν †.

---

[1]) In editione legitur: ,αζπγ'.

† Μητροπολίτης Βοδονίτζας †.
† Ταπεινὸς μητροπολίτης καὶ ἔξαρχος πάσης Ἀσίας ... †.
† Ταπεινὸς μητροπολίτης Δανιὴλ Πισιδίας †.
† Ταπεινὸς μητροπολίτης ... Δωρόθεος †.
† Παλαιῶν Πατρῶν Μεθόδιος †.
† Ἰωάσαφ ταπεινὸς ... †.
† Τραϊανουπόλεως Ἰωάσαφ †.
† Λακεδαιμονίας Θεοδόσιος †.
† Ταπεινὸς μητροπολίτης Αἴνου Ματθαῖος †.
† Ταπεινὸς ἐπίσκοπος Αἱμαθούντων Γερμανός †.
† Κερκύρας Θεοδόσιος †.
† Ταπεινὸς μητροπολίτης Τρικάλλου †.
† Μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας Ἀναστάσιος ἱερεύς †.
† Μέγας λογοθέτης τῆς μεγάλης ἐκκλησίας Ἱέραξ †.
† Μέγας σακελλάριος τῆς μεγάλης ἐκκλησίας †.
† Μέγας σκευοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.
† Μέγας χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.
† Μέγας ἐκκλησιάρχης τῆς μεγάλης ἐκκλησίας †.
† Μέγας πρωτοσύγκελλος τῆς μεγάλης ἐκκλησίας †.
† Λυγερὸς ὁ μέγας ῥήτωρ τῆς μεγάλης ἐκκλησίας †.
† Πρωτέκδικος τῆς μεγάλης ἐκκλησίας †.
† Ῥήτωρ τῆς μεγάλης ἐκκλησίας Γαιρᾶς †.
† Νομοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.
† Ἀνδρέας ὁ λογοθέτης τῆς μεγάλης ἐκκλησίας †.
† Γεώργιος ὁ δικαιοφύλαξ τῆς μεγάλης ἐκκλησίας †.
† Θεοδόσιος ὁ πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας †.
† Διονύσιος ἀρχιδιάκονος τῆς μεγάλης ἐκκλησίας †.

Extat in libro: Περιγραφὴ ἱερὰ διηγουμένη συντόμως καὶ περιληπτικῶς τὰ ἐπισημότερα τοῦ ἁγίου καὶ θεοβαδίστου ὄρους Σινᾶ παρὰ Ἱερεμία ἀρχιμανδρίτου Σιναΐτου τοῦ ἐκ Κυδωνίας τῆς Κρήτης. *Venetiis. 1768. p. 50.*

XI.

Privilegia Theodoro Scutariotae concessa.

I. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus diacono Theodoro Scutariotae confert dignitatem dicaeophylacis.

Ὁρισμὸς τοῦ βασιλέως [Μιχαὴλ Δούκα Ἀγγέλου] Κομνηνοῦ [τοῦ Παλαιολόγου] πρὸς [Θεόδωρον] τὸν Σκουταριώτην γεγονότα [μητροπολίτην] Κυζίκου. ὁρισμὸς προσκυνητὸς τοῦ κραταιοῦ καὶ θεοστεφοῦς ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅτε με τῷ τοῦ δικαιοφύλακος ἐτίμησεν ἀξιώματι.

† Μιμεῖται καὶ Μωϋσῆν ἐκεῖνον ἡ βασιλεία μου τὸν δημαγωγόν, καὶ πρὸς τὸν τῆς νομοθεσίας ἐκείνου ζῆλον ὡς ἐφικτὸν ἀπευθύνεται· ὡς γὰρ ἐκεῖνος τὸν δακτύλῳ θεοῦ γραφέντα νόμον ἐγχειρισθεὶς διὰ τοῦ Ἀαρών, σεμνυνομένου τὸ τηνικαῦτα τῷ ἱερατικῷ ἀξιώματι, τῷ ἰσραηλιτικῷ λαῷ διεπόρθμευε, κατὰ ταῦτα καὶ ἡ βασιλεία μου τὸ παντὸς τιμώμενον τῆς βασιλείας χρῆμα λαβοῦσα παρὰ θεοῦ, ἣν ἔννομον ἀρχὴν οἱ πάλαι ὡρίσαντο, κἀντεῦθεν οὖσα νόμος ἔμψυχος ἀτεχνῶς, ὡς καὶ τὸ δόξαν ταύτῃ καθάπερ νόμον γραπτὸν καὶ λέγεσθαι καὶ πιστεύεσθαι, τὸν ἐντιμότατον ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεόδωρον διάκονον τῶν Σκουταριώτην ἄνδρα εὑροῦσα κατὰ τὴν παλαμηφορουμένην θεῷ καρδίαν αὐτῆς, καὶ πρὸς ταῖς ἄλλαις λογικαῖς ἐπιστήμαις καὶ τοὺς λόγους ἀκριβῶς μελετήσαντα, καὶ τῷ ἱερῷ καὶ θείῳ καταλόγῳ ἐμπρέποντα, τῇ τοῦ δικαιοφύλακος ἀξίᾳ τιμᾶν· χρεὼν γὰρ τὸν ἔκ τε θείων καὶ ἀποστολικῶν κανόνων, ἔκ τε τῶν νόμων, οὓς σοφοὶ ἄνδρες ἐξέθεντο, γνῶσιν εἰς τὰ μάλιστα συλλεξάμενον καὶ τῷ δικαιοφυλακικῷ ἐνσεμνύνεσθαι ἀξιώματι. ὅθεν καὶ διορίζεται ἡ βασιλεία μου διὰ τῆς παρούσης αὐτῆς προστάξεως, διενεργεῖσθαι παρὰ τοῦ διαληφθέντος ἐντιμοτάτου ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεοδώρου διακόνου τοῦ Σκουταριώτου τὸ δικαιοφυλακικὸν ὀφφίκιον, μετὰ πάντων τῶν ἀπονενεμημένων αὐτῷ δικαίων καὶ καθὼς ἐνεργεῖτο καὶ παρὰ τῶν πάλαι κεκτημένων αὐτό, καὶ τῆς αὐτῆς ἐκείνης μετέχειν τοῦτον τιμῆς τε καὶ τάξεως, ἔν τε καθέδραις,

στάσεσι καὶ πᾶσιν ἄλλοις, καὶ ἐν τῷ εὐκτεῖ κλήρῳ τῆς βασιλείας μου, πάσας τε τὰς ἀνέκαθεν προσαρμοθείσας τῷ τοιούτῳ ὀφφικίῳ κρίσεις διεξάγειν καὶ περατοῦν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' διὰ τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. [6778—1270], mense maio, ind. XIII.

Imperator Michaël Palaeologus scribit patriarchae Joseph, ut promoveat diaconum Theodorum Scutariotam ad altiorem dignitatem ecclesiasticam.

Ἕτερον πρόσταγμα σεπτὸν τοῦ κοσμοποθήτου κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δι' οὗ μοι καὶ τόπος ἀπεδόθη κἀν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τοῦ θεοῦ ἀνάλογος, εἰ καὶ διὰ τά τινων ἀπρεπῆ σκάνδαλα καὶ τὴν ἐν τῷ χορῷ τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἄφιλον στάσιν ἀπέκλινα, τὴν εἰρήνην αἱρετισάμενος· μετ' οὐ πολὺ δὲ καὶ σακελλίου ἐσφραγίσθην, καὶ τὸν τόπον τοῦ σακελλίου ἀπέλαβον.

† Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα· οἶδεν ἡ ἁγιωσύνη σου, ὡς ἀνεδέξατο ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα κῦρ Θεόδωρον τὸν Σκουταριώτην, καὶ οἵας καὶ ὅσης[1]) αὐτὸν ἀξιοῖ προσπαθείας καὶ οἰκειώσεως, τῆς τε περὶ τὰ θεῖα γνώσεως αὐτοῦ χάριν, καὶ τῆς περὶ τὰ πράγματα προσούσης τούτῳ εἰδημοσύνης καὶ ἀρετῆς. ἐπεὶ οὖν οὕτως αὐτὸν ἀνεδέξατο καὶ οὕτως ἔχει τοῦτον ἡ βασιλεία μου καὶ τοιούτῳ ἀξιώματι κατεκόσμησεν, οὐ δέον πάντως τὸ μὴ καὶ παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς τῶν συγκλητικῶν [ἀρχόντων] αὐτὸν ἀναλόγως μετέχειν τιμῆς τε καὶ τάξεως ἔν τε τῷ ἐκκλησιαστικῷ ὀφφικίῳ κἀν ταῖς καθέδραις καὶ στάσεσι· χρεὼν γὰρ τόν, ὃν ἡ βασιλεία μου κατὰ λόγον τιμᾷ, καὶ παρὰ τῆς ἁγιωσύνης σου κατ' ἶσον τιμᾶσθαι καὶ τὸν ἐν τῇ βασιλείᾳ κἀν τῇ συγκλήτῳ τίμιον καὶ παρὰ τῇ ἐκκλησίᾳ σου καὶ τῷ κλήρῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τιμῆς καταξιοῦσθαι τῆς κρείττονος· εἴ περ ἐπιστημονάρχης, σὺν θεῷ φάναι, τῆς ἐκκλησίας σου ἡ βασιλεία μου καὶ κατὰ κρίσιν οἰκονομεῖ τοὺς λόγους αὐτῆς· πρὸς τύπον δὲ τῶν βασιλικῶν καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὀφφικίων παρὰ τῶν ἀοιδίμων καὶ φιλευσεβῶν βασιλέων ἐτάχθησαν, καθὼς κἀν τῷ θείῳ ἰδίῳ τοῦ πρώτου τῶν Χριστιανῶν βασιλέως, μεγάλου καὶ ἁγίου Κωνσταντίνου, ὃ

---

1) πόσης Z.

πρὸς τὸν μακάριον ἐξέθετο Σίλβεστρον, οὐκ ἀσαφῶς, ἀλλ' ἄριστα τεθέσπισται, ἐφ' ᾧ καὶ ὀφεῖλον τῷ πρωτοτύπῳ ἐπακολουθεῖν τὰ πρὸς μίμησιν. διά τοι τοῦτο καὶ οἰκονομήσαιτο ἡ ἁγιωσύνη σου ἔχειν ἀπὸ τοῦ νῦν τὸν τοιοῦτον δικαιοφύλακα κἂν τῇ τοῦ θεοῦ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὀφφίκιον τῶν προβαθμίων καὶ ὑψηλῶν καὶ ὡς τῷ κλήρῳ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας καταλεγόμενον ἵστασθαι καὶ προκόπτειν μετὰ τὸν νῦν τιμιώτατον πρωτέκδικον τὸν Γεμιστόν, ἕνα καὶ αὐτὸν ἀπὸ τῶν ἐξωκατακοίλων ἀπό γε τῆς σήμερον γνωριζόμενον, ἄτοπον γὰρ τὸν ἐν καθέδραις ταῖς μείζοσι καὶ προβαθμιαιτέραις τῶν ἐκκλησιαστικῶν ἁγιοσοφιτῶν ἀρχόντων ὡς τὸ εἰκὸς συντιμώμενον, μὴ κἂν τῇ ἐκκλησιαστικῇ στάσει καὶ προκοπῇ τὸν προσήκοντα τόπον ἔχειν καὶ τοῖς ἐξωκατακοίλοις συνίστασθαι καὶ τῆς αὐτῆς συμμετέχειν τούτων τιμῆς τε καὶ προκοπῆς. ἡ μὲν οὖν βασιλεία μου ἤδη τὰ περὶ τούτου προεδήλωσε τῇ ἁγιωσύνῃ σου, ᾗ καὶ ἔργον ἔσται, πρὸς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι τὸ τοιοῦτον τῆς βασιλείας μου θέλημα, ὡς θεάρεστόν τε καὶ δίκαιον· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου ἀπελύθη, ὀφεῖλον ἀντιστραφῆναι τῷ τιμιωτάτῳ δικαιοφύλακι κῦρ Θεοδώρῳ διακόνῳ τῷ Σκουταριώτῃ δι' ἀσφάλειαν †.

† Μηνὶ μαΐῳ ἰνδικτιῶνος ιγ' †.

III. Inter 1275—1282.

Imperator Michaël Palaeologus condecorat metropolitam Cyzici, Theodorum Scutariotam, hypertimi dignitate.

Πρόσταγμα πρὸς τὸν Κυζίκου μητροπολίτην.

† Ἡ βασιλεία μου πρὸς τὴν πρῴην εὔκλειαν πρὸς τὰς χρυσᾶς ἐκείνας ἔννας καὶ εὐημερίας τάς τε πόλεις καὶ χώρας καὶ τὰς τοῦ θεοῦ ἐκκλησίας ἐπαναγαγεῖν ἐθέλουσα καὶ ἀναβιοῦν τὰ τῷ μακρῷ χρόνῳ γηράσαντα, καὶ εἰς ζῆλον τῶν προβεβασιλευκότων τῆς Ῥωμανίας ἀγαθῶν βασιλέων καὶ μεγαλουργῶν ἀνατρέχουσα, καὶ τὰ ἐκείνων ἔργα μεγαλουργὰ ἅμα δὲ καὶ θεῖα καὶ ἔνσεμνα ἐπειγομένη ἀνανεοῦν καὶ τὰ ἀπονενεμημένα ἀνέκαθεν τοῖς ἀρχιερεῦσι τῆς λαμπρᾶς τῆς Κυζίκου πόλεως ἐπίσημα τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυζίκου ἐχαρίσατο, τὸ κεκτῆσθαι τοῦτον δηλονότι τὸ ἐμπρέπον ὑπέρτιμον τοῖς θεσπεσίοις ἀρχιερεῦσί τε καὶ [μητροπολίταις] ἀξίωμα, καὶ τὸ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις μυσταγωγίαις τοῦτον ἀμπίσχεσθαι καὶ λαμπαδοῦχον προτρέχειν αὐτοῦ ἀνὰ πᾶσαν τὴν αὐτῆς ἐνορίαν. ἐφ' ᾧ καὶ διορίζεται ἡ βασιλεία μου, ὑπέρτιμον λέγεσθαι καὶ ὀνομάζεσθαι τὸν διαληφθέντα

μητροπολίτην Κυζίκου, καὶ πᾶν τὸ ἀνέκαθεν προσαρμόσαν τῷ τοιούτῳ ἀξιώματι σέμνωμα ἔχειν κατὰ τὴν ἐπὶ τούτῳ συνήθειαν, ἐνδιδύσκεσθαι δὲ τοῦτον καὶ σάκκον καὶ πολυσταύριον ἐν ταῖς θείαις καὶ ἱεραῖς μυσταγωγίαις καὶ λαμπάδα φαίνουσαν ἔμπροσθεν τούτου προάγεσθαι [ἀνὰ] πᾶσαν τὴν ἐνορίαν· φῶς γὰρ εἶναι τοῦ κόσμου τοὺς μαθητὰς αὐτοῦ Χριστὸς ἀπεφήνατο, φαίνει δὲ καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ, ὁ ἠγαπημένος αὐτῷ φησι μαθητής. κατὰ τοὺς κυριακοὺς οὖν μαθητὰς καὶ τοὺς ὑπὸ τὴν ὑπήκοον τῆς βασιλείας μου πᾶσαν γῆν ἀρχιερεῖς πεφωτισμένους εἶναι θέλουσα καὶ ἐν τῷ σκότει τοῦ βίου τούτου παμφαέστατα διὰ τῆς ἀρετῆς αὐτῶν φαίνειν βουλομένη, (ὡς ἀπὸ μιᾶς γάρ τινος οὐρανομήκους κλίμακος τῶν ὑπηρετῶν τοῦ λόγου καὶ μαθητῶν τὸ μέγα τῆς ἀρχιερωσύνης χρῆμα καὶ πρᾶγμα καὶ εἰς αὐτοὺς καταβέβηκεν), εἰκότως καὶ φῶς τοῦ ἱερωτάτου αὐτοῦ μητροπολίτου Κυζίκου προπορεύεσθαι κέκρικε, καὶ τὰ ἄλλα δὲ ἐπίσημα αὐτῷ ἐδωρήσατο διὰ τῆς παρούσης αὐτῆς προστάξεως, ἥτις καὶ γεγονυῖα ἐπεδόθη αὐτῷ, ὀφείλουσα ἐγκαταστρωθῆναι [1]) καὶ τοῖς τοῦ ἱεροῦ χαρτοφύλακος χαρτίοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας †.

† Εἶχε τό· μηνὶ . . . καὶ ἰνδικτιῶνι . . . δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς [καὶ θείας] χειρός †.

E codice manuscripto Gerasimi archiepiscopi edid. Rhalles et Potles, Coll. can. V. p. 326. Zachariae, Jus graeco-romanum, III. p. 590 et 598.

---

[1]) ἐπιγνωσθῆναι Z.

XII.

Acta varia.

I. 6472—964, mense augusto, ind. IX.

Patriarcha Polyeuctus declarat monasterium Sanctae Mariae dictum Philosophi situm prope Demetsanam esse stauropegium.

Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἴσον ἀπαραλλάκτως τοῦ ἴσου τοῦ πρωτοτύπου πατριαρχικοῦ παλαιγενοῦς σιγιλλιώδους γράμματος, ἐκβληθὲν παρὰ τοῦ παλαιοῦ καὶ ἀρχαίου κώδικος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὁραθέντος παρά τε τῆς ἡμῶν μετριότητος καὶ τῆς ὑπερτελεστάτης ἱερᾶς τῶν ἀρχιερέων συνόδου, τῶν ἐν ἁγίῳ πνεύματι ποθεινοτάτων ἀδελφῶν καὶ συλλειτουργῶν, τῶν καὶ κάτωθεν ὑπογραψόντων.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Καὶ λιμένων μὲν κατασκευαὶ τοῖς ἐκ πελάγους χειμαζομένοις, οἰκιῶν τε καταστάσεις πρόξενοι ὑποδοχῆς, τἄλλα τε, ὅσα τοῖς ἀνθρώποις ἐπινενόηται πρὸς ἐπικουρίαν τῶν ἐνοχλούντων, πρᾶγμα τοῦτο λυσιτελὲς καὶ πολλὴν ὠφέλειαν ἐμποιοῦν τοῖς περὶ ταῦτα ἐσπουδακόσιν· ἀλλ' οὔπω πάντα ταῦτα τοσοῦτον ἐπωφελεῖ, ὅσον ἱερῶν οἴκων οἰκοδομαὶ καὶ προσόδων χορηγία πρὸς τοῦτο τὴν διαμονὴν αὐτῶν διασώζουσα. τὰ μὲν γὰρ κἂν τινα παρέχωνται τὴν ὠφέλειαν, ἀλλὰ περὶ τὸ σῶμα, καὶ μόνον τούτου ἡ θεραπεία, ἡ δέ γε τῶν ἱερῶν σύστασις καὶ ἀμφοτέροις τὴν ἐπικουρίαν ἐπάγει· ψυχὰς γὰρ οἰκειοῖ τῷ θεῷ διὰ πράξεώς τε καὶ θεωρίας, ὧν ἑκάτερα τῷ μονήρει βίῳ κάλλιστα κατορθοῦνται ἐκ τῆς κοσμικῆς τῶν ἀνθρώπων ἀναχωρήσεως, καὶ τὰ τοῦ σώματος πάνυ ἐν ἀσφαλείᾳ τηρεῖ. τὴν γὰρ βιωτικὴν ἀποφυγὼν αὐτοτρικυμίαν, καὶ τῇ μονῇ προσδραμών, ἤδη γαληνιᾷ, ἐκ χειμῶνος τοῦ βίου τῷ μονήρει βίῳ καθορμιζόμενος· τοῖς γὰρ πρὸς ταῦτα σπουδὴν ποιουμένοις συναίρεσθαι καὶ ἡμῖν τῶν ἀναγκαίων ἂν εἴη. συναίρεται δ' εἰς τοῦτο οὐ μόνον ὁ κοινωνὸς πρωτουργῶν τῇ χορηγίᾳ τῶν ἀναγκαίων, ἀλλὰ καὶ πᾶς τις ἄλλος, ὃς ἂν δυνηθῇ τι πραγματεύσασθαι ταῖς μοναῖς. ὃ δὲ πρὸ τῶν ἄλλων ἂν εἴη, εἴ τις τὰ προσόντα ταύταις κειμήλια ἐπ-

ασφαλῆ μένειν παρασκευάσειε, τοὺς δὲ τὸ πρότερον αὐτὰς δειμαμένους κἀκεῖνα ταύταις ἀφιερώσαντας εἰς ἐγκώμιον οὐκ ἔλαττον. οἱ μὲν γὰρ προσῆξαν αὐτὰς τῷ θεῷ, οἱ δὲ τὴν ἀσφάλειαν τούτων ἐπραγματεύσαντο. ὅπερ οὐκ ἂν ἄλλοθέν περ γένοιτο, ἢ ἐκ χρυσοβούλλων λόγων καὶ πατριαρχικῶν σιγιλλίων, δυναμένων πολλῷ γε τῷ περιιόντι τὰς ὁρμὰς τῶν πλεονεκτῶν ἀναστέλλειν καὶ τὴν ἐλευθερίαν αὐταῖς παρέχειν, ὡς ἡ πρόθεσις ἦν ἐξ ἀρχῆς τῶν αὐτὰς δειμαμένων, οὐ μὴν ἀλλὰ καὶ τιμῶν πνευματικῶν ἀξιοῦσθαι δεῖ παρ' ἡμῶν, ἅτε τῆς πρὸς αὐτὰς τιμῆς ἐπὶ τὸν κτίτορα τούτων παραπεμπούσης τὸν ἔπαινον, ἐξ ὧν τήν τε προθυμίαν αὐτῶν ἐστιν ἐπαυξῆσαι καὶ ἄλλους πρὸς τὸν ὅμοιον ζῆλον διερεθίσαι. εἰς τοῦτο δὲ τείνει τὰ τοῦ σκοποῦ. ἐπειδὴ τοίνυν καὶ ὁ οἰκεῖος τοῦ κρατίστου καὶ ἁγίου μου βασιλέως καὶ αὐτοκράτορος κυρίου Νικηφόρου τοῦ Φωκᾶ, τοῦ ἐν ἁγίῳ πνεύματι ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, κύριος Ἰωάννης Λαμπαρδόπουλος, φιλόσοφος, πρωτοσυκρήτης, ἅτε φύσεως ὢν ἀγαθῆς καὶ πολλὴν περὶ τὰ θεῖα ποιούμενος τὴν φροντίδα, ζῆλόν τε ἀναλαβὼν ἔνθεον καὶ διάπυρον ἔρωτα, φιλοτίμῳ χρησάμενος χειρί, ἀνήγειρεν ἐκ βάθρων μονὴν ἱερὰν ἐν τῇ Πελοποννήσῳ, τῇ ἐπαρχίᾳ τῆς μητροπόλεως Παλαιῶν Πατρῶν, κατὰ τὴν ἐνορίαν τῆς ἐπισκοπῆς Λακεδαιμονίας, πλησίον χώρας Δημητσάνης, ἐν τῇ τοποθεσίᾳ τῆς Μονοπόρου, ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἣν διὰ τὴν τοῦ φιλοσόφου ἐπωνυμίαν μονὴν τοῦ Φιλοσόφου ἐκάλεσαν μετὰ ταῦτα, πρὸς καταμονὴν μοναζόντων ἀνδρῶν καὶ θεῷ ἀφιερωμένων ψυχικῆς αὐτοῦ σωτηρίας ἕνεκα· ναόν τε παρακείμενον καὶ φιλότιμον κατασκεύασεν ἐν αὐτῇ καὶ κελλίων οἰκοδομὰς καὶ ἄλλα τινὰ ἐργασάμενος πρὸς θεραπείαν καὶ ἀνάπαυσιν τῶν εὑρισκομένων ἐν αὐτῇ ψυχῶν, ἔτι δὲ καὶ ἱερὰ κειμήλια καὶ προσενέξεις, τὰς μὲν ἰδιοποιήσας, τὰς δὲ καὶ μετὰ ταῦτα μέλλων προσηλῶσαι ἐν αὐτῇ· ἠξίωσε τὰ νῦν, ἵνα καὶ παρὰ τῆς ἡμῶν μετριότητος τύχῃ σιγγιλιώδους γράμματος ἐπὶ τῷ καθιερωθῆναι μὲν ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ, εὑρίσκεσθαι δὲ καὶ εἰς τὸ ἑξῆς ἐπὶ τὴν [τῆς] πατριαρχείας [1]) περιωπὴν ἀκαταδούλωτόν τε καὶ ἀκαταπάτητον ὑπό τε τοῦ κατὰ καιροὺς εὑρισκομένου ἐκεῖσε μητροπολίτου Παλαιῶν Πατρῶν καὶ τοῦ ἐπισκόπου αὐτοῦ Λακεδαιμονίας, ὡς μηδεμίαν ἐχόντων ἐν αὐτῷ ἄδειαν ἢ ἀνάκρισιν ποιεῖν ἢ ἀπαιτεῖν παρ' αὐτοῦ τὸ τυχόν. ἰδοὺ τὴν τούτου αἴτησιν προσδεξαμένη ἡ μετριότης ἡμῶν, ὡς θεοφιλῆ καὶ καθάπαξ σκοποῦ μετέχουσαν ἀγαθοῦ, τὸ παρὸν σιγιλλιῶδες γράμμα ἐπιχορηγεῖ τῇ αὐτῇ μονῇ, δι' οὗ δὴ καὶ διορίζεται καὶ ἀποφαίνεται, ἵνα ἡ τοιαύτη θεία μονὴ τῆς Παναγίας μου τοῦ Φιλοσόφου, ἡ

---

[1]) **Legendum videtur:** ἐπὶ τὴν πατριαρχικὴν περιωπήν.

ἀρτίως ἀνεγερθεῖσα ἐκ βάθρων αὐτῶν παρὰ τοῦ προειρημένου ἄρχοντος Φιλοσόφου τοῦ πρωτασηκρήτου, εὑρίσκηται ἅμα τοῖς μετοχίοις αὐτῆς ὡς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνοικοδομηθεῖσα, ὑπὸ τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ μνημονεύῃ τοῦ ὀνόματος αὐτοῦ, ὥστε μήτε ἄδειαν ἔχειν τὸν κατὰ καιροὺς μητροπολίτην Παλαιῶν Πατρῶν ἢ τὸν ἐπίσκοπον αὐτοῦ Λακεδαιμονίας, μήτε ἕτερόν τινα τῶν ἐν τῇ Πελοποννήσῳ μητροπολιτῶν μετ' ἐξουσίας ἰδίας καὶ αὐθεντείας εἰσέρχεσθαι ἐν αὐτῇ, ἱερατικόν τι διαπράξασθαι ἢ ἀπαιτεῖν τὸ σύνολον ἀπ' αὐτῆς, ἀλλὰ καθάπαξ εὑρίσκεσθαι τοὺς τοιούτους ἐκκωλυομένους, ὀφείλοντος μόνου τοῦ κατὰ καιροὺς πατριαρχικοῦ ἐξάρχου κρίνειν καὶ θεωρεῖν πᾶσαν ἐμπίπτουσαν ἐκκλησιαστικὴν ὑπόθεσιν καὶ διορθοῦν ταῦτα κανονικῶς καὶ νομίμως καὶ ὡς φίλον θεῷ. οἱ δὲ ἐκεῖσε συνήθως εὑρισκόμενοι ψάλλοντες ἱερεῖς ὑπάρχωσι καὶ οὗτοι ὡς πατριαρχικοὶ ἐλεύθεροι καὶ ἀκαταδούλωτοι, ἔτι δὲ καὶ ἀναπαίτητοι καὶ ἀνεξέταστοι ὑπὸ πάντων τῶν ἐν [τῇ] Πελοποννήσῳ μητροπολιτῶν, ὑπόκηνται δὲ μόνον καὶ αὐτοὶ τῇ ἡμῶν μετριότητι καὶ τῷ κατὰ καιροὺς πατριάρχῃ καὶ πατριαρχικῷ ἐξάρχῳ, καὶ παρ' αὐτοῦ ἀνακρίνωνται καὶ ἐξετάζωνται νομίμως καὶ κανονικῶς. τὴν δὲ οἰκονομίαν καὶ διοίκησιν πάντων [τῶν κτημάτων] τῆς τοιαύτης μονῆς ἔχῃ μόνος ὁ κατὰ καιροὺς ἡγούμενος, ὅστις καὶ ὀφείλει ἐκλέγεσθαι ἐκ μέσου τῆς ἀδελφότητος καὶ ἀποκαθίστασθαι εἰς τὴν ἡγουμενίαν. πρὸς τούτοις δέ, ὅτε χρεία χειροτονίας γενήσεται αὐτοῖς, προσκαλῶνται ἕνα τινὰ τῶν ἀρχιερέων, ὃν ἂν ἐθέλωσιν, σφραγίζειν καὶ χειροτονεῖν ἀναγνώστας καὶ ὑποδιακόνους καὶ πρεσβυτέρους καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν χωρὶς τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, μηδενὸς ἐναντιουμένου περὶ τούτου ἢ ἀντιλέγοντος ἐν ἀργίᾳ καὶ ἀφορισμῷ. ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν σιγγιλιῶδες γράμμα, καὶ ἐπεδόθη τῇ διαλειφθείσῃ μονῇ τῆς Παναγίας μου τοῦ Φιλοσόφου τῇ πατριαρχικῇ καὶ σταυροπηγιακῇ †.

† Ἐν ἔτει ,ςυοβ' μηνὶ αὐγούστῳ ἰνδ. θ' †.

† Πολύευκτος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐν ἔτει ,ζρλβ' ἰουνίῳ μηνὶ ἰνδ. ζ' †.

† Κύριλλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Primus edidit Euthymios Kastorches in libro: Περὶ τῆς ἐν Δημητσάνῃ ἑλληνικῆς σχολῆς καὶ περὶ τῶν καθιδρυτῶν καὶ πρώτων αὐτῆς διδασκάλων. *Athenis. 1847. Iterum Ludov. Ross in ephemeridibus, quibus titulus: „Hallische Literaturzeitung", 1849. I. p. 811.*

II. 6615—1106, mense septembri, [ind. XV.].

Imperator Alexius Comnenus donat monasterio Transfigurationis in monte Sagmata Boeotiae partem Sanctae Crucis et lacum Ungriae, liberatque monachos a tributis.

† Ἀλέξιος Κομνηνὸς θείῳ ἐλέει βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων †.

† Ἐπειδήπερ παρὰ τῶν ἐνδημούντων ταύτῃ τῇ κραταιᾷ καὶ θεοφυλάκτῳ βασιλευούσῃ τῶν πόλεων ἀπὸ τῆς κατὰ Βοιωτίαν τῆς Ἑλλάδος ἐπαρχίας ἱκανῶς ἐπληροφορήθημεν, ὅτι ἐν αὐτῇ ὄρος Σαγματᾶ καλούμενον ὑπάρχει, ἐν ᾧ καὶ μονὴ ἱερὰ καὶ σεβάσμιος, πατέρων τε συλλογὴ οὐκ εὐαρίθμητος θεοπρεπῶς καὶ θεαρέστως ἀσκουμένων, εἰς τιμὴν δὲ καὶ ἐγκαίνια τῆς ἐνδόξου καὶ φρικτῆς τοῦ Σωτῆρος Μεταμορφώσεως τιμωμένη, κρείττονι νεύσει καὶ προμηθείᾳ διαναστάντες ἠβουλήθημεν ἀναθήματι θείῳ καὶ πολυτίμῳ αὐτὴν σεμνῦναι, καὶ δὴ ἐκ τοῦ ἐνυπάρχοντος τῷ ἡμετέρῳ θησαυροφυλακείῳ τιμίου ξύλου ἀφιερώσαμεν μέρος, ὅπερ ὀρθίως τὴν τοῦ λιχανοῦ ἐπιμέτρησιν ἀποτελεῖ, ἐγκαρσίως δὲ τὴν τοῦ ἀντίχειρος, τὸ πάχος πάλιν δακτύλου ἡμίσεως, στάθμη δὲ ἐπιθέμενον τὸ τῶν ὀκτὼ καὶ ἡμίσεως δραχμῶν ποσὸν ἐπαγγέλλεται, καὶ τοῦτο εἰς ἀείμνηστον ἡμῶν καὶ εἰς ἀεὶ διαμένον μνημόσυνον, διόπερ καὶ εἰς ἀναντίρρητον τῆς ἀληθείας ἔνδειξιν χρυσοβούλλῳ ἡμετέρῳ καισαρικῷ ἠσφαλισάμεθα τὸ ἀνάθημα, καὶ τὴν ἱερὰν μονὴν βασιλικῇ τιμῇ ἐνεκαλλωπίσαμεν, καὶ τὴν λίμνην κατὰ τὴν Οὐγκρίαν κειμένην τῇ μονῇ παρεδώκαμεν, τούς τε πατέρας ἀφορολογήτους ἐψηφισάμεθα. καὶ δέδοται ἐν τῷ ἡμετέρῳ παλατίῳ εἰς ἔνδειξιν †.

͵αρϛʹ ἐν μηνὶ σεπτεμβρίῳ.

Editum in ephemeridibus inscriptis: Εὐαγγελικὴ σάλπιγξ, *15. mensis aprilis* ***1838****, et a* **Ross** *et* **Schmeller** ***in dissertatione:*** *„Urkunden zur Geschichte Griechenlands im Mittelalter". Abhandlungen der philos. philol. Cl. der k. bayerischen Akademie der Wissenschaften. 1837. Bd. II., p. 155. Diploma spurium. Vide observationes in fine voluminis.*

III. 6797—1289, mense martio, ind. II.

Imperator Andronicus II. confirmat possessiones monasterii Sanctae Mariae Eleusae dicti Lycusadis prope Phanarium.

† Οὐδὲν τῆς ἀληθείας ἐπικρατέστερον καὶ οὐδὲν τῆς κατ' αὐτὴν ἐπιγνώσεως ἀνθρώποις ἐπαινετώτερον· οἱ γὰρ ἐφ' ἑκάστῳ τῶν πραγμάτων τοῦ ὄντος κατ' ἀλη-

θειαν γινόμενοι ἐπιγνώμονες τὸ καλὸν ἂν πάντως ἐπὶ πᾶσι προέλοιντο καὶ οὐδέποτ' ἂν ἐκπέσαιεν τοῦ συμφέροντος· ἀλλὰ κἂν ἑαυτοῖς προσπορίσασθαί τι δέῃ τῶν ὠφελούντων, κἂν ἑτέροις οἷς τι προμηθείας οὗτοι μεταδιδόναι σπουδάζουσι, τοῦ ἀκριβοῦς ὑπάρχει τοιούτου κατευστοχεῖν. τοῦτο τοῖς συνετωτέροις τῶν ἀνθρώπων ἐν οἷσπερ ἂν ποιῶσι παρακολουθεῖν εἰωθὸς οὐχ ἧττον ἔστι διαγνῶναι καὶ τῆς τὴν παροῦσαν εἰσενεγκαμένης αἴτησιν ταῖς πράξεσι παρεπόμενον, τῆς μιᾶς δὴ ταύτης προσμαρτυρούσης καὶ ταῖς ἄλλαις τῶν πράξεων· τὸ γὰρ προσὸν ἀπὸ θεοῦ τῇ βασιλείᾳ δικαίωμα μέγα μὲν ἐν τοῖς κατὰ γῆν γνωρίζεται ἅπασιν, οὐ μὴν ὅτι πρόδηλον αὐτῷ τὸ περίοπτον, οὐχ ἐπαινετέοι παρὰ τοῦτο κριθήσονται οἱ καὶ λογιζόμενοι τὸν ὄγκον καὶ τὸ ἐπιβάλλον αὐτῷ τῆς ὀφειλῆς ἀποσῴζοντες ἐν τῷ τὴν ὑποταγὴν ἀποδιδόναι καὶ ἔργοις οἷον συνεπιψηφίζεσθαι τῆς ἐξουσίας τῷ ὑπερέχοντι. τοῦτο δὴ τὸ τῆς ἀρχῆς τῆς ἡμετέρας δικαίωμα, καὶ εἰς μεῖζον μὲν ἦν διῃρημένον τὰ πρότερα, ἀφοῦπερ πρὸς τὴν ἡμετέραν ταύτην ἀρχὴν ὁ πηξάμενος αὐτὴν καὶ συστησάμενος δημιουργὸς καὶ συνοχεὺς τοῦ παντὸς ἐκεῖνο ἐνιδὼν ἱλέῳ βλέμματι εἴρηκε· „πλάτυνον τὰ σχοινίσματά σου, ἔτι ἐκπέτασον ἐπὶ δεξιὰ καὶ ἀριστερά· πῆξον καὶ μὴ φείσῃ τῶν αὐλαιῶν“· καὶ μέντοι καὶ ἐξετέλεσε καὶ διήγαγεν ἐπὶ πολλαῖς, ὅτε κρατυνομένη καὶ αὐξομένη περιόδοις ἐτῶν καὶ τῶν χεῖρα ὁτεδήποτε πειρασαμένων ἀνταῖραι κατευμεγεθοῦσα περιεγίνετο. εἶτα ἐκκαυθείσης ἄνωθεν ὀργῆς διὰ παιδείαν πάντως συμφέρουσαν, βήματι τὸ δὴ λεγόμενον ἐκινήθη καὶ μεταπεπτώκει πρὸς τὸ χεῖρον τὰ πράγματα καὶ ἡ ἀρχὴ ἐς τὸ βραχύτατον συνεστάλη· καὶ ἐπὶ μετρίοις ὅροις συνεληλαμένη ἐδείκνυτο· πρὸς γάρ τοι τοῖς ἄλλοις, μᾶλλον δέ γε πρὸ τῶν ἄλλων καὶ αὐτῆς ἐξεπεπτώκει τῆς βασιλευούσης τῶν πόλεων, ἕως ὁ παιδεύων ἄχρι τοῦ ἰάσασθαι μόνον καὶ εἰς τέλος μὴ παραδιδούς, οὐδ' ἵνα πλήξῃ πλήττων, ἀλλ' ἵνα πρὸς τὸ κρεῖττον μετάθηται, τά τε ἄλλα τῶν τῆς ἀρχῆς ἐξερρυηκότων καὶ αὐτὴν τὴν βασιλεύουσαν ἐπανεσώσατο πόλιν, καὶ ἐπὶ τὸ κρεῖττον αὖθις τῇ αὐτοῦ καὶ ἀρωγῇ καὶ συνάρσει, τὰ τῆς ἀρχῆς ἐπανέδραμε. τότε δὴ ἐν τῇ κινήσει τῶν πραγμάτων ἐκείνῃ, ᾗ τὰ δυσχερῆ ἐπλεόνασε, τότε πρὸς πολλοὺς πολλὰ τῶν τῆς ἀρχῆς μεταπέπτωκε, καὶ ἔτι δὴ ἐς τὸ παρὸν πόλεων τινὲς καὶ χωρῶν ἔστιν οἷς τῶν τότε κατασχόντων ὡς εἰς ἰδιάζουσάν τινα τὴν δεσποτείαν κατέχονται, ἀλλ' ὑποκύπτουσι τῷ ἡμετέρῳ κράτει καὶ τὴν ὑποταγὴν δικαίως ἀσπάζονται. ἡ μέντοι τῷ περιποθήτῳ συμπενθέρῳ τῆς βασιλείας μου, τῷ σεβαστοκράτορι ἐκείνῳ Κομνηνῷ κυρῷ Ἰωάννῃ τῷ Δούκᾳ κατὰ κόσμον χρηματίσασα σύζυγος, εἶτα τὸν μοναδικὸν ζυγὸν ὑποδῦσα Κομνηνὴ κυρὰ Ὑπομονὴ ἡ Δούκαινα, τὸ τῆς βασιλείας καλῶς ἐπεγνωκυῖα δικαίωμα, καὶ ὡς οὐκ ἔστιν ἐν βεβαίῳ τὴν τῶν προσόντων ἀποφέρεσθαι κτῆσιν, οὔτε μὴν καθ' ἕνα τῶν ἐν βίῳ, οὔτε μοναστῶν καταγώγιον, εἰ μὴ τὸ

κῦρος ἐπιθείη τούτοις βασιλικὰ διατάγματα, διαπέμπεταί τε πρὸς τὴν ἡμετέραν βασιλείαν, καὶ τῇ παρ' αὐτῆς συστάσῃ σεβασμίᾳ μονῇ τὸ κῦρος τῶν ἐνυπαρχόντων αἰτεῖται διὰ χρυσοβούλλου προσγενέσθαι τῆς βασιλείας μου. ἔστι μὲν οὖν ἡ οἰκοδομηθεῖσα αὕτη καὶ συστᾶσα παρὰ ταύτης μονὴ πλησίον που διακειμένη τοῦ ἄστεος, ὃ Φανάριον ὀνομάζεται, τιμᾶται δὲ ἐπ' ὀνόματι τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης, καὶ ἐπικέκληται οὕτω πως τῆς Λυκουσάδος· ἃ δὲ αὐτῇ τῇ μονῇ προσήρμοσε κτήματα, ἐκεῖ μὲν ὁπουδήποτε τυγχάνουσι διακείμενα, καὶ ταῦτα δέ γε κατωτέρω ἐξ ὀνόματος δηλωθήσεται. τῇ τοιαύτῃ τοιγαροῦν αἰτήσει αὐτῆς οὐκ ἔγνω δέον εἶναι ἡ βασιλεία μου ὑπέρθεσίν τινα δοῦναι καὶ μὴ παραυτὰ τῷ τέλει ἐναγαγεῖν, ἀλλὰ τῆς εὐγνωμοσύνης ὥσπερ ἀμειβομένη ταύτην καὶ τῆς τοῦ καλοῦ ἐπιγνώσεως ἑτοιμότατα κατανεύει πρὸς τὸ αἰτούμενον, καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπορέγει αὐτῇ, δι' οὗ καὶ εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται κατέχεσθαι παρὰ τῆς διαληφθείσης σεβασμίας μονῆς τὰ παρὰ τῆς εἰρημένης συζύγου τοῦ μνημονευθέντος σεβαστοκράτορος προσαρμόσαντα αὐτῇ ὁποιαδήτινα κτήματα, ἃ δὴ καὶ κατὰ μέρος οὕτως ἐπ' ὀνόματος ἔχουσι· χωρίον ἡ Λυκουσάδα, ἐν ᾧ καὶ ἡ τοιαύτη ἀνηγέρθη μονή. ἕτερον χωρίον ἡ Βατουσιάνη. τὸ περὶ τὰ Τρίκκαλα χωρίον, ὅπερ εὑρίσκεται κατέχουσα ἡ μονὴ μετὰ τοῦ ἐκεῖσε λοετροῦ. μετόχιον εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θεοτόκου ἐπιλεγόμενον ἡ Ῥάξα μετὰ τῶν ἐν αὐτῷ παροίκων τῶν διαλαμβανομένων κατ' ὄνομα ἐν τοῖς προσοῦσιν αὐτῷ δικαιώμασιν, ἔτι δὲ καὶ τῆς κατεχομένης παρ' αὐτοῦ τοῦ μετοχίου γῆς καὶ τῶν μυλοθεσίων καὶ ἀμπελίων. ἕτερον μετόχιον ὁ Τριστενίκος εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Γεωργίου. ἕτερον εἰς ὄνομα τοῦ ἁγίου Ἀνδρέου μετὰ τῶν ἐν αὐτῷ παροίκων καὶ ἀμπελίων καὶ τῆς προστεθείσης ἀρτίως γῆς Βλαχοκατσοῦνα ἡ ἐπιλεγομένη Πρακτικάτου. χωρίον ἡ Γοριάνη μετὰ τῶν ἐν αὐτῷ μυλοθεσίων καὶ ἀμπελίων. εἰς τὴν λίμνην τοῦ Ἐζεροῦ σανδάλια δύο μετὰ καὶ ἁλιέων δύο. μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου μεγαλομάρτυρος Δημητρίου ἐν τῷ θέματι Βουναίνης διακείμενον μετὰ τῶν ἐν αὐτῷ παροίκων, ἀλλὰ δὴ καὶ τῶν ἀμπελίων καὶ μυλοθεσίων. ἔτι τε εἰς τὸν τόπον τοῦ Ἁλμυροῦ χωρίον ἡ Μαγοῦλα καὶ οἱ Σιμισαράτοι λεγόμενοι σὺν τῇ ἐκεῖσε γῇ τῶν Λεβαχάτων καὶ Ταρωνάτων. ἃ δὴ πάντα καθέξει ἡ εἰρημένη σεβασμία μονὴ τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης κατὰ δεσποτείαν καὶ νομὴν ἀναφαίρετον, ὡς κατὰ μέρος διαλαμβάνονται ἐν τοῖς γεγονόσιν ἐπ' αὐτοῖς πρακτικοῖς, ἔτι δὲ καὶ ὡς προσεκυρώθησαν καὶ προσετέθησαν ταύτῃ παρὰ τῆς διαληφθείσης συζύγου τοῦ δηλωθέντος σεβαστοκράτορος, καὶ νεμηθήσεται αὐτὰ ἀνενόχλητα, ἀδιάσειστά τε καὶ ἀναπόσπαστα εἰς ἅπαντα τὸν ἑξῆς

καὶ μέλλοντα χρόνον, ἀλλὰ δὴ καὶ ἀνώτερα πασῶν τῶν κατὰ χώραν ἐπερχομένων δημοσιακῶν ἐπηρειῶν τε καὶ συζητήσεων· οὐδεὶς γὰρ τῶν ἁπάντων ἕξει ἐπ' ἀδείας ἐπὶ παντὶ τῷ νῦν καὶ μέλλοντι χρόνῳ λύμην οἱανδήτινα ἐπάγειν αὐτοῖς ἢ διασεισμὸν καὶ ἐπίθεσιν, καὶ ὅτι ἀποτραπήσεται τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, πᾶς ὁ τοιοῦτόν τι ἐπενεγκεῖν πειραθησόμενος καὶ δι' ὄχλου ὅλως γενέσθαι τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ ἢ τοῖς προσοῦσι αὐτῇ τοιούτοις κτήμασί τε καὶ δικαίοις, ὡς καὶ ὑπερκεῖσθαι ὀφειλόντων αὐτῶν ἐπηρεαστικῆς ἁπάσης καὶ ἀδίκου χειρὸς καὶ μηδεμίαν ὑφίστασθαι παρὰ μηδενὸς ἁρπαγὴν καὶ λύμην καὶ διενόχλησιν, ὡς ἐντεῦθεν εἶναι καὶ τοῖς ἐν τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ τὴν μοναδικήν τε καὶ κατὰ θεὸν προελομένοις ἀγωγήν τε καὶ βίωσιν, μεθ' ἡσύχου ταύτην μετιέναι τῆς καταστάσεως καὶ ἀπολαύειν ἀταράχως τῆς θεοφιλοῦς δὴ ταύτης πολιτείας καὶ ὑψηλῆς· διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ ἐπεβραβεύθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς Ἐλεούσης καὶ ὁ χρυσόβουλλος λόγος οὗτος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα μάρτιον τῆς νῦν τρεχούσης δευτέρας ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἐννενηκοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερων εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Edidit Spir. P. Lambros in ephemeridibus: Δελτίον τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρείας. *Tom. I. fasc. I., p. 116. ex originali, quod erat monasteriorum* τῶν Μετεώρων, *nunc autem asservatur in bibliotheca Atheniensi. Est rotulus in pergamena: a tergo, ubi folia sunt colla juncta, legitur:* διὰ τοῦ μεγάλου λογοθέτου Θεοδώρου τοῦ Μουζάλωνος.

III. Sine anno, mense septembri et aprili, ind. II.

Imperator praecipit, ut monasterio Hierae aut Xerochoraphii in themate Maeandrii restituantur possessiones raptae a Georgio Phoca et aliis.

I. Ὁρισμὸς διὰ τὰ καθαρπαγέντα χωράφια τῆς μονῆς παρά τε τῶν Σαμψηνῶν καὶ τῶν Μαλαχίων.

† Ὑπεμνήσθη ἡ βασιλεία μου παρὰ τοῦ μέρους τῆς σεβασμίας μονῆς τῆς Ἱερᾶς ἤτοι τοῦ Ξηροχωραφίου, ὡς τόπια τινὰ διαφέροντα αὐτῇ ἀπὸ παλαιγενῶν χρυσοβούλλων καὶ λοιπῶν δικαιωμάτων καὶ ἐν τῷ θέματι Μαιανδρίου διακείμενα καθηρπάγησαν κατὰ διαφόρους καιροὺς παρά τε τοῦ μέρους τοῦ πανσεβάστου Φωκᾶ

κυροῦ Γεωργίου καὶ τινῶν Σαμψηνῶν καὶ ἑτέρων προσώπων, καὶ κατέχονται παρ' αὐτῶν καὶ νέμονται ἀμετόχως, μικρόν τι ἢ οὐδὲν ἐξ αὐτῶν ποριζομένης τῆς τοιαύτης μονῆς, ὡς τῶν κατεχόντων αὐτὰ καταδυναστευόντων αὐτῇ· καὶ ἐδεήθησαν οἱ μοναχοὶ τῆς βασιλείας μου, πρόσταγμα ταύτης ἐπορεχθῆναι αὐτοῖς, ἀποκαθιστῶν αὐτὴν εἰς τὰ τοιαῦτα τόπια. ἡ γοῦν βασιλεία μου, μὴ βουλομένη τὴν μονὴν τῆς Ἱερᾶς στέρησιν ὑποστῆναι τῶν δ[ιαφ]ερόντων αὐτῇ, διορίζεταί σοι τῷ πανεντιμοτάτῳ καὶ οἰκείῳ αὐτῇ ἐπὶ τοῦ κανικλείου κυρῷ Βασιλείῳ τῷ Χρυσομάλλῃ καὶ δουκὶ τοῦ θέματος τῶν Θρακησίων τηρῆσαι τὰ προσόντα τῇ μονῇ δικαιώματα καὶ περιόρους καὶ ἀποσπάσαι τὰ τόπια τῆς μονῆς τὰ παρά τινων καθαρπαγέντα καὶ προσχωρῶσαι αὐτῇ, ὡς ἂν παρὰ ταύτης κατέχωνται καὶ νέμωνται, καθὼς αὐτῇ προσήρμοσαν, ἐπιφωνήσασθαι δὲ καὶ τοὺς παρὰ πάντα δίκαιον λόγον καὶ ἀμετόχως κατέχοντας τὰ τόπια τῆς μονῆς, ὁποῖοι ἄρα καὶ εἰσί, τέλεον ἀπέχειν αὐτῶν· οὐδὲ γὰρ βούλεται ἡ βασιλεία μου τοὺς ταπεινοτέρους καὶ μόνῳ θεῷ προσανέχοντας μοναχοὺς παρὰ τῶν ἰσχυροτέρων καταδυναστεύεσθαι †.

† Εἶχε καὶ διὰ τῆς βασιλικῆς καὶ θείας χειρὸς δι' ἐρυθρῶν γραμμάτων· μηνὶ σεπτεμβρίῳ ἰνδ. β' †.

Π. † Περιπόθητε συμπενθερὲ τῆς βασιλείας μου, πανευτυχέστατε σεβαστοκράτωρ, κῦρ Σάβα Ἀσιδηνέ· ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τοῦ Ξηροχωραφίου, ὁ μοναχὸς Νίκων, ὑπέμνησε τὴν βασιλείαν μου, ὡς χωραφιαῖα τινὰ τοπία διαφέροντα τῇ κατ' αὐτὸν σεβασμίᾳ μονῇ ἀπὸ χρυσοβούλλων παλαιγενῶν καὶ λοιπῶν δικαιωμάτων καὶ ἐν τῷ θέματι Μαιάνδρου διακείμενα πρὸ χρόνων τινῶν καθηρπάγησαν παρά τε τῶν παροίκων σου καὶ τοῦ πανσεβάστου σεβαστοῦ καὶ γυναικαδέλφου σου Γεωργίου τοῦ Φωκᾶ, καὶ νῦν κατέχονται καὶ νέμονται παρ' αὐτῶν· ἡ γοῦν βασιλεία μου, μὴ βουλομένη στέρησιν ὑποστῆναι τὴν δηλωθεῖσαν μονὴν τοῦ προσαρμόζοντος αὐτῇ δικαίου ἐπὶ τοῖς τοιούτοις χωραφιαίοις τοπίοις, διορίζεταί σοι διὰ τῆς παρούσης προστάξεως, διοικονομῆσαι παντοίως τὸ ἀποσπασθῆναι τὰ τοιαῦτα τοπία ἀπὸ τῶν κατεχόντων αὐτὰ ἀμετόχ[ως, ὡ]ς παρὰ τοῦ ῥηθέντος καθ[ηγουμένου] ὑπεμνήσθη ἡ βασιλεία μου, ἀποκαταστῆναι δὲ τῇ δηλωθείσῃ μονῇ ταῦτα· οὐδὲ γὰρ βούλεται ἡ βασιλεία μου, στερηθῆναι αὐτὴν τῶν τοιούτων χωραφιαίων τοπίων, ἀντιλαμβάνεσθαί τε τοῦ μέρους τῆς τοιαύτης μονῆς καὶ μὴ παραχωρεῖν τινὶ παραρπάζειν τι τῶν δικαίως διαφερόντων αὐτῇ καὶ ἰδιοποιεῖσθαι τοῦτο †.

† Εἶχε καὶ διὰ τῆς βασιλικῆς καὶ θείας χειρὸς δι' ἐρυθρῶν γραμμάτων· μηνὶ ἀπριλλίῳ ἰνδ. β †.

III. Ὁρισμὸς διὰ τὰ χωράφια τοῦ Ἄκρου ἀποτρέπων ἀπ' αὐτῶν τοὺς Σαμψηνούς.

† Ἔφθασε μὲν λαληθῆναι μέσον τοῦ μέρους τῆς σεβασμίας μονῆς τῆς Ἱερᾶς καὶ τῶν Σαμψηνῶν ἐποίκων ἐνοῦσα ὑπόθεσις περί τινων χωραφιαίων τοπίων τῶν οὕτω πως ἐπιλεγομένων τὸ Ἄκρος παρὰ τῷ τῆς βασιλείας μου βήματι, ἔνθα καὶ προεβάλλοντο ἀμφότερα τὰ μέρη τὰς δοκούσας τε καὶ προσούσας αὐτοῖς δικαιολογίας. καὶ ἐπεὶ ἀπὸ τῶν παρ' ἀμφοτέρων λαληθέντων καὶ ἀφ' ὧν οἱ μοναχοὶ ἐνεφάνισαν δικαιωμάτων διεγνώσθη παρὰ τῆς βασιλείας μου ἡ γῆ πᾶσα τοῦ Ἄκρου τῇ τοιαύτῃ μονῇ διαφέρουσα καὶ κα . . . π . . . το εἰς τοῦτο καὶ οἱ Σαμψηνοί, ἔλεγον δέ, ὡς ἡ τοιαύτη γῆ ἅπασα . . .

Reliqua desunt.

Extant in cod. bibliothecae Mediceae Florentiae, Badia Nr. 316, in calce grammaticae Moschopuli, scriptae anno 1426, 13. mensis aprilis. Tempus actorum incertum.

IV. 6771—1263, mense majo, ind. VI.

Imperator Michaël Palaeologus confirmat jura et possessiones monasterii Sanctae Mariae Chozobiotissae in insula Amorgo.

Ἴσον ἀπαράλλακτον τοῦ προσκυνητοῦ χρυσοβούλλου τοῦ εὐσεβεστάτου βασιλέως Μιχαὴλ Δουκὸς Ἀγγέλου Κομνηνοῦ τοῦ Παλαιολόγου.

† Ἔρχεται καὶ ἀπὸ τόπου, ὥσπερ δὴ καὶ ἀπὸ τῶν προσώπων, συγκρότησις εἰς τὴν διάθεσιν τῆς ψυχῆς καὶ μεγάλης προσθήκης αἴτιον τοῦτο καθίσταται πρὸς τῷ ἀπὸ τῆς φύσεως τοῦ πράγματος δικαίῳ, προστιθεμένης καὶ τῆς ἐντεῦθεν ποιότητος τοῦ καλοῦ· καὶ τοσοῦτο πλέον τοῦθ' οὕτω γίνεται, ὅσον ἂν πλείονα προσίῃ τῷ τόπῳ τὰ ἀγαθά. ἐπανεκτέον δὲ καὶ ὧν ἕνεκα ταῦτα ἡ βασιλεία μου προεξέθετο. ἡ κατὰ τὴν Ἀμοργὸν εὐαγεστάτη τῆς ὑπεράγνου καὶ ἀειπαρθένου Μαρίας μονή, πολλὰ καὶ πολυτρόπως ἔχουσα τὰ συνιστῶντα τὴν ταύτης σεμνότητα, τὸ ἀνακεχωρηκὸς τοῦ τόπου καὶ ἰδιάζον, τὴν θεάρεστον τῶν ἐν αὐτῇ ἀσκουμένων διαγωγήν, τὴν τοῦ πνευματικῶς αὐτῆς προϊσταμένου χρηστοήθειαν καὶ πρὸ πάντων καὶ ἐπὶ πᾶσι τὴν ἁγιαστικὴν χάριν, ἣν ἐπαφῆκε τῷ τόπῳ . . . διὰ τῆς ἰδίας χάριτος. ταῦτα οὖν καὶ τοιαῦτα ἔχουσα τὰ καλά, καθ' ἕκαστον τούτων τῇ διαθέσει τῆς βασιλείας μου ᾠκείωται τοίνυν καὶ δεῖγμα ταύτης ὁ παρὼν χρυσόβουλλος λόγος ἐξετέθη τῆς βασιλείας μου, καὶ ἐφιλοτιμήθη τῇ τοιαύτῃ μονῇ, δι' οὗ καὶ

κρατύνει μὲν καὶ ἀσφαλίζεται ἡ βασιλεία μου πάντα τὰ προσόντα αὐτῇ παλαιγενῆ δικαιώματα, χρυσόβουλλά τε καὶ ὁρισμοὺς καὶ ἀναγραφικὰς ἀποκαταστάσεις καὶ ἐκδόσεις ἐγγράφους, καὶ πάντα ἁπλῶς τὰ ἐν χαρτῴοις δικαιώμασι καὶ τὴν αὐτῶν ἰσχὺν καὶ τὴν τῶν πραγμάτων κατοχὴν καὶ νομὴν βεβαιοτέραν καὶ ἀρραγεστέραν περιποιεῖται αὐτῇ κατὰ πάσας τὰς περιλήψεις αὐτῶν. εἰς μέντοι περισσοτέραν ἀσφάλειαν καὶ ὡς ἐν κεφαλαίῳ τὰ ταύτῃ προσόντα κτήματα ἡ βασιλεία μου τῷ παρόντι περιλαμβάνει χρυσοβούλλῳ λόγῳ αὐτῆς, ἃ καὶ ἔχουσιν οὕτως· μετόχιον ἡ Ἁγία Τριὰς κατὰ τὴν νῆσον Ἴον κλπ[1]). προσεκυρώθησαν δὲ τῇ μονῇ διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως καὶ θείου τῆς βασιλείας μου, κυροῦ Θεοδώρου τοῦ Κομνηνοῦ τοῦ Λάσκαρη, ἀνεθεωρήθησαν δὲ καὶ παρὰ τοῦ περιποθήτου θείου τῆς βασιλείας μου, τοῦ πανυπερσεβάστου κυροῦ Γεωργίου τοῦ Ζαγαρομμάτου, καὶ περιωρίσθησαν δι' ἐγγράφου αὐτοῦ περιορισμοῦ, ὃν δὴ ὁρισμὸν καὶ τὸ κῦρος ἔχειν ἡ βασιλεία μου διορίζεται καὶ πάντα [τὰ] τῶν τοιούτων μετοχίων δίκαια ἐπί τε τοῖς ὑποστατικοῖς καὶ τοῖς προσκαθημένοις ἐν αὐτῷ παροίκοις καὶ δουλευταῖς. τὰ μετόχια ταῦτα τῆς ὑπεραγίας θεοτόκου τῆς Χοζοβιωτίσσης συσταθέντα καὶ βελτιωθέντα παρὰ τοῦ οἰκείου τῆς βασιλείας μου Γ. Μονοχυτρᾶ καὶ προσκυρωθέντα διὰ τῆς δωρηθείσης αὐτοῖς δυνάμεως διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως, αὐθέντου καὶ θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, μετὰ πάντων τῶν προσαρμοσάντων αὐτοῖς δικαίων καὶ προνομίων καὶ καθὼς ἐκεῖνος ταῦτα ἀποκατέστησεν, ἤγουν παροίκων, δουλευτῶν, ἀμπελίων, χωραφίων ἤγουν τῆς Ἴου κλπ.[2]) κατὰ τὴν ἀρχαίαν τούτων νομὴν καὶ κατὰ τὰς περιλήψεις[3]) τῶν προσόντων αὐτοῖς δικαιωμάτων καὶ τῶν λοιπῶν αὐτοῖς δικαίων κατὰ τὴν γεγονυῖαν αὐτοῖς πατριαρχικὴν παράδοσιν καὶ ἀποκατάστασιν. ἕτερον μετόχιον . . . ἀνεπιγνώστων ὄντων καὶ τούτων παντάπασι τῷ μέρει τοῦ δημοσίου. ταῦτα μὲν οὖν εἰσὶ τὰ παλαιγενέσι δικαίοις προσαρμόσαντα κτήματα τῇ εὐαγεστάτῃ τῆς Ἀμοργοῦ μονῇ, καὶ κρατύνει καὶ ἐπικυροῖ ταύτῃ ἡ βασιλεία μου τὴν αὐτῶν δεσποτείαν τε καὶ κυριότητα τῷ παρόντι χρυσοβούλλῳ λόγῳ αὐτῆς κατὰ τὴν ἀνέκαθεν κρατήσασαν νομήν. καθέξει τοίνυν ἡ τοιαύτη μονὴ ταῦτα ἀνενοχλήτως πάντῃ καὶ ἀδειασείστως καὶ ἀνεπηρεάστως καὶ ἐκτὸς πάσης συζητήσεως καὶ ἀπαντήσεως, καθὼς καὶ πρότερον κατεῖχε ταῦτα καὶ ἐνέμετο ἢ καὶ ἰσχυροτέρως καὶ βεβαιοτέρως τῇ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ὃς καὶ ἀρραγὴς καὶ ἀπερίτρεπτος διαμένειν ὀφείλει εἰς τὸν αἰῶνα τὸν ἅπαντα. ἐπεβραβεύθη δὲ τῇ τοιαύτῃ μονῇ τῆς Ἀμοργοῦ γεγηνεμένος κατὰ μῆνα τὸν μάϊον τῆς ἕκτης ἰνδικτιῶνος τοῦ ἑξακισχι-

1) Sic: καὶ λοιπά? 2) Sic, ut supra M. 3) προλ. M.

λιοστοῦ ἑπτακοσιοστοῦ ἑβδομηκοστοῦ πρώτου[1]) ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὴς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Μιχαήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Τοῦτο ἀντεγράφη ἐν Αἰγίνῃ ὑπὸ Κοσμᾶ Δημητριάδου κατὰ συγχυρίαν ἐξ ἀντιγράφων τῆς ἐν Πάτμῳ μονῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ἧς ὁ ἡγούμενος κύριος Βενιαμὶν καὶ ὁ μακαριώτατος Ἀλεξανδρείας Θεόφιλος συνῆλθον δι' ὑποθέσεις τῆς αὐτῆς μονῆς πρὸς τὸν τότε κυβερνήτην τῆς Ἑλλάδος, Ἰ. Ἀ. Καποδίστριαν, τῷ χιλιοστῷ ὀκτακοσιοστῷ εἰκοστῷ ὀγδόῳ ἔτει κατὰ τὸν ἀπρίλιον.

Κοσμᾶς Δημητριάδης.

Edidit Antonius Miliarakes in periodico: Δελτίον τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρείας τῆς Ἑλλάδος. *Athenis. 1884. I. p. 650. Documentum est spurium, ex diplomate patmico confectum, de qua re vide observationes in fine voluminis.*

VI. 6803—1295, ind. VIII.

Michaël Gabrielopulus, dominus Thessaliae, jurat se observaturum esse pactiones factas cum incolis oppidi Phanarii.

Ὁρκομωτικὸν γράμμα.

† Ἐπει[δὴ ἀπαιτοῦ]σι παντὶ [σθένει οἱ ἄ]ρχοντες Φαναριῶται, μείζονές τε καὶ μικροί, [κοσμικοὶ καὶ] κληρικοί, χρυσοβουλλάτοι καὶ ἐσκουσάτοι, ὅπως πορίσωνται [γράμμα τῆς αὐθεντίας μου . . . ἂν δὲ . . .] εὑρίσκωνται[2]) ἤ τινες εὑρίσκοντο στρατιῶται, ἐμμένωσι καὶ ἀποδίδωσι τὴν αὐτὴν στρατιωτικὴν δουλείαν, καὶ οὐχὶ ἀπαιτῶνται εἰς ἑτέραν, ἤγουν εἰς φύλαξιν τζακονικήν. εἶτα οὐ μὴ προσ[οικί]σω Ἀλβανίτας ἢ ἐγὼ ἤ τις ἀπὸ τῶν κληρονομοδιαδόχων εἰς τὴν περιοχὴν τοῦ αὐτοῦ κάστρου, πάρεξ ὅσον ἔχουν διὰ χρυσοβούλλου καὶ προστάγματος βασιλικοῦ, εἰς ὅσα κτήματα ἐκράτουν παρὰ τῶν Φαναριωτῶν διὰ προστάγματος βασιλικοῦ, ἀλλ' οὐδὲ νὰ ἀπαιτήσω τοὺς αὐτοὺς Φαναριώτας ἅπαντας εἰς ταξῄδιόν που τότε εἰς χρόνους τρεῖς. μετὰ δὲ τὴν πλήρωσιν τῶν τριῶν χρόνων ἵνα δίδωσιν δουλείαν στρατιωτικὴν καὶ οὐχὶ ἑτέραν, ἤγουν τζακονικήν. ὡσαύτως καὶ οἱ τοπικοὶ ἅπαντες νὰ δουλέβωσι εἰς τὸ κάστρον τὸ Φαναρίου καὶ οὐχὶ ἀλλαχοῦ. νὰ κατέχωσι δέ, ὅσα ἔχουσι εἰς τὴν Δόριτζαν καὶ ἀλλαχοῦ, ὅσα ἔχουσι διὰ χρυσοβούλλου βασιλικοῦ καὶ γράμματος τοῦ ἐπάρχου. ἔτι δέ, ἵνα κατέχωσι καὶ [τὴν][3]) σεβασμίαν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος ἤγουν τὴν Λυκουσάδα καὶ τὴν Μεγάλην Πόρταν [καὶ τὰ][4])

---

[1]) Sic scribit Miliarakis, apographum habet ἑξακισχιλιοστοῦ ἑβδομηκοστοῦ ἑβδόμου ἔτους, id est 1198 post Chr. n. [2]) εὑρίσκονται H. [3]) Supplevimus. [4]) καὶ τὰ supplevimus.

κτήματα, ὅσα ἂν ἔχωσι διὰ χρυσοβούλλων καὶ ἑτέρ[ων προσταγμάτων][1] . . . ἀλλὰ οὐδὲ πηγάνηται τὸ αὐτὸ κάστρον τοῦ Φαναρίου τότε παρά τινος[2]), ἀλλ' οὐδὲ φραγγικὴν φύλαξιν νὰ βάλω, ἀλλὰ νὰ κατέχηται παρ' ἐμοῦ καὶ τῶν κληρονομοδιαδόχων μου. ὡσαύτως οὐδὲν ἔχωσι καὶ ἀπαιτῶνται οἱ τοιοῦτοι Φαναριῶται εἴς τινα δόσιν ἤγουν ἀγκαρίαν, ψωμοζημίαν, οἰνοελαίου δόσιν, νόμιθρον ἢ χοιροδεκατείαν ἢ καστροκτισίαν ἐν ἑτέρῳ τόπῳ καὶ κάστρῳ, πάρεξ μέντοι κατέχειν ἐξ αὐτῶν τὴν αὐθεντίαν μου τὴν ὀφειλομένην[3]) αὐτῶν στρατιωτικὴν δουλείαν καὶ τὸν[4]) κομέρκιον φόρον, παρθενοφθορίαν καὶ πενταμίδειαν. ἂν δὲ διαβληθῇ τις περὶ ἀπιστίας ἢ ἀνυπο[ταγῆς, νὰ δικάζηται ἐνώπιον][5]) ἁπάντων τῶν ἀρχόντων καὶ νὰ παιδέβηται αὐτὸς μόνον, οὗ μή τις [ἄλλος][6]) πρὸς τὸ πταῖσμα αὐτοῦ, καὶ οὐχὶ ἕτερος ἀπὸ τὸ γένος αὐτοῦ ἢ υἱοὶ ἢ ἀδελφοὶ ἢ φίλοι αὐτοῦ. ὅθεν ὀμνύει ἡ αὐθεντία μου εἰς τὰ [ἅγια εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν][7]), εἰς πάντα [τὰ][8]) ἅγια, εἰς τὸν Ταξιάρχην τῶν Ἄνω Δυνάμεων τὸν Μιχαὴλ καὶ εἰς τὴν ὑπέραγνον δέσποιναν Θεοτόκον, τὴν κυρίαν ἡμῶν, ἵνα τὰ ἄνωθεν γεγραμμένα κεφάλαια πληρώσω καὶ στέργω, ἐγώ τε καὶ οἱ κληρονομοδιάδοχοί μου, καὶ οὐ μὴ καταλυθῇ τι ἐξ αὐτῶν τῶν κεφαλαίων παρ' ὅλης τῆς ζωῆς τῆς ἐμῆς καὶ τῶν κληρονομοδιαδόχων μου, ἀλλὰ κατέχῃ εἷς ἕκαστος Φαναριώτης, ὅσον ἂν μέτεστι δοθῆναι κτῆμα καὶ ὑπόστασις διὰ γράμματός μου εἰς τὴν λ'[9]) γονικότητα αὐτὸς καὶ οἱ αὐτοῦ παῖδες· διὰ γὰρ πίστωσιν καὶ ἀσφάλειαν γέγονε τὸ παρὸν ἡμέτερον ὁρκωμοτικὸν γράμμα καὶ παρεδόθη τοῖς περιληφθεῖσι Φαναριώταις κατὰ μῆνα ἰούνιον, ἰνδικτιῶνος [ὀγδόης][10]) ,ϛωγ' †.

† Μιχαὴλ ὁ Γαβριηλόπουλος †.

Edidit ex originali, quod conservatur in monasterio Lycusadae prope Phanarium, L. Heuzey, Mission de Macédoine p. 455.

VII. 6805—1297, mense septembri, [ind. X.]

Imperator Trapezuntis, Michaël Comnenus, monasterio Sancti Ioannis Praecursoris in monte Zabulone, donat vicos exemptos a tributis.

† Ἐμμανουὴλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ πάσης Ἀνατολῆς, ὁ Μέγας Κομνηνός, πᾶσιν, οἷς τὸ παρὸν ἡμῶν ἐπιδείκνυται εὐσεβὲς σιγίλλιον †.

---

[1]) Sequitur hic articulus valde mutilus, qui vix enucleari potest et in quo sermo est de καβαλλαρίῳ ὁδοιπόρῳ μετὰ τῆς συντροφίας αὐτοῦ H. [2]) τινά H. [3]) ὠφ. H. [4]) τό H. [5]) Supplevimus. οὔπη τις H. [6]) Supplevit H. [7]) Supplevimus. [8]) Supplevit H. [9]) λι' H. [10]) H. supplet δεκάτης. Male.

† Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, κύριε τῶν δυνάμεων, Δαβὶδ ὁ μέγας παρὰ θείου καταχαριτώμενος[1]) πνεύματος καὶ δέλτῳ πάλαι λατρεύων πίστεως χαρμονικῶς διὰ διανοίας ὑψηλῆς τῷ ὑπερουσίῳ τῶν ἁπάντων περὶ δυσμὰς ἡλίου μόνος μόνῳ διαμαρτύρεται θεῷ. ἀγαπητὰ δὲ σκηνώματα τὰ ἐρημικά εἰσι τῶν μοναχῶν καταγώγια, ἐν οἷς ὁ κύριος τῶν δυνάμεων τῷ ἀοράτῳ καὶ συντακτικῷ χαίρει βίῳ, πέπλα τῆς ὡραιότητος αὐτοῦ τὰ ἀγγελικὰ εἰσάπαν ποιούμενος τῶν ἀναχωρητῶν χιτώνια, ἃ τὴν πάνδημον καὶ κοσμοκράτορα περιπεπαίχασι τῶν γυναικῶν μιαράν, πανλώβητον καὶ πανάθεσμον σαρκοβόρον ὄψιν, ἡ ἐξαιμον τὸν προπάτορα διειργασμένη φυγάδα τοῦ παντοκράτορος τῇ ἑαυτῆς βεβήλῳ αἰσχύνῃ κατεγραψῴδησεν, ὃν γραΐδιον λοιμοῦ τὸν γῆς καὶ θαλάσσης δεσπότην κρύφιον, ἐν μυχῷ ἀλογονοίας βίον ἄθεσμον ἡ σκωληκόβρωτος προξενήσασα τὸν ἑαυτῆς τρόπον ἄμαχον ὄντα ἐς τὰ πολλὰ προυβεβλημένη· ὃν δῆτα διὰ τὸ ἰοβόλον εἶναι καὶ κρυφιοδήκτην ὄφεα ἡ θεία καὶ θεοκήρυκτος διεσήμηνε θεόπνευστος γραφή· ὁ ὄφις γάρ ἠπάτησέ με καὶ ἔφαγον μέχρι τοῦδε πτερνίζοντα τὸ ἀρρενωπὸν στονάχισμα, ὑποσκελίζοντά[2]) τε καὶ θανατηφοροῦντα τὸ τῶν θείων καὶ σεμνῶν λογίων ἀγλάϊσμα ὁ βύθιος καὶ παλαμναῖος πολέμιος ὁ τοῦ διαβόλου ἑρμηνεύς, ὁ σκώληξ ὁ ἀκοίμητος. δίδωσι τοίνυν ἡ βασιλεία μου δόξαν τῷ θεῷ ἐπὶ [τῇ] τοῦ ὄφεως ἥττᾳ, ἣ διὰ τῆς τῶν μοναχῶν προπαιουχεῖται πνευματικῆς θείας καὶ ἱερᾶς φάλαγγος, ἧς ταξίαρχος καὶ πρύτανις ὁ μέγας τοῦ κυρίου ἕστηκε Πρόδρομος, ὁ φαεινὸς ὄρθρος τοῦ ἡλίου τῆς δικαιοσύνης, [ὁ] τὴν τῆς καμήλου δορὰν χαλκοῦν οἷόν τινα θώρακα τοῦ ἑαυτοῦ θείου καὶ ἀγγελικοῦ σώματος ἀποκρεμαννύμενος, τὴν ἐκ χειρὸς μάχην τοῦ πονηροῦ καὶ τρισαποστάτου τεκμαιρομένην διαβόλου, τὸ γραφικὸν ἀνακεφαλαιουμένην λόγιον τοῦ παντοκράτορος· ἔχθραν θήσω ἀνὰ μέσον σου, ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς. τὸ δὲ ἀνὰ μέσον σου καὶ τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς, τοῦτό ἐστιν ἀνὰ μέσον Χριστοῦ, φησιν, καὶ ἀνὰ μέσον τοῦ σπέρματος Ἀβραὰμ καὶ ἀνὰ μέσον σπέρματος τῆς ἐκκλησίας ἔχθραν ἐκθεῖναι τὴν τοῦ διαβόλου, καθ' ὃν ἡ προδρομικὴ ἀντιπαρατάττεται περιπροκάμηλος δορά, τὴν κατὰ τοῦ διαβόλου σημαίνουσα τῶν θείων ἀνδρῶν ἄπαυστον μνησικακίαν, μεθ' ἣν τὴν τῆς δερματίνης ζώνης προσφυαίαν ἀνακυκλούμενος ἱματικωτέραν τε περίδεσιν, ἡ τὴν βασιλίδα τῶν ἀρετῶν καὶ συμπεριεκτικὴν ἐδήλου ἀγάπην, τὴν πάντα μὲν τὰ ἀγαθὰ συνδέουσαν, πάντα δὲ τὰ ἐναντία προτροπάδην ἀποδιοπομποῦσαν, περὶ ἧς δοξασμένα ἐλαλήθη· προ-

---

1) περὶ θείου κατηχούμενος D. 2) ὑποσιελίζοντα D. **Totus locus inde a verbo φυγάδα est valde obscurus, nec plane intelligitur, quid sibi velit falsarius.**

λαβὼν γὰρ ὁ θεὸς τῆς δόξης τῷ πατριάρχῃ καὶ δικαίῳ Νῶε τῆσδε λόγον διέθετο· θήσω μου, φησί, τὸ τόξον τῆς ἴριδος ἐν τῇ νεφέλῃ, ἴριδα αὐτὴν τὴν ἀγάπην ἀποκαλῶν, εἰς ἣν ὅλος ὁ νόμος καὶ οἱ προφῆται καὶ ἡ ἐκκλησία τοῦ θεοῦ κρέμανται. τόξον δὲ ἴριδος τὸ θεῖον καὶ ἀγγελικὸν καὶ ἅγιον φράζων σχῆμα, ὃ κατ' ἀρχὰς ὁ ὑπερούσιος ἐν τῇ θείᾳ ἔθετο νεφέλῃ. ἐν τοῖς τῆς ἀγάπης βασιλείοις τε καὶ ἀνακτορίοις καθιδρυνθῆναι βουληθείς, ἐν οἷς καὶ αὐτὸς ὁ πάντων βασιλεὺς καὶ πατὴρ κατασκηνοῦται σὺν τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, φαιδρυνομένῳ θείῳ προσώπῳ τοὺς τῶν κοπιώντων τε ἀοράτων καὶ ἐρημικῶν ἀββάδων καὶ ἀσκητῶν στεφάνους προετοιμάζει. ἐπεὶ δὲ καὶ καθ' ἡμᾶς κατὰ τὸ Ζαβουλὼν θεῖον ὄρος τὸ ἅγιόν τε καὶ ὑπερνέφελον τοῦ θείου Προδρόμου ἕστηκε τέμενος ἐν ἀντρώδει μυχῷ πέτρας ὑπερτεταμένης περιεχόμενον, ὃ πρόπαλαι θείᾳ τινὶ νεύσει ὁ τῆς βασιλείας μου δεσπότης μέγας ἐξοικοδόμησεν Ἰουστινιανός, εἰς ὅπερ συνερρύη πάμπολυ πλῆθος μοναχῶν, οὓς ἡ βασιλεία μου παρὸν οὖσα καὶ ἰδοῦσα ἠγάσθη τε τῆς ἀρετῆς καὶ τοῦ βίου κατεπλάγη τὸ ἰσάγγελον καὶ τὸν τοῦ Χριστοῦ μέγαν προσεκύνησε Πόδρομον, ἀντιφιλοτιμουμένη τε κατὰ τὸ εἰκὸς καὶ τὴν τῶν θείων ἀσκητῶν προθυμουμένη κατοικτεῖραι δυσχέρειαν, τήν τε τῆς ἐρήμου, τήν τε τῆς ζωῆς πικροτέρας διαίτης, ἢ πρόσθεν τούτοις ἐπῆν, δωρεῖται διὰ τοῦ ἑαυτῆς χρυσοβούλλου λόγου τῆς βασιλείας μου τῇ τοῦ τιμίου Προδρόμου μονῇ, τῇ ἐν τῷ ὄρει κειμένῃ Ζαβουλών, τὰ σύνεγγυς γειτνιῶντα κωμίδια[1]) μετὰ τῶν παροίκων αὐτῶν ἀναπόσπαστα, εἰς γενεὰς γενεῶν ἀφορολόγητα καὶ ἀσυντελῆ ταῦτα τῇ ῥηθείσῃ μονῇ ἐκδοῦσα, ἐφ' οἷς οὐδεὶς τῶν ὑπ' ἐξουσίαν τῆς βασιλείας μου δουκῶν τε καὶ πρακτόρων καὶ ἄλλων ἡγεμονικῶν κατοχῶν ἄρχοντες τολμήσειάν ποτε κατὰ ζήτησιν αὐθεντικὴν ἢ δημοτικῶν συδόσεων ἀπελθεῖν ὅλως ἢ ἐνοχλῆσαι τοὺς τούτων παροίκους ἢ διασεῖσαι ἢ ἀποστῆναι τῆς μονῆς γονικῶν κτημάτων τε καὶ ἄλλων ἀφιερωμάτων προσόντων τε καὶ ἐσομένων τοὐλάχιστον, ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων, αὐτοδέσποτον ἀφιεῖσα νέμεσθαι τὴν τοῦ Βαπτιστοῦ θείαν μονήν, ὑποκειμένην μόνῃ δὲ τῇ βασιλείᾳ μου, συντηρουμένην τε παρ' αὐτῆς κατὰ πᾶσαν ὑπόθεσιν αὐτῆς καὶ διένεξιν, πάσης τε δημοκρατίας καὶ ἐκκλησιαστικῶν λειτουργημάτων ἀπελεύθερον ἀποφαίνεται ἄρδην τὴν ῥηθεῖσαν μονὴν ἡ βασιλεία μου. ὃς δ' ἂν ποτε βουληθείη ἀποστῆναι τῇ ἀρχικῇ κελεύσει τῆς βασιλείας μου καὶ τὴν μονὴν τοῦ θείου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τὴν ἐν τῷ ὄρει τοῦ Ζαβουλὼν ἱδρυμένην συκοφαντῶν ἢ ἀδικῶν φωραθείη ἢ τοὺς παροίκους αὐτῆς παρὰ τὰ συγκείμενα τῇ βασιλείᾳ μου, παρατόλμως ὑποποιούμενος, ὁ τοιοῦτος, κἂν ἄρχων τις εἴη,

---

[1]) κωμήδια D.

κἂν ἀρχόμενος, ὡς ἄπιστος τῆς βασιλείας μου καὶ τιμωρηθήσεται καὶ ἐκδικηθήσεται καὶ ζημιωθήσεται, τὰς δ' ἀρὰς καὶ ἀγανακτήσεις ἕξει τῶν ἐν αὐτῇ τῇ θείᾳ μονῇ ἐνασκουμένων. ταῦτα δὲ πάντα ἐπὶ τὸν μέγαν τοῦ Χριστοῦ ἀνατιθέασα Πρόδρομον ἡ βασιλεία μου, ἤδη θεσπίζει τὸ γαλήνιον καὶ θεοπρόβλητον αὐτῆς κράτος, πάγια τὰ δεδογμένα τῇ βασιλείᾳ μου περὶ τῆς τοῦ Ζαβουλὼν ὄρους θείας μονῆς καὶ ἀρραγῆ συντηρηθῆναι ἐν τοῖς ἐφεξῆς παρὰ τῶν κληρονόμων καὶ διαδόχων τῆς βασιλείας μου καὶ τοῦ εὐσεβοῦς αὐτῆς κράτους ἐπικυροῦσα τὰ συνήθη συνήθως ἐναπογράφεται †.

† Ἐμμανουήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ πάσης Ἀνατολῆς, ὁ Μέγας Κομνηνός, καὶ ὑπεσημήνατο κατὰ τὸν παρόντα σεπτέμβριον μῆνα [τοῦ] ,ϛωε' ἔτους †.

Extat in cod. archiepiscopi Gerasimi, quem possidet cl. vir Rhalles Athenis et ex quo edidit Michael Deffner, Archiv für mittel- und neugriechische Philologie. Athenis. 1880. I. p. 164. Diploma spurium est. Vide observationes in fine voluminis.

VIII. Sine anno.[1]

Imperator Andronicus II. Palaeologus jubet conjungi monasteria Galesii et S. Resurrectionis.

Λόγος χρυσόβουλλος ἐπὶ τῇ ἑνώσει τῆς ἐν τῷ Γαλησίῳ μονῆς καὶ τῆς Ἁγίας Ἀναστάσεως, ὥστε τοῦ λοιποῦ μὴ δύο, ἀλλὰ μίαν ταύτας εἶναι καὶ ὑφ' ἑνὶ τετάχθαι καὶ ἄγεσθαι ἡγουμένῳ.

† Βασιλικῆς δὲ ἄρα καὶ σπουδῆς ἐπαινουμένης καὶ καλῶς ἐχούσης προθέσεως, κἀκεῖνα μὲν ἐν ὅτι πλείστοις τίθεσθαι τῇ μελέτῃ, στρατευμάτων δηλονότι καταλόγους ἐξετάζειν καὶ παρασκευὰς ἐπινοεῖν ὅπλων, καὶ πολλάς δή τινας καὶ μεγάλας ἀπαριθμεῖν ἔχειν τὰς δυνάμεις ἐν τοῖς κατ' ἐχθρῶν ἀγῶσι (καὶ γὰρ ἂν οὕτω βασιλεὺς τοῖς μὲν πολεμοῦσιν ἀντικατασταίη, φοβερὸς αὐτοῖς πρὸς ἄμυναν ἥκων, τοῖς δ' ὑπηκόοις δώσει πάνυ τὶ θαρρεῖν, μεγάλ' ἄττα ταῦτα ἐπιδεικνύμενος οἷς ὑπὲρ αὐτῶν ἔχει μετὰ θεοῦ χρῆσθαι)· βασιλικῆς δ' ὁμοίως καὶ φιλανθρώπου γνώμης, μηδ' ὀλιγώρως τῶν πολιτικῶν ἔχειν, μηδ' ἐὰν ὡς ἔτυχε ταῦτα φέρεσθαι, μηδ' οἴεσθαι τουτὶ πρᾶγμα σπουδῆς ἧττονος ἄξιον, ἀλλὰ καὶ περὶ αὐτῶν δεῖν εἶναι νομίζειν πολλὰς ἐκδαπανᾶν φροντίδας, ὡς ἂν καὶ ἄριστά πως διοικοῖτο, εὐνομίας πανταχοῦ καθισταμένης καὶ τοῦ γε ἴσου καὶ δικαίου καλῶς τοῖς πᾶσιν ἀπονενεμημένου· δύο γὰρ

---

[1]) Inter 1282--1328.

τούτων καιρῶν ὄντων, εἰρήνης δηλαδὴ καὶ πολέμου, καί γε τῶν πραγμάτων περὶ ταῦτα σαφῶς διαιρουμένων, ἀμφοτέροις βασιλεὺς ἀξίως ἀπαντήσει, καλῶς διελὼν καὶ παρασχὼν τὸ ἐπιβάλλον ἑκατέροις καὶ πρόσφορον, εἰρήνῃ μὲν εὖ ἔχοντα τὰ πολιτικὰ δεικνύς, τοῖς δὲ πολέμοις κράτος πόρρωθεν μελετήσας. οὐ μὴν ἀλλὰ περὶ μὲν τούτων οὕτως· ποιεῖσθαι δὲ καὶ πρόνοιαν ψυχῶν, πᾶσαν τὴν σπουδὴν πρὸς οὐρανὸν[1]) θεμένων καὶ ζῆν κατὰ θεὸν καθάπαξ ἑλομένων, φημὶ χρῆναι τὸν ἐκ θεοῦ βασιλεύοντα μηδὲν ἔλαττον ἑαυτῷ προσῆκον εἶναι νομίζειν, ὅτι μὴ καὶ μᾶλλον φροντιστήρια τούτων καὶ σεμνὰ καταγώγια ἐν ἐπιμελείαις τιθέναι, συνίστασθαί τε ταῦτα τὴν ἀρχὴν καὶ συνιστάμενα βεβαίως καὶ ἀσφαλῶς παραμένειν. τίνος δὴ χάριν; ὅτι δὴ καὶ οἱ ἐν τοῖς τοιούτοις[2]) τρόπον ὃν ἔφημεν κόσμῳ καὶ τοῖς ἐν κόσμῳ πᾶσιν ἀποταξάμενοι καὶ θεῷ μόνῳ διὰ βίου παντὸς προσανέχειν ἐπεγνωκότες ἐξευμενίζουσι μὲν αὐτὸν καὶ ἵλεων ἡμῶν ἀπεργάζονται ταῖς ἱκεσίαις, παρασκευάζουσι δὲ καὶ χεῖρα βοηθείας τὴν κραταιὰν ὀρέγειν ἐπὶ τοῖς καθ' ἡμᾶς πᾶσι πράγμασι. καὶ γοῦν ἔστι παντὶ τῷ καλῶς σκοπουμένῳ καὶ τῷ γε δυναμένῳ συνετῶς κρίνειν ἐκεῖνο δὴ καὶ λέγειν, ὡς ὅσα τὶς φέρων τοῖς[3]) σεμνείοις θεοφιλῶς ἀνατίθησι, τῶν ταύτῃ τοι βιοῦν αἱρουμένων τὰς σωματικὰς ἀνάγκας ὡσανεὶ τὸν τρόπον τοῦτον παραμυθούμενος καί γε χορηγῶν πράγματά [τε καὶ][4]) κτήματα, ὧν καὶ σφίσιν αὐτοῖς διὰ τὴν φθειρομένην ζωὴν ἀπαραίτητος χρεία, πλέον συμβάλλεται καὶ ῥοπὴν ἐπὶ τὸ κρεῖττον ταῖς κοιναῖς δίδωσι συντελείαις, ἢ ἐπὶ τοῖς κατὰ κόσμον λυσιτελεῖν δοκοῦσιν, εἰ ταῦτα ἐτύγχανε συνεισφέρων καὶ προστιθείς. χωρὶς δὲ τούτων ἔχει τι καὶ κέρδος βασιλεὺς ἴδιον τῆς καλῆς ταύτης προαιρέσεως ἕνεκεν. εἰ γὰρ αὐτοῖς δὴ τούτοις τοῖς ὑπὲρ τὴν κάτω γενομένοις ὕλην καὶ τῶν χαμαὶ πραγμάτων συρομένων ἀποσπάσασιν ἑαυτοὺς καὶ ὅλοις ἄνω γε πορευομένοις συναίροιτο καὶ συνεφάπτοιτο σπουδῆς καὶ τὸν καλὸν αὐτοῖς ἐξομαλίζοι δρόμον, γίγνοιτο ἂν πάντως τούτοις καὶ μέτοχος τῶν ἀποκειμένων ἐκ θεοῦ βραβείων, πρὸς ὃν καὶ δι' ὃν οἵ τε ἱδρῶτες καὶ τὰ σπουδάσματα καὶ ἡ τοῦ σώματος αὐτοῖς τυραννίς, αἴσθησιν μὲν καὶ τὴν κατ' αὐτὴν πᾶσαν ἡδονὴν φυγοῦσιν, ἐς δὲ ψυχὴν στραφεῖσι καὶ ὁλικῶς αὐτῇ προσθεμένοις. οὐ μὴν ἀλλὰ ταῦτα μὲν οὕτως, καὶ ἀμφιβάλλει τῶν ἁπάντων οὐδείς, ὅστις[5]) οὐδέ γε διπλῆν ἴσχει γνώμην, ὡς ἐστὶν ἄλλως ἢ ὡς εἴρηται ταῦτ' ἔχειν, ἢ περὶ αὐτῶν ἐρεῖν ἄλλως τόν τε καλῶς ἐπεσκεμμένον καὶ τἀληθῆ βουλόμενον λέγειν. ὅτου δὲ ταῦτα χάριν, καὶ πρὸς ὃν δὴ τείνει σκοπὸν ὁ λόγος; ἡ πρὸς ἕω τῷ τοῦ Γαλησίου τόπῳ σεβασμία μονὴ τῆς πανυπερ-

---

[1]) οὐρανούς Z. [2]) Sic legendum proposuit Z. pro τούτοις. [3]) αὐτοῖς Z.
[4]) καὶ suppl. Z., τε addidimus. [5]) ὅστις οὐδείς Z.

ἁγνου μου δεσποίνης καὶ θεομήτορος, διαβόητος οὖσα ἐξότου δὴ καὶ τὴν ἀρχὴν συνέστη, καὶ σφόδρα γε θαυμαζομένη, οἷς καὶ πάνυ τὶ δεδύνηται ψυχὰς βελτιοῦν ζῆν κατὰ θεὸν αἱρουμένας, καὶ νῦν ἐς δεῦρο περισώζει τοῦτο δὴ τὸ καλόν, καὶ τοῖς ἐν αὐτῇ τὴν πολιτείαν τήνδε μετιέναι προθυμουμένοις πρὸς αὐτὸ δὴ τοῦτο μάλα συναίρεται καὶ δεξιά τις ἐστὶ πληροῦν τὸν πόθον· ἵδρυται γὰρ ἐν ἀοικήτῳ τινί, πόρρω που τῶν κοσμικῶν θορύβων ἀνῳκισμένη. ἱδρύει δ' αὐτὴν καὶ συνίστησι πρώτως ὁ περιβόητος τὴν ἄσκησιν καὶ μέγας τὴν κατὰ θεὸν πολιτείαν Λάζαρος, ἀπολεξάμενος τόνδε τὸν τόπον καὶ τὴν θαυμασίαν ταύτην ἐν αὐτῷ τῇ θεομήτορι καθοσιώσας μονήν, καί γε δειμάμενος καὶ πήξας ἀρετῆς, ὡς εἰπεῖν, ἐργαστήριον, ἢ μᾶλλον χῶρον δή τινα ζητῶν, αὐτόθεν ὥσπερ φύειν ἔχοντα ψυχῶν βελτιώσεις, ἐνταῦθα δὴ καὶ παύει τὸ ζητούμενον εὑρηκώς. ὄρος γάρ ἐστιν ὁ τόπος ἄναντες καὶ τραχύ, τῶν ἐς ψυχαγωγίαν καὶ παραμυθίαν σωματικὴν μηδενὸς ἥκιστα μετέχον· οὔτε γὰρ σκιάζεται δένδροις, οὔτε βοτάνης, ἀλλ' οὐδὲ χλόης ἀπογεννᾷ βλάστησιν, οὐ μὲν οὖν οὐδὲ τῶν ἄλλων ἀπὸ γῆς χρησίμων οὐδὲν οὐδόλως καρποφορεῖ, ξηρὸν δ' ἐστὶν ὅλον καὶ πρὸς τοιαύτας γονὰς παντάπασιν ἀφυές, εἰ καὶ ἄλλως γόνιμον ἀρετῆς, τὰ μέν, ὡς ἂν εἴποι τίς, ταύτην αὐτοφυῆ γεννῶν, τὰ δὲ δεχόμενον σπέρματα καὶ οὕτω συλλαμβάνον καὶ ἀποτίκτον καὶ τρέφον καὶ αὖξον ἐς πολλαπλάσιον. καὶ γοῦν τὴν αἴσθησιν ἀνιῶν θέλγει ψυχήν. σὺ δέ μοι βλέπε καὶ τὴν ἐς αὐτὴν φέρουσαν τὴν μονὴν οὐ στενὴν μόνον καὶ τεθλιμμένην ἅτε καὶ σαφῶς πρὸς ζωὴν ἄγουσαν, ἀλλὰ καὶ πλέον ἔχουσαν τὸ ἐπίπονον ἀκροτόμων λίθων προσκόμματα καὶ πολυέλικτον τὴν πορείαν, οὐ κατ' εὐθεῖαν ἄγουσαν, κατ' εὐθεῖαν δὲ πρὸς θεόν. βλέπε δὴ καὶ τὴν ἐπάνω τοῦ ὄρους ταύτην τοῦ θεοῦ πόλιν κειμένην, δι' ἀρετὴν ἥκιστα[1]) κρυπτομένην, καὶ τὸν δρόμον ὅρα τῶν μοναχῶν, μᾶλλον δὲ τῶν ἀγωνιστῶν προθυμουμένων τὴν ἄνοδον καί γε σπουδαζόντων εἰς τέλος ἱκέσθαι καὶ νικῆσαι Βελιὰρ καὶ ἀπολαβεῖν οὐ φθειρόμενον στέφανον, ἀλλ' ἀκήρατον καὶ εἰς αἰῶνας ἀνθοῦντα, ὃν Χριστὸς ἄνωθεν προτείνει τοῖς εἰς αὐτὸν τρέχουσιν, ὁ καὶ μέγας ἀγωνοθέτης καὶ βραβευτὴς δίκαιος. ἔστι σοι πάντως θαυμάζειν καὶ τὴν τῶν ἀνδρῶν τῶνδε καρτερίαν. καὶ μάλα τὶ θαύμαζε, ὅπως θέρους μὲν οὐχ ὑπείκουσι καυσῶνι, οὐδ' αὖ ἡττῶνται φλογμοῦ ἐν ἀνύδρῳ καὶ ἀσκίῳ ἐτάζοντος, χειμῶνος δ' αὖθις κρύει καὶ παγετοῖς προσπαλαίουσι, τοῖς ἐκ διαμέτρου κατάκρως, ὡς ἄν τις εἴποι, κακοῖς καὶ ὧν οὐδὲ πρὸς ἕτερον ἔστιν ἀντιβῆναι γενναίας ἄνευ ψυχῆς καὶ πάσης ἀπορραγείσης προσπαθείας τοῦ σώματος. οὐ μήν, ἀλλ' ὁ λόγος οὐκ ἐθέλει τόδε τὸ θέατρον, ἐν ᾧ οἱ ἀγῶνες [γίγνονται][2]) ῥαδίως ἀπολιπεῖν, οὐδ' ὥσπερ

---

[1]) μᾶλλον ἥκιστα **Z.**: μᾶλλον, **quod ex sequentibus irrepsisse videtur, delendum putamus.** [2]) **Supplendum videtur.**

σκιάσαι μόνον τοὺς ἀκάμαντας, ἀμυδρὰ περὶ αὐτῶν εἰρηκὼς καὶ τοῖς μὴ διὰ πείρας εἰδόσιν οὔπω γε γνώριμα· τοίνυν καὶ τὰ τῆς ἀγωνίας ὡς ἔχει διεξέλθοι σαφέστερον. βάλλει μὲν ἐκεῖ θέρους ἥλιος φλέγων πέτρας οὐκ ἔλαττον ἢ πῦρ ἐν ἀκάνθαις πεσόν, συμφλέγει δ' ἀέρα καὶ τοῦτον ὡς ἐκ καμίνου κατὰ πρόσωπον βάλλων λύει σώματα τῶν τῇ φλογὶ προσπιπτόντων· οἱ δὲ διακαρτεροῦσι μακάριοι τῶν παλαισμάτων, ὅτι σωμάτων καταφρονήσαντες οὐδενὶ δή τινι καλύπτονται διὰ τὰς ἀφθάρτους ἐλπίδας. τοίνυν οὐδὲ πρὸς ὅπερ ἔφην μόνον πῦρ αὐτοὺς δοκιμάζον ἰσχυρῶς παρατάττονται καὶ διὰ τέλους νικῶσι, ἀλλὰ καὶ νιφετοῖς καὶ ψύχει προσταλαιπωροῦσι, πολεμίῳ δή τινι σώματος ἀφορήτῳ καὶ φθαρτικῷ· καί γε διὰ πυρὸς ἐρχόμενοι δοκιμασίας μεγάλης, μικρὸν ὕδωρ νομίσαντες, διὰ κρύους καὶ πήξεως εἰς ἀναψυχὴν χωροῦσι, θαυμαστοί τινες τῶν ἀγώνων καὶ τῆς καρτερίας, πολλῷ δὲ πλέον τῆς πρὸς τὸν πολεμοῦντα μάχης καὶ τῶν κατ' αὐτοῦ τροπαίων, καὶ ὅτι δὴ πρὸς τοῦτον καὶ τὴν κτίσιν ὥσπερ πολεμωθεῖσαν αὐτοῖς ἀντικαταστάντες οὐχ ἡττήθησαν, οὐδ' ὑπεχώρησαν ὡς δή τινες κάμνοντες, ἀλλ' ἀνένδοτον μέχρι παντὸς φυλάττουσι τὸν τόνον. ταῦτ' ἄρα καὶ πάντες μὲν ἄλλοι διὰ πολλοῦ τοὺς ἄνδρας ποιοῦνται τοῦ θαύματος, καὶ ὅσοι περὶ αὐτῶν λέγουσιν εὐφήμοις λέγουσι ταῖς γλώτταις· ἡ δὲ ἡμετέρα βασιλεία καὶ πάνυ τι εὐμενῶς περὶ τὴν σεβασμίαν τήνδε τῶν οὕτω θεοφιλῶς βιούντων ἢ μᾶλλον διαθλούντων μονὴν διατιθεμένη, ἄλλα τε ταύτῃ ἐναργῆ δείγματα τῆς εὐμενείας παρέσχετο, καὶ πάντα, ὅσαπερ φθάσας χρόνος ἐκ διαφόρων ἀφορμῶν αὐτῇ περιποιήσατο, χρυσοβούλλοις καὶ λοιποῖς στηρίγμασιν ἀμετακινήτως ἔχειν ἐβεβαίωσεν. ἐπὶ δὲ τούτοις ἐστὶ καὶ τὸ νῦν γιγνόμενον, ἅμα μὲν ὑπὲρ αὐτῆς, ἅμα δὲ τῆς ἐν τῇ μεγαλοπόλει τῇδε σεβασμίας μονῆς, τῆς τοῦ θεοῦ φημι καὶ Σωτῆρος ἡμῶν Ἀναστάσεως, ἐπισυνάπτει γὰρ ἀμφοτέρας καὶ εἰς ἓν ἄγει. καὶ μίαν ἐκ δύο τῶν προτέρων αὐτὰς δείκνυσι, πάντα κοινὰ εἶναι τοῦ λοιποῦ, ὅσα δὴ ταύταις ἀνὰ μέρος ἦσαν προστάξασα, καί γε ὑφ' ἕνα καὶ τὸν αὐτὸν πνευματικὸν ἄγεσθαι διδάσκαλον, τῶν ἐν ἀμφοτέραις μοναστῶν κατ' ἴσον καὶ τὸν αὐτὸν ἐξηγούμενον τρόπον, καὶ τῶν κατ' αὐτὰς πραγμάτων ἐπιμελούμενον ὁμοίως καὶ ταῦτα διοικοῦντα καλῶς, καλῶς προμηθευσαμένη. οὕτω περὶ αὐτῶν ἔγνω, καὶ τὴν αὐτὴν ἕνωσιν οὕτως ἔχειν ἡ ἡμετέρα βασιλεία προσέταξε †.

Extat in cod. biblioth. Parisiensis gr. Nr. 2105, ex quo edidit Boissonade, Anecd. graeca II. p. 77, et iterum Zachariae, Jus graeco-romanum III. p. 656. In codice post προσέταξε *additur:* καὶ ἔσχεν οὕτως. *Haec verba non ad chrysobullum pertinere, sed scriptoris notam continere videntur, uti monet Zachariae.*

IX. Sine anno.[1])

Imperator Andronicus II. Palaeologus donat Irenae Augustae praedia nonnulla.

Λόγος χρυσόβουλλος ἐπί τινι δεσποινικῷ βουλήματι.

Σπουδάζειν μὲν ἀποδεικνύναι τὸ νῦν ἡμῖν κείμενον κατὰ σκοπὸν καὶ γνώμην ὡς εὔλογον καὶ οὐχ ὑπερβαῖνον τὸ δίκαιον, οὐδ' ἔξω τῶν τοῖς βασιλεῦσιν ἐξ ἔθους καὶ δεδογμένων καὶ πεπραγμένων περισσὸν οἶμαι καὶ παντελῶς ἄκαιρον καὶ μηδὲ σχεδὸν εἰδότος, περὶ τίνων μὲν αἱ κατασκευαὶ καὶ ἀποδείξεις καὶ ἡ περὶ ταύτας περιουσία καὶ δύναμις τῶν λόγων, ὅτι περὶ τῶν μηδὲν ἐκδήλων καὶ δικαίων παντάπασιν ἀνωμολογημένων δικαίων ὄντων ἢ καὶ ἰσχυρῶς ἀντιλεγομένων, καὶ τότε δὴ τότε καὶ χωρῆσαι δεῖ πρὸς ἀγῶνα καὶ βοηθῆσαι τοῖς δικαίοις[2]) πολεμουμένοις. ὅπου δὲ μὴ μόνον πᾶς τις συνομολογεῖ περὶ τοῦ προκειμένου, ἀλλὰ καὶ πλέον ἐπιζητεῖ, ἵνα περισώσηται τὸ εἰκός, ὡς ἐλάττονος ὄντος τοῦ γιγνομένου καὶ μηδὲ σχεδὸν ἥκοντος εἰς λόγον πρὸς τὴν ἀξίαν τοῦ δεδογμένου[3]), τί χρὴ περιττῶν λόγων καὶ ζητεῖν εὑρέσεις ἐπιχειρημάτων καὶ ποικίλλειν καὶ τεχνουργεῖν καὶ μέγα τὶ δοκεῖν ἀνύτειν, ἑαυτοὺς δῆθεν μέμψεως ἐξαιρουμένους, μή ποτε δόξωσι παρὰ τὸ εἰκός τι πεπραχότες καὶ ὑπερδραμόντες τὸ δίκαιον; δέον ὂν παντὸς μᾶλλον πρὸς τοὐναντίον ἀπιδεῖν καὶ σπουδάσαι δεῖξαι, ὅτι μὴ ἐνέχονται τῇ αἰτίᾳ, ὡς μεγάλα μὲν ὀφείλοντες διδόναι, μικροῖς δ' ἀμειβόμενοι καὶ τὸ κατ' ἀξίαν ἐλαττονοῦντες. φιλοτιμεῖσθαι μὲν γὰρ ἐπὶ δωρεαῖς τοὺς βασιλεύοντας καὶ ταύτας διαιρεῖν καὶ ἀπονέμειν τοῖς κατὰ λόγον ὑποδεχομένοις, τοῦτο καὶ βασιλεῖς αὐτοὶ ἐν γράμμασι ῥητορεύουσι καὶ τοὺς λόγους τῆς περὶ τὰ τοιαῦτα πληροῦσι φιλοτιμίας. εἰ δὲ τοῦτο περὶ πάντας ἁπλῶς ἐξητασμένον εὖ ἔχον ἐστί, τί τις ἂν φαίη περὶ τῶν γνησίως συνημμένων καὶ ἡκόντων κατὰ γένος εἰς βασιλεῖς καὶ πανταχόθεν λαμπρὰς καὶ μεγάλας ἐπιδεικνυμένων καὶ προβαλλομένων τὰς ἀφορμάς, ὥστε σφᾶς αὐτοὺς βασιλέας τρόπον ὃν ἔφημεν προτεθυμημένους καὶ βουλομένους χαρίζεσθαι, εὐθὺς στρέφειν ὅλους καὶ μεθέλκειν εἰς ἑαυτούς; ἢ τοῦτο καὶ παντί που δῆλον. εἰ δὲ τοῦθ' οὕτως, τὴν κοινωνὸν ἐμοὶ τοῦ κράτους, τὴν περιπόθητόν μου αὐγοῦσταν, πότερον βουληθεῖσαν μᾶλλον καὶ αἰτησαμένην πᾶς τις ἂν ἐκ παντὸς ἐρεῖ τρόπου δίκαιον αὐτοῖς δὴ τούτοις, οἷς ἂν καὶ βουληθείη, εὐθὺς καὶ χρήσασθαι τετελεσμένοις; ἢ ὅτι μὴ βεβούληται μᾶλλον μηδὲ τῶν δικαίων μεταποιεῖσθαι καὶ εὐλογωτάτων,

---

[1]) Inter 1282—1328. [2]) Z. mavult δικαίως. [3]) Recepimus lectionem propositam a Z. pro δεδεγμένον codicis.

ὀλίγην δὲ τούτοις ἀπονέμει καὶ μικρὰν τὴν φροντίδα, καὶ ὅσον μὴ καθάπτεσθαι μᾶλλον τῶν τοιούτων ἢ δοκεῖν ἀμυδρῶς ἅπτεσθαι, διὰ τοῦτο καὶ μάλιστα εἴ τι γνοίημεν ἡμεῖς κατὰ ταύτην δὴ τὴν αὐτῆς γνώμην πρᾶξαι πράττοιμεν ἂν μηδὲν βιασαμένης; ἐγὼ μὲν οἶμαι τοῦτο. ἀλλὰ πρὶν ἢ τοῦτο, βοηθεῖ μὲν αὕτη τοῖς καθ' ἡμᾶς πράγμασι χρήματα ταῖς κοιναῖς χρείαις εἰσενεγκοῦσα, καὶ ὑπερορᾷ μὲν χρήσεων ἰδίων καὶ ἐφ' οἷς εἶχεν οἰκείοις ἀναγκαίοις οὖσιν ἀναλῶσαι καὶ δαπανῆσαι, προτιμᾷ δὲ τὸ τῶν πολλῶν καὶ ἐπαρκεῖ αὐτοῖς τοῦτον τὸν τρόπον πάντα τὰ δυνατὰ παρασχοῦσα, μεγαλοψύχως εἰς μέσον καταθεμένη καὶ μηδὲν ὑπολογισαμένη τοῦ καιροῦ καὶ τῶν ἐφεστηκότων πραγμάτων. ὥστε δὴ καὶ τοῖς ὀρθῶς ἐντεῦθεν λογιζομένοις οὐδὲ χάριτος ἂν ἐν μέρει νομισθείη ὃ νῦν ἡμεῖς δρῶμεν, μηδὲν μὲν νέον ἀποδόντες, ἐκ δὲ τῶν προσόντων αὐτῇ τὰ δόξαντα πράξαντες καὶ κατ' ἐξουσίαν αὐτῆς πᾶσαν εἰς τὸ διηνεκὲς παραμένειν, οὐ κατὰ χάριν μᾶλλον ἢ τρόπον ὃν εἴπομεν ἐωνημένα. ταῦτα δ' εἰσὶ τάδε . . . ὧν δὴ χάριν καὶ τοῦ παρόντος ἡμῖν ἐδέησε λόγου, καὶ ἐκτιθέμεθα τοῦτον, πάγιον καὶ ἀσάλευτον καὶ ἀμετακίνητον καθιστῶντες. καὶ ἡμεῖς μὲν οὕτως· τί δὲ ὑμεῖς, οἱ νῦν τε παρόντες τῷ πεπραγμένῳ καὶ χρόνῳ ὕστερον τῷ παντὶ συνεσόμενοι, οἱ κληρονόμοι τῆς ἐκ θεοῦ δεδομένης ἡμῖν ταύτης ἀρχῆς καὶ βασιλείας, τί φατε καὶ τί ὑμῖν δοκεῖ; μέγα τι τὸ πρᾶγμα καὶ ἐπαχθὲς καὶ οὐχ οἷον ἂν καὶ ὑμᾶς ὑποστῆναι καὶ περισῶσαι θελῆσαι; ἢ τοῦτο μὲν οὐδαμῶς οὐδ' ἂν εἷς εἴποι, μικρὸν δὲ μᾶλλον καὶ κατηυτελισμένον καὶ ἀποδέον παρὰ πολὺ τοῦ εἰκότος, ἀγαπητὸν δὲ καὶ ὑμῖν πάντα ὅσα εἴρηται λογιζομένοις καὶ ἅμα συλλογιζομένοις τὸ λαμπρὸν ἄνωθεν καὶ περιφανὲς καὶ ὑπερύψηλον τοῦ γένους, ἐξ ὧν αὕτη τίκτεται καὶ ἡμῖν ἐπιδημεῖ τῆς ἀρχῆς ἐν μεθέξει οὕτω τοῦ θεοῦ βουληθέντος καὶ ἐν εὐδοκίᾳ θεμένου. καὶ μὴν εἰ μὴ τὸν τρόπον τοῦτον, ἀλλὰ κατὰ τύχην ἑτέραν πρὸς ἡμᾶς ἧκε, τί ἂν ἐπράξαμεν; οὐ μετεδώκαμεν ἂν τῶν ἀξίων, μεγάλων δή τινων ἁρμοζόντων; καὶ πῶς οὐκ ἂν ἐδόξαμεν τοῦ ἀμέμπτου καὶ τῆς τοῦ καλοῦ ἐπιγνώσεως ἀναισθήτως ἔχειν; καὶ τοίνυν φυλάττετέ μοι τὸν χρυσόβουλλον τοῦτον λόγον ἀκατάλυτον παντελῶς, καὶ ὅσον ἐν τούτῳ βουλόμεθα εἰς ἀεὶ παραμένειν. βουλόμεθα δὲ τὰ εἰρημένα κατὰ κλῆσιν χωρία τῇ περιποθήτῳ μοι ταύτῃ αὐγούστῃ ἐν διηνεκεῖ τῷ χρόνῳ διὰ παντὸς ἀνεῖσθαι ἀνενόχλητα παντελῶς, ἀναπόσπαστα, ἀπαράθραυστα καὶ κατὰ τὴν περιοχὴν μὲν αὐτῶν καὶ νομὴν πᾶσαν, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ πᾶσιν οἷς ἂν καὶ γένοιτο ταῦτα βελτιωθέντα προελθεῖν εἰς ἐπίδοσιν πόρρω που πάσης ἀπεληλαμένης καὶ ἀπωσμένης ἄλλης τε διασειούσης καὶ μετασαλεύειν πειρωμένης δυνάμεως, καὶ δὴ καὶ ψηλαφώσης ἁπάσης καὶ

[1]) **Excidit hic catalogus praediorum Irenes Augustae gratia emtorum eique donatorum, ut recte observavit Boissonade. Z.**

περιεργαζομένης καὶ ἀπογραφούσης χειρός· οὔτε γὰρ ἕτερός τις τῶν ἁπάντων οὐδεὶς ἐπεγνωκὼς ἔσται καὶ πράξας ἐξ ἐναντίας τῶν νῦν ἡμῖν ἐγνωσμένων οὐδέν, ἀλλὰ καὶ ἀπογράφων πᾶς ἀπὸ μακρόθεν στήσεται, καὶ οὐκ ἐγγιεῖ οὐδ' ἐπιμίξει τοῖς τοιούτοις, παρεγχειρεῖν τολμῶν καὶ ὑποτέμνειν καὶ παραλύειν καὶ ἀλλοτριοῦν, εἴτε τι τῶν ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν ἡρμοσμένων εἴτε τῶν ἐς ὕστερον ἀμεινόνων καὶ βελτιόνων γε καθεστηκότων. οὐ μὴν ἀλλὰ καὶ ἐσεῖται ταῦτα παντάπασιν οὕτως ἔχοντα καὶ μηδὲν ὑπανέντα μηδὲ περιτραπέντα καὶ εἰς ἧττον ὀλισθήσαντα καὶ ὑπαχθέντα, μηδ' αὐτοῖς οἷς ἂν καὶ γνοίη ἡ αὐτή μοι περιπόθητος αὐγοῦστα πρυτανεῦσαι καὶ νεῖμαι τῶν ἐξ ἐμοῦ καὶ ταύτης δηλονότι γεγεννημένων ἢ τρόπον ἕτερον ἐν μοίρᾳ παίδων ἡμῖν γνησίως ἀφιγμένων, οἳ δὴ καὶ αὐτοὶ καθέξουσι δεσπόζοντες κατ' ἴσον ὥσπερ ἄλλο τὶ χρῆμα τῶν ἰδίων αὐτῆς δικαίοις ἅπασι καὶ ταῦτα ἐξ αὐτῆς κατὰ δωρεὰν καὶ χάριν, εἰ δὲ βούλει κλῆρον εἰπεῖν δίκαιον, θαρρούντως εἰληφότες. οὐ μὴν ἀλλὰ καὶ οὗτοι πρὸς τοὺς ἐξ αὐτῶν, κἀκεῖνοι πρὸς τοὺς ἐξ ἐκείνων, καὶ οἱ ἐφεξῆς πρὸς τοὺς καθεξῆς σφισιν αὐτοῖς εἰς γέννησιν ἰόντας, οὕτω δὴ καὶ κατὰ βούλησιν πᾶσαν ἀπονενεμηκότες κληρώσουσιν, ὡς αὐτοὶ τρόπον ὃν ἔφημεν μεθ' οὕτω μεγίστου καὶ κρατίστου τοῦ δικαιώματος ἔλαχον. καὶ οἶδα μέν, ὅτι πᾶν ὅσον ἤδη καὶ λέλεκται καὶ ὑμεῖς παρεγγυώμεθα, δίκαιον ὂν παντὸς μᾶλλον, οὐδ' ὑμῶν τις τῶν μεθ' ἡμᾶς βασιλευσόντων παρόψεται, εἰ μή τι ἄλλο, θεοῦ νέμεσιν δικαίαν καὶ ἀγανάκτησιν θέμενος ἐν φόβῳ· εἰ δέ τις καὶ βουληθείη (εἴη δὲ μηδείς), ἀλλ' οὖν τῷ βουληθέντι καὶ ἡμεῖς εὐθὺς ἐπαρώμεθα αὐτὸ δὴ τοῦτο ὃ γε πάντως καὶ πείσεται, τίμησιν[1]) θεοῦ ἐνδίκως μετιοῦσαν τὴν ἀδικίαν.

Extat in cod. Parisiensi gr. Nr. 2105, ex quo edidit Boissonade, Anecd. graeca II. p. 57 et Zachariae, Jus graeco-romanum p. 644.

X. 6844—1336, mense martio, ind. IV.

Imperator Andronicus III. confirmat possessiones et exemptiones episcopatus Stagorum.

† Ἐπειδὴ ὁ θεοφιλέστατος ἐπίσκοπος καὶ οἱ κληρικοὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Σταγῶν ἀνέφερον, ὅτι κέκτηνται δύο χρυσόβουλλα τοῦ ἀοιδίμου, μακαρίτου, ἁγίου αὐθέντου καὶ βασιλέως, κυροῦ[2]) Νικηφόρου τοῦ Βοτανειάτου[3]) καὶ ἕτερον χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, δωρούμενα τῇ αὐτῇ ἐπισκοπῇ παροίκους ἐνυποστάτους[4]) μετὰ τῆς γῆς αὐτῶν, ζευγάρια δέκα ἐννέα καὶ

---

[1]) κίνησιν Z. [2]) κυρίου H. [3]) Βοτανοιάτου H. [4]) ἀνυποστάτους Orig. corr. H.

ἐπέκεινα τῆς γῆς τοσούτων ζευγαρίων ἑτέραν γῆν μοδίων χιλίων, ἥτις εὑρίσκεται ἐν τῷ χωρίῳ λεγομένῳ Κουβέλτζιον, εὑρίσκονται δὲ ἐν αὐτῇ τῇ γῇ [χωρία][1]) κατεχόμενα παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου καὶ τῶν κληρικῶν τῆς αὐτῆς ἐπισκοπῆς. ὡσαύτως ἐνεφάνισεν[2]) τῇ ἐμῇ βασιλείᾳ ὁ αὐτὸς ἀρχιερεὺς μετὰ [τῶν][3]) ἐκεῖσε κληρικῶν πρόσταγμα βασιλικὸν καὶ αὐθεντικὸν ἡμῶν [καὶ] διάφορα ἐπικυρωτικὰ [σιγίλλια] ἀποφαίνοντα εἶναι [αὐτοὺς δεσπότας] τῶν ἀναγεγραμμένων[4]) ἐκκλησιαστικῶν πραγμάτων, [καὶ][5]) ἐγγράφως τῇ βασιλείᾳ μου ἐδήλου, εἶναι τὸν θεοφιλέστατον ἐπίσκοπον Σταγῶν μετὰ τῶν αὐτοῦ κληρικῶν δεσπότας καὶ κατόχους τῶν ἀναγεγραμμένων ἐνυποστάτων παροίκων μετὰ τῆς γῆς αὐτῶν χωρούσης[6]) ζευγάρια δέκα ἐννέα καὶ ἐπέκεινα τούτων, ὅσα ἐν τῷ πρακτικῷ γεγραμμένα τυγχάνουσιν. ἀκολούθως δὲ τούτοις ἐνεφανίσθησαν ὑπ' αὐτῶν καὶ πρακτικὰ οὐκ ὀλίγα [καὶ][7]) σιγίλλια περὶ τῶν προσόντων τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Σταγῶν ἐπικυρωτικὰ μετὰ χρυσοβούλλων τῶν πρὸ ἡμῶν βασιλέων καὶ ἕτερα [πρακτικὰ] ἀναγραφέων[8]), πάσης καὶ παντοίας δημοσιακῆς ζητήσεώς τε καὶ δόσεως καὶ ὀχλήσεως καὶ ἐπηρείας καὶ ζημίας ἀνωτέρως διατηρεῖσθαι διαλαμβάνοντα πάντα τὰ ὑπὸ τὴν ἁγιωτάτην ἐπισκοπήν, τοὺς κληρικοὺς δηλαδή, τοὺς ἐνοίκους, τὰ χωρία, τὰ μοναστήρια καὶ τοὺς ὑπὸ τὴν ἐνορίαν αὐτῆς ὄντας ἱερωμένους [καὶ λαϊκούς][9]), Βλάχους τε καὶ Βουλγάρους καὶ Ἀλβανίτας. ταῦτα δὲ πάντα[10]) γεγενημένα κατὰ τὴν περίληψιν τῶν ἀναπεφωνημένων βασιλικῶν χρυσοβούλλων. καθὸ καὶ τὸ πρακτικὸν ἴδομεν καὶ ἐπέγνωμεν τοῦ Μανούση, τοῦ χρηματίσαντος πράκτορος καὶ ἀναγραφέως, φέρον ἐπιβεβαίωσιν ὄπισθεν τοῦ πρωτοσεβάστου[11]) σεβαστοῦ ὑπερτάτου πράκτορος. περιείληφε[12]) δὲ τὸ τοιοῦτο πρακτικόν, διοικεῖσθαι τὴν ἐπισκοπὴν εἰς τὸ Παλαιόκαστρον [γῆν][13]) διακρατοῦσαν αὐτὸ καὶ περὶ τοὺς πρόποδας τούτου ἔχουσαν περιβόλιον καὶ λόετρον σύνεγγυς τοῦ ἁγίου ναοῦ τοῦ Προδρόμου, ἔνθα καὶ ἡ βρύσις ἐστίν, ἔτι δὲ καὶ εἰς τοὺς πρόποδας τοῦ αὐτοῦ Παλαιοκάστρου τὸ ἐμπόριον, ἐν ᾧ, ὡς ἐδήλου τὸ αὐτὸ πρακτικόν, εἶχεν[14]) ἡ αὐτὴ ἁγιωτάτη ἐπισκοπὴ κληρικοὺς ἐνυποστάτους τριάκοντα ἕνα καὶ ἐνοίκους ἀνυποστάτους ἑξήκοντα πέντε καὶ μυλῶνας ὁλοκαιρινοὺς[15]) δύο καὶ μυλοθέσιον ἕν· ἔτι δὲ εὕρομεν ἐν τῷ αὐτῷ πρακτικῷ καὶ τὰ ἐν τῇ ἐπαρχίᾳ αὐτῇ μονήδρια, εἰς μετόχια ὄντα τῆς αὐτῆς ἁγιωτάτης ἐπισκοπῆς, τήν τε μονὴν[16]) τῆς ὑπεραγίας Θεοτόκου [ἐπιλεγο-

---

[1]) Supplevimus. [2]) ἐνεφάνισαν H. [3]) Suppl. [4]) προσταγματικὸν β. κ. αὐθ. ἡμῶν διάφορον, ἐπικυρωτικὸν ὅτις φαίη εἶναι τῶν ἀναγ. H. [5]) Suppl. [6]) χορούσαν emend. H. [7]) καὶ suppl. [8]) καὶ ἑτέρων ἀναγραφῶν H. [9]) Suppl. [10]) πάντα τὰ γ. H. [11]) πρωτο[πατρικίου] H. [12]) περιεῖλε H. [13]) Suppl. [14]) ἐν ᾧ ἐδ. ὡς εἶχεν H. [15]) ὁλοκαιρίους H. [16]) ἥ τε μονή, ut etiam inferius H.

μένην][1]) ἡ Δουπιάνη καὶ τὴν μονὴν τῆς Θεοτόκου εἰς τὸ Λαμπόγοβον καὶ τὴν μονὴν τῆς ὑπεραγίας Θεοτόκου εἰς τὸ Ἀσπροπόταμον, ὡσαύτως εἰς μετόχια ταύτης, τούτων πάντων δεσπόζειν[2]) τὴν ἁγιωτάτην ἐπισκοπὴν Σταγῶν διώρισται ἐν ἐκείνῳ τῷ πρακτικῷ. εὕρομεν δὲ ἐν αὐτῷ τῷ πρακτικῷ καὶ τὴν περιοχὴν τῆς τοιαύτης ἐπαρχίας ἀρχομένην ἐκ χωρίου Τζηρνιτζόβου λεγομένου, καὶ ἀναβαίνει εἰς τὴν ῥάχην, καὶ καταβαίνει εἰς τὸ· ξηρόρευμα πλησίον τῆς Σθλατένας, καὶ ἀναβαίνει ἐς [τὸ][3]) βουνὸν τὸ λεγόμενον Βλέμπι, καὶ καταβαίνει τὰ διάραχα τοῦ βουνοῦ τοῦ λεγομένου Μποκοβικοῦ, καὶ καταντᾷ εἰς τὸ Μέλοβον καὶ εἰς τὴν Κάριτζαν, καὶ ἀνέρχεται πλησίον τοῦ λοέτρου, καὶ ἀναβαίνει εἰς τὸ βουνὸν τῆς Μπονάσας, καὶ καταβαίνει ἕως [τοῦ] ξηροποτάμου τοῦ λεγομένου Σουσίτζα, καὶ ἀνέρχεται εἰς τὸ χεῖλος τοῦ ποταμοῦ ἕως εἰς τὸ τῶν Χλαπῶν σύνορον, καὶ ἀνέρχεται πρὸς δυσμὰς εἰς τὴν Μηλέαν καὶ εἰς τὸ Ζυγόν, καὶ καταβαίνει πρὸς νότον εἰς [τὸ] χωρίον λεγόμενον Χαλίκι, καὶ ἀναβαίνει εἰς τὰ Λευκὰ Ὄρη καὶ εἰς [τὸ] βουνὸν τῆς Μοτζάρας, καὶ καταντᾷ εἰς τὸ Γρεβενοσέλι, καὶ περᾷ τὸν Ἀχιλῶον ποταμόν, καὶ καταντᾷ εἰς τὸ χωρίον τὸ λεγόμενον Μουσίνια, καὶ ἀνέρχεται εἰς τὸ Μυρόκοβον καὶ εἰς τὰ Κορνήσια, καὶ ἀναβαίνει εἰς τὸ βουνόν, καὶ καταβαίνει εἰς [τὸ] χωρίον τὸ λεγόμενον Βαρδάνι, καὶ ἀναβαίνει τὰ διάραχα, καὶ καταβαίνει εἰς τὴν πηγὴν τοῦ Κορμοῦ, καὶ ἀναβαίνει εἰς τὸ βουνὸν τὸ λεγόμενον Κοζίακον, καὶ καταβαίνει κατὰ ἀνατολὴν εἰς [τὸ] χωρίον Ξυλικούς, καὶ κατέρχεται ἕως [τῆς] βρύσεως τοῦ Μαυρονέρου, καὶ ἀπέρχεται πρὸς μεσημβρίαν μέχρι τοῦ λεγομένου Ἡμεροχλίματος, διαιροῦσα τὰ δίκαια [τοῦ] χωρίου Μερτζίου καὶ σχίζουσα τὸν δρυμῶνα καὶ ἀνέρχεται πρὸς ἄρκτον, καὶ καταντᾷ μέχρι τῶν ἀμπελίων [τοῦ] χωρίου Τραμπουχουνίστας, ὅθεν ἤρξατο τὸ πρῶτον. οἱ δὲ προειρημένοι, ὅ τε θεοφιλέστατος ἐπίσκοπος Σταγῶν καὶ οἱ κληρικοὶ αὐτοῦ, ἦλθόν τε καὶ παρεκάλεσαν, ἵνα τύχωσι ἐπὶ τούτοις τοῖς βασιλικοῖς χρυσοβούλλοις καὶ πρακτικοῖς τῶν παλαιῶν ἀναγραφέων[4]) καὶ ἡμετέρου χρυσοβούλλου βεβαιωτικοῦ πάντων τῶν προσόντων τῇ ἁγιωτάτῃ ἐπισκοπῇ, ἵνα μὴ ἀπὸ τῆς πολυετίας εἰς λήθην τὰ τοιαῦτα ἔλθωσιν· ἡ δὲ βασιλεία μου τὴν παράκλησιν καὶ αἴτησιν αὐτῶν εὐμενῶς προσδεξαμένη, τὸν παρόντα χρυσόβουλλον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς, δι' οὗ προστάσσει καὶ διορίζεται, ἵνα κατέχῃ αὐτὰ καὶ νέμηται μέχρι τοῦ νῦν, καθὼς ἔχει ἀνέκαθεν καὶ ἐξ ἀρχῆς εἰς ταῦτα δίκαιον, καὶ ἔχῃ[5]) ἄδειαν ποιεῖν εἰς σύστασιν καὶ βελτίωσιν αὐτῶν, καθὼς ἔχει βουλήσεως καὶ δυνάμεως, ἐκδουλεύωσι

---

[1]) Suppl. [2]) δεσπόζουσαν H. [3]) Quae uncis inclusimus, supplevimus.
[4]) ἀναγραφῶν H. [5]) ἔχει H.

δὲ καὶ οἱ τοιοῦτοι κληρικοί, καθὼς εἰσι τεταγμένοι εἰς τὴν τοιαύτην ἐπισκοπήν, ἀποδώσωσι δὲ πρὸς αὐτὴν τὸ ἀνῆκον τέλος, ὅσοι ἔχουσιν ὑποτελῆ κτήματα αὐτῆς, καὶ μηδόλως ἀντιτείνοντες εἰς τοῦτο. ὅθεν τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου [λόγου] τῆς βασιλείας μου κατέχῃ μὲν καὶ νέμηται τὰ εἰρημένα ἅπαντα, ὡς ἐκράτει καὶ ἐνέμετο, καθὼς ἀνωτέρω διείληπται, διατηρῆται δὲ ταῦτα ἀνώτερα καὶ ἀκαταζήτητα ἀπὸ πασῶν ἐπερχομένων δόσεών τε καὶ ζητήσεων, καὶ οὐδεὶς οὐ μήποτε τῶν ἁπάντων τολμήσῃ χεῖρα ἐπιβάλλειν ἐπ' αὐτοῖς πλεονεκτικὴν καὶ ἄδικον· βούλεται γὰρ ἡ βασιλεία μου, ἀνενόχλητα καὶ ἀδιάσπαστα ἀπαντάπασι διατηρεῖσθαι ἀπὸ πασῶν τῶν ἐπερχομένων δημοσιακῶν δόσεών τε καὶ ζητήσεων. ἐπὶ τούτῳ γὰρ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη εἰς τὴν διαληφθεῖσαν[1]) ἁγιωτάτην ἐπισκοπὴν Σταγῶν ὁ παρὼν χρυσόβουλλος [λόγος] τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα μάρτιον τῆς νῦν τρεχούσης τετάρτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τεσσαρακοστοῦ[2]) [τετάρτου] ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

Exstat depictum in pariete vestibuli ecclesiae episcopalis Calabacae. Editum est in libro: Mission archéologique de Macédoine par Léon Heuzy et H. Daumet. Paris. 1876. Appendix p. 453. Lectionem valde corruptam, ut potuimus, correximus.

XI. 6871—1363, 10. mensis maji, ind. I.

Hieromonachi quidam declarant, genuinas esse reliquias emptas in urbe Constantinopoli a magistro Petro de Pestagali et in occidentem translatas. Elenchus reliquiarum.

† Ὁ μάγιστρος κύριος Πέτρος ντὲ Πεσταγάλη, ὃς πρότερον ἦν ἰατρὸς πάπα κυρίου τοῦ Ἰνοκεντίου σέστου, μετὰ δὲ ταῦτα τοῦ ῥηγὸς τῆς Κύπρου, τοῦ κυρίου Ἰούγου[3]) ἐκείνου, καταλαβὼν ἐνταῦθα εἰς τὴν θεοφύλακτον ταύτην καὶ θεοδόξαστον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν ἠγόρασε θεῖα καὶ ἅγια λείψανά τινων ἁγίων, ὧν ἕκαστον τίνος ἔχον ἐστὶν ἁγίου δεδήλωται κάτωθεν ἐν τῷδε τῷ γράμματι διὰ τὸ πληροφορεῖσθαι πάντας τοὺς θεασομένους αὐτὰ καὶ μάλιστα τούτων τοὺς μέλλοντας δέξασθαι ταῦτα καὶ κατέχειν, ὡς εἰσιν ὁμολογουμένως καὶ κατὰ ἀλήθειαν ἁγίων· ὅθεν καὶ οἱ βλέποντες καὶ καθέξειν αὐτὰ μέλλοντες, καθὰ δήπου φιλόθεοι καὶ φιλόχριστοι καὶ διὰ τοῦτο καὶ τὰς ὀφειλομένας τιμὰς ἀποδίδειν ὀφείλοντες τοῖς

---

[1]) ἐπ. διαληφθεὶς τὴν ἁγ. H. [2]) Supplevit H. [3]) Hugo IV.

ἁγίοις, ὡς αὐτοῦ τοῦ θεοῦ φίλοις, ἀσμένως δεξάσθωσαν τὰ τίμια καὶ ἅγια τούτων αὐτὰ λείψανα, ἃ νῦν ἐπιφέρεται ὁ δηλωθεὶς οὗτος μάγιστρος, κύριος Πέτρος ντὲ Πεσταγάλη, ὁ ἀρχιατρὸς καὶ προσηκόντως ἀποδιδότωσαν αὐτοῖς τὸ σέβας καὶ τὴν ὀφειλομένην τιμὴν ἀνενδοιάστως μετὰ ζεούσης τῆς πίστεως ὁλοψύχως, ἵνα καὶ τὸν θεὸν ἕξουσιν ἵλεων, τούτου χάριν καὶ εἰς αὐτὸν τὸν θεὸν διαβαίνειν τὴν ἀποδιδομένην παρ' ἡμῶν τῶν ἀνθρώπων τοῖς ἁγίοις τιμὴν καὶ τούτους αὐτοὺς τοὺς ἁγίους πρεσβευτὰς ὑπὲρ αὐτῶν δὴ τῶν κατεχόντων αὐτὰ τὰ τίμια καὶ ἅγια τούτων λείψανα καὶ τιμώντων, ὡς τὸ εἰκός· μάρτυρες δὲ τούτου οἱ κάτωθεν κατ' ὄνομα δηλωθέντες τιμιώτατοι καὶ αἰδεσιμώτατοι ἱερομόναχοι, πιστωθὲν τῇ ἰδιοχείρῳ ὑπογραφῇ. καὶ ἠξιώθη τοῦτο παρὰ τοῦ ἁγιωτάτου μου αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου †.

† Μηνὶ μαΐῳ, δεκάτῃ ἡμέρᾳ, ἰνδικτιῶνος α' τοῦ ͵ςωοα' ἔτους ἀπὸ κτίσεως κόσμου †.

† Ἀπὸ τοῦ πατριαρχικοῦ θρόνου τῆς ἀνατολικῆς τοῦ Χριστοῦ καὶ ἁγίας ἐκκλησίας Ἱεροσολύμων Γεννάδιος Φρυγίτις †.

Τὰ δεσποτικὰ ἅγια ταῦτα· ἅγιος λίθος ἀπὸ τοῦ ἁγίου δεσποτικοῦ τάφου, ἅγιος σπόγγος, ἅγιος λίθος ἀπὸ τοῦ ἁγίου κίονος, τίμιον καὶ ἅγιον ξύλον, ἅγιον χῶμα, ἀφ' οὗ τόπου ἦν ὁ τίμιος καὶ ζωοποιὸς σταυρὸς κεχωσμένος, ἀφ' οὗ ἀνήγαγεν αὐτὸν ἡ ἁγία Ἑλένη, ἅγιος ἄρτος· ἅγιον κηρίον, ἀφ' οὗ ἔφεγγε τῷ δεσπότῃ Χριστῷ συνεστιωμένῳ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις· ἀπὸ τοῦ ἁγίου ἱματίου τοῦ δεσπότου Χριστοῦ· ἕτερος ἅγιος σπόγγος, ἀφ' οὗ ἀπεσπόγγισαν τὸ ἄχραντον δεσποτικὸν σῶμα ἀποκαθηλώσαντες αὐτὸ κρεμάμενον ἀπὸ τοῦ σταυροῦ· ἅγιος σπόγγος ἄλλος, δι' οὗ ἐπότισαν τὸν δεσπότην τὸ ὄξος ἀπὸ τοῦ κέντρου τοῦ λογχεύσαντος τὴν ἄχραντον πλευρὰν τοῦ δεσπότου· ἀπὸ τοῦ ἁγίου λίθου, ἐφ' ᾧ ἐτέθη τὸ ἄχραντον δεσποτικὸν σῶμα καθελόντες ἀπὸ τοῦ σταυροῦ· ἀπὸ τοῦ ἁγίου λίθου, ἐφ' οὗ ἐπάτησεν ὁ δεσπότης Χριστὸς ἀναβαίνοντας ἐπὶ τοῦ σταυροῦ· ἕτερος ἅγιος λίθος ἀπὸ τοῦ ὄρους τοῦ σχιζομένου ὁδοιπορούσης τῆς παναγίας θεοτόκου μετὰ τοῦ δεσπότου φεύγοντος διὰ τὸν παιδοκτόνον Ἡρώδην καὶ ἀπερχομένου παρὰ τὴν Αἴγυπτον· ἅγιος κάλαμος ἀπὸ τοῦ δοθέντος παρὰ τῶν παιζόντων στρατιωτῶν τῷ δεσπότῃ Χριστῷ· ἀπὸ τῆς ἁγίας σκέπης τῆς ὑπεραγίας θεοτόκου· ἀπὸ τοῦ ἁγίου καὶ τιμίου δεσποτικοῦ αἵματος· ἀπὸ τοῦ ἁγίου λευτιου . . . σπογγίας ὁ δεσπότης τοὺς πόδας τοῦ ἀποστόλου. τὰ δὲ τῶν ἁγίων λείψανα ἅγια ταῦτα· κάρα Γρηγορίου τοῦ θεολόγου. κάρα Λέοντος πάπα. κάρα Ζηνοβίου τοῦ ἁγίου. κάρα τοῦ ἁγίου . . . κάρα τοῦ ἁγίου Ἰγνατίου. κάρα τοῦ ἁγίου Σεργίου. κάρα τοῦ ἁγίου . . . κάρα τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου. λείψανον τοῦ ἁγίου Τιμοθέου.

ἄλλο τοῦ ἁγίου Ἀβερκίου. ἄλλο τοῦ ἁγίου Ἀντίπα. ἄλλο τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας. ἄλλο τοῦ ἁγίου μάρτυρος Λεοντίου. ἄλλο τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ Τύρωνος καὶ στρόβιλος τοῦ αὐτοῦ ἁγίου βασι[λέως][1]), ἀφ' ὧν εἶχεν, ὅτε τὸ πάτερ ἡμῶν ἔλεγε. λείψανον τοῦ ἁγίου Στεφάνου. ἄλλο τοῦ ἁγίου Παρθενίου. ἄλλο τοῦ ὁσίου Θεοδώρου τοῦ Τριχινᾶ. ἄλλο τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου. ἄλλο τοῦ ἁγίου Πολυεύκτου. ἄλλο τῆς ἁγίας Μαρίνης. ἄλλο τῆς ἁγίας Εὐφημίας. λείψανον τοῦ ἁγίου Ἐλευθερίου. ἄλλο τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. ἕτερον τοῦ ἁγίου Θεοδώρου τοῦ Σρατηλάτου. ἕτερον τοῦ ἁγίου Προκοπίου. ἕτερον τοῦ ἁγίου ἀποστόλου Λουκᾶ. ἕτερον τοῦ ἁγίου ἀποστόλου Τιμοθέου. ἕτερον τοῦ ἁγίου Βασιλείου τοῦ Νέου. ἕτερον τοῦ ἁγίου Παντελεήμονος. ἕτερον τοῦ [ἁγίου] Σπυρίδωνος. ἕτερον τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. ἕτερον πάλιν τοῦ ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου. ἕτερον τοῦ ἁγίου Ἀνδρέου. ἕτερον τοῦ ἁγίου ἀποστόλου Λουκᾶ. κάρα τοῦ αὐτοῦ. οἱ ἄνωθεν δηλωθέντες ἐν τῷ γράμματι μάρτυρες.

† Ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς καλουμένης τοῦ Βάσου, Ὑάκινθος ἱερομόναχος †.

† Ὁ ἐκκλησιάρχης τῆς αὐτῆς σεβασμίας μονῆς, Νεῖλος ἱερομόναχος †.

† Ὁ ἐν αὐτῇ τῇ σεβασμίᾳ μονῇ Μελέτιος ἱερομόναχος †.

† Ὁ ἐκκλησιάρχης τῆς σεβασμίας μονῆς τοῦ Ἀκαταλήπτου Ἱερόθεος ἱερομόναχος †.

† Ὁ ἐκκλησιάρχης τῆς σεβασμίας μονῆς τῆς Γοργοεπηκόου Ἰωσὴφ ἱερομόναχος †.

† Ὁ οἰκονόμος τῆς αὐτῆς σεβασμίας μονῆς τῆς Γοργοεπηκόου Ἰωσὴφ ἱερομόναχος †.

† Ὁ ἀπὸ τῆς σεβασμίας μονῆς τοῦ Βάσου Ἀντώνιος ἱερομόναχος †.

† Ὁ ἀπὸ τῆς σεβασμίας μονῆς τοῦ Κυρίζου Διονύσιος ἱερομόναχος †.

† Ὁ ἀπὸ τῶν εἰς τὴν βασιλικὴν ἱερέων ἱερεὺς Μιχαὴλ ὁ Παντεύγενος καὶ Μανουὴλ ἱερεὺς ὁ Μεγαλοναίτης †.

Documentum exstat in tabulario capituli ecclesiae metropolitanae Vindobonensis, editumque est cum versione latina in libro: Beschreibung der Metropolitankirche zu St. Stephan in Wien, herausgegeben von einem Priester der erzbischöflichen Kur (Joseph Ogesser) im J. 1779. Wien. Appendix p. 119.

---

[1]) **Videtur corrigendum:** στρόβιλος τοῦ αὐτοῦ· ἄλλο τοῦ ἁγίου Βασιλείου.

XII. 6873—1364, mense decembri, ind. III.

Alexius Comnenus, imperator Trapezuntis, declarat, monasterium Sanctae Deiparae in monte Sumela esse liberum et regium.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἀμήν †.

† Ἀλέξιος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ πάσης Ἀνατολῆς, Ἰβήρων καὶ Περατείας, ὁ Μέγας Κομνηνός, πᾶσιν, οἷς τὸ παρὸν ἡμῶν εὐσεβὲς ἐπιδείκνυται σιγίλλιον †.

† Εἰ τεῖχος ἄρα ἑαυτοῖς οἱ πολεμίων ἔφοδον ἐνωτιζόμενοι διεγείρουσιν ἀπερικλόνητον, καὶ τάφρον σφίσιν ἐς ἀποτροπὴν τῶν ἐναντίων ἐκεῖθεν ὀρύττουσιν, εἰ ὅπλα ἔνιοι πολεμιστήρια ἐς φυλακὴν σφῶν περιζώννυνται, καὶ κατὰ παθῶν τινες ἀλεξιτήρια ἐπιτίθενται φάρμακα, καὶ ἄλλος ἄλλο τὸ βοηθοῦν αὐτῷ ἐκ τῶν ἐνύλων διαχειρίζεται, ἀλλ᾽ οὐχ οὕτως ἡ βασιλεία ἡμῶν· ἀντὶ οὐδενὸς γὰρ ταῦτα λογίζεται, καὶ σχολὴν ἐπὶ τούτοις παντάπασι καταψηφίζεται, φθαρτοῖς οὖσι καὶ ἐπικήροις, ἀντὶ δ᾽ ὀχυρώματος ἀρραγοῦς καὶ ὅπλων μαχίμων καὶ φαρμάκων ἰασίμων καὶ παντοίας ἀρωγῆς ἀνθρωπίνης τὴν πανύμνητον ἐπικαλεῖται θεόπαιδα, τὴν τὸν λόγον ὑπὲρ λόγον ἀρρήτως ἡμῖν ἑνώσασαν, καὶ τὸ τῆς σαρκὸς γεῶδες ὑψώσασαν, καὶ ἡμῖν τὸν θεὸν εὐδιάλλακτον κριτὴν ἀναδείξασαν· αὐτὴ γὰρ φρούριον τυγχάνει ἀνάλωτον καὶ τάφρος καὶ πόλις ἀπολιόρκητος καὶ ὅπλον κατ᾽ ἐχθρῶν πληκτικὸν κἂν ταῖς ἀσθενείαις ἀνάρρωσις καὶ ἀπαλλαγὴ παντοίων ἀλγεινῶν τε καὶ συμφορῶν καὶ κινδύνων καὶ περιστάσεων. καὶ τὸ δὴ θαυμαστόν, ὅτι καὶ ἐν ταύτῃ τῇ ἐπικήρῳ ζωῇ ἀναζώωσίς τε καὶ βοήθεια κἂν τῇ μονιμωτέρᾳ καὶ μελλούσῃ ἀνάδοχος τῶν εὐσεβῶν καὶ μεσίτρια, ἧς τὰς δωρεὰς καὶ τὰς ἀντιδόσεις δαψιλεῖς πλουτίσασα ἡ βασιλεία μου, οὐ διαλείπει ἐπαινοῦσα καὶ εὐχαριστοῦσα τὸ ταύτης δεδοξασμένον καὶ σωτήριον ὄνομα. εἰ δὲ καὶ ἀντιμετρεῖν βουληθείημεν, ἀνθ᾽ ὧν αὕτη ἡμῖν ἐπεμέτρησεν, ἔν τ᾽ ἐκστρατείαις κατ᾽ ἤπειρον ἅμα καὶ θάλατταν, ἔν τε ξυμφοραῖς τε καὶ περιστάσεσι καὶ λοιπαῖς συναναστροφαῖς, αἷς ὑπέσταμεν, ἀφ᾽ οὗ[1]) ἐκ τῆς βασιλίδος τῶν πόλεων διεπλωίσθημεν τῶν ὧδε, καὶ τὴν βασίλειον ταύτην καὶ προπατορικὴν εἰλήφαμεν[2]) ἀρχήν, τί ἂν τις εἴποι ἢ ἀνταποδοίη ἢ λόγῳ ξυγγράφειν ἱστορικῷ δυνήσεται, κἂν ὅλην αὐτὴν τὴν καθ᾽ ἡμᾶς ἀνελίξῃ γραφήν; τοίνυν καὶ μὴ ἔχουσα [ἡ βασιλεία μου][3]) ἐς τοσοῦτον ἀνείκαστον πέλαγος τῶν ταύτης θαυμασίων ὁρᾶν, ἢ ἐς τηλίκον οὐράνιον καὶ ἔναστρον λειμῶνα

---

[1]) ἧς F. [2]) ὑπέστην — διεπλωίσθην — εἴληφεν F. [3]) Supplevimus.

ἀποσκοπεῖν δεῖν ἔγνω[1]) τιμᾶν σιωπῇ ἢ τὰς δυναστείας αὐτῆς ἀριθμεῖν. μικρὰ δέ τινα ἀφοσιοῦσθαι προθυμεῖται, ἀφ' ὧν ἡ ὀλβιόδωρος αὕτη ἡμῖν παρέσχε καὶ τεταμίευκεν, εἰδυῖα, ὡς οὐ τῇ ἀξίᾳ τοῦ διδομένου, τῇ δὲ διαθέσει καὶ προθυμίᾳ τοῦ καρποφοροῦντος μετρεῖ θεὸς τὴν ἐπίδοσιν. ἐπεὶ δὲ πόθον ἐγκάρδιον κέκτηται ἡ βασιλεία μου ἐς τὴν πανύμνητον ταύτην καὶ κυριώνυμον θεοτόκον, τὴν ἐγκοσμίως μὲν καὶ ὑπερκοσμίως ἐξυμνουμένην, ἐν δὲ τῷ τοῦ Μέλα ὄρει ἐξόχως σεμνυνομένην, ἣν πολλάκις καὶ διαπύρως ἀνιοῦσα προσεκύνησε τὴν ταύτης ψυχοσώτηρα ἀσπασαμένη εἰκόνα, καὶ τὸ τῆς μονῆς περίπυστον πατήσασα δάπεδον, καὶ τὴν θέσιν τοῦ τόπου ὡς ψυχωφελῆ καὶ ἀξιοθέατον ἐκθύμως ποθήσασα, κατὰ νοῦν ἔσχε μικράν τινα, ὡς ἂν προσῆκον, ἀντίδοσιν ἐκ προαιρέσεως ποιῆσαι, καὶ τὰ προανατεθέντα ἐπικυρῶσαι, καὶ τοὺς εἰσερχομένους καὶ ἐπηρεάζοντας ἐν τῇ παροίκῳ[2]) αὐτῆς κατοχῇ, πόρρω ἀπελαύνειν καὶ ἀποσοβεῖν, καθ' ἃ δὴ καὶ ὁ ἐν αὐτῇ τὴν σήμερον τὴν προστασίαν ἀνεζωσμένος τιμιώτατος καθηγούμενος, κῦρ Γαλακτίων ἱερομόναχος, μετὰ τῶν περὶ αὐτὸν ἱερομονάχων καὶ μοναχῶν πρεσβείαν πολλάκις πεποίηκεν. ὅθεν καὶ ἅμα μέν, διά τε τὸ ταύτης ὑψηλὸν καὶ μετέωρον[3]) καὶ ὄντως βασιλικόν τε καὶ δεσποτικὸν καὶ καινότατον ἄκουσμα, ἅμα δὲ καὶ διὰ τὴν ἐπίμονον τῶν τοιούτων ἀσκητῶν καὶ εὐλαβῶν ἀνδρῶν δέησιν, τὸν παρόντα αὐτῆς ἡ βασιλεία μου ἀπολύει λόγον χρυσόβουλλον, ὥσπερ τι ἑδραίωμα ὀχυρώτατον ἢ τεῖχος ἀπερικλόνητον, ὡς ἂν τῇ ἰσχύϊ τούτου καὶ ἐμφανείᾳ προηγουμένως μὲν ἡ τοιαύτη μονὴ ἐλευθέρα τηρηθήσεται καὶ ἀκαταδούλωτος, αὐτοδέσποτός τε καὶ αὐτεξούσιος, καὶ μή τινι ὑποκειμένη βασιλικῷ λειτουργήματι, ἢ ὑπάρχῃ δεδουλωμένη ὑπό τινος, ἀλλὰ παρὰ τῆς βασιλείας μου τηρηθήσεται καὶ διοικηθήσεται κατὰ πᾶσαν αὐτῆς ὑπόθεσιν καὶ διένεξιν· ἔπειτα καὶ ἀδιάσειστον καὶ ἀμεταποίητον σχοίη τὸ κῦρος καὶ τὴν νομὴν ἐπὶ πᾶσι τοῖς προανατεθειμένοις αὐτῇ γονικοῖς κτήμασι καὶ παροίκοις παρὰ τῶν ἀοιδίμων καὶ μακαριστῶν βασιλέων, τῶν γονέων καὶ γεννητόρων τῆς βασιλείας μου, τῶν Μεγάλων Κομνηνῶν ἐκείνων, ἤγουν ἐν τῷ βάνδῳ Γημωρᾶς κἀν ταῖς στάσεσι, τοῦ τε Κοσμᾶ τῶν Ἀλεξάντων καὶ ἐν ἑτέροις ἀλλαχοῦ, τὰ ὁπωσδήποτε διαφέροντα αὐτῇ γονικὰ κτήματα, εὐλόγῳ αἰτίᾳ καὶ προφάσει, ἀγοραστικῇ δηλονότι καὶ δωρεαστικῇ παρὰ τοῦ ἀοιδίμου πατρός μου, κῦρ Βασιλείου τοῦ Μεγάλου Κομνηνοῦ. ἐν τῇ στάσει τῶν Μοχλάντων τὰ Τζαχιανέσια, τὰ Πιτζελέσια καὶ Κοντητέσια, καὶ τὰ εἰς τὰ Πυργοθέσια ἐν τῇ Διοχαινῇ, Ἀλετζέσια καὶ Βουεξικέσια, ἀμφότερα παρὰ τοῦ βασιλέως καὶ πατρός μου δωρηθέντα. αὖθις ἐν τῇ στάσει τῶν Μοχλάντων τὴν τοῦ Σωκάνου ἐκείνου γονικείαν, σὺν τῇ τοῦ ἀνεψιοῦ

---

[1]) ἐγὼ F. [2]) παροικικῇ? [3]) μεταίωρον F.

αὐτοῦ Γεωργίου ἱερέως, ἣν ἀνέθετο ἐν αὐτῷ ἡ βασιλεία μου δωρεαστικῶς. ἐν τῷ χωρίῳ Χαρᾶ τὰ γονικὰ κτήματα, ἅτινα προκατέχει ἡ μονή, καὶ νέμεται διὰ προσταγμάτων βασιλικῶν, τοῦ τε ἀοιδίμου βασιλέως κῦρ Ἰωάννου τοῦ Μεγάλου Κομνηνοῦ ἐκείνου, τοῦ προπάππου μου, καὶ τῆς ἀοιδίμου δεσποίνης τῆς προμάμμης μου, κυρίας Εὐδοκίας Παλαιολογίνας τῆς πορφυρογεννήτου, καὶ τὰ ἐκεῖσε συνήθη βασιλικά. ἐν τῷ χωρίῳ Κιντζικερᾶ τὴν ἀγοραστικὴν γονικείαν τοῦ μεγάλου δουκὸς Ἰωάννου ἐκείνου τοῦ Εὐνούχου, ἣν ἀπεχαρίσατο ἡ βασιλεία μου πρὸς τὴν τοιαύτην μονήν, ψυχικῆς αὐτῆς σωτηρίας ἕνεκεν. ἐν τῷ βάνδῳ Γημωρᾶς Χαλδογεώργιον τὸν Βίγκην, Βασίλειον τὸν Καρούχην σὺν τῷ ἀδελφῷ καὶ ἐξαδέλφῳ, ἀπεχαρίσθη καὶ ἀπὸ τοῦ καπαλίου τῆς Δυβερᾶς ἄσπρα διακόσια, καὶ πάλιν ἀπ' αὐτοῦ τοῦ καπαλίου ἕτερα ἄσπρα τριακόσια πρὸς τὴν τοῦ κάστρου φύλαξιν. ἐπεγκελεύεται δὲ ἡ βασίλεια μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς, ἵνα ὅσα μὲν γονικὰ προσήλθοσαν τῇ εἰρημένῃ μονῇ, ὑδρομυλικὰ ἐργαστήρια, τόποι ἀκίνητοι, οἰκήματά τε καὶ δσπητανάκια καὶ ἀλλοῖα τοιαῦτα ὑποστατικὰ ἔκ τε χρυσοβούλλων καὶ λοιπῶν προσταγμάτων βασιλικῶν, ἔκ τε φιλοχρίστων ἀνδρῶν χαριστικῶν τε ἅμα καὶ λεγκτευτικῶν ἐγγράφων ἢ καὶ ἐξ ἰδίων ἀγοράσεών τε καὶ προσενέξεων αὐτῆς, ναὶ μὴν καὶ διὰ ἀναγραφικῶν ἐκστοιχείων, ἐν οἷοις βάνδεσι καὶ χωρίοις καὶ στάσεσι διάκεινται, κἂν καὶ ἐν τῷ παρόντι χρυσοβούλλῳ τῆς βασιλείας μου ῥητῶς οὐκ ἐγράφησαν, ἀλλ' οὖν τῇ δυνάμει τούτου καὶ ἐμφανείᾳ κατέχῃ καὶ ταῦτα ἡ μονή, ὡς ἴδια αὐτῆς γονικὰ κτήματα, ἀκωλύτως πάντη καὶ ἀδιασείστως κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ χαρτίων δικαιωμάτων καὶ σιγιλλίων ὁμοῦ. ἐπεὶ δὲ τὸ χωρίον ἡ Δουβερὰ μετὰ τῶν ἐν αὐτῇ προσκαθημένων παροίκων καὶ γονικαρίων, ἀλλὰ δὴ καὶ οἱ εἰς τοῦ Κουσπιδίου εὑρισκόμενοι καὶ πέριξ ὁμοῦ ἀνετέθησαν εἰς παροικίαν καὶ διακράτησιν ταύτης τῆς μονῆς τῆς Σουμελᾶς παρὰ τοῦ ἀειμνήστου βασιλέως, τοῦ πάππου μου, κῦρ Ἀλεξίου τοῦ Μεγάλου Κομνηνοῦ, ἀκαταζήτητοι πάντη καὶ ἐλεύθεροι διὰ χρυσοβούλλου προσκυνητοῦ τοῦ κράτους αὐτοῦ καὶ ἔκτοτε μέχρι τοῦ νῦν, καιρὸν πρὸς καιρὸν ἀδείας δραξάμενοι οἱ ἐνεργοῦντες τὰ τῆς χώρας Ματζουκάων φορολογήματά τε καὶ λοιπὰ δημοσιακὰ ζητήματα, τὰ τοῦ χρυσοβούλλου παρ' οὐδὲν θέμενοι, εἰσῆλθον ὥσπερ τινὲς θῆρες ἄγριοι, καὶ οἱ μὲν ἐλυμαίνοντο τούτους καὶ ἐπηρέαζον κατά τε κρίσιν καὶ ἀγγαρίαν ἄκαιρον καὶ δυναστικὴν συζήτησιν, οἱ δὲ διαχωρίζοντες τῆς παροικίας προεξένουν τούτους ἄρχουσι καὶ δυνάσταις καὶ λοιποῖς τισιν, οὐ καλὸν ἡγήθη τοῦτο τῇ βασιλείᾳ μου, οὐδ' εὔλογον. διὸ καὶ βουλομένη τοὺς ἁρπαγέντας ἀφοσιῶσαι καὶ αὖθις αὐτῇ, τοῖς τε λοιποῖς ἀπαλλαγὴν δοῦναι καὶ ἐλευθερίαν ἐκ τῶν συνεχῶν ἐπηρειῶν καὶ ἐνοχλήσεων, ὧν κατετρύχοντο πρίν, καὶ ποιεῖν πάντας ὁμοῦ τούς τε καθαρ-

παγέντας, τούς τε προανατεθέντας, καὶ αὐτοὺς δή, οὓς κατὰ καιρὸν ἐδωρήσατο ἡ βασιλεία μου, ἤδη θεσπίζει τὸ γαλήνιον αὐτῆς κράτος, καὶ διορίζεται φανερῶς, ὡς ἂν ὑπκέηται καὶ αὖθις τὸ τοιοῦτον χωρίον ἡ Δουβερά, [τὸ][1]) τοῦ Κουσπιδίου, ἡ Κόρους, καὶ ὁ Ἅγιος Κωνσταντῖνος μετὰ τῶν μελλογραφησομένων παροίκων, καὶ τὰ ἀλληλέγγυα καὶ προνοιαστικὰ δίκαια, ὥς τ' ἀπ' ἀρχῆς, ὑπὸ τῇ ἐπικρατείᾳ καὶ ἐξουσίᾳ καὶ κυριότητι τῆς εἰρημένης μονῆς τῆς Σουμελᾶς, κατὰ τὸ ἀδιάσειστον καὶ ἀνενόχλητον, καὶ ἐναποστραφήσονται οἱ καθαρπαγέντες ἐς αὐτήν, χωρὶς τῆς τυχούσης ἀποκρατήσεως, καὶ μήτε τολμήσῃ [τις][2]) καὶ πάλιν καθαρπάζειν ἐκ τούτων τινὰ χάριν τῆς οἱασοῦν ἀφορμῆς, μηδὲ ἐκ τῶν ἐνεργητῶν καὶ δουκῶν καὶ πριμμικηρίων καὶ λοιπῶν ἐν τοῖς μετέπειτα καιροῖς πρακτόρων καὶ κατεπάνω[3]) τῆς χώρας μου τῶν τὰς ἐνεργείας αὐτῆς ποιουμένων καὶ[4]) βῆμα ποδὸς τολμήσῃ ἐμβαλεῖν ἐντὸς τῶν δικαίων, καὶ παροίκων τῆς μονῆς, χάριν κρίσεως ἢ ἀπαιτήσεως ἢ ἐνεργείας τινὸς καὶ συζητήσεως, ἀλλὰ δικαίῳ τῆς βασιλείας μου παρὰ τοῦ μέρους τῆς μονῆς ὀφείλουσι κρίνεσθαι καὶ ἀπαιτεῖσθαι καὶ διεξάγεσθαι. εἰσὶ δὲ οἱ πάροικοι οὗτοι· α' Ἰωάννης ὁ Τζούσης. β' ὁ Σαλαφούντης. γ' ὁ Ζεέτης. δ' ὁ Ἐλαφᾶς. ε' ὁ Πιτζάρης. ς' ὁ Τζαμᾶς. ζ' ὁ Κούκουρος. η' οἱ Ζευλάνται. θ' ὁ Τζερτέβης. ι' ὁ Λαυδός. ια' ὁ παπᾶς Παῦλος. ιβ' ὁ Κοσσύφης. ιγ' ὁ Μάζηλας. ιδ' ὁ Σκύβρος. ιε' ὁ Μαβραίας. ις' ὁ Ῥωμανός. ιζ' ὁ Γουλζάπης. ιη' ὁ Καραβᾶς. ιθ' ὁ Ποδάρης. κ' ὁ Κόγκας. κα' ὁ παπᾶς Μάπας. κβ' ὁ Δριμύκαλλος. κγ' ὁ Πελαμίδης. κδ' Θεοδωρῖνος ὁ Χαζούρης. κε' Κωνσταντῖνος ὁ Χαζούρης. κς' Ἰωάννης ὁ Μαίστωρ. κζ' [ὁ] παπᾶ Αὐφουξένης ὁ Ζευλινᾶς. κη' Γεώργιος ὁ Χαλαμᾶνος. κθ' ὁ Χαβραίας. λ' [ὁ] παπᾶ Κωνσταντῖνος ὁ Κοντός. λα' ὁ Χαλδογεώργιος. λβ' ὁ Χαζούρης. λγ' ὁ Δόμνος σὺν τῷ Συμενῷ. λδ' Σάββας ὁ Μακρός. λε' Ἰωάννης ὁ Ψωμᾶς. λς' Κωνσταντῖνος ὁ Μασκούθης. λζ' ὁ Χαλαμᾶνος. λη' ὁ Χουμαίας. λθ' ἀπὸ τὰ Κούτουλα Κωνσταντῖνος ὁ Θεόπεμπτος. μ' ὡσαύτως καὶ ἐν τῇ Κομμερᾷ τῆς εἰς Κουταλοῦ οἰκίας τοῦ Χατζῆ ἱερέως, ἤτοι ὁ Χρύσανθος, οἵτινες καὶ ἐξκουσσευθήσονται ἐκ πάντων τῶν κατὰ χώραν ἐπερχομένων βασιλικῶν φορολογημάτων καὶ ἀπαιτήσεων νῦν τε ὄντων καὶ ἐς ὕστερον ἐπινοηθησομένων, μεγάλων τε καὶ μικρῶν, καὶ ἀπ' αὐτῶν δὴ τῶν δουκικῶν[5]) κρίσεων καὶ ἐνεργειῶν καὶ λοιπῶν πρακτορικῶν καὶ κατεπανικῶν[6]) ἐπηρειῶν, καὶ ἀπαιτητικῶν ζητημάτων, καὶ ἀλλοίων τοιούτων διασείσεων, κατὰ τὸ καθόλου τῆς ἐξκουσίας κεφάλαιον, μόνα δέ, ἵνα τελέσωσιν εἰς τὸ βεστιάριον τῆς βασιλείας

---

[1]) Supplevimus. [2]) Supplevimus. [3]) καπετάνων F. [4]) κἂν F. [5]) δουκῶν F. [6]) καπετανικῶν F.

μου διὰ δύο τοῦ ἔτους καταβολῶν, ὅσα δῆτα κατετέθησαν καπαλικῶς παρὰ τῶν ἀρχόντων καὶ ἐξισωτῶν αὐτῆς, καὶ οὐ πλέον. καὶ ἐάν τινες ἐπέκεινα τῶν εἰρημένων παροίκων ἔλθωσιν ἀλλαχόθεν ἀνεπίγνωστοι τοῦ βασιλικοῦ καταστίχου, καὶ προσκαθήσωσιν ἐν τοῖς τόποις τῆς μονῆς, καὶ αὐτοὶ τὸν ὅμοιον ἐξκουσευθήσονται τρόπον, καὶ ἐντὸς τοῦ τεταγμένου καταγραφῶσι καπαλίου. ἔτι ἐπεγκελεύεται ἡ βασίλεια μου, ὡς ἂν ὅσοι ἐκ τῶν ἀπηριθμημένων παροίκων τῆς μονῆς τῶν εἰς βασιλικὰ ἀκρόστιχα προσκαθημένων ἢ κἂν τοῖς ἰδίοις γονικοῖς γονικαργικῶς εὑρισκομένων, τύχωσιν ἀποβιῶναι ἀκληρονόμητοι, ἐντεῦθεν τὰ διαφέροντα αὐτοῖς γονικὰ πρὸς τὴν μονὴν ἐπανέλθωσιν ἄνευ τῆς οἱασοῦν προφάσεως. ἐπεὶ δὲ τὸ κάστρον τὸ εἰς τὸ ἡγιασμένον ὄρος καὶ σπήλαιον τοῦ Μέλα δέεται φυλάξεως ἱκανῆς διὰ τοὺς ἐχθρωδῶς διακειμένους ἡμῖν Ἀγαρηνούς, διορίζεται ἡ βασίλεια μου πρὸς τὸν κατὰ καιροὺς καθηγούμενον, καὶ τοὺς ἀσκητάς, ἵνα ἀποτάξωσιν ἐκ τῶν εἰρημένων παροίκων, οἵους ἔχωσι κρειττοτέρους καὶ εἰδήμονας, ὅπως δι' αὐτῶν ἐπιμελεστάτη καὶ προσεκτικὴ γένηται ἡ τοῦ κάστρου φύλαξις καὶ συντήρησις. καὶ ταῦτα μὲν ἤδη διωρίσατο ἡ βασίλεια μου, ἅτινα πάγια καὶ ἀρραγῆ καὶ ἀπαρασάλευτα τηρηθήσεται παρὰ τῶν παίδων καὶ κληρονόμων καὶ διαδόχων αὐτῆς, καὶ παρὰ πάντων ἀρχόντων, κεφαλάδων καὶ ἐνεργητῶν ὁμοῦ, ὅστις δὲ τῶν ἁπάντων βουληθῇ παρασαλεῦσαι ἐκ τούτων [τι] ἕως μιᾶς κεραίας καὶ μόνης, ἢ ἀθετῆσαί [τι][1]) ἐκ τῶν ἀναγραφέντων μερικῶς ἢ καθόλου, οἷος ἂν καὶ ᾖ, αὐτὴν μὲν τὴν θεοτόκον ἕξῃ ἀντίμαχον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, τὰς δὲ ἀρὰς καὶ ἀγανακτήσεις κληρονομήσῃ τῶν ἁγίων πατέρων καὶ τῶν ἀοιδίμων βασιλέων, ἀλλὰ δὴ καὶ ὡς ἄπιστος τῆς βασιλείας μου καὶ λογισθήσεται καὶ παιδευθήσεται τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ἐν ᾧ καὶ τὸ ταύτης εὐσεβὲς καὶ θεοπρόβλητον κράτος τὰ συνήθη συνήθως ἐπεσημήνατο, μηνὶ δεκεμβρίῳ τῆς γ' ἰνδικτιῶνος τοῦ ͵ϛωογ' ἔτους †.

† Ἀλέξιος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ πάσης Ἀνατολῆς, Ἰβήρων καὶ Περατείας, ὁ Μέγας Κομνηνός †.

Archet. asservatur in tabulario monasterii, inspectum a Ph. Fallmerayer. Scriptum est in charta serica et ornatum imaginibus imperatoris et imperatricis cum diademate in capite, vestibus variegatis et gemmis. Aureae bullae desunt. Edidit Ph. Fallmerayer in Abhandlungen der III. Cl. der k. bayerischen Akademie der Wissenschaften Band III. 1841 p. 92 e libro, cui titulus: Ἡ θεία καὶ ἱερὰ ἀκολουθία τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Βαρνάβα καὶ Σωφρονίου τῶν

---

1) ἀτεθῆσαι F.

ἐξ Ἀθηνῶν καὶ τοῦ ἱεροῦ Χριστοφόρου, τῶν ἐν Μελᾷ ὄρει ἀσκησάντων, ψαλλομένη τῇ δεκάτῃ ὀγδόῃ τοῦ αὐγούστου μηνὸς καὶ ἐν τῷ καιρῷ τῶν φθοροποιῶν ἀκρίδων, συντεθεῖσα μὲν παρὰ τοῦ σοφωτάτου διδασκάλου κυρίου Νεοφύτου, ἱεροδιακόνου Πελοποννησίου τοῦ Καυσοκαλυβίτου, εἰς ἑλληνικὴν διάλεκτον, τύποις δὲ πρῶτον ἐκδοθεῖσαι ἡγουμενεύοντος τοῦ πανοσιωτάτου καὶ σεβασμιωτάτου πατρὸς ἁγίου καθηγουμένου τῆς ἐν τῷ Μελᾷ ὄρει κειμένης ἱερᾶς, σεβασμίας, βασιλικῆς τε καὶ πατριαρχικῆς μεγίστης μονῆς τῆς ὑπεραγίας θεοτόκου Παναγίας τοῦ Σουμελᾶ κυρίου Χριστοφόρου καὶ ἁγίου σκευοφύλακα κυρίου Δαμιανοῦ, ἐμμελεῖ δὲ καὶ σπουδῇ καὶ συνδρομῇ τοῦ ἐκ τῆς αὐτῆς μονῆς Παρθενίου ἀρχιμανδρίτου Τραπεζουντίου τοῦ Μεταξοπούλου, παρ' οὗ συντεθεῖσα καὶ ἡ ἐν συνόψει ἱστορία τοῦ βασιλείου τῆς περιφήμου Τραπεζοῦντος. Ἐν Λειψίᾳ τῆς Σαξονίας ἐν ἔτει ,αψοε'.

XIII. [6988—1480], mense ianuario, ind. XIII.

Patriarcha Maximus III. rogat ducem Venetorum Ioannem Mocenigum, ut protegat ecclesiam graecam in dominiis transmarinis rei publicae concedatque, ut quaerant in eis eleemosynas.

Τῷ μεγαλοπρεπεστάτῳ, ἐπιφανεστάτῳ, ἐκλαμπροτάτῳ δουκὶ τῆς Βενετίας, ἐπιτρόπῳ τῶν πενήτων, κυρίῳ κατὰ[1]) πάντα ἀρίστῳ[2]).

† Μεγαλοπρεπέστατε, ἐπιφανέστατε, ἐκλαμπρότατε δοὺξ Βενετίας, ἐπίτροπε τῶν πενήτων, χάριν, εἰρήνην, ὑγείαν ψυχῆς, ῥῶσιν σώματος, νίκας κατ' ἐχθρῶν καὶ πᾶν ἀγαθὸν εὔχεται ἡ μετριότης ἡμῶν τῇ ἐκλαμπροτάτῃ σου αὐθεντίᾳ. ὁ κύριος ἡμῶν καὶ θεός, ὁ τῆς σωτηρίας ἡμῶν ἀρχηγὸς καὶ τελειωτὴς Ἰησοῦς, ὁ τὴν ἄφατον συγκατάβασιν καὶ οἰκονομίαν ποιήσας καὶ κατελθὼν ἐκ τῶν οὐρανῶν ἀμεταβάτως (ποῦ γὰρ ἂν ἢ πῶς μεταβαίη ὁ πανταχοῦ ἐνουσίως καὶ σαρκωθεὶς ἐκ τῆς ἀειπαρθένου Μαρίας ἀμεταβλήτως, καὶ παλαίσας ἀνθρωπίνως, καὶ νικήσας τὸν ἀρχέκακον[3]) δαίμονα, ἵν' ἡμᾶς αὐτοῦ νικητὰς ἀναδείξῃ, τοὺς πρότερον ὑπ' αὐτοῦ καὶ ἀπατηθέντας καὶ δουλωθέντας;) οὗτος τοίνυν, ὁ τὴν ἐλευθερίαν ἡμῖν χαρισάμενος διὰ τῆς ἀρρήτου οἰκονομίας, ὁ τὸν ἡμέτερον νοῦν[4]) θεὶς εἰς αὐτὴν τὴν ἀλήθειαν, οὗ χωρὶς οὐκ ἂν ἐπιτυχὴς ἐγένετό ποτε τῆς ἀληθείας ὁ ἡμέτερος νοῦς, ἡ δὴ τελειότης ἐστὶ τοῦ νοῦ[5]), ὁ λόγοις καὶ ἔργοις καθυποδείξας τὴν εἰς σωτηρίαν καὶ αὐτὸν [τὸν][6]) οὐρανὸν φέρουσαν ὁδόν, καὶ πάντα ποιήσας καὶ παθὼν

[1]) καί Th. [2]) In parte exteriori epistolae scriptum manu cancellarii graeci.
[3]) ἀρχαίκακον Th. [4]) νοᾶν mscr. [5]) νοός mscr. [6]) Supplevimus.

ἀνθρωπίνως, ἵνα σωθῶμεν ἡμεῖς — οὗτος τοίνυν κλῆρον ἡμῖν ἐπαφῆκεν, εἰπών. „εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν". ἀλλ' ἡ τῶν ἀπὸ Χριστοῦ καλουμένων ἀμέλεια, καί τινων τῶν τῷ ἰδίῳ στοιχούντων θελήματι ἐξ ὑπερηφανείας, καὶ ὁ τοῦ ἀποστάτου σατὰν φθόνος καὶ ταύτην τὴν εἰρήνην συνέχεε καὶ ἀνέστρεψεν, καὶ τὸ σῶμα τῆς ἐκκλησίας τὸ καλῶς ἡνωμένον κακῶς ἐμέρισεν, ὧν τῶν τὴν εἰρήνην ἀναστρεψάντων ἔνδικον τὸ κρίμα, καὶ ἡ δίκη οὐκ ἐπινυστάξει[1]), ἀλλ' ἡ καθολικὴ σύμπασα τῆς ἀνατολῆς ἐκκλησία οὐδεμίαν αἰτίαν σκανδάλου δέδωκε, τοῖς παρὰ τῶν ἁγίων ἀποστόλων καὶ τῶν οἰκουμενικῶν συνόδων παραδεδομένοις ἐμμείνασα καὶ ἐμμένουσα, καὶ μηδὲν ὅλως μεταποιήσασα ἢ παραχαράξασα, τήν τε αἰδῶ φυλάττουσα καὶ τιμὴν τὴν εἰς τοὺς θεοφόρους πατέρας καὶ τοὺς σεπτοὺς ἀποστόλους καὶ τὸ τέλειον καὶ ἀνελλιπὲς τῆς πίστεως τῆς ἐν τῷ ἁγίῳ συμβόλῳ βλέπουσα. ὅθεν ἔδει τοὺς ἀπὸ Χριστοῦ καλουμένους καὶ τῆς ἁγίας τριάδος προσκυνητὰς καὶ αὐτοῦ τοῦ σταυροῦ μήτε μισεῖν ἡμᾶς, μήτε διώκειν, ἀλλὰ καὶ ἀγαπᾶν καὶ τὰ δυνατὰ βοηθεῖν, καὶ μάλιστα ἐν τοιούτῳ καιρῷ, ὅτε ὑπὲρ τῆς πίστεως αὐτῆς καὶ τοῦ ὀνόματος τοῦ Χριστοῦ, ὅπως μὴ ἐξαλειφθῇ ἀπὸ τῶν μερῶν τούτων, ἀγωνιζόμεθα, καὶ καθ' ἑκάστην μαρτυρικὴν ἀνύομεν ὁδόν, καὶ λόγοις καὶ ἔργοις πρὸς τοὺς οὐ δεχομένους τὴν ὀρθόδοξον πίστιν τὸ ἀληθὲς τῆς πίστεως ἀποδεικνύομεν· ἐδόξασεν γὰρ πρὸ ὀλίγου τὴν ἡμετέραν ὀρθόδοξον [πίστιν][2]), καὶ τὴν δύναμιν αὐτῆς ἔδειξεν ἀριδηλοτάτην δι' ἡμῶν τῶν ἁμαρτωλῶν ὁ πάντων δημιουργὸς καὶ βασιλεὺς θεός, καὶ ἅπαν γένος Χριστιανῶν ἀπὸ ἀνατολῶν[3]) μέχρι δυσμῶν ἐτιμήθη καὶ ἐβεβαιώθη τῇ πίστει. καὶ οἶμαι, ὡς οὐδὲ [ἡ] ὑμετέρα ὑψηλοτάτη αὐθεντία ἀνήκουστος γέγονεν τῶν τοιούτων. εἰ δέ γε καὶ χρήματα διδόασιν οἱ Χριστιανοὶ ὑπὲρ τῆς συστάσεως τῆς ἐκκλησίας, οὐ ψόγου τοῦτο καὶ κατηγορίας ἐστὶν ἄξιον, ἀλλ' ἐπαίνων καὶ ἐγκωμίων[4]), μαρτυρικὴν γὰρ προαίρεσιν καὶ γνώμην αὐτὸ τοῦτο παριστᾷ· καὶ οἱ μάρτυρες, ἵν' ἡ πίστις φυλαχθῇ, ζωὰς καὶ αἵματα προεδίδουν, οἱ δέ γε Χριστιανοὶ νῦν ἀντὶ αἱμάτων χρήματα διδόασιν, ἵν' ἡ πίστις φυλαχθείη καὶ συνάγηται εἰς ἴσον ἐκείνοις· ὥσπερ δὴ καὶ τὸ ὑπὸ ἑτέραν ἐχόντων πίστιν ἄρχεσθαι ἡμᾶς, καὶ ἀρχομένους ἀγωνίζεσθαι φυλάττειν τὴν ὀρθόδοξον πίστιν καὶ τὴν ἐκκλησίαν καὶ τὰς παραδόσεις[5]) τῶν θεοφόρων πατέρων ἀμειώτους καὶ ἀμεταποιήτους, καὶ ἀνακεκαλυμμένῳ προσώπῳ φυλλάττειν καὶ κηρύττειν τὴν ἀλήθειαν, καὶ τοὺς πιστοὺς βεβαιοῦν, συνιστᾷ ἡμᾶς τῇ προθέσει καὶ καταστάσει τῶν ἀποστόλων καὶ τῶν διαδόχων ἐκείνων, οἳ μηδένα βασι-

---

[1]) ἐπινηστάξει mscr.: emend. Th. [2]) πίστιν deest in mscr.: supplevit Th. [3]) ἀνατωλῶν mscr. [4]) ἐγκώμιον mscr.: emend. Th. [5]) παραδώσεις mscr.: emend. Th.

λέα τῆς πίστεως τῶν Χριστιανῶν ἔχοντες, ἀλλὰ πάντας διώκοντας, ὅμως ἐτήρουν τὴν πίστιν, καὶ τὴν ὀρθόδοξον ἐκκλησίαν συνίστων. καὶ τοῦτο αὐτὸ λαμπροτάτους ἐκείνους ἐποίει καὶ ἀπεδείκνυ, ὅτι ἐν μέσῳ τῶν ἀκανθῶν ἀλήθειαν πίστεως καὶ δικαιοσύνην ἐτήρουν. καὶ τοῦτο διήρκεσεν οὕτω γινόμενον ἀπὸ Χριστοῦ μέχρι τριακοσίων δέκα τῶν χρόνων, κἀκεῖνοι ἦσαν ἀληθεῖς μαθηταὶ καὶ διάδοχοι τοῦ Χριστοῦ, ἐν τῷ κόσμῳ θλίψιν ἔχοντες καὶ δριωγμούς, καὶ μισούμενοι ὑπὸ πάντων, οὐ λαμπροὶ ἐπὶ δίφρου καθήμενοι καὶ ἐπεντρυφῶντες, καὶ τῶν ταπεινοτέρων κατεπαιρόμενοι καὶ ἄρχοντες καὶ στρατηγοῦντες καὶ τυραννοῦντες· τοῦτο γὰρ οὐ τῆς παραδόσεως τοῦ Χριστοῦ, εἰπόντος· „ἐν τῷ κόσμῳ θλίψιν ἔχετε, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου“. εἰ οὖν καὶ ἡμεῖς πάσχομεν καὶ πενόμεθα καὶ τὰ ἄλλα ὑφιστάμεθα, οὐ δίκαιόν ἐστιν, ἵνα μισώμεθα καὶ διαβαλλώμεθα [1]) παρὰ τῶν ἀπὸ Χριστοῦ καλουμένων. πρὸς οὖν τί ταῦτα λέγομεν; ὅτι ἡ ὑψηλοτάτη καὶ λαμπροτάτη αὐθεντία τῶν Βενετίκων τὰ ἄλλα ἀρίστως καὶ ὡς οὐκ ἄν τις εἴποι διοικοῦσα εἰς τοῦτο συνυπάγεται παρά τινων Ῥωμαγενῶν [2]), τῶν τῆς εἰρήνης ἐχθρῶν, καὶ συγγνῷ τε καὶ παρορᾷ διωγμοὺς παρά τινων γινομένους ἐν τοῖς τόποις, οἷς ἄρχεται, εἰς τοὺς ταπεινοὺς Ῥωμαίους, ὅσοι τῆς ἡμετέρας γενεᾶς καὶ τάξεώς εἰσιν. καὶ τοῦτο εἰς περιφρόνησιν ἡμῶν καὶ ἀτιμίαν ἡμῶν δεχόμεθα. διὰ τί γὰρ ἕτερον εἰς αὐτοὺς τοιαῦτα ποιοῦσιν, εἰ μὴ διότι τῆς ἡμετέρας τάξεώς εἰσιν, καὶ τὸ πάτριον τηροῦσιν; ὅπερ οὔτε δίκαιον ὅλως, οὔτε συμφέρον· κακὸν γὰρ παράδειγμα δίδοτε τοῖς ἄρχουσι. μαρτυρόμεθα τὸν ἐπὶ πᾶσι θεόν, ὡς οὐ δι' ἄλλον τινὰ τρόπον τοῦτο λέγομεν, οὐδὲ διὰ βλάβην τῆς ὑψηλοτάτης ὑμῶν αὐθεντίας. ἄπαγε, ἵλεως ἡμῖν εἴη ὁ κύριος· μηδὲν τοιοῦτον παρ' ἡμῶν ἢ τινος ἑτέρου τῶν ἡμετέρων Χριστιανῶν γένοιτο· ἐθέλομεν γὰρ καὶ ἡμεῖς τὴν ὑμετέραν αὔξησιν καὶ σύστασιν, ὡς δὴ καὶ ὑμεῖς ἐθέλετε, καὶ τοῦτο εὐχόμεθα. οἶδεν ὁ θεὸς καὶ πάντες οἱ ἐνταῦθα, ὅσην εὐφροσύνην ηὐφράνθημεν, καὶ ὡς πανήγυριν ἐποιησάμεθα διὰ τὴν γεγενημένην μετὰ τοῦ ὑψηλοτάτου αὐθέντου εἰρήνην, ἣν καὶ στηρίξειεν ὁ κύριος· ἀπεκάμομεν γὰρ καθ' ἑκάστην ὁρῶντες τὰς ἀπὸ τῆς μάχης γεγενημένας συμφοράς, καὶ ἡμετέρας ταύτας [3]) ἡγούμεθα. ἀλλὰ νῦν τῆς εἰρήνης ἐπιλαμψάσης χαίρομεν καὶ εὐφραινόμεθα, παυσαμένων τῶν φόνων καὶ συμφορῶν. ἀλλὰ ταῦτα διὰ τὸ δίκαιον λέγομεν καὶ τὸ εὐπρεπὲς καὶ τὸ συμφέρον· κρεῖσσον γὰρ ἄρχειν τῶν ὑπηκόων ἑκουσίως καὶ ἀβιάστως, ἢ βίᾳ καὶ τυραννίδι· „τὸ γὰρ βίᾳ κρατούμενον“, φησί τις σοφός, „στασιάζει, καιροῦ λαβόμενον, τὸ δὲ ἑκουσίως καὶ ἀβιάστως, ἀεὶ ἀστασίαστον“. εἴ τινα οὖν χώραν ἔχει ὁ ἡμέ-

---

[1]) διαβαλώμεθα mscr.: emend. Th. [2]) Ῥωμαιογενῶν? [3]) ταύτης mscr.: emend. Th.

τερος λόγος εἰς τὴν ὑψηλοτάτην καὶ συνετωτάτην ὑμῶν βουλήν, ὁρίσατε, ἵνα οἱ τοιοῦτοι διωγμοὶ καὶ πειρασμοὶ παύσωνται, καὶ ἄδεια ᾖ πᾶσιν εἰς τὰ ἔθιμα καὶ τὴν πίστιν αὐτῶν ποιεῖν, ὡς βούλονται. τοῦτο ὡς δίκαιον καὶ συμφορώτατον τῇ ὑψηλοτάτῃ ὑμῶν αὐθεντίᾳ γράφω. εἰ οὖν ὁ μέγας καὶ ὑψηλότατος αὐθέντης, ἑτέρας πίστεως ὤν, τοὺς Χριστιανοὺς καὶ πάντας ἀφίησιν εἰς τὴν ἐλευθερίαν τῆς γνώμης καὶ πίστεως πάντας, καὶ πέρυσι μαθών, ὡς ἐν τῇ μεγάλῃ Βλαχίᾳ βιάζωνται τοὺς Ἀρμενίους, ἵνα ὀρθοδόξους ποιήσωσι, γράψας καὶ στείλας ὥρισε, νόμον θεοῦ εἶναι τὸ ἀβίαστον, καὶ κατέπαυσεν τὸν ἐκεῖσε διωγμόν, πολλῷ μᾶλλον δίκαιόν ἐστιν, ὑμᾶς τοῦτο ποιῆσαι, καὶ τοῖς ὑπὸ τὴν ὑμετέραν πᾶσαν ἀρχὴν ὡς νόμον θεοῦ δοῦναι τὸ ἀβίαστον, καὶ ἀφεῖναι πάντας ἐν τῇ ἐξουσίᾳ τοῦ ἔθους καὶ τῆς πίστεως, καὶ μὴ διά τινων πλεονεξίαν καὶ θέλημα ἀλόγιστον ἄδικόν τι καὶ παράλογον ἀφεῖναι γίνεσθαι, θεόν τε καὶ ἡμᾶς λυπεῖν, καὶ ὥσπερ κύβον ἀρριπτεῖν τὰ πράγματα, μηδεμιᾶς εὐλόγου ἀνάγκης καὶ συστατικῆς τῆς αὐθεντίας κατεπειγούσης, ὃ ἴσως οὐδὲ ὁ θεὸς περιόψεται. ταῦτα μὲν καθόλου φαμὲν καὶ τὸ πᾶν εἰς τὴν ὑμετέραν ἀρίστην καὶ δικαίαν βουλὴν καὶ γνῶσιν ἀναρτῶμεν, ἰδίως δὲ λέγομεν, ὡς ἡ ἡμετέρα ἐκκλησία, μηδεμίαν πρότερον ἀνάγκην ἢ ἐπίθεσιν ἔχουσα, παρέβλεπε πολλὰ τῶν δικαιωμάτων αὐτῆς, τὸ ἀπρόσκοπον πραγματευομένη· νῦν δὲ ἐν μεγίστῃ καταστᾶσα ἀνάγκῃ, καὶ βάρος μέγα ἐπικείμενον ἔχουσα· (ἄλλως γὰρ οὐκ ἂν ἐνταῦθα συσταίη ἐκκλησία, ἀλλὰ καὶ τὸ ὄνομα τοῦ Χριστοῦ ἐντεῦθεν ἐξαλειφθείη, εἰ μὴ τοιαύτη γίγνοιτο οἰκονομία καὶ δόσις), πρὸς δὲ καὶ εἰς τοὺς πένητας καὶ τοὺς ἐν αἰχμαλωσίᾳ ἀναγκαζομένη ἀναλίσκειν πολλά, εἰς ἔννοιαν ἦλθεν τῶν αὐτῆς δικαίων. διὸ τοῦ ἐνδοξοτάτου ἀποκρισιαρίου τῆς ὑψηλοτάτης αὐθεντίας ὄντος ἐνταῦθα, περὶ τῶν εἰσοδημάτων, ὧν ἡ ἡμετέρα ἐκκλησία ἐν τῇ Κρήτῃ εἶχεν, κεκίνηται λόγος καὶ τοῦ κρατοῦντος τοῦτο ἐνθυμηθέντος. καὶ πρότερον μὲν ὁ ἀποκρισιάριος ἀγαθὰς ἡμῖν δέδωκεν ἐλπίδας, εἰπών, „ὡς, ἐπεὶ ἡ ἐκκλησία αὕτη μεγάλην ἔχει ἀνάγκην, καὶ πολλοὶ ἐκ ταύτης εὑρίσκουσι βοήθειαν, ποιήσομεν καὶ ἡμεῖς ὡρισμένην εἰς ταύτην βοήθειαν“. ὕστερον δὲ τὸ πᾶν ἀνήρτησεν εἰς τὴν ὑψηλοτάτην βουλήν.· διὰ τοῦτο γράφομεν καὶ ἀξιοῦμεν δι' αὐτὴν τὴν τοῦ κυρίου Ἰησοῦ ἀγάπην, παραβλέψαντες[1]) πάντα ἢ καθόλου ἢ ἐν μέρει, πρὸς τὴν βοήθειαν ἡμῶν ἀποβλέψατε, ἵνα καὶ ἡμεῖς ἀπόμοιράν τινα παρ' ὑμῶν ἔχοντες, ἐξ ὧν νομίζομεν ἡμετέρων δικαίων, εὔχεταί καὶ ἐπαινεταὶ ὦμεν ὑμῶν. τοῦτο εἰ γένηται, μεγίστην δόξαν καὶ κλέος ἐποίσει τῇ ὑψηλοτάτῃ ὑμῶν αὐθεντίᾳ· εἰ γὰρ ἀπὸ τοῦ πολλοῦ δικαίου ἡμῶν καὶ ἀπόμοιράν τινα δῴητε, ὡσπερανεὶ τὸ πᾶν λαβόντες εὐχαρι-

---

1) Sic mscr.: Th. proponit περιβλέψαντες.

στήσομεν, καὶ οὐκ ἔτι ὡς δίκαιον ἡμέτερον, ἀλλ' ὡς εὐεργεσίαν ὑμῶν λογιούμεθα. ταῦτα τῇ ὑψηλοτάτῃ ὑμῶν αὐθεντίᾳ καὶ δικαιοτάτῃ γράφοντες ἀξιοῦμεν καὶ ἐλπίζομεν, ὡς οὐ παραβλέψετε τὴν ἡμετέραν ἀνάγκην καὶ ἀξίωσιν, δίκαια καὶ ποιεῖν καὶ λέγειν μεμαθηκότες. τὸ δὲ τρίτον κεφάλαιον, ὃ καὶ ὁ ἐνδοξότατος ἀποκρισιάριος ἀκούσας ἐπῄνεσεν, ἐστίν, ἵνα ἀκινδύνως ἔχωμεν πέμπειν ἀνθρώπους αἰτοῦντας διὰ τὴν ἀνάγκην τῆς ἐκκλησίας εἰς τοὺς τόπους τῆς ὑψηλοτάτης αὐθεντίας ἔν τε ταῖς νήσοις καὶ ἀλλαχοῦ, ἵνα εἰ μή τι ἄλλο, οἶνον καί τινα τῶν ἐδωδίμων αἰτοῦσί τε καὶ λαμβάνουσι. καὶ εἰς τοῦτο ἐθέλομεν ὑμετέραν[1]) ἀπόφασιν καὶ θέλημα. περὶ δὲ τῆς συνηθείας καὶ τάξεως, ἧς μέχρι τοῦ νῦν εἴχομεν εἰς τὴν Μεθώνην τε καὶ Κορώνην καὶ τὰς ἄλλας τὰς ἐν τῇ Ἠπείρῳ ὑμῶν πόλεις, ἀμεταποίητα ἔσται. καὶ ὑμεῖς καὶ πλέον νῦν ἔχειν ἡμᾶς διακρινεῖτε, καὶ ἀπόφασιν δοίητε. ταῦτα μετὰ τῆς προσηκούσης εὐλαβείας καὶ ἀξιώσεως γράφομεν· ὑμέτερον δ' ἂν εἴη, τὰς ἡμετέρας ἀξιώσεις δέξασθαι καὶ εἰς τέλος βαλεῖν. τὸ πρὸς ὑμετέραν ἀποδοχὴν γράφετε ἡμῖν, καὶ ἡμεῖς (σὺν θεῷ δὲ εἰρήσθω) ἐσόμεθα ὑμῖν καὶ φίλοι καὶ εὐχεταί, καὶ εἰς πᾶν, ὅσον εἰς ἡμετέραν ἥκει δύναμιν, χρήσιμοι. οἱ δὲ χρόνοι τῆς ἐκλαμπροτάτης ὑμῶν αὐθεντίας εἴησαν πλεῖστοι καὶ εὐτυχεῖς †.

† Μηνὶ ἰανουαρίῳ ἰνδικτιῶνος ιγ' †.

† Μάξιμος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Archet. membran. cum bulla plumbea pendenti a serico violaceo habet inscriptionem: ΜΑΞΙΜΟϹ ΕΛΕΩ ΘΥ ΑΡΧΙΕΠΙϹΚΟΠΟϹ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩϹ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟϹ ΠΡΙΑΡΧΗϹ, *altera parte imaginem Sanctae Mariae tenentem brachiis infantem Iesum et literas* ΜΡ ΘΥ ΙϹ ΧϹ . . . *Exstat in tabulario vindobonensi. Primus edidit una cum antiqua versione latina et introductione G. M. Thomas in Abhandlungen der III. Cl. der k. bayer. Akademie der Wissenchaften vol. VII. (1855) sectio I. p. 178. sub titulo: Eine griechische Originalurkunde zur Geschichte der anatolischen Kirche.*

XIV. 7058—1549, 25. mensis octobris, ind. VIII.

Hieromonachi Nectarius et Theophanes instaurant monasterium Sancti Prodromi in civitate Ioanninorum et monasterium Magni Nicolai cum domo in Lepeno, quod dedicant monasterio Meteororum dicto S. Barlaam, ut sit ejus metochium.

† Ἐπειδὴ κἀγὼ Νεκτάριος, ὁ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς ἐλάχιστος, θείᾳ νεύσει καὶ θελήσει ὁδηγηθεὶς καὶ παραγενόμενος ἀπὸ Βαρλαὰμ τοῦ ἐν [τῷ]

---

[1]) ἡμετέραν msc.: emend. Th.

Μετεορολίθῳ ἐν τῇ νήσῳ Ἰωαννίνων ἐπισκέψεως χάριν καὶ ἐπιβλέψεως τῶν ἡμετέρων μοναστηρίων τοῦ τε ἐνδόξου Προδρόμου καὶ τοῦ ἐν τῷ Λεπενῷ μεγάλου Νικολάου, ὧνπερ τῶν θείων ναῶν ἠγωνισάμεθα μετὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἀειμνήστου δούλου τοῦ θεοῦ, Θεοφάνους ἱερομονάχου, τοῦ ἡμετέρου ὁμαίμονος, διὰ τοῦτο θέλομεν οἷα κτίτορες ἐξ ἀρχῆς καὶ εἶναι καὶ λέγεσθαι, ὡς πολλὰ κεκοπιακότες πάσῃ σπουδῇ ἐκ ψυχῆς ζήλῳ θείῳ κινούμενοι καὶ πλεῖστα χρήματα ἐν αὐτοῖς καταδαπανήσαντες. ἐλθὼν τοίνυν, ὡς ἔφην, ἐν τῇ νήσῳ καὶ τῇ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χάριτι ἀνεκτίσαμεν καὶ ἀνεκαινίσαμεν τὸν τοῦ Προδρόμου θεῖον ναὸν εἰς κρεῖττον κάλλος καὶ μέγεθος καὶ θεωρίαν, ὡς ἐχρῆν, γενέσθαι καὶ τελειωθῆναι, οἷος νῦν ὁρᾶται καὶ φαίνεται. εἶτα καὶ τὸ ἐν τῷ Λεπενῷ ὀσπήτιον τὸ ἀνώγαιον εἰς παντοίαν ἀνάπαυσιν τῶν ἐν αὐτῷ κατοικεῖν μελλόντων ἀδελφῶν, τῶν μοναχῶν καὶ ξένων τινῶν τῶν παρατυγχανόντων. οὕτως οὖν ταῦτα πεποιηκὼς θεοῦ συνάρσει καὶ κατευοδωθέν μου τὸ θέλημα βουλόμενος εἰπεῖν, ἄρχομαι καὶ ἀνακεφαλαιώσασθαι τὰ τῆς ὑποθέσεως εἰς πλατύτερον †.

† Ἡμεῖς οἱ ῥηθέντες αὐτάδελφοι κτήτορες ὄντες ἀνέκαθεν τὸν ἐν τῷ Λεπενῷ ναὸν μετὰ τῶν ὑπαρχόντων κτημάτων ὑποτεταγμένον εἴχαμεν καὶ παραδεδομένον, ὥσπερ τι μονήδριον καὶ μετόχιον εἰς τὸν μεγάλον Πρόδρομον ἐπὶ χεῖρας τοῦ εὐλαβεστάτου ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κυροῦ Γρηγορίου, μετὰ τῆς συνοδίας αὐτοῦ, διὸ καὶ μέχρι τοῦ νῦν διῳκήσαντο καὶ ἐπεσκέψαντο ἄν τις ἡμῶν ἐπιτροπικῶς. ἀλλ᾽ ἐπειδὴ θεοῦ χάριτι καὶ ταῖς τῶν ἁγίων πατέρων εὐχαῖς τῆς ἐν Βαρλαὰμ μονῆς αὐξυνθείσης καὶ ἀποκαταστ[αθείσ]ης ἓν μοναστήριον πληθυνθέντων τῶν ἀδελφῶν, ἱερομονάχων [καὶ αἰτί]ας πολλὰς ἐχόντων ἀναγκαίας ἀπέρχεσθαι συχνάκις εἰς τὰ Ἰωάννινα καὶ εἰς τὸν ἐν τῇ Ὀσδίνῃ αὐτοῖς κεκτημένον ἐλαιῶνα, διαλογισάμενοι μετὰ εὐβουλίας, ἐπεὶ μὴ ἔχοντες ἐν τῇ νήσῳ οἱ ἐκ τοῦ Βαρλαὰμ διακωρισμὸν ἀναπαύσεως, ὅταν τοῖς αὐτοῖς μέρεσι παροδεύωσιν καὶ τὸ τοῦ τόπου στενώτατον καὶ τῆς λίμνης τὸ δυσδιόδευτον καὶ διὰ τὸ καὶ τὸν τοῦ Προδρόμου θεῖον ναὸν εἰς αὔξησιν καὶ αὐτὸν ἐλθόντα καὶ μεγαλυνθέντα, παρ᾽ ὃ ἐξ ἀρχῆς ὑπῆρχεν, ἐκρίναμεν, ἵνα τὸν ἐν τῷ Λεπενῷ ναὸν τοῦ μεγάλου Νικολάου μετὰ τῶν προσόντων αὐτοῦ κτημάτων ἀφιερώσωμεν καὶ ἐπιδώσωμεν εἰς ὑποταγὴν εἶναι τοῦ ἐν Βαρλαὰμ μοναστηρίου, καὶ καθὼς οἱ τοῦ Προδρόμου ἐπιβλέπουσιν καὶ κατεῖχον ἕως τοῦ νῦν, οὕτω καὶ ἀπὸ τῆς σήμερον οἱ τοῦ Βαρλαὰμ τοιουτοτρόπως, ἵνα ἔχουσιν αὐτό, διατασσόμεθα καὶ κυβερνῶσιν καὶ ἐπιβλέπουσιν ὡς δεύτεροι κτίτορες δίχα τινὸς ἐνοχλήσεως καὶ φθόνου καὶ φιλοπρωτίας καὶ ἔριδος ἢ τῶν ἐκ τῆς τοῦ Προδρόμου μονῆς ἢ ἐξ ἑτέρων τῶν λαχόντων συγγενῶν ἡμῶν ἢ ξένων, ἀλλ᾽ εἰρηνευέτω ἕκαστος εἰς τὸ ἴδιον κτῆμα καὶ εἰς ὃ κεκοπίακεν.

εἰς δὲ τὸ ἡμέτερον μὴ ἐξουσιαζέτω [τις] τοῦ ἐνεργεῖν τι ἢ λέγειν τὸ σύνολον, ὡς τὸ δίκαιον ἀπαιτεῖ. διατάσσομαι τοίνυν ἐνταῦθα, ὅπως ἀφίημι ἐν τῷ ῥηθέντι ναῷ τοῦ μεγάλου Νικολάου παππᾶν τοῦ ψάλλειν καὶ ἱερουργεῖν ἐν αὐτῷ, ὡς ἤθισται τοῖς εὐσεβέσιν χριστιανοῖς, μάλιστα τοῖς ἄζυξι, τὸν ἐν ἱερομονάχοις τιμιώτατον, τὸν πνευματικὸν [πατέρα] κύριον Νεόφυτον καὶ τὴν συνοδίαν αὐτοῦ, τόν τε κύριον Ἄνθιμον ἐκ τοῦ Μουτζιάδες καὶ τὸν Θεοφάνιον ἐκ τοῦ Μιρήσου, ὅπως πράττοντες καλὰ ἐν τῇ ἐκκλησίᾳ καὶ θεαρέστως πολιτευόμενοι ἔσονται οἰκοκύριοι καὶ δεσπόται τῆς ῥηθείσης ἐκκλησίας μετὰ πάντων ὧν ἔχει κτημάτων κινητῶν [καὶ] ἀκινήτων. ἔτι διατάσσομαι περὶ τοὺς Βαρλααμίτας τοὺς ἀδελφούς, ἵνα ἔχουσιν φροντίδα οἱ ἐν τῷ Λεπενῷ ὄντες τοῦ ἀποδέχεσθαι αὐτοὺς ἀσπασίως ὡς κτίτορας, ὅταν τοῦ καιροῦ καλοῦντος ἢ κατεπειγούσης ἀνάγκης, κἂν ἐν θέρει, κἂν ἐν χειμῶνι παροδικῶς ἐκεῖσε διὰ δουλείας ἀπέρχονται, καὶ τιμᾶν αὐτούς, ὡς δεῖ, καὶ φιλοφρόνως δεξιοῦσθαι καὶ παρέχειν αὐτοῖς ἀφθόνως ὡς ἀδελφοῖς καὶ οὐχ ὡς ἀλλοτρίοις τὰ χρειαζόμενα, τοῖς μὲν ἀνθρώποις τὰ ἀναγκαῖα, τοῖς δὲ ζώοις αὐτῶν κριθὴν καὶ τὴν ἄλλην ἀνάπαυσιν. ἀλλ' ἔτι καὶ τοὺς Βαρλααμίτας διατασσόμεθα, ἵνα μὴ ἀπανθρώπως πρὸς τοὺς Λεπενιώτας φερόμενοι καὶ οἷα κτίτορες ἐπαιρόμενοι καὶ τὰ προσόντα ἐκεῖσε τρόφιμα καὶ πότιμα αὐθαδῶς τε καὶ ἐξουσιαστικῶς ἀναισχυντοῦντες ἀμέτρως ἁρπάζοντες καὶ ἀπρεπῶς διαφθείρουσιν, ἀλλ' ἐπιεικῶς τε καὶ εὐλαβῶς μετὰ πάσης εὐσχημοσύνης καὶ ἱλαρότητος, καθάπερ φίλοι πρὸς φίλους καὶ πρὸς ἀδελφοὺς ἀδελφοί. ἔτι διατάσσομαι τοῖς Λεπενιώταις, σοί, τῷ ῥηθέντι ἱερομονάχῳ κυρίῳ Νεοφύτῳ, τῷ πνευματικῷ [πατρί], καὶ τῇ συνοδίᾳ τῇ σῇ, ἵνα διάγητε ἐν εἰρήνῃ καὶ εὐλαβείᾳ καὶ ἀγάπῃ ἀνυποκρίτῳ χωρίς τινος μήνιδος καὶ μνησικακίας, ἔριδός τε καὶ φιλονεικείας καὶ παντὸς μίσους καὶ ἔχθρας καὶ ἄλλης οἱασοῦν κακίας, σκανδάλων καὶ γογγυσμῶν, ὡς τοῦ Χριστοῦ μαθηταὶ θέλοντες καὶ εἶναι καὶ λέγεσθαι· καὶ γὰρ ἐκεῖνος οὕτω φησὶν ἐν τοῖς εὐαγγελίοις· „ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους". καὶ ὁ τούτου γνήσιος μαθητής, Ἰωάννης ὁ θεολόγος, „ὁ θεός", λέγων, „ἀγάπη ἐστίν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ θεῷ μένει καὶ ὁ θεὸς ἐν αὐτῷ" τὰ αὐτὰ καὶ συνῳδὰ τούτοις καὶ ἡ οὐρανομήκης ψυχή, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ μεγάλος Παῦλος φάσκων· „ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, καὶ ἐὰν ἔχω προφητείαν καὶ πᾶσαν τὴν γνῶσιν καὶ ἴδω τὰ μυστήρια πάντα, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν καὶ κύμβαλον ἀλαλάζον". ταῦτα καὶ τοιαῦτα ἐκ τῶν πολλῶν ὀλίγα ἀνέμνησά σοι καὶ παραινῶ σοι τὴν ἀγαπὴν περὶ πολλοῦ ὑπὲρ πάσας τὰς ἀρετὰς ἀπρὶξ κατέχειν καὶ ὅλῃ ψυχῇ ἀσπᾶσαι μετὰ καὶ πάντας τοὺς ὑπό σε, καὶ οὕτως ὡς ἐνάρετον καὶ εὐ-

λαβῇ διδόμενοι ἄδειαν τοῦ δεσπόζειν καὶ κυριεύειν πάντα τὰ τοῦ ναοῦ πράγματα, ὡς ἄνωθεν εἴρηται, ἐργαζόμενοι τὰ προσήκοντα καὶ ποιοῦντες τὰ κάλλιστα. καὶ μετὰ θάνατον ὑμῶν ἔσονται διάδοχοι οἱ καλόγεροι ὑμῶν πράττοντες καὶ οὗτοι τὰ εὐάρεστα, καθὼς δεδηλώκαμεν, καὶ μηδεὶς ἔσται ὁ ἀντιλέγων ὑμῖν ἢ παρενοχλῶν ἢ πειράζων ἢ ἀθετῶν τὸ παρὸν διαθηκῷον ἡμέτερον γράμμα. εἰ δέ τις ἀντιτείνων καὶ ἀπειθῶν ἐπὶ τοῦτο φανήσεται, ὁποίας δ' ἂν μοίρας εἴη, ἱερωμένος ἢ λαϊκός, ἕξει τὰς ἀρὰς τῶν τι' καὶ η' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων καὶ πάντων τῶν ἁγίων καὶ ἡμῶν τῶν ἐλαχίστων, ὁμοῦ δέ γε καὶ τὸν μεγ[άλον] Νικόλαον ἀντίδικον ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ὃ μὴ παραχωρήσαι κύριος ὁ θεός τινι τῶν χριστιανῶν πεπονθέναι καὶ τοιαύτῃ ἀρᾷ περιπεσεῖν, ἀλλ' ὥσπερ ταῦτα διεταξάμεθα, οὕτω καὶ θέλομεν μένειν βεβαίως τὰ γεγραμμένα καὶ ἀπαρασάλευτα εἰς αἰῶνα τὸν ἅπαντα, ἐνώπιον παντός τε δικαστικοῦ προσώπου, ἀρχόντων καὶ ἀρχομένων, ἱερωμένων καὶ λαϊκῶν· τούτου γὰρ χάριν ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον διατακτήριον γράμμα καὶ ἐπεδόθη τῷ εἰρημένῳ πνευματικῷ πατρί, κυρῷ Νεοφύτῳ, καὶ τῇ συνοδίᾳ αὐτοῦ εἰς ἀσφάλειαν, ἐν μηνὶ σεπτεμβρίῳ κε', ἐπὶ ἔτους ‚ζνη' ἰνδ. η' †.

Archet. chart. in monasterio Barlaam Meteororum. Ediderunt Duchesne et Bayet, Mémoire sur une mission au mont Athos. Paris. 1876. p. 284.

XV. 7305—1797, mense martio, ind. XV.

Patriarcha Gregorius V. monasterio Vivificae Fontis in insula Poro confirmat jus stauropegium.

† Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὅσα μὲν κατὰ τοὺς θείους θεσμοὺς καὶ τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τυγχάνει διακυβερνώμενα, πολλὴν ἔχουσι τὴν χάριν παρὰ θεῷ καὶ τὸ κλέος μέγιστον, ὅσα δὲ τοὐναντίον παραβαίνει τῶν ὅρων ἐκτρεπόμενα, ἐν τούτοις προφανὴς καὶ ἡ ἀκοσμία, κατάδηλος ἡ φθορὰ καὶ ἐπὶ πᾶσιν ἡ τῶν ψυχῶν ἀπώλεια· εἰ γάρ, καθάπερ οἱ περὶ τῶν καθ' ἕκαστα ἐκκλησιῶν νόμοι, οὕτω καὶ οἱ περὶ τῶν σταυροπηγιακῶν μοναστηρίων τῶν ὑπὸ τῷ καθ' ἡμᾶς ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ ἀπαρατρέπτως διεφυλάττοντο καὶ τῆς κατὰ νόμους ἐπιμελείας καὶ προστασίας κἀκεῖνα ἠξιοῦντο παρὰ τῶν ἀεὶ πατριαρχευόντων, οὐκ ἂν τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινὰ τοῖς μοναστηρίοις συνέβαινεν. ἀλλ' ἐπειδή, οὐκ οἴδαμεν ὅπως, τῶν ἱερῶν παρημελημένων νόμων εἰς τοσαύτην προῆλθον ἀκαταστασίαν καὶ

ἐλεεινὴν ἀπώλειαν τὰ ἱερὰ ταῦτα καταγώγια, διὰ ταῦτα εὐθὺς ἀνειληφόσιν ἡμῖν τοὺς οἴακας τοῦ παγκοίνου πνευματικοῦ τούτου σκάφους ἔδοξε πρὸς τοῖς ἄλλοις καὶ τὰ παρημελημένα αὐτὰ εὐαγῆ μοναστήρια διορθώσασθαι, ἀφορῶσι πρὸς τὸ ἐκείνων συμφέρον, ὡς μέλει γνήσια ὄντα τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καὶ τῷ σταυροπηγιακῷ καὶ πατριαρχικῷ προνομίῳ τετιμημένα, ἄλλως τε οὐδὲ καινούς τινας ἀφ' ἑαυτῶν νόμους φέρουσιν, ἀλλ' ἀρχαίους ἀνανεομένους καὶ γεραρούς· τὴν γὰρ τῶν ἐκκλησιαστικῶν πραγμάτων προστασίαν τοῖς ἐπισκόποις ἐπιτρέπουσιν οἱ ἱεροὶ νόμοι καὶ κανόνες, τὸν τοῦ θεοῦ φόβον προτίθεσθαι διακελευόμενοι, ἵνα, εἴ γε δέοιντο, καὶ αὐτοὶ μεταλαμβάνωσι, ὃν τρόπον ὁ λη' τῶν ἁγίων ἀποστόλων κανὼν καὶ ὁ κε' τῆς ἐν Ἀντιοχείᾳ ἱερᾶς συνόδου καὶ ἡ ἐν Χαλκηδόνι, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Νικαίᾳ ὅ τε ια' καὶ ιβ' καὶ τῆς ἐν Ἀγκύρᾳ ὁ ιε' καὶ ὁ μθ' τῆς ἐν Τρούλλῳ καὶ ἄλλα πλεῖστα, ὅσοι σεπτοὶ νόμοι καὶ κανόνες σαφῶς φαίνονται τὴν τῶν ἱερῶν μοναστηρίων ἐξουσίαν τοῖς ἐπισκόποις διδόντες, ὥστε μεταλαμβάνειν μὲν καὶ αὐτοὺς τῶν δεόντων, εἴ γε δέοιντο, πρὸς τὰς ἑαυτῶν χρείας, τὴν δὲ περὶ ἐκεῖνα ἐπιμέλειαν μεγίστην τε καὶ ὡς θεοῦ ἐφορῶντος ποιεῖσθαι, ἵνα προστατεύωσιν αὐτῶν καὶ οἰκονόμους καὶ ἐπιτρόπους καὶ ἡγουμένους ἀποκαθιστῶσιν ἐν αὐτοῖς καλῶς περὶ τῆς αὐξήσεως καὶ βελτιώσεως τούτων ἐπιμελούμενοι, ἵνα μὴ δι' ἀμέλειαν ἔνοχοι γένωνται τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις, οἱ δὲ οἰκονόμοι, ἡγούμενοί τε καὶ ἐπίτροποι διαμένωσιν ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπισκόπων καὶ δίχα τῆς ἀδείας αὐτῶν μήτε πωλῶσι μοναστηριακόν τι κτῆμα, ἀλλ' οἰκονομῶσι καλῶς πρὸς τὴν ἐκείνων ὁδηγίαν καὶ ἄδειαν, ὅπως μὴ καὶ αὐτοὶ ὡς ἀνατρέποντες τοὺς ἐκκλησιαστικοὺς τούτους ὅρους καὶ κανόνας βαρυτάτοις ὑποπέσωσι τοῖς ἐπιτιμίοις καὶ τιμωρίαις. ταῦτα μὲν οὖν οἱ θεῖοι νόμοι ἀποφαίνονται περὶ τῶν ἱερῶν μοναστηρίων, τούτων δὲ τὰ μὲν τοῖς κατὰ τόπον ἐπιτετραμμένοις ἐνοριακὰ τῆς προσηκούσης ἀρχιερατικῆς, ὡς εἰκός, ἐπ' αὐξήσει τυγχάνει ἐπιμελείας, μόνα δὲ τὰ τῇ σταυροπηγιακῇ ἀξίᾳ τετιμημένα οὐκ οἴδαμεν ὅπως πρὸ χρόνων πολλῶν παρημέληται. καὶ δέον ὡς θεοῦ ἐφορῶντος διοικεῖσθαι αὐτὰ καὶ ἐκ παντὸς τρόπου ἐπιμελείας τῆς ἀναλόγου ἀξιοῦσθαι, ὅπως αὐτοῖς τῶν ἀγαθῶν τὰ μὲν ὑπάρχοντα διαμένῃ, περιποιῶνται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιοπομπῶνται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται· τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν πάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα καταβάλλομεν, ἐκτιθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν ἱερὸν τόμον, ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις περὶ τῆς εἰς τὸ ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων καὶ τῆς δυνατῆς ἀντι-

λήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεάν, καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενά ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως, ὡς καὶ περὶ τοῦ ἐν τῇ νήσῳ Πόρῳ τῆς ἐπαρχίας Αἰγίνης ἱερὸν καὶ σεβάσμιον μοναστήριον τῆς Ζωοδόχου Πηγῆς· ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Παϊσίου, δηλωτικόν, ὅτι ὁ τότε μητροπολίτης Ἀθηνῶν Ἰάκωβος κατὰ τὴν ἀκρώρειαν τῆς νήσου ταύτης θείῳ ζήλῳ κινούμενος ἐξ ἰδίων τε [ἀναλωμάτων] καὶ ἐξ ἐλεημοσυνῶν τῶν χριστιανῶν ἀνήγειρε τὸ μοναστήριον τοῦτο ὑπὸ σταυροπηγιακῇ ἀξίᾳ ἐν τῇ ῥηθείσῃ τοποθεσίᾳ, ὅπου ἐστὶ καὶ πηγὴ ἀναβλύζουσα αὐτόματος καὶ ἀναδίδουσα ἁγίασμα ἰαματικὸν τοῖς μετ' εὐλαβείας προσερχομένοις χριστιανοῖς πρός τε ἄλλα νοσήματα καὶ πρὸς τὸ τῆς λιθιάσεως πάθος, διαλύον αὐτὸ εἰς τὸ παντελές, οὗπερ καὶ ἄλλους εἶναι πολλοὺς μάρτυρας ὑγιασθέντας καὶ ἀνασωθέντας τοῦ πάθους τούτου καὶ ἐκεῖνον τὸν μακαρίτην Ἀθηνῶν, κακῶς πάσχοντα τὴν λιθίασιν ἐπὶ πολλοὺς χρόνους, εἶτα τῇ χάριτι τοῦ ἁγιάσματος τούτου ἀπαλλαγέντα καὶ δι' ὅλου ἐλευθερωθέντα, καὶ ἀποφαινόμενον, ἵνα τὸ μοναστήριον τοῦτο μετὰ τῶν μετοχίων, παρεκκλησίων καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων αὐτοῦ ὑπάρχῃ σταυροπήγιον. εἰς ἀνακαίνισιν οὖν τούτου γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν μοναστήριον τῆς Ζωοδόχου Πηγῆς τὸ ἐν τῇ νήσῳ Πόρῳ τῆς ἐπαρχίας Αἰγίνης μετὰ τῶν μετοχίων, παρεκκλησίων καὶ λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακόν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον, παρ' οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος, ἔχον καὶ τὸ προνόμιον κατὰ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν προχειριζόμενον καὶ πατερίτζαν [1]). καὶ πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας. δεύτερον δὲ λόγῳ ὑποταγῆς ἀποδιδῷ καθ' ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια ἑξήκοντα εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καὶ λαμβάνῃ ἐξοφλη-

---

[1]) μανδίαν — πατερίτσαν K.

τικὴν ἀπόδειξιν κατὰ τὸ ὕφος τῶν ἐπαρχιῶν, καὶ οὕτως ἀναλαβὸν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον καὶ καλῶς διοικούμενον, ὡς μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ οἱ ἀρχιερεῖς, οὕτως καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι. τρίτον, διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδικι τῆς μεγάλης ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτῶν καὶ τὰ χρέη καὶ τὸ τοῦ ἡγουμένου ὄνομα. τέταρτον δὲ τὸ σιγίλλιον αὐτοῦ ἔχῃ μένειν[1]) ἀπαράτρεπτον καὶ[2]) ἀπαραβίαστον, μὴ δεόμενόν ποτε ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς. πέμπτον, μηδεὶς τοῦ λοιποῦ γίγνηται ἐν αὐτῷ ἡγούμενος ἄνευ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ, ἀλλ' ἐπειδὰν ἕλωνται αὐτὸν γνώμῃ κοινῇ οἱ συγκοινοβιᾶται πατέρες, τότε ἀποστέλληται παρ' αὐτῶν κοινὴ ἐνυπόγραφος καὶ ἐνσφράγιστος ἀναφορὰ περὶ τῆς τοιαύτης ἐκλογῆς πρὸς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ οὕτω δι' ἐκκλησιαστικοῦ γράμματος ἀποκαθιστᾶται ὁ ἡγούμενος τοῦ μοναστηρίου τούτου, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδικι, ὀφείλων κατ' ἔτος ἐξαποστέλλειν ἀκριβῆ ἐνυπόγραφον καὶ ἐνσφράγιστον καταγραφὴν τῶν τοῦ ἔτους ἐκείνου μοναστηριακῶν ἐσόδων καὶ ἐξόδων. ἕκτον, ἡ σφραγὶς τοῦ μοναστηρίου διαιρεθῇ εἰς τμήματα τέσσαρα, καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων. ἕβδομον, οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτωτέρων ἐν τοῖς κοινοβιάταις ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν, αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομίζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφραγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριεχούσας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας, οὗτοι δέ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς ἐκκλησίας ἐπιτιμᾶν, σωφρονίζειν, ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας καὶ τοὺς ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως καὶ μὴ πειθομένους, τελευταῖον διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ. ὄγδοον, μηδεὶς τοῦ μοναστηρίου τούτου δύναται τοῦ λοιποῦ πωλεῖν μοναστηριακὸν ὑποστατικὸν ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ

---

1) μένον K. 2) ὡς K.

καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα διὰ τὰς ἀναγκαίας αὐτῶν χρείας. ἔννατον, ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν ἐπὶ τῷ ἐπιτελεῖν αὐτὰ μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως. δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι ὁσιώτατοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντὸς καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ καὶ διάγειν σεμνῶς, εἰρηνικῶς καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναστηριακοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτῶν καὶ τὴν κατὰ θεὸν διαγωγὴν καὶ πολιτείαν καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ μοναστηρίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν διατύπωσιν ἀπαράτρεπτον. ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν, ἱερωμένος ἢ λαϊκὸς ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσει παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα καὶ ἀνατρέψαι τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἐν Χριστῷ μεγάλης ἐκκλησίας τῷ ἐπ' αὐτῷ τούτῳ διορισθέντι, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ ἑβδόμῳ κατὰ μῆνα μάρτιον ἐπινεμήσεως πρώτης †.

† Γρηγόριος, ἐλέου θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Orig. membr. in tabulario monasterii cum bulla plumbea pendenti. Edidit Euthymius Kastorchis in libro: Ἀττικὸν ἡμερολόγιον τοῦ ἔτους 1885. *Athenis. 1884. p. 355. cum adnotatione:* ἕπονται ἕνδεκα ὑπογραφαὶ συνοδικῶν, καὶ ὑπ' αὐτὰς προσαρτᾶται ἐν τῇ μεμβράνῃ μολυβδίνη στρογγύλη πλὰξ διαμέτρου 0,5 γ. μ. ἐξ ἑνὸς φέρουσα εἰκόνα τῆς θεομήτορος ἐν ἀγκάλαις ἐχούσης τὸν Χριστὸν καὶ ἐπιγραφήν· ΜΡ ΘΥ; ἐξ ἑτέρου δὲ τὴν ἐπιγραφὴν τήνδε· † Γρηγόριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης ͵αψϟζ' †. τῆς μεμβράνης τὸ μῆκος εἶναι 0,80 καὶ τὸ πλάτος 0,50 γαλ. μέτρου.

XIII.

Typica.

I. 6585—1077, mense martio, ind. XV.

Typicum hospitii pauperum in civitate Rhaedesti et coenobii Sancti Salvatoris Valde Misericordis in Urbe editum a Michaële Attaliata, conditore sacrarum aedium.

Διάταξις σὺν θεῷ γενομένη παρὰ Μιχαὴλ πατρικίου, ἀνθυπάτου, κριτοῦ ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου, τοῦ Ἀτταλειάτου, ἐπὶ τῷ παρ' αὐτοῦ συστάντι πτωχοτροφείῳ καὶ τῷ μοναστηρίῳ, καθὼς ὀφείλει τελεῖσθαι τὰ ἐπ' αὐτοῖς ἄχρις αἰῶνος, εἰς δόξαν πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος.

† Χάρις τῷ πάντα δυναμένῳ καὶ πρὸς τὸ βέλτιον οἰκονομοῦντι θεῷ, τῇ ὁμοουσίῳ φημὶ καὶ ἀδιαιρέτῳ καὶ ἀσυγχύτῳ Τριάδι, δι' ἧς μεγάλων δωρεῶν καὶ τὴν ἀνθρωπίνην ὑπερεκπιπτόντων φύσιν ἠξιώθησαν ἄνθρωποι, καὶ εἰς ἣν πᾶν τὸ κατορθούμενον ἀναφέρεται, καὶ παρ' [ἧς][1]) ἐθαυμαστώθησαν οἱ μηδὲ θαυμάσαι τινὰ δυνηθῆναι οἰηθέντες, διὰ τὴν ταπεινοῦσαν τούτους ἀσθένειαν. ταύτης προσκυνητὴς καὶ λάτρις ἐγὼ Μιχαήλ, πατρίκιος, ἀνθύπατος καὶ κριτής, ὁ Ἀτταλειάτης, ἐκ παίδων τοῦτο τὸ σέβας διὰ τῶν πιστοτάτων γεννητόρων μου διδαχθείς, πάτριον ἐχόντων τὸ πρὸς θεὸν ὀρθότομόν τε καὶ εὔγνωμον, κἀντεῦθεν ἀπολαύσας πολλῶν μὲν καὶ ποικίλων δεινῶν ἀπαλλαγῆς, ἐπὶ ξένης γενόμενος, πλειόνων δὲ εὐεργετημάτων τυχών, καὶ λόγου μετασχὼν διὰ τῆσδε τῆς τῶν λόγων ἀφράστου καὶ ἀκενώτου θείας πηγῆς· κτῆσιν μὲν γὰρ οὐδ' ἡντινοῦν κατὰ τὴν τῶν λόγων μητρόπολιν καὶ βασιλίδα τῶν πόλεων ἔκ τινος τῶν ἀνιόντων κληρονομίας διεδεξάμην· ἀπῆν γάρ, ἣν εἶχον, ἐν ᾗ τὴν γένεσιν ἔσχηκα, καὶ ταῖς συγγόνοις κατὰ γνώμην ἐμὴν διανενέμηται ἅπασα, προσεπιβαλόντος κἀμοῦ τοῖς γονικοῖς τῶν οἰκείων πολλά, λόγους δὲ ζητῶν προσεκτησάμην τούτοις καὶ τὰ πρὸς τὸν βίον ἐφόδια, καὶ οἷς ἄνθρωποι τὴν παροῦσαν εὐδαιμονίαν περιορίζουσι, θεοῦ τὰ ἐμὰ πάντως, καθὰ προδιείληπται, διεξάγοντος, καὶ τῇ τοῦ βίου ῥαστώνῃ καὶ ἀφελείᾳ τὴν θείαν

[1]) Supplevit S.

ἀντίληψιν δι' ἄκραν ἀγαθότητα ἀντεισάγοντος, καὶ προνοίας ὅροις ἀκαταλήπτοις ἀντιλαμβανομένου τοῦ πτώματος, ταύτῃ τοι καὶ πολὺ μὲν τὸ δόξαν ἡμῖν ἀντιτίθεσθαι, καὶ βασκανίας περιβάλλειν κακοῖς, καὶ πρὸ πάντων ἡ τοῦ γένους ἀπαλλοτρίωσις, πάντα δ' εἰς παρ' ἡμῖν ἀπροσδόκητον καὶ ἀσινὲς ἐναπέληξαν· καταβιοὺς δ' ἀπὸ μονώτιδος βιοτῆς εἰς συζυγίαν ἐπὶ χρόνους τινάς, καὶ τὴν σύζυγον κοινῷ θανάτῳ ἐν ἀκμῇ τῆς ὥρας ἀποβαλών, · οὐδὲν ἔσχον ἐκ τῆς τελευταίας ταύτης βουλήσεως, ἢ μικρόν τι καὶ οὐδὲν κατάλυμα, συναινέσας αὐτῇ πάντα θεῷ παρεχομένῃ διὰ τῆς εἰς τοὺς πένητας μεταδόσεως, καὶ τῷ τῆς ἐπιτροπῆς δικαίῳ, μετὰ καὶ τῆς ἰδίας αὐτῆς μητρὸς ὑπουργήσας ἀνεμποδίστως τῷ ταύτης θελήματι, καὶ ἅπαντα σὺν αὐτῇ διαδούς, πάντα δὲ τὰ προσόντα μοι δι' ἀγαθῆς ἐπεκτησάμην πίστεως οἴκοθεν καὶ τὸ κτῆμα ταύτης τοῦ Σελοκάκα[1]) δόσει τιμήματος ἁδροτάτου ἠγόρασα, προστάξει βασιλικῇ τοῦ νομοφύλακος δοθέντος ἐπὶ τῇ πράσει κουράτωρος εἰς τόπον ἐμὸν ἅμα τῇ συνεπιτρόπῳ καὶ πενθερᾷ μου, καθὼς καὶ ἡ πρᾶσις καὶ τὸ ἐπιγεγονὸς ὑπόμνημα διαγορεύει σαφέστατα, ἐν ᾗτινι πράσει περιείληπται καὶ ὅπως τὸ τοῦ κτήματος τοῦ Βανίτζη ἅπαν τίμημα εἰς διάδοσιν πενήτων ἀνελλιπῶς προκεχώρηκε. τοιούτων οὖν καὶ τηλικούτων τετυχηκὼς ἀγαθῶν ὑπὸ τῆς παντοκρατορικῆς καὶ φιλανθρώπου καὶ φιλοικτίρμονος δεξιᾶς ἐγὼ ὁ ἁμαρτωλὸς καὶ πάντων ἀνάξιος, ὡς καὶ ἀπὸ ξένης καὶ ταπεινῆς τύχης εἷς γενέσθαι τῶν τῆς συγκλήτου βουλῆς, καὶ τοῖς ἀρίστοις τῶν βουλευτῶν, οὓς καὶ ἀριστοκρατικοὺς ὁ παλαιὸς λόγος οἶδε καλεῖν, καὶ τοῖς ἐπιφανεστάτοις τῶν πολιτικῶν δικαστῶν συγκαταλεγῆναι, καὶ τιμαῖς δημοσίαις ἐναβρυνθῆναι, ὤφειλον πάντως τῷ τῶν τοσούτων ἀγαθῶν δοτῆρι θεῷ ἀναλογοῦσαν τὴν εὐγνωμοσύνην καὶ ἀξιόχρεων συνεισενεγκεῖν. ἀναγκαίως μὲν οὖν ὤφειλον τοῦτο, κἂν ἀπόρως εἶχον διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, εἰ δ' οὖν, ἀλλά γε τοῦ ἐφικτοῦ περὶ τὴν τοῦ βελτίονος κρίσιν τε καὶ διάκρισιν τὸ παράπαν μὴ ἐκπεσεῖν. ἐγὼ δὲ τοὐναντίον ἔμεινα δι' ὅλης ζωῆς παροργίζων τὴν ἄφατον αὐτοῦ πρός με μακροθυμίαν καὶ ἀγαθότητα πολλοῖς καὶ χαλεποῖς πλημμελήμασιν, ἀνθ' ὧν καὶ τῶν ἠπειλημένων τοῖς ἁμαρτάνουσι κολαστηρίων δεινοτέροις ὑποπεσεῖν ἐμαυτὸν κατακέκρικα, οὐ μόνον ὡς εἰδὼς τὸ θέλημα τοῦ κυρίου μου καὶ μὴ ποιῶν τοῦτο, καὶ τὸ δοθέν μοι τάλαντον ἄκαρπον ὁμοῦ καὶ ἄτοκον ἀποδείξας καὶ χεῖρον ἀπεργασάμενος, ἀλλὰ καὶ ὡς ἀμνήμων γενόμενος τῶν θείων αὐτοῦ δωρημάτων καὶ χαρισμάτων καὶ τῆς κατὰ βίον εὐρύτητος καὶ ἀνεπίστροφος διαμείνας ἀπὸ τῶν πονηρῶν, πονηρᾷ συνηθείᾳ καὶ βαρυκαρδίῳ

---

[1]) Εὐλοκάκα S., sed vide inferius in Typico et documentum p. 145 huius voluminis.

γνώμῃ κεκρατημένος. ἐπειδὴ δὲ τὴν ὑπερβάλλουσαν ἄβυσσον τῆς ἀνυπερβλήτου χρηστότητος καὶ φιλανθρωπίας αὐτοῦ εἰς ἡμᾶς μάλιστα τοὺς ἁμαρτωλοὺς ἐπεδείξατο, καὶ λίαν κηδεμονικῶς ἔχει πρὸς τὴν σωτηρίαν ἡμῶν, καθὼς λόγῳ ἐδίδαξε καὶ ἔργοις παρέδειξεν ὁ τῶν ὅλων σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστός, διὰ ταῦτα εἰς τοσοῦτον ὕψος καὶ ἄπειρον μέγεθος τῆς φιλανθρωπίας αὐτοῦ ἀφορῶν, καὶ εἰς τοῦτον μόνον τὸν θεῖον αὐτοῦ καὶ σωτήριον λόγον ἐπερειδόμενος, καθότι τοσοῦτον ἠγάπησε τὸν κόσμον ὁ θεός, ὥστε τὸν μονογενῆ υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν λύτρον ὑπὲρ ἡμῶν δέδωκε τῶν ἁμαρτωλῶν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, ἐν τούτῳ καὶ αὐτὸς τὴν ἐλπίδα μου πᾶσαν ἀνατιθείς, οὐκ ἀπογινώσκω τὴν σωτηρίαν μου, εἰδὼς ἀκριβῶς, ὅτι μείζονος καταδίκης πεπείραται ὁ ἀπογινώσκων, καὶ πῦρ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐπανάπτει, τοιαύτην ὕλην ἐπισωρεύων ἀπονενοημένου λογισμοῦ· οὐ γάρ ἐστιν οὐδένα [1]) τῶν ἁπάντων ἐκφυγεῖν τὸν οὗ πάντων ἡ πνοὴ ἐν χειρί, πάντων δὲ φοβερώτερόν τε καὶ δυστυχέστερον τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος τινά, ὡς ἐκ διαμέτρου τῆς εἰς θεὸν ἐλπίδος καὶ τῆς ἐντεῦθεν σωτηρίας γενόμενον. ὧν ἁπάντων τῶν τὰς ἐλπίδας λόγῳ σβεννύντων λογισμῶν ἀνώτεροι καὶ ἡμεῖς καὶ ὅσα [2]) τῆς σῆς χειρὸς καὶ πίστεως ἔργα καθίστανται, συντηρηθείημεν, ὦ παναρχικὴ καὶ ὁμοούσιε Τριάς, ἐς ἀεί. ταῦτ' οὖν βεβαίως καὶ ἀληθῶς ἀναλογιζόμενος, καὶ τὰς διαδεξομένας ἐκεῖθεν λογοποιΐας εἰς νοῦν καθ' ἑκάστην βαλλόμενος, καὶ τὸ τῆς δίκης ἄφυκτον διηνεκῶς λογιζόμενος, εἰς ἐργασίαν τινὸς ἔργου ἀγαθοῦ προεθυμήθην ἐλθεῖν. πρὸς εὐαρέστησιν μικρὰν γοῦν τινὰ τοῦ πλουσίως ἐφ' ἡμᾶς ἐκχέοντος τὸν αὐτοῦ ἔλεον, καὶ ἀπὸ τῆς ὑπηργμένης μοι κτήσεως κατὰ τὴν τοποθεσίαν τῆς Ῥαιδεστοῦ, τῷ ἀφάτῳ ἐλέει αὐτοῦ οἰκονομῆσαί τι δεόντως, καὶ ὡς αὐτῷ ἀρεστόν τε καὶ εὐαπόδεκτον, πεπεισμένος, ὅτι μικρὰν ἀφορμὴν λαβὴς παρ' ἡμῶν ἐκζητεῖ ὁ πολυεύσπλαγχνος καὶ πανυπεράγαθος ἡμῶν θεός, ἵνα τὴν ὅλην αὐτοῦ χρηστότητα καὶ φιλανθρωπίαν εἰς ἡμᾶς ἐπιδείξηται τοὺς ἁμαρτωλούς· πολλὰ γὰρ ἡμῖν τὰ ἀγαθὰ ἐπηγγείλατο ὑπὲρ ταύτης μόνης τῆς πάνυ ἐλαφρᾶς αὐτοῦ ἐντολῆς, ἵν' ἐκ τῶν ἀγαθῶν ὧν ἔχομεν, μᾶλλον δὲ τῶν ἐκείνου (οὐδὲν γὰρ οἰκεῖον ἡμῖν, ὅτι καὶ τὸ εἶναι ἡμῖν ἐκ θεοῦ), παρέχωμεν τοῖς ἐπιδεομένοις ἡμῶν· τίς γὰρ ἐκτὸς τῆς ἐκείνου φιλανθρωπίας τοιοῦτόν τι προσεδέξατο δῶρον καὶ ἀπεδέξατο, ἵνα τὰ παρ' ἑαυτοῦ καὶ ὧν [ἡ] χρῆσις μόνη [παραχωρεῖται], μὴ δόσιν ἐκείνου [καὶ] χάριν ἡγῆται [3]) καὶ προσαγωγὴν ἀλλοτρίαν; ὄντως οὐδείς· ὅπου γε καὶ ἀλλοτρίων εἰσφερομένων ἡμῖν

[1]) οὐδέν S. [2]) καὶ ὅσης S.: **locus corruptus.** [3]) καὶ ὧν χρ. μόνη καὶ δόσις ἐκείνου χάριν ἡγεῖται S.

ὄγκοις ὡς ἐπίπαν καὶ μέτροις τὴν τοῦ παρέχοντος διάθεσιν κρίνομεν· οὗτος δὲ ὁ πανυπεράγαθος θεὸς ἡμῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν ἡμᾶς, καὶ πάντα ἡμῖν παρεσχηκώς, θυσίαν ἡγεῖται ταῦτα, ὅσαπερ ἐκείνῳ διὰ τῆς τῶν πενήτων εὐποιίας εἰσοίσομεν, τοὐναντίον μετρῶν τὴν ἀντίδοσιν τῇ τοῦ διδόντος διαθέσει καὶ μὴ τῇ ἀξίᾳ τοῦ διδομένου· εἰ δὲ καὶ βραδεῖς καὶ νεναρκωμένοι πρὸς τὰ κρείττω τυγχάνομεν, καὶ ἀγνωμοσύνῃ κεχρήμεθα, ἀλλ' αὐτὸς ταχύς ἐστιν εἰς ἀντίληψιν, καὶ τοσοῦτο εἰς μακροθυμίαν καὶ συγκατάβασιν, ὅσον οὐδ' εἰς νοῦν λαβεῖν ἐφικτὸν ἀνθρωπίνῃ φύσει καὶ διανοίᾳ, τὴν ἐπιστροφὴν ἡμῶν ἐκδεχόμενος πάντως καὶ τὸ τῆς ὀργῆς ἀναβαλλόμενος ἄκρατον, ἵνα καιρὸς τῇ μετανοίᾳ δοθῇ. τίς ἱκανὸς [1]) ἐκδιηγήσασθαι τὴν πρὸς ἡμᾶς ἄπειρον αὐτοῦ φιλανθρωπίαν καὶ ἀγαθότητα; ὄντως οὐδείς, οὐδὲ τῶν ἐν πράξει καὶ θεωρίᾳ τετελειωμένων ἀνδρῶν, μήτι γε ἐγὼ ὁ τούτων ἀμφοτέρων πολλῷ τῷ περιόντι λειπόμενος. ἀλλὰ καὶ τοῦτο δόξα πάντως τῷ ἀγαθῷ, τῷ μηδὲ τὰ πάνυ ταπεινὰ ἀποσείεσθαι, ἀλλ' ἐν τοῖς πανευτελέσι καὶ ἐξουθενωμένοις μάλιστα εὐδοκεῖν. διὸ δὴ κἀγώ, εἰ καὶ ὅλος ὑπάρχω αὐτοκατάκριτος καὶ παντελῶς ἀνάξιος τῆς φιλανθρωπίας αὐτοῦ, θαρρήσας τῷ ἀφάτῳ αὐτοῦ ἐλέει, τὴν παροῦσαν μικρὰν καὶ πενιχρὰν ταύτην μου προσαγωγὴν ἐτόλμησα προσενεγκεῖν τῇ ὑπεραφάτῳ αὐτοῦ μεγαλωσύνῃ καὶ ἀγαθότητι. Χριστέ, προηγοῦ μοι.

α'. Περὶ τῶν ἀφιερωθέντων ἀκινήτων καὶ τοῦ εἶναι [αὐτὰ ἀνήκοντα] εἰς [τοὺς συγγενικοὺς][2]) κληρονόμους μόνους, ἀνώτερα βασιλικῆς ἢ ἐκκλησιαστικῆς ἐξουσίας.

Καθιερῶ οὖν μετὰ πολλῆς τῆς προθυμίας καὶ θερμῆς διαθέσεως διὰ τῆς εἰς τοὺς δεομένους εὐποιίας ἀπὸ τῆς ἐν τῇ Ῥαιδεστῷ καὶ τῇ βασιλίδι τῶν πόλεων διακειμένης ἀκινήτου μου κτήσεως αὐτῷ τῷ μεγάλῳ θεῷ καὶ σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ τῷ ἐκ παρθένου τεχθέντι ἀφράστως καὶ ὑπὲρ λόγον, σὺν τῷ ὁμοουσίῳ πατρὶ καὶ ἁγίῳ πνεύματι, ἀπόμοιραν οὐκ ἐκ τῶν ἡττόνων ἐμοὶ καὶ ὑποδεεστέρων, ἀλλ' ἐκ τῶν κρειττόνων καὶ τιμιωτέρων, καθὼς ἐστὶν ἄξιον τῷ πάσης τιμῆς ἐπέκεινα καρποφορεῖν καὶ προσάγειν τοὺς πίστιν εἰλικρινῆ κεκτημένους· εἰ γὰρ καὶ ἀπροσδεὴς καὶ αὐτάγαθος φύσις ἡ δημιουργός, καὶ τὸ πᾶν συνέχουσα δόξα, ἡ ἑνιαία θεότης καὶ τρίφωτος, ἀλλ' ἡ προαίρεσις οὐκ ἀβασάνιστος, οὐδ' ἀδοκίμαστος τίθεται· διὰ γὰρ τοῦτο καὶ ἡ τοῦ Καΐν θυσία οὐ θυσία ἐλογίσθη τῷ ὄντι, ἀλλὰ κατάκρισις, ὅτι ἐκ τῶν χειρόνων καὶ ἀπολέκτων προσήγετο. καθιερῶ οὖν, ὡς προδιείληπται, ταῦτα τῷ πανοικτίρμονι καὶ μεγάλῳ θεῷ, καὶ κληρονόμον αὐτὸν ταύτης

---

[1]) τίς εἶ ἱκ. S. [2]) Supplevimus ex sequentibus in typico.

τῆς προσαγωγῆς μου ἐνίστημι καὶ προνοητὴν καὶ κύριον, οὐ χεῖρον δὲ εἰπεῖν καὶ ἐκδικητὴν καὶ ἀντίδικον κατὰ τῶν βουλομένων ποτὲ καιροῦ ἢ χρόνου ἀκρωτηριάσαι ἢ παραθραῦσαί τι τῶν διατεταγμένων μοι καὶ ἀπομειῶσαι ἢ καταβαρύναι τι τῶν προσκεκυρωμένων τῇ εὐτελεῖ ταύτῃ κληρονομίᾳ αὐτοῦ. καὶ τὸν μὲν ἐντὸς τοῦ κάστρου τῆς Ῥαιδεστοῦ οἶκον πτωχοτροφεῖον καλεῖσθαί τε καὶ εἶναι καὶ γνωρίζεσθαι διατυπῶ, εἰς ἐξιλέωσιν καὶ ἄφεσιν τῶν ἐμῶν πολλῶν καὶ μεγάλων καὶ ἀναριθμήτων ἁμαρτιῶν· τοῦτον γὰρ τὸν οἶκον πρὸ χρόνων πολλῶν πρὸ τοῦ εἰσελθεῖν εἰς μοναστήριον τὴν μοναχὴν καὶ πρωτοσπαθάρισσαν κυρὰν Εὐφροσύνην τὴν γυναικοθείαν μου, (ἐν γὰρ τῷ οἴκῳ τοῦ Κρασᾶ τοῦ ἐξαδέλφου αὐτῆς ἀπεκάρη), διὰ συμφώνου πρατηρίου καὶ ἀρραβωνικοῦ ἐγγράφου κατεδέσμευσα ἀπ' αὐτῆς μετὰ καὶ τοῦ κτήματος αὐτῆς τοῦ Λιβὸς ἤτοι τῶν Βαβούλου, ἐπεκτησάμην δὲ καὶ τελείως ὕστερον τὸν μὲν οἶκον δι' ἀγορασίας ἐντελοῦς, τὸ δὲ κτῆμα ἐκ διαθήκης. τὸν μέντοι εἰρημένον οἶκον ἐπεκτησάμεν παντελῶς καταπεπτωκότα καὶ εἰς γόνυ κλιθέντα καὶ ἄχρηστον, τὸ μὲν τῇ ἐκ τοῦ χρόνου σαθρότητι, τὸ δὲ καὶ τῷ ἐξαισίῳ κλόνῳ τοῦ σεισμοῦ προσεχῶς γεγονότι, καὶ ἐκ βάθρων ἀνῳκοδόμησα, καὶ πολλοῖς καὶ ἁδροῖς ἀναλώμασι καὶ ἱδρῶσιν ἐκ τῶν ὑστερημάτων μου κατεκόσμησα· οὐ γὰρ ἀφθονίαν ἔσχον τηνικαῦτα, ἔτι κατὰ τοὺς τοῦ βίου πρόποδας ὤν, καὶ μηδεμίαν ἀρχικὴν ἐξουσίαν περιζωσάμενος, ὅπερ καὶ μέχρι τέλους χάριτι Χριστοῦ διετήρησα, μηδεμίαν ἀρχὴν ἢ δημοσίαν δουλείαν ἐγχειρισθείς. συνήνωσα δὲ τούτῳ καὶ ἅπερ ἀντήλλαξα καὶ ἐξωνησάμην ἀπό τε τοῦ Ψωραρίου καὶ τοῦ Ναρσῆ, καὶ ἕνα οἶκον πεποίηκα· καὶ βούλομαι τοῦτον ἅπαντα συνεκτικὸν ὑπάρχειν καταγώγιον τῆς τῶν ὅλων καρπῶν συνεισφορᾶς καὶ ὑποδοχῆς, καὶ τῆς τῶν ξένων πενήτων ἐπαναπαύσεως καὶ καταγωγῆς, καὶ πτωχοτροφεῖον, ὡς προείρηται, καὶ εἶναι καὶ ὀνομάζεσθαι. σὺν τούτῳ δὲ καὶ τὸν ἐν τῇ Πόλει οἶκόν μου, ὅνπερ ἐξωνησάμην ἀπὸ τῆς πρωτοσπαθαρίσσης καὶ ἀσηκρητίσσης, κυρᾶς Ἀναστασοῦς, τῆς γυναικαδέλφης μου, προστάξει βασιλικῇ διὰ κρίσεως καὶ δοκιμασίας τῶν προστεταγμένων δικαστῶν, τοῦ τε βέστου κυροῦ Μιχαὴλ καὶ κοιαίστωρος τοῦ Ἀνζᾶ, καὶ τοῦ νομοφύλακος· ἀφιερῶ καὶ αὐτὸν εἰς πτωχοτροφεῖον, καὶ συντίθημι ταῦτα καὶ ἑνοποιῶ, ὥστε ἀλλήλοις συνέχεσθαί τε καὶ συνυπάγεσθαι καὶ συνδιοικεῖσθαι, καὶ συναρμολογεῖσθαι τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος· ἡνωμένα γὰρ ὀφείλουσιν εἶναι ἄμφω καὶ ὡς μέρη καὶ μέλη συνδεδέσθαι τῷ πνεύματι, καὶ ὑπὸ τῷ αὐτῷ κληρονόμῳ καὶ δεσπότῃ, τῷ ἐπουρανίῳ φημὶ βασιλεῖ τελεῖν, διὰ τῆς εἰς τοὺς πένητας εὐποιίας καὶ μεταδόσεως. τυπῶ δὲ τὸν εἰρημένον οἶκον καὶ ἀφιερῶ εἰς πτωχοτροφεῖον, ἄνευ τοῦ κατωγέου τοῦ Τρικλίνου, τοῦ ὄντος σύνεγγυς καὶ ἡνωμένως τῇ ἐκκλησίᾳ τοῦ Προδρόμου, ὅπερ κατώγεον καὶ τὴν εἰσοδοέξοδον ἔχει ἐν

τῇ αὐλῇ τοῦ ἑτέρου μου οἴκου τοῦ ἀπὸ τῆς πρωτοσπαθαρίσσης, τῆς μοναχῆς κυρᾶς Εὐφροσύνης, τῆς γυναικοθείας μου, ἐξωνηθέντος μοι, καὶ ἄνευ τοῦ στενοεπιμήκους ἡλιακοῦ τοῦ προκύπτοντος εἰς τὴν αὐλὴν τοῦ εἰρημένου μου οἴκου, τοῦ ἀπὸ τῆς εἰρημένης πρωτοσπαθαρίσσης καὶ μοναχῆς κυρᾶς Εὐφροσύνης ἐξωνηθέντος μοι· ταῦτα γὰρ τὰ δύο, τό τε κατώγεον καὶ τὸν ἡλιακόν, ὃν ἀπὸ τῆς ἀσηκρητίσσης, κυρᾶς Ἀναστασοῦς, ἐξωνησάμην, συνήνωσα τῷ αὐτῷ οἴκῳ μετὰ καὶ τοῦ τριπάτου κουβουκλείου τοῦ ἔχοντος κάτω τὸν ὀνόμυλον, ὥστε εἶναι μέρη τοῦ μικροῦ οἴκου, ὃν ἀπὸ τῆς πρωτοσπαθαρίσσης, κυρᾶς Εὐφροσύνης τῆς Βωβαίνης, τῆς θείας μου, ἐξωνησάμην· τὸν δὲ λοιπὸν ἅπαντα οἶκον τὸν ἀπὸ τῆς πρωτοσπαθαρίσσης καὶ ἀσηκρητίσσης, κυρᾶς Ἀναστασοῦς, ἐξωνηθέντα μοι ἀφιερῶ καὶ ποιῶ πτωχοτροφεῖον, ὡς προσδιείληπται, σὺν τῷ προειρημένῳ τῆς Ῥαιδεστοῦ οἴκῳ, μίαν κλῆσιν ὀφείλοντα ἔχειν, καὶ ἓν πτωχοτροφεῖον λογίζεσθαι, καὶ ἔχειν ἱλαστήριον τὸν Προδρομικὸν ναόν, ἐπ᾽ ὀνόματι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Πανοικτίρμονος, ᾧτινι ναῷ καὶ τῷ ἐν αὐτῷ τιμωμένῳ Ἰησοῦ Χριστῷ τῷ Πανοικτίρμονι, καὶ τῷ ἐν τῷ οἴκῳ μου τῆς Ῥαιδεστοῦ θείῳ σηκῷ, ὀφείλει εἶναι προσκεκυρωμένον ἐν δυσὶ τούτοις οἴκοις ἓν πτωχοτροφεῖον, καὶ τὰ τούτοις προαφωρισμένα κινητὰ καὶ ἀκίνητα, καὶ ἵνα καλῶνται ἐπωνύμως Πτωχοτροφεῖον τοῦ Πανοικτίρμονος· εἰ γὰρ καὶ ὁ ναὸς οὗτος τοῦ ἐν τῇ Πόλει οἴκου μου βραχὺς καὶ πολλῶν ἐπιτερπῶν καὶ τῆς γηίνης ὕλης ἐπιδεής, ἀλλὰ χάριτος μεγάλης τῇ τοῦ θεοῦ ἠξίωται χάριτι, καὶ ἐξ ἐπιπνοίας θειοτέρας οὐκ ὀλίγαι θεοσημεῖαι ἐν τούτῳ γίνονται, καὶ πηγὴ ἐλέους δοκεῖ διὰ τῆς εἰς τοὺς πένητας εὐποιίας, δι᾽ ἧς μόνης θεὸς θεραπεύεται, καὶ περὶ ἧς ἐμοὶ ὁ πᾶς τῆς καρποφορίας σκοπός· οὐ γὰρ ἐν χειροποιήτοις ναοῖς ὁ ἀχώρητος καὶ ὑπερούσιος θεὸς κατοικεῖ, ἀλλ᾽ ἐν ἐμψύχοις τοῖς εὐαρεστοῦσιν αὐτῷ καὶ ποιοῦσι μετὰ καθαροῦ συνειδότος τὸν ἔλεον· διὰ γὰρ τοῦτο καὶ θεραπευτὰς τοῦ ναοῦ ἄνδρας εὐλαβεῖς προεστησάμην ἐπὶ ῥητοῖς σιτηρεσίοις καὶ ῥόγαις· ἐγὼ γὰρ οὐκ ἐν ἀπορίᾳ κληρονόμου καὶ φυσικῆς ἐννόμου διαδοχῆς τὴν τοιαύτην ἐθέμην ἐλπίδα καὶ προσαγωγήν· ἔστι μοι γὰρ υἱὸς γνησιώτατος, ὁ μυστογράφος κῦρ Θεόδωρος καὶ βασιλικὸς νοτάριος, ἀλλ᾽ ἐν συντετριμμένῃ καρδίᾳ καὶ ταπεινώσει δέον ἔκρινα δοῦναι μερίδα καὶ τοῖς πτωχοῖς[1]), ἤτοι τῷ μέλλοντι αἰῶνι, εὐχαριστῶν τῷ πανοικτίρμονι καὶ φιλαγάθῳ θεῷ, ὅτι με ἀπὸ γονέων εὐσεβῶν καὶ φιλοχρίστων προήγαγε, παιδαγωγησάντων με τὴν μεγίστην σοφίαν τῆς πρὸς αὐτὸν γνώσεως, εἶτα καὶ παιδεύσεως ἱκανῶς ἐμπεφόρηκε, ὅση τε τῆς ἐγκυκλίου καὶ ὅση τῆς κατὰ φιλοσόφους ἢ ῥήτορας, καὶ ὅση τῆς ἱερᾶς τῶν νόμων μυήσεως,

---

[1]) ὀκτὼ S.

οὐ μὴν δὲ ἀλλὰ καὶ εὐπορίας αὐτάρκους ἠξίωσε, τὰ διαρκέστατα συναγείρας ἐπ' ἐμοὶ τῶν ἐγκοσμίων αὐτοῦ ἀγαθῶν [1]). σοὶ οὖν, δέσποτα, ταῦτα προσάγων, ὅτι σοῦ διδόντος πάντα συνείλοχα, εἶεν εἰς ὑπηρεσίαν τῆς φιλανθρώπου σου ἐντολῆς· οὐ γὰρ παραδέδωκας ὡς φιλάνθρωπος τοῖς εὐσεβεῖν ἐθέλουσι τὴν σωτήριον πρόφασιν, τὸν ἑκάστου πλοῦτον λύτρον ψυχῆς καθεστάναι ἀποφηνάμενος. ἔστω ἡ μεγάλη σου καὶ παντοδύναμος δεξιὰ συνέχουσα τὰ προσενηνεγμένα καὶ συντηροῦσα εἰς ἀίδιον διαμονήν. μὴ δῷς, κύριε τοῦ ἐλέους, ἄνδρα βάσκανον ταῦτα κεραΐσαι καὶ διασπάσασθαι, ἢ τοὺς περὶ τὰς κτήσεις ἐπτοημένους δυνάστας λίχνοις καὶ πλεονεκτικοῖς ὄμμασιν ἐποφθαλμίσαι τὴν τούτων καλλονὴν συγχωρήσῃς, μὴ γνώμην ἀλλοτριοπράγμονα καὶ περίεργον γλωττοδεύουσαν τὰ λεπτότατα τῶν προφάσεων καὶ προεξεγείρουσαν τὰ μὴ δίκης ἄξια, συμπονηρεύσασθαι καὶ διαταράξαι ἀνέξῃ τὰ δικαιώματα αὐτῶν, μὴ ἄνθρωπον σκοτεινὸν καὶ συμβόλαια κακῶν ἐάσῃς ἔνδοθεν εἰσφθαρῆναι ταῖς τούτων ὑπηρεσίαις, ἢ ἔξωθεν ἐπιτεθῆναι πυκνότητι τρόπου τὰ ἐνυχιμαῖα τῶν πραγμάτων ἐγείροντα, ἀλλ' αὐτός, δέσποτα, διατείχισον αὐτὰ καὶ περιχαράκωσον τῇ κραταιᾷ σου παλάμῃ καὶ ἔστωσαν εἰς εὐλογίαν τοῦ ὀνόματός σου τοῦ ἁγίου. ἀποχωρείτωσαν οὖν ταύτης τῆς ἱερᾶς τοῦ πτωχοτροφείου κτήσεως τῆς εἰς εὐαρέστησιν τῆς ὑπερκοσμίου σου δόξης συνισταμένης, καὶ τῆς ἐν αὐτῷ ἱερᾶς καὶ μοναχικῆς μάνδρας, καὶ τῶν προσκεκυρωμένων αὐτοῖς πάντων, καὶ βασιλεὺς ἅπας καὶ ἄρχων καὶ δυνάστης καὶ ὅσοι τοῦ ἱεροῦ βήματος καὶ τῆς ἀρχιερατικῆς τε καὶ ἱερατικῆς τάξεως, καὶ πᾶς τις τῶν ἐν πολιτικοῖς καὶ ἀρχιερατικοῖς ἀναστρεφομένων πράγμασιν, ὡς ἀνακειμένης θεῷ τῆς τοιαύτης ὁμοῦ πάσης κτήσεως ὡς ἀσυλίᾳ τετιμημένης. καὶ ἐνορκῶ ὑμᾶς πάντας καὶ καταδεσμῶ ἐν κρίματι ἀσυμπαθήτῳ καὶ ἀδιαλλάκτῳ πρὸς τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, τοῦ μηδέν τι τῶν παρ' ἐμοῦ διατεταγμένων παρασαλεῦσαι, μηδὲ τὰ εὐαγῶς ἀφιερωθέντα καὶ ἀνατεθέντα θεῷ συγχύσει τινὶ καὶ ἀκοσμίᾳ περιβαλεῖν καὶ μεταποιῆσαι, καὶ ἀντὶ πενήτων καταλυτήριον ποιεῖν δυνατῶν ἀνδρῶν, ἄνευ τῶν εἰς πρόνοιαν αὐτῶν τετυπωμένων καὶ διοίκησιν τῶν ψυχικῶν καὶ παρ' ἐμοῦ λεχθησομένων, μηδέ τινος τῶν ἐν αὐτοῖς ἀφιερωθέντων παντοίων κτημάτων καὶ ἱερῶν κειμηλίων ἀφαίρεσιν τὴν οἱανοῦν ποιήσασθαι, μηδὲ ὑπὲρ δύναμιν καὶ πλεονασμὸν ἐπιθεῖναι ἐξόδων, ὡς ἂν μὴ ἐντεῦθεν στέρησιν ὑπομένοιεν καὶ εἰς ἀπορίαν περιενεχθεῖεν [2]). εἰ δέ τις παρὰ τὰ διατεταγμένα παρ' ἐμοῦ ἐπιχειρήσει τι διαπράξασθαι ἢ βασιλεὺς ἢ ἄρχων, εἴτε ἀρχόμενος, εἴτε ἀρχιερεὺς ἢ ἱερεὺς ἢ τι τῶν παρὰ τῆς ἐμῆς

---

1) **Quae sequuntur, in cod. inscripta sunt:** εὐκτήριος λόγος. 2) **Quae sequuntur, in cod. inscripta sunt:** ἀρὰ κατὰ τῶν παραβῆναι τολμησάντων.

ἀρεσκείας ἐντεταλμένων παραβῆναι ἢ ἐφορείαν ὅλως ἐν αὐτοῖς ἐνθυμηθῆναι ἢ χαριστικάριον ἄλλον ἐπιστῆσαι ἢ προνοητὴν ἐκτὸς ὧν ἐγὼ μνημονεύσω, ἢ ἀναφορὰν ἢ προχείρισιν προστασίας τινός, (πάσης γὰρ ἐπισκοπῆς ὀρθοδόξων ὀφείλει μνημονεύειν ὁ τοῦ πτωχοτροφείου τοῦ Πανοικτίρμονος ναός), καταραθείη ὁ τοιοῦτος ἀπὸ θεοῦ παντοκράτορος καὶ ἐκριζωθείη ἐξ ἀνθρώπων ἡ μνήμη αὐτοῦ καὶ καταλάβοι αὐτὸν πένθος καὶ οὐαὶ καὶ προπορεύσοιτο αὐτοῦ θλίψις, καὶ δοίη αὐτῷ κύριος ὁ θεὸς τὸν τρόμον τοῦ Κάϊν, τὴν λέπραν τοῦ Γιεζῆ, τὴν ἀγχόνην τοῦ Ἰούδα καὶ λογισθείη ἡ μερὶς αὐτοῦ μετ' ἐκείνων τῶν εἰπόντων· ἆρον ἆρον, σταύρωσον τὸν τοῦ θεοῦ υἱόν· καὶ μὴ ἴδοι ἐπ' αὐτὸν ἐν ἐλέει ὁ παντέφορος ὀφθαλμός, ἀλλ' ἐξαλειφθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτοῦ καὶ κυριευθείη ὑπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἀπαντήσοι αὐτῷ αἰώνιος τιμωρία [1]). ὁ δὲ τοῖς παρ' ἡμῶν τετυπωμένοις ἐμμένων καὶ μηδέν τι τῶν καλῶς ἡμῖν διωρισμένων παρακινῶν, ἀλλὰ στέργων πᾶσι τοῖς δεδογμένοις καὶ τετυπωμένοις, εὐλογηθείη ὁ τοιοῦτος ὑπὸ θεοῦ καὶ ἐπιτεύξοιτο πάντων τῶν καταθυμίων, πάντων τῶν ἐπὶ γῆς ἀγαθῶν, καὶ τῆς ἐπουρανίου βασιλείας γένοιτο κληρονόμος, ὡς τὴν τοῦ θεοῦ κληρονομίαν διατηρήσας ἀδιαλώβητον. ἥτις δὴ κληρονομία οὔτε ὑπὸ βασιλικῆς ἐξουσίας, οὔτε σακέλλης βασιλικῆς ἢ πατριαρχικῆς ἢ ἑτέρου σεκρέτου κοσμικοῦ τε καὶ ἱερατικοῦ ἢ μητροπόλεως ἢ ἐπισκοπῆς ἢ ἄλλης τῆς οἱασοῦν ἀρχῆς κυριευθήσεται ἢ ἀφαιρεθήσεται τινὶ τῶν ἁπάντων ἢ λογοπραγηθήσεται ἢ ἐφοραθήσεται, ὡς πόρρω πάντων ἀποδιοπομπουμένων αὐτῆς, τῷ τε τῶν νόμων κράτει, οἳ βούλονται τὰς τῶν διατιθεμένων γνώμας πληροῦσθαι ἀδιαλωβήτους, καὶ τῇ ἡμετέρᾳ βουλήσει καὶ ταῖς φρικωδεστάταις ἀραῖς, καὶ τῷ τοῦ παντοδυνάμου θεοῦ μεγάλῳ καὶ ὑπερδυνάμῳ ὀνόματι, καὶ τῇ ἐκεῖθεν ἀπαραιτήτῳ πληγῇ τε καὶ μάστιγι· ἐπεὶ οὐδὲ κανών τις εὕρηται, ἀλλοιοῦσθαι ἢ παρακινεῖσθαι ὅλως διαταττόμενος τὰς τῶν κτητόρων διατάξεις.

β'. Περὶ προνοητῶν καὶ διαδόχων.

Ἐπειδὴ δέ, ὥσπερ τῆς ἐπουρανίου δόξης λειτουργοὶ ἀναλόγως παρὰ τῆς τριλαμποῦς θεότητος ἐπέστησαν ἄνωθεν, οὕτω δεῖ καὶ τῆς εὐτελοῦς ταύτης καὶ ἐγκοσμίου κληρονομίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν λειτουργοὺς καὶ κληρονόμους ἀμετακινήτους μετὰ ἰσχυρᾶς τῆς δικαιώσεως καὶ ἀσφαλοῦς τοῦ προνομίου ἐπιστῆναι τῆς γνησιότητος, ἐνίστημι μετὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεὸν κληρονόμον καὶ κύριον καὶ διοικητὴν ἀλογοθέτητον καὶ πᾶσι τρόποις

[1]) **Quae sequuntur, inscribuntur:** εὐχὴ τῶν μὴ παραβῆναι τολμησάντων.

ἀμετακίνητον τῆς θείας ταύτης κληρονομίας τὸν περιπόθητον καὶ γνήσιόν μου υἱόν, τὸν μυστογράφον καὶ βασιλικὸν νοτάριον, κῦρ Θεόδωρον, καὶ τοὺς καθεξῆς ἐκ τῆς ὀσφύος αὐτοῦ προενηνεγμένους παῖδας καὶ ἐγγόνους καὶ δισεγγόνους, καὶ τὴν ἐφεξῆς διαδοχὴν εἰς ἀπέραντον. μετὰ δὲ παρέλευσιν τοῦ υἱοῦ μου οὐκ ἀθρόοι πάντες οἱ παῖδες αὐτοῦ ἢ ἔγγονοι καὶ λοιποὶ τοῦ πτωχοτροφείου μου ἐπιλήψονται, ἀλλ' εἷς μόνος ἐξ αὐτῶν· προτιμηθήσεται γὰρ τῶν μὲν γυναικῶν ὁ ἀνήρ, τῶν δὲ ἀνδρῶν ὁ πρεσβύτερος ἐν ἡλικίᾳ καὶ λόγῳ διαφέρων καὶ βίου χρηστότητι· εἰ δὲ οὗτος εὑρεθείη κακοῦ βίου καὶ λυμαντικὸς ἢ παρακρατῶν ψυχικὸν ἢ ῥόγαν ἢ ἐτήσιόν τινος ἢ φωταψίαν ἐκκλησίας ἢ παραμελῶν τῆς ἀνοικοδομῆς καὶ περιποιήσεως διεκδικήσεως τῶν οἰκημάτων καὶ κτημάτων, καὶ εἰς διόρθωσιν μετὰ τοὺς ἐλέγχους καὶ ἐπιφωνήσεις οὐ μεταβαίνει, ἵνα προτιμᾶται ἕτερος ἀδελφὸς αὐτοῦ γνήσιος, ὁ ὑπερέχων ἐν ἀρετῇ καὶ βίου λαμπρότητι. ἐπιλειπόντων δὲ υἱῶν ἤγουν ἀρρένων παίδων, τότε ἵνα καὶ τὸ θῆλυ κατὰ τὸν τοιοῦτον σκοπὸν ἀπαντᾷ πρὸς διαδοχήν· πάντως γὰρ εἴτε δι' ὁμοζύγου, εἴτε διὰ παίδων, εἴτε δι' ὑπηρετῶν τὰ τοιαῦτα καλῶς διοικεῖν οὐκ ἀφέξεται. εἰ δὲ παῖδες οὐκ εἰσίν, ἔγγονος κατὰ τὴν τοιαύτην τάξιν καὶ δισέγγονος βληθήσεται καὶ ἐφ' ἑξῆς κατὰ τοὺς βαθμοὺς τῆς προγενεσίας καὶ τὰς ἀμώμους ὑπολήψεις καὶ τὰς τοῦ βίου λαμπρότητας, μὴ ἔχῃ δὲ κἂν εἷς ἐξουσίαν εἰς γαμικὸν σύμφωνον ὑποτιθέναι τὸ τοιοῦτον εὐαγὲς πτωχοτροφεῖον ἕνεκεν δεσποτείας τινὸς ἢ μεταμείψεως, ἀλλ' ὥστε διοικεῖσθαι αὐτὸ κατὰ τὴν τοῦ τυπικοῦ μου περίληψιν, καὶ τελεῖσθαι πάντα τὰ ψυχικὰ ἀνελλιπῶς, ἀλλ' οὔτε τι τῶν ἀφιερωθέντων αὐτῷ κληροδοτεῖν ἢ εἰς ἐγγύην ὑποτιθέναι ἢ εἰς ἄλλην τινὰ ἐνοχὴν ἰδιωτικήν τε καὶ δημοσιακήν, ἀλλ' εἰ τοιοῦτόν τι ποιήσει εἰς ἀπόκτησιν δηλονότι ἢ μετάμειψιν ἀφορῶν, ἀντ' οὐδενὸς τὸ γενησόμενον λογισθήσεται· τὸ γὰρ ἅπαξ ἀφιερωθὲν τῷ θεῷ οὐ κοινοῦται, καὶ μᾶλλον, ὅτι θεοῦ κληρονομία τοῦτο ἐλογίσθη καὶ αὐτῷ ἀνετέθη διὰ τῆς εἰς τοὺς πένητας ἀγαθοεργίας, καὶ τῆς χριστιανικωτάτης καὶ εὐσεβοῦς παραδόσεως. ὅμως μέντοι οὐδὲ ὁ τοῦτο τολμήσων ἀνεύθυνος συντηρηθήσεται, ἀλλ' ἐκδιωχθήσεται τῆς ἐφορείας καὶ κυριότητος καὶ προνοίας αὐτοῦ, εἰ μὴ ἕτοιμός ἐστι τὴν διόρθωσιν ἐξ ἀναγκαίου ποιήσασθαι, καὶ ἕτερος αὐτὸν διαδέξεται προβαθμιώτερος συγγενής, μεμαρτυρημένος ἐπὶ εὐλαβείᾳ καὶ φόβῳ θεοῦ, καὶ κατατιθέμενος πάντα ποιεῖν κατὰ τὴν ἡμετέραν διάταξιν. ἐπὶ δὲ τοῦ υἱοῦ μου, κυροῦ Θεοδώρου, οὐχ ἕξει ὅλως χώραν ἀπέλασις, ἀλλ' ἡ διόρθωσις παρ' αὐτοῦ ἠρέμα καὶ εὐθυβόλως γενήσεται, [οἱ] συγγενεῖς δὲ ἐκεῖνοι τοῦ δικαίου τῆς κυριότητος ἀνθέξονται, οἱ ἐξ ἐμοῦ καὶ τοῦ υἱοῦ μου κατιόντες καὶ καθεξῆς εἰς ἀπέραντον. ἀπὸ δὲ τῶν ἐκ πλαγίου συγγενῶν μου οὐδὲ εἷς ἕξει τινὰ μετουσίαν ἐν τῷ τοιούτῳ μου πτωχοτροφείῳ ἢ ἐφορείαν ἤ τινα ἐξουσίαν τὸ σύνολον, εἰ μὴ μόνον δι'

εὐσέβειαν βούληται ὑπομιμνήσκειν πρὸς τὸ τελεῖσθαι πάντα κατὰ τὴν ἐμὴν διάταξιν. ἐπειδὴ δὲ τῆς εὐσεβείας λόγος ἡμῖν οὐ βραχύς, διὰ φροντίδος ἐποιησάμεθα ὑμνοπόλους ἐπιστῆσαι τῷ θείῳ τοῦ Πανοικτίρμονος ναῷ, καὶ ἔμελλον ἐκ τῶν κοσμικῶν ἱερέων καταπληρῶσαι εἰς τοῦτο δοξολογίας τινάς. ἀλλ' ἵνα ἐν τῷ τοιούτῳ πτωχοτροφείῳ καὶ οἱ τὴν μοναχικὴν πολιτείαν ἐπανῃρημένοι λιμενεύωνται, τετύπωκα τούτους εἶναι μοναχούς, κελλία τούτοις ἀποτεμόμενος ἐντὸς τοῦ ἐν τῇ θεοφυλάκτῳ Πόλει εὐαγοῦς τοῦ εἰρημένου πτωχοτροφικοῦ οἴκου, καὶ τάξας αὐτοῖς τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια, ἐφ' ᾧπερ ἐπιμελῶς ἐπαγρυπνεῖν τῇ τῆς ἐκκλησίας δοξολογίᾳ καὶ λειτουργίᾳ, καὶ συναγωνίζεσθαι τῷ κληρονόμῳ μου εἰς τὰ ψυχικὰ καὶ ὑπηρετεῖν τοῖς ἀνήκουσι πᾶσιν εἰς τὴν τοῦ πτωχοτροφείου ὠφέλειαν, καὶ ὑπομιμνήσκειν αὐτόν, ἵνα ἀπαραλείπτως πάντα τὰ παρ' ἐμοῦ διατεταγμένα γίνωνται. καθεξῆς δὲ λεχθήσεται καὶ ὁ ἀριθμὸς τῶν τοιούτων μοναχῶν· προεχειρισάμην γὰρ καὶ οἰκονόμον καὶ ἐκκλησιάρχην ἐπ' αὐτοῖς, ἵνα οἱ μὲν πρὸς τὸν κληρονόμον μου ἀναφέρωσιν ἅπαντα, οἱ δὲ λοιποὶ μοναχοὶ παρὰ τοῦ οἰκονόμου διακυβερνῶνται καὶ ὑπαλείφωνται τὰ πρὸς ἀρετήν. ὁ δ' ἐκκλησιάρχης τοῖς τῇ ἐκκλησίᾳ ἀνήκουσι κατὰ τὸ δέον ἐπιστατεῖ τῷ κληρονόμῳ μου πᾶσαν αἰδῶ καὶ ὑποταγὴν καὶ τιμὴν καὶ πειθῶ ἀπονέμων[1]· πάντες δὲ ὁμοῦ οἱ μοναχοὶ τῷ κληρονόμῳ μου, ὃς καὶ πτωχοτρόφος ὀφείλει καλεῖσθαι, ὑποτασσόμενοι καὶ ὑπείκοντες ἔσονται, ὡς ἐφόρῳ καὶ διοικητῇ καὶ κυρίῳ τοῦ σεβασμίου τουτουὶ οἴκου, τοῦ τε ἐν τῇ Ῥαιδεστῷ καὶ τοῦ ἐν τῇ Πόλει (ἕνα δὲ τοὺς τοιούτους λογίζομαι καὶ ὡς περὶ ἑνὸς διατάττομαι), ἀποβλέποντες πρὸς αὐτὸν ὡς εἰς ἀρχὴν ἐπιεικῆ καὶ φιλόθεον. ἐπειδὴ δὲ ἐν τῷ τῆς Πόλεως οἴκῳ καὶ μοναχοὺς εὐλαβεῖς, ὡς εἴρηται, ἐγκατέστησα, καὶ θεῷ καὶ ἐμοὶ κατὰ τὴν ἀγγελικὴν πολιτείαν ἀρέσκοντας, τυπῶ, ἵνα τὸ μὲν ὄνομα τοῦ πτωχοτροφείου ἐξῃρημένον ἔχῃ ὁ οἶκος τῆς Ῥαιδεστοῦ, συνεφέλκον εἰς τοῦτο καὶ τὸν οἶκον τῆς Πόλεως· ὁ δὲ ἐν τῇ Πόλει, ἐπεὶ καὶ μοναχῶν καταγώγιον γέγονε, καλεῖται μοναστήριον τοῦ Πτωχοτροφείου τοῦ Πανοικτίρμονος· ἀμφότεροι δὲ οἱ οἶκοι Πτωχοτροφεῖον ἓν τῆς Ῥαιδεστοῦ. εἰ δ' ἴσως ἐπιλείψει κατὰ σειρὰν τῶν κατιόντων ἡ γενεά, ὡς ἄνωθεν διελάβομεν, τότε ὁ ἔχων εὑρεθῆναι οἰκονόμος αὐτόθεν εἰς τὸν τῆς ἡγουμενείας ἀναβιβάζηται βαθμὸν καὶ ὑπάρχῃ ἡγούμενος ἐν αὐτεξουσίῳ πτωχοτροφείῳ καὶ μοναστηρίῳ τούτῳ τοῦ Πανοικτίρμονος, ἀπὸ δὲ τῶν ἐκ πλαγίου συγγενῶν μου ὁ ἀρετῇ διαλάμπων καὶ προβαθμιώτερος καὶ βίῳ σώφρονι καὶ εἰς γνῶσιν προενηνεγμένος διαδέχηται τὴν ἐφορείαν καὶ συνδιοικῇ μετὰ τοῦ ἡγουμένου καὶ τῶν μοναχῶν πάντα τὰ ψυχικὰ ἀνενδεῶς, μηδὲν νοσφιζόμενος ἐκεῖθεν

---

[1]) ἀπονέμοντες S.

ἢ λαμβάνων, εἰ μὴ δύο μοναχῶν χρείαν καὶ κριθῆς μοδίους ἑκατὸν πεντήκοντα· τῶν γὰρ περιττευόντων μετὰ τὰς τυπικὰς διαδόσεις καὶ ἐξόδους, τὰ μὲν ἡμίση ἵνα ἀποτίθωνται[1]) εἰς τὸ τοῦ πτωχοτροφείου μοναστήριον δι' ἀναγκαίας αἰτίας, τὰ δὲ λοιπὰ διανέμωνται τοῖς ἐν Χριστῷ ἀδελφοῖς μου τοῖς δεομένοις· καὶ ἔκτοτε ᾖ τὸ μοναστήριον τῷ πτωχοτροφείῳ μου συνυπαγόμενον· τὸ γὰρ τῆς Ῥαιδεστοῦ πτωχοτροφεῖον συνηνωμένον τούτῳ ἐστὶν ἐκ τῆς προηγησαμένης συγγραφῆς ἐν τῇ τοιαύτῃ μου διαταγῇ καὶ ἀμφοτέρων τῶν εὐαγῶν οἴκων τοῦ τε ἐκτὸς καὶ τοῦ συγκεκραμένου τῷ μοναστηρίῳ, ἵνα τελῶνται τὰ ψυχικὰ κατὰ τὸ ἀνενδεὲς παρά τε τοῦ καθηγουμένου καὶ τῶν μοναχῶν καὶ τοῦ κατὰ γένος προσήκοντός μοι καὶ τῆς ἐφορείας λογισθέντος ἀξίου δι' ὧν δεδήλωκα τρόπων. ἕως δὲ ὁ υἱός μου περιῇ καὶ οἱ ἐκ τῆς ὀσφύος αὐτοῦ κληρονόμοι καὶ καθεξῆς εἰς ἀπέραντον, αὐτὸς κἀκεῖνοι πρωτεύοντες ἔσονται πάντων καὶ τῶν ψυχικῶν καὶ τῶν εὐαγῶν οἴκων, καὶ οἱ μοναχοὶ τῷ τούτων θελήματι συνυπαχθήσονται εὐσεβῶς ἔχοντι καὶ κατὰ τὴν διάταξίν μου ῥυθμιζομένῳ, οὐδὲν δὲ πρᾶγμα οὐδὲ μοναστήριον καλοῖτο καὶ νῦν τὸ ἐγκατοικιζόμενον τοῖς μοναχοῖς μέρος τοῦ ἐν τῇ Πόλει πτωχοτροφείου μου· τὸ μὲν γὰρ ἅπαν τῆς προσαγωγῆς τῶν τε κινητῶν καὶ ἀκινήτων τῷ παρ' ἐμοῦ συστάντι πτωχοτροφείῳ ἐγκαθιέρωται, τὸ δ' ἐντὸς τοῦ τῆς Πόλεως πτωχοτροφείου τουτὶ μοναστήριον ὑπ' αὐτῷ ἔσται, καὶ λήψονται οἱ μοναχοὶ ἐκεῖθεν παρὰ τοῦ κληρονόμου μου καὶ πτωχοτρόφου τὰ τετυπωμένα τούτοις ἐτήσια καὶ ὅσα ἕτερα καθεξῆς δηλώσω, τὰ πρέποντα τῇ μοναχικῇ πολιτείᾳ μετερχόμενοι· ἐν παντὶ δὲ καιρῷ καὶ χρόνῳ καὶ πάσῃ διαιτήσει καὶ διοικήσει βούλομαι εἶναι τὰ τοιαῦτα εὐαγῆ [οἰκήματα][2]), τό τε πτωχοτροφεῖον καὶ τὸ ὑπ' αὐτὸ μοναστήριον, αὐτοδέσποτα καὶ αὐτεξούσια· καὶ περιόντος μὲν ἀπὸ τῆς γενεᾶς μου τοῦ τὴν ἐφορείαν αὐτῶν ἔχοντος, ἵνα διοικῶνται παρ' αὐτοῦ καὶ τῶν λογάδων μοναχῶν, ὡς προείρηται, πλέον δὲ εἰπεῖν, καὶ τοῦ καθηγουμένου, ὅταν ἡ τῆς ἡγουμενείας ἀρχὴ χώραν λάβοι παρερχομένης τῆς ἐκ τῶν κατιόντων μου γενεᾶς ἁπάσης, ὡς προδιείληπται. ἀπορίᾳ δὲ καὶ ἐρημίᾳ συγγενικοῦ μου κληρονόμου, τότε τῷ δικαίῳ τῆς αὐτεξουσιότητος καὶ αὐτοδεσπότου προνομίας διοικῶνται πάντα καὶ καταρτίζωνται καὶ διεξάγωνται παρά τε τοῦ καθηγουμένου καὶ τοῦ οἰκονόμου μου καὶ τῶν λοιπῶν μοναχῶν κατὰ τὴν περίληψιν τοῦ τυπικοῦ μου ἀνενδεῶς, τῶν ψυχικῶν ἐξ ἅπαντος τρόπου μηδὲ κατὰ βραχὺ καθυστερούντων· οὔτε γὰρ βασιλικοῖς δικαίοις, οὔτε πατριαρχικοῖς, ἢ βασιλικῇ σακέλλῃ ἢ πατριαρχικῇ ἢ ἑτέρῳ τινὶ σεκρέτῳ κοσμικῷ τε ἢ ἐκκλησιαστικῷ ἢ μητροπόλει ἢ ἐπισκοπῇ ἢ ἄλλῳ τινὶ τῶν ἁπάντων προσκυροῦσθαι τὸ

---

[1]) ἀποτίθενται S. [2]) Supplevimus.

τοιοῦτόν μου πτωχοτροφεῖον καὶ τὸ μοναστήριον ἢ ὑποκεῖσθαι βούλομαι, ἀλλὰ κύριον καὶ δεσπότην τούτων εἶναι καὶ ἔφορον καὶ συνοχέα καὶ κτήτορα ὡς ἀληθῶς, καθὼς προδιείληπται, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐκ παρθένου τεχθέντα σὺν τῷ ὁμοουσίῳ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι, καὶ σκέπην καὶ ἀντίληψιν καὶ προστασίαν κεκτῆσθαι μετὰ θεόν, τὴν ὑπεράχραντον δέσποιναν ἡμῶν καὶ θεοτόκον, καὶ τὸν μέγαν ἀρχιστράτηγον τῶν οὐρανίων δυνάμεων Μιχαὴλ καὶ τὸν τίμιον Πρόδρομον· ἐπειδὴ γὰρ ὁ πάντων κύριος καὶ δημιουργὸς αὐτὸς παρ' ἐμοῦ τοῦ ἀναξίου ἐπικέκληται κύριος τῆς εὐτελοῦς μου ταύτης προσαγωγῆς, εὔδηλον, ὅτι καὶ οὗτοι καὶ πάντες οἱ λοιποὶ ἅγιοι τῇ ἐπισκέψει τούτου συγκαταλέγονται· καὶ οὐδείς ἐστι λοιπὸν ὁ παραχαράξων ἢ μετακινήσων τι τῶν παρ' ἐμοῦ διωρισμένων, ἢ ἐκκόψων τὰ ψυχικὰ μερικῶς ἢ καθόλου, εἰ μὴ ἀσεβής ἐστι καὶ ἐχθρὸς τοῦ θεοῦ προφανὴς καὶ μισάνθρωπος, καὶ τῷ φιλανθρώπῳ καὶ φιλευσπλάγχνῳ θεῷ ἀντίθεος· οὐδενὶ γὰρ τῶν πάντων, φησὶ ἡ θεία Γραφή, ὡς ἐλέῳ θεὸς θεραπεύεται· καὶ αὖθις ὁ θεῖος νόμος τῶν ἐντολῶν, ὅτι οὐ προσθήσεις ἐπ' αὐτοῖς καὶ ἀφέλῃς ἀπ' αὐτῶν. ἔσται οὖν προσκεχυρωμένα τῷ πτωχοτροφείῳ μου εἰς κληρονομίαν τοῦ ἐν Τριάδι ὑμνουμένου καὶ δοξαζομένου θεοῦ ταῦτα· τὸ πρατόν μου τοῦ Σελοκάκα σὺν τῷ Μακρῷ Χωρίῳ· τὸ πρατόν μου τοῦ Βαβούλου ἤτοι τοῦ Λιβός· τὸ πρατόν μου ἡ ἁγία Μυρόπη ἤτοι τὸ Μονοκέλλιον· τὸ πρατόν μου τοῦ Συμεωνίου καὶ ἀπὸ τῶν ἐν τῷ Μεσοκωμίῳ προαστείων μου ἕν, ὅπερ ἀπὸ τῆς ἀνεψιᾶς τοῦ πατρικίου κυροῦ Βασιλείου τοῦ Σκρίβα ἐξωνησάμην· ἡ αὐλὴ τοῦ Μεταξᾶ· ἡ αὐλὴ τοῦ Ἀρκολύκη σὺν τοῖς ἀπὸ ἀνταλλαγῆς τῆς ἁγίας Σοφίας περιελθοῦσιν οἰκήμασι καὶ ἡ αὐλὴ τοῦ Κεντάρχου μετὰ τῶν ἐν αὐταῖς οἰκημάτων πάντων· πρὸς τούτοις καὶ τὰ ἡμίση τῶν ἐν Σηλυβρίᾳ ἐνοικικῶν μου καὶ τὰ ἡμίση τῶν ἐκτὸς τῆς δυτικῆς πόρτης τοῦ κάστρου Ῥαιδεστοῦ ἕτερα ἐνοικικά μου, ἅπερ ἐν τῷ ἐξωνηθέντι μοι ἀπὸ τοῦ δημοσίου ἐρειπίῳ τόπῳ ἐπέκτισα, ἀδιαιρέτως τῶν τοιούτων ἡμίσεων ἐνοικικῶν προσκεχυρωμένων ὄντων. ταῦτα τοίνυν τὰ ἀκίνητά μου, ὅσα δὴ ἐμνημόνευσα, ἀπεντεῦθεν ἤδη προσκυρῶ τῇ κληρονομίᾳ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐκ παρθένου τεχθέντος, ἤτοι τῷ πτωχοτροφείῳ μου, ὥσπερ δὴ καὶ τὸ μοναστήριον· ὀφείλουσι δὲ εἶναι προσκεχυρωμένα τούτοις καὶ τὸ μαγκιπικὸν ἐργαστήριον τῆς Πόλεως, τὸ συνημμένον τῷ ἐν τῇ θεοφυλάκτῳ Πόλει πτωχοτροφείῳ μου, τὸ ἔχον ἐνοίκιον νομίσματα εἴκοσι τέσσαρα καὶ τὸ μυρεψικὸν ἐργαστήριον τὸ ἔχον ἐνοίκιον νομίσματα ιδ' καὶ τὰ ἐνοικικὰ οἰκήματα τὰ διακρατούμενα παρὰ Θεοδώρου τοῦ ἰατροῦ, εἰς ἐνοίκιον νομισμάτων ε'. προσαφιερῶ δὲ τούτοις καὶ τὰ ἡμίση δίκαια τοῦ οἴκου μου τοῦ γεγονότος Θωμᾶ πρωτοσπαθάρη τοῦ Νικαέως, ὥστε ἀπὸ τῶν τριάκοντα καὶ ἓξ νομισμάτων τοῦ

ἐνοικίου αὐτοῦ λαμβάνειν νομίσματα ιη', ὡς τῶν ἑτέρων ιη' ὀφειλόντων κατακενοῦσθαι τῶν μὲν ὀκτὼ εἰς ῥόγαν τῶν κληρικῶν τοῦ ἁγίου Γεωργίου τοῦ Κυπαρισσίου ὑπὲρ τοῦ διαφέροντος ἡμῖν τάφου, ὃν καὶ αὐτὸν εἰς κληρονόμους μου καταλιμπάνω, τῶν δὲ δέκα ἐξαναλοῦσθαι εἰς τὰ μνημόσυνα ἐμοῦ τε καὶ τῶν δύο μου συνεύνων, τῆς τε κυρᾶς Σοφίας καὶ τῆς κυρᾶς Εἰρήνης, καὶ τῶν γονέων μου, Εἰρηνικοῦ καὶ Καλῆς. ὅσα δὲ ἀκίνητα καταλείψω τῷ υἱῷ μου, τῷ μυστογράφῳ κυρῷ Θεοδώρῳ, ὀφείλουσιν εἶναι ἀνεκποίητα εἰς γενεὰν παρ' αὐτῷ τε καὶ τοῖς κατιοῦσιν αὐτοῦ καὶ καθεξῆς εἰς τοὺς μετ' αὐτοὺς καὶ εἰς τοὺς μετ' ἐκείνους, ἕως οὗ δηλονότι συνίσταται καὶ διαρκεῖ ἡ γενεὰ ἡμῶν, καὶ προέρχεσθαι εἰ τὰς τούτων συγγενικὰς διαδοχὰς ἀκωλύτως, καὶ εἰσοδιάζεσθαι αὐτοῖς ἐξαιρέτως τὰς προσόδους αὐτῶν, ἐπαπολαύειν δὲ καὶ τῆς ἐκ τοῦ βασιλικοῦ χρυσοβούλλου ἐξκουσσείας, ἐπειδὴ κοινῶς εἰς πάντα τὰ κτήματά μου γέγονεν, ὅπου ἂν ὦσιν, εἴτε εἰς εὐαγεῖς οἴκους, εἴτε εἰς ἰδιωτικὰ πρόσωπα, μερικῶς ἢ καθόλου, ἢ μεμερισμένως, κἂν εἰς ἐπίδοσιν καὶ αὔξησιν προχωροῖεν. ἐὰν δὲ ἐπιλείψῃ ἡ ἐκ τοῦ γένους διαδοχή, ἵνα μὴ μετέρχωνται εἰς ἀλλότριον καὶ ἐξωτικὸν πρόσωπον, ἀλλ' ἐπανέρχωνται εἰς τὸ πτωχοτροφεῖόν μου καὶ τὸ μοναστήριον, ἐξαιρέτως ὁ μικρὸς οἶκος, ὃν ἀπὸ τῆς πρωτοσπαθαρίσσης κυρᾶς Εὐφροσύνης ἐξωνησάμην· ὑπὸ αἵρεσιν γὰρ παιδοποιίας τὰ τοιαῦτα τοῖς κληρονόμοις μου εἰς ἀπέραντον καταχεκλήρωνται, καὶ διὰ τοῦτο οὐδὲ δημοσιακὸν ὄφλημα χώραν ἕξει κατ' αὐτῶν ὡς προδεδεσμημένων τῇ τοιαύτῃ αἱρέσει· εἰ δὲ εἰς προῖκα ἢ προγάμου δωρεάν, εἴτε ὁ υἱός μου ἄπαις τελευτῶν, εἴτε οἱ ἐξ αὐτοῦ κατιόντες καὶ οἱ ἐφεξῆς διόλου εναχθῶσιν, ἵνα ὑπόκεινται ἀντὶ μόνων λιτρῶν τεσσαρακονταπέντε, καὶ παρέχωνταί τὸ τοιοῦτον χρυσίον παρὰ τοῦ πτωχοτροφείου μου καὶ τοῦ μοναστηρίου, καὶ ἀναλαμβάνωνται ταῦτα καὶ ὦσι προσκεκυρωμένα τούτοις παρωμοιωμένως καὶ ὁμοιοτρόπως τοῖς προαφιερωθεῖσιν ἀκινήτοις ἑτέροις· εἰ δὲ διάθωνται ἐπὶ τοῖς καταλειφθησομένοις αὐτοῖς ἀκινήτοις εἰς ἑτέρας αἰτίας λεγάτα τυχὸν ἢ ψυχικὰ ἢ πρεσβεῖα, ἵνα κρατῇ ἡ διαθήκη αὐτῶν ἐπὶ μόναις τριάκοντα λίτραις. εἰ δὲ εἰς διαφόρους κληρονόμους μερισθῶσι τὰ κτήματα, ἵνα κατὰ ἀναλογίαν καὶ ἡ ἀπὸ τῶν εὐαγῶν [οἴκων] [1]) ἐπιγίνηται δόσις καὶ ἐπανέρχηται πάλιν ἡ κτῆσις εἰς αὐτούς. ὅμως ἔσονται τὰ ἐπ' αὐτοῖς, καθὼς ἂν τῇ τελευταίᾳ βουλήσει μου διάθωμαι. τὰ δὲ λοιπὰ κτήματά μου τοῦ Μεσοκωμίου, ἐκτὸς τοῦ Σκρίβα, ὡς ἂν περιέλθωσι τῷ τε υἱῷ μου καὶ τοῖς κληρονόμοις αὐτοῦ καὶ λοιποῖς διαδόχοις, εἴτε ἐγγράφως ἢ ἐξ ἀδιαθέτου, ἵνα ἔχωσι τελείαν ἐξουσίαν ἐπ' αὐτοῖς, ὡς βούλονται ὅ τε ὁ υἱός μου καὶ οἱ κληρονόμοι

---

[1]) Supplevimus.

αὐτοῦ εἰς ἀπέραντον· ὡσαύτως δὲ καὶ τὰ ἡμίση τῶν ἐν Σηλυβρίᾳ ἐνοικιακῶν μου, καὶ τῶν ἐκτὸς τῆς δυτικῆς πόρτης τῆς Ῥαιδεστοῦ, πλὴν τοῦ ἐκποιεῖσθαι τὰ τοιαῦτα ἐνοικικὰ καθ' οἱανδήτινα ἐκποίησιν εἰς ἕτερον πρόσωπον, ἀλλ' εἰς τὸ πτωχοτροφεῖον καὶ τὸ μοναστήριόν μου ἢ πωλεῖν ἢ καθιεροῦν. οὕτως οὖν τὸ περὶ τῶν ἀφιερωμένων διεξελθόντες εἴπωμεν λοιπὸν καὶ περὶ τῶν ὀφειλόντων τελεῖσθαι ἐπ' αὐτοῖς. καὶ πρῶτον μὲν περὶ τῆς εἰς τοὺς πένητας διαδόσεως. διορίζομαι οὖν, ἵνα ἐν τῷ πυλῶνι τοῦ τῆς Πόλεως εὐαγοῦς οἴκου τοῦ πτωχοτροφείου, ἐν ᾧ καὶ τὸ μοναστήριον [ὑπάρχει][1], παρέχηται καθ' ἑκάστην κυριακὴν τοῖς ἐν Χριστῷ ἀδελφοῖς μου τοῖς δεομένοις ψωμίον μοδίου μεγάλου ἑνός, ἐσθίωσι δὲ καὶ ἐν τραπέζῃ καθ' ἑκάστην ἡμέραν ἓξ πένητες, λαμβάνοντες ἀνὰ [ἓν][2] τρύφος ψωμοῦ, καὶ ὑπὲρ προσφαγίου ἔχωσιν εἴτε κρέας, εἴτε ἰχθύας ἢ τυρὸν ἢ ὄσπριον ἢ λάχανον ἑψημένον ἢ ἕτερον, ὅπερ ἂν ὁ θεὸς πέμψῃ· κομίζηται δὲ ἕκαστος τούτων καὶ ἀνὰ φόλλεις τέσσαρας καὶ ἁπλῶς οὕτως, ἵνα τελῶνται τὰ ἐπ' αὐτῶν ὥσπερ καὶ ἐπ' ἐμοῦ ἐγίνετο. τυπῶ δὲ διαδίδοσθαι καὶ διὰ σίτου μοδίους διακοσίους δέκα ἓξ εἰς ἀνθρώπους δυστυχεῖς καὶ χήρας ἢ καὶ γέροντας ἐλέου ἀξίους, ἤγουν ἀνὰ μοδίους ιβ' ἀννονικούς· δέκα γὰρ καὶ ὀκτὼ συναριθμοῦνται οἱ τὸν τοιοῦτον σῖτον λαμβάνειν ὀφείλοντες. τὰ δὲ ἐν τῷ οἴκῳ τοῦ πτωχοτροφείου τῆς Ῥαιδεστοῦ δίδοσθαι ὀφείλοντα ἐτησίως εἰσὶν οὕτως· ἵνα λαμβάνῃ ἡ μονὴ τοῦ ἁγίου Νικολάου τοῦ Φάλκωνος νομίσματα τρία. ἡ μονὴ τοῦ ἁγίου Γεωργίου, ἣν ἔχω ἐπὶ δυσὶ προσώποις εἰς χαριστικήν, ἡ κειμένη ἔξωθεν τῆς δυτικῆς πόρτης τοῦ κάστρου Ῥαιδεστοῦ, ἧς δεύτερον πρόσωπον ἀφίω τὸν υἱόν μου, τὸν μυστογράφον κυρὸν Θεόδωρον, νομίσματα τρία· ἡ γυναικεία μονὴ τοῦ ἁγίου Προκοπίου, ἡ ἐκτὸς τῆς δυτικῆς πόρτης τοῦ αἰγιαλοῦ διακειμένη, ἧς δεύτερον πρόσωπόν ἐστιν ὁ υἱός μου, ὡς ἀπὸ τοῦ πρώην χαριστικαρίου Βάρδα τοῦ Ξηράδα, ἡ καταλυθεῖσα μὲν παρὰ τῶν ἀποστατῶν, ἀνοικοδομηθεῖσα δὲ παρ' ἐμοῦ, νομίσματα δύο. ἡ μονὴ τῆς ὑπεραγίας θεοτόκου τῆς Δάφνης νομίσματα δύο· ταῦτα γὰρ τὰ μοναστήρια οἶδα χρῄζοντα ἐλέους διὰ τὸ πάντῃ τούτων ἀνείσφορον. καὶ τυπῶ ταῦτα λαμβάνειν ἀπὸ τῆς προσόδου τῶν αὐλῶν τῶν ὑπὸ τὸ πτωχοτροφεῖόν μου τὰ εἰρημένα ἐτήσια, τοῖς μοναχοῖς διαμερίζεσθαι ὀφείλοντα ἀκαινοτομήτως τῶν τοιούτων μοναστηρίων, καὶ ἵνα ἐγγράψωσιν ἐν τοῖς ἱεροῖς διπτύχοις αὐτῶν τὸ ὄνομά μου καὶ μνημονεύωμαι ἐν αὐτοῖς διηνεκῶς, ποιῶσι δὲ καὶ τρισάγιον καθ' ἑκάστην μετὰ τὴν ἑωθινὴν δοξολογίαν ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ἵνα δὲ λαμβάνῃ καὶ ὁ ναὸς τοῦ τιμίου Προδρόμου ὁ ἐν τῇ δυτικῇ πόρτῃ τῆς Ῥαιδεστοῦ νόμισμα ἓν τραχὺ καὶ ὁ ναὸς τῆς

---

[1]) Supplevimus. [2]) Supplevimus.

ὑπεραγίας Θεοτόκου τῆς Ἐλεούσης νόμισμα ἕν, καὶ ὁ ναὸς τοῦ Ἀρχιστρατήγου, ἐν ᾧ ποτε λέγεται ἱδρῦσθαι τὴν ἐπισκοπήν, νόμισμα ἕν. τούτων δὲ πάντων παροχεὺς ἔσται καὶ διανεμητὴς καὶ προνοητὴς μετὰ θεὸν καὶ κύριος ὅ τε μυστογράφος κῦρ Θεόδωρος, ὁ γνήσιός μου υἱός, καὶ οἱ καθεξῆς ἀπὸ τοῦ γένους ἡμῶν διάδοχοι. θέλω δὲ καὶ ὁρίζω, ἵνα, εἰ μὴ φθάσω ἐγὼ ποιεῖν κελλίον ἐν τῷ ἔξω μέρει τοῦ οἴκου μου τῆς Ῥαιδεστοῦ εἰς ἀνάπαυσιν τῶν κατ' εὐσέβειαν τοῖς ἁγίοις τόποις προσερχομένων καὶ λοιπῶν πενήτων ξένων, γένηται παρὰ τῶν προεστώτων τῶν τοιούτων εὐαγῶν μου οἴκων ἐν τῷ τέλει τῆς αὐλῆς μου πρὸς τῇ δημοσίᾳ ὁδῷ, καὶ κατασκευασθῶσιν ἀναπαυστῆρες καὶ ἐπαναπαύωνται ἐκεῖσε, καὶ δίδωται ἑκάστης ἑβδομάδος ψωμίον μοδίων δύο ἀννονικῶν, καὶ οἴνου μέτρον ἕν, δίδοσθαι δὲ καὶ δώδεκα ἐν Χριστῷ ἀδελφοῖς γέρουσιν ἀδυνάτοις καὶ ἀναπήροις καὶ ἐνδεέσιν ἑκάστῳ χρόνῳ ἐν τῷ καιρῷ τῶν μνημοσύνων μου ἀνὰ νόμισμα ἕν, καὶ ἀνὰ σίτου μοδίους ἓξ ἀννονικούς. γίνεσθαι δὲ ὁρίζω καὶ ἐν τῷ καιρῷ τῶν μνημοσύνων μου παραστάσιμον ψαλλόντων, καὶ διάδοσιν νομισμάτων ἓξ τραχέων καὶ ψωμίου μοδίων ἕξ. ἐπειδὴ δὲ ἐντὸς τοῦ πτωχοτροφείου καὶ μοναχῶν καταγώγιον προσωρίσθη, ὡς προειρήκαμεν, καὶ μοναχικῆς πολιτείας ἀγὼν καὶ σύνταξις εἰς ὑπηρεσίαν θεοῦ καὶ τῶν ἀφωρισμένων ψυχικῶν διαδόσεων, δεῖ λοιπὸν καὶ περὶ τῆς εὐταξίας τῶν μοναχῶν τὰ εἰκότα διαλαβεῖν ἡμᾶς ἐκ τῶν θείων μόνων μεμυσταγωγημένους τὰ πρόσφορα. κανόνα καὶ τύπον καὶ ἀκριβεστάτην συντήρησιν ὁρίζω τῆς ἐν τῷ πτωχοτροφείῳ καθιερωμένης μονῆς καὶ τῶν μοναχῶν τὴν εἰρήνην καὶ τὴν πρὸς ἀλλήλους κατὰ θεὸν ἀγάπην καὶ εὔνοιαν, ἣν ἐξαιρέτως ὁ πάντων ποιητὴς καὶ δεσπότης κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐνομοθέτησε, καταπρίνω δὲ εἰς κύριον τὸν θεὸν ἡμῶν καὶ εἰς τὸ φοβερὸν αὐτοῦ δικαστήριον τοὺς ἐμοὺς συγγενικοὺς κληρονόμους, μᾶλλον δὲ τοὺς τὴν κληρονομίαν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διοικοῦντας καὶ προϊσταμένους αὐτῆς συγγενεῖς, ὡς προδιέστειλα τούτους τούς τε νῦν ὄντας καὶ τοὺς μέλλοντας ἕως συστάσεως κόσμου προΐστασθαι, καθὼς διωρισάμην, καὶ ἅπαντας τοὺς προνοητάς, ἵνα μὴ ἔχωσιν ἐξουσίαν ποτὲ καιροῦ ἢ χρόνου εἴτε τὸ πτωχοτροφεῖον, εἴτε τὸ μοναστήριον ἐκποιεῖσθαι μερικῶς ἢ καθόλου κατά τινα τρόπον ἐκποιήσεως, καὶ μεταφέρειν ἀλλαχοῦ εἰς ἀθέτησιν τῶν παρ' ἐμοῦ διατεταγμένων, ἢ κτῆμα αὐτῶν ἐκδιδόναι εἰς τὸ διηνεκὲς ἢ εἰς χρόνους, ἢ ἀπὸ πρώτου εἰς πρῶτον, ἢ κατὰ πρᾶσιν ἢ ἀνταλλαγὴν ἢ δωρεὰν ἢ ἐμφύτευσιν ἢ ἄλλην τινὰ αἰτίαν ἢ εἰς πρόσωπον προσκυροῦν αὐτό, εἴτε εἰς βασιλικόν, εἴτε εἰς πατριαρχικὸν ἢ ἐκκλησιαστικὸν ἢ ἀρχοντικὸν ἢ ἰδιωτικὸν καθ' οἱανδήτινα πρόφασιν ἢ ἀφορμήν, ἀλλὰ βούλομαι καὶ ὁρίζω, εἶναι ταῦτα ἐλεύθερα καὶ ἡνωμένα καὶ αὐτοσύστατα καὶ ἀνεκποίητα, καὶ ὑπάγεσθαι τῇ ἐξουσίᾳ καὶ κυριότητι

τοῦ τε πτωχοτροφείου καὶ τοῦ μοναστηρίου μου, καὶ ἐπαπολαύειν τῆς φιλοτιμηθείσης μοι γενικῆς καὶ καθολικῆς ἐξκουσσείας διὰ χρυσοβούλλου βασιλικοῦ· καὶ γὰρ οὕτω θεσπίζει καὶ διορίζεται, ἵνα ἔνθα ἂν ἢ προσκυρώσω ἢ καταλίπω τὰ κτήματά μου, εἴτε ἐν εὐαγέσιν οἴκοις, εἴτε ἐν μοναστηρίοις, εἴτε ἐν ἰδιωτικοῖς μερικῶς ἢ καθόλου, ταῦτα πάντα τῆς ἐκ τοῦ θείου χρυσοβούλλου βοηθείας καὶ ἐξκουσσείας ἐπαπολαύωσιν, κἂν εἰς ἐπίδοσιν καὶ πλεονασμὸν προέλθοιεν. ἔκδοσις δὲ ἀκινήτου πρόσκαιρος οὐκ ἐν ἑτέροις ὀφείλει γίνεσθαι πράγμασιν, εἰ μὴ ἐν μερικοῖς τοπίοις, μὴ χρησιμεύουσιν εἰς κατασποράν, κατὰ τὸ ἔθιμον τοῦ τόπου ἐκληπτορικοῖς[1]) εἰς χρόνους πεπερασμένους, τόπος δὲ σπόριμος οὐκ ἐκδοθήσεται ὅλως εἰς χρόνους ἀπό τινος τῶν προσκεκυρωμένων κτημάτων τοῖς εὐαγέσι τούτοις καὶ θεῷ ἀνατεθειμένοις οἴκοις, ἵνα μὴ ἡ ἔκδοσις τούτων σιτοδείαν ἐπαγάγοι καὶ στένωσιν ταῖς κατὰ θεὸν τετυπωμέναις ἐξόδοις.

γ'. Περὶ ἐπισκέψεως τῶν κτημάτων.

Ἡ μέντοι τῶν κτημάτων ἐπίσκεψις καὶ διοίκησις ἀνδρὶ δικαίῳ καὶ κατὰ θεὸν πολιτευομένῳ ἀνατεθήσεται ὑπὸ λόγον παρὰ τῶν κληρονόμων ἡμῶν, καὶ οὗτος ἔσται φροντίζων καὶ διοικῶν τὰ ἐν αὐτοῖς, ὡς λόγον μέλλων ἀποδοῦναι πρῶτον μὲν τῷ ἐπουρανίῳ βασιλεῖ, εἶτα καὶ τοῖς προϊσταμένοις τῆς τοῦ θεοῦ κληρονομίας, κἀκεῖθεν δεχομένοις τὴν κυριότητα καὶ ἐξουσίαν τῶν θείων τούτων καὶ εὐαγῶν οἴκων, τοῦ τε πτωχοτροφείου καὶ τοῦ μοναστηρίου μου· καὶ γὰρ λογοθετεῖσθαι ὀφείλει παρ' αὐτῶν καὶ ποιεῖν τὸ ἱκανὸν τῆς εἰσοδοεξόδου[2]) ἀνενδεῶς, καθὼς ἐπ' ἐμοῦ καὶ ἐνηργεῖτο καὶ ἐπράττετο, καὶ εὐθύνεσθαι περὶ ἀμελείας καὶ δόλου. οἰκήματα δὲ οὐδ' ὅλως βούλομαι ἐκδίδοσθαι, εἰ μὴ μόνον ἐνοικικῶς. εἰ δέ τις τῶν τοιούτων μου προστάξεων ἀθετήσει τι ἕως τοῦ σμικροτάτου, μετὰ τοῦ Ἰούδα καὶ τῶν σταυρωσάντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λογισθήσεται καὶ τὴν ἀρὰν τῶν τιη' ἁγίων θεοφόρων πατέρων κληρονομήσει καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ τὸ ἔχον ἐκδοθῆναι παρὰ τὸν ἐμὸν ὁρισμὸν εἰς τὴν πρωτότυπον δεσποτείαν ἐπανελεύσεται, ἀλλὰ καὶ αὐτὸς ὁ παραχαράξαι τι τολμήσων ἢ ἀναλαβέσθαι παρὰ τὰ διατεταγμένα μοι κληρονόμος ἔσται τοῦ αἰωνίου πυρός, ὡς παραβάτης τῶν ἐντολῶν, καὶ ἅπερ ἐγὼ μετὰ πολλῶν κόπων καὶ ὑστερημάτων, μᾶλλον δὲ τῶν τοῦ θεοῦ δωρημάτων τῷ θεῷ ἀνεθέμην, αὐτὸς ἀκυρῶσαι βουληθείς· ὑπὸ τρόπον γὰρ καὶ αἰτίαν συγγενικῆς διαδοχῆς καὶ διοικήσεως τῶν ψυχικῶν καὶ ἐνεργείας τῶν εὐσεβῶν διαδόσεων τὰ τοιαῦτα εὐσεβῆ συνεστησάμην πράγματα. αἱ δὲ εἴσοδοι

---

[1]) ἐκ ληπτορικῆς S. [2]) εἰσοεξόδου S.

πᾶσαι τῶν κτημάτων μου, ἵνα γίνωνται ἐν λεπτῇ ἀπογραφῇ καὶ εἰσοδιάζωνται εἰς τὸν εὐαγῆ οἶκον τοῦ πτωχοτροφείου μου τῆς Ῥαιδεστοῦ καὶ τελῶνται μὲν ἐκεῖσε τὰ διωρισμένα παρ' ἐμοῦ, τὰ δὲ λοιπὰ εἰσάγωνται ἐκεῖθεν ἐν τῇ πόλει, καὶ ἐξ αὐτῶν τελῆται ἡ τῶν ψυχικῶν διάδοσις, καὶ αἱ λοιπαὶ ἔξοδοι παρὰ τῶν κληρονόμων μου, συνεργοῦντος καὶ τοῦ οἰκονόμου τῆς μονῆς, εἴπερ οὐ θελήσει προστήσασθαι ἡγούμενος ὁ κληρονόμος μου, εἰδήσει καὶ τῶν λοιπῶν μοναχῶν. λογάριον δὲ οὐκ ὀφείλει τις ἐγχειρίζεσθαι τῶν μοναχῶν ἢ τῶν προεστώτων ὅλως, ἀλλὰ γινομένων τῶν τυπικῶν ἐξόδων, τοῦ ἔχοντος περιττεῦσαι τὸ μὲν τρίτον, ἵνα ἀποτίθηται[1]) εἰς τὸ δοχεῖον, τὸ δὲ δίμοιρον, ἵνα ὑπάρχῃ δεσποτικῶς τῷ γνησίῳ καὶ περιποθήτῳ μου υἱῷ, τῷ μυστογράφῳ κυρῷ Θεοδώρῳ, ὃν μετὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεὸν καὶ τὴν ἄχραντον αὐτοῦ μητέρα κληρονόμον καὶ κύριον καὶ διοικητὴν ἀλογοθέτητον καὶ ἀνεξερεύνητον τῆς θείας κληρονομίας ταύτης καταλιμπάνω, καὶ καθεξῆς τοῖς κληρονόμοις αὐτοῦ, τῶν περιττευόντων καρπῶν μετὰ τὰς εἰρημένας ἐξόδους ἀλογοθετήτως εἰσοικιζομένων αὐτοῖς καὶ κερδαινομένων. πλὴν οὐχ ἕξει ἐξουσίαν ὅλως παρακατασχεῖν ἢ εἰσοδιάσαι ἀπὸ τῶν ἀφωρισμένων κτημάτων ἐν τοῖς τοιούτοις ἱεροῖς οἴκοις, εἰ μὴ πρότερον αἱ διαδόσεις τῶν ψυχικῶν καὶ λοιπῶν γένωνται, καθὼς καὶ παρ' ἐμοῦ ἐτυπώθησαν. τὸ αὐτὸ ἵνα τηρῆται καὶ ἐπὶ τῶν καθεξῆς κληρονόμων ἡμῶν, ὅταν δὲ ἐπιλείψωσιν, ἵνα ὦσι πάντα τοῦ πτωχοτροφείου καὶ τῆς μονῆς καὶ τῶν ψυχικῶν ἐπεκτεινομένων μετὰ τῆς τοῦ θεοῦ βοηθείας.

δ'. Περὶ προστίμου τοῦ παραβάτου.

Εἰ δέ τις ἔξωθεν τῶν ἐμῶν ἐντολῶν διαπράξεταί τι, εἰ μὲν τῶν ἔξωθεν ἐστὶ καὶ ἀλλότριος, πρὸς τῷ μηδὲν ἀνύσαι, ἔσται καὶ ἀλλότριος τοῦ θεοῦ καὶ τῆς τῶν χριστιανῶν ἀμωμήτου πίστεως, καὶ ὡς κάθαρμα καὶ βδέλυγμα λογισθήσεται, ὡς παραβάτης θείων καὶ ἱερῶν πραγμάτων καὶ τῆς τοῦ θείου εὐαρεστήσεως. εἰ δὲ ὁ οἰκονόμος ἢ ὁ θελήσει τοῦ κληρονόμου μου γενησόμενος καθηγούμενος, ἐκβαλλέσθω τῆς προστασίας, εἰ δὲ ἄλλος διακονητής, τῆς διακονίας, εἰ δὲ ἐκ τῶν καθεξῆς κληρονόμων μου, ἵνα ἀπαιτῆται τοῦ ὑστερῆσαι εἰς τὸ διπλάσιον, καὶ μετὰ δευτέραν καὶ τρίτην παραγγελίαν γινομένην παρὰ τοῦ καθηγουμένου καὶ τῶν μοναχῶν, ἐὰν μὴ διορθῶται, ἵνα λαμβάνωσι τὰ ψυχικὰ οἱ τυπωθέντες ταῦτα λαμβάνειν, καθὼς προεδηλώσαμεν, ἀπὸ τῶν κτημάτων τῶν τυπωθέντων εἰς ἑκάστου ψυχικοῦ διάδοσιν καὶ ἄκοντος ἐκείνου. ἀλλὰ καὶ τοῦτο προστίθημι, ἵνα οἱ κληρο-

---

[1]) ἀποτίθεται S.

νόμοι μου καὶ ὁ παρ' αὐτῶν προστησόμενος εἴτε οἰκονόμος ἢ καθηγούμενος, καὶ οἱ λοιποὶ μοναχοί, ὅσοι τὰς ἐντολάς μου τηροῦσι καὶ ἀγωνίζονται τελεῖσθαι τὰ ψυχικὰ ἀνελλιπῶς, ἐγγράφωνται ἐν τοῖς διπτύχοις καὶ μνημονεύωνται δι' ὅλου αἰῶνος, ὅσοι δὲ παραβάται τούτων γένωνται καὶ εἰς μείωσιν αὐτῶν ἢ ὑποκράτησιν ὄντες διαγνωσθῶσι, μήτε μνήμης ἀξιοῦσθαι τούτους βούλομαι, μήτε ἐν τοῖς διπτύχοις ὀνομαστὶ γράφεσθαι, ἀλλ' ὥσπερ ηὐτομόλησαν εἰς τὰς προρρηθείσας ἀράς, οὕτως ἔσται τὸ μνημόσυνον αὐτῶν κατηραμένον καὶ μεμισημένον ἀεί. οὐχ ἧττον δὲ κατάκριμα ἕξουσι καὶ οἱ ὁρῶντες καταφρονούμενα ταῦτα καὶ δυνάμενοι ἀντιλέγειν τοῖς κακῶς γινομένοις καὶ μὴ ποιοῦντες οὑτωσί.

ε'. Περὶ προχειρίσεως ἡγουμένου.

Ἡγουμενείας δὲ προκειμένης [ὀφείλει][1]) τελεῖσθαι βουλήσει τοῦ κληρονόμου μου· μὴ βουλομένου δέ[2]), ὁ οἰκονόμος ἵνα διενεργῇ εἰς τὴν μοναχικὴν σύνταξιν καὶ ποιμαίνῃ καὶ διευθύνῃ τὰ εἰς ψυχὴν τῶν μοναχῶν κανονικῶς, ἐπίκουρον ἔχων κατὰ τῶν ἀπειθούντων τὸν κληρονόμον μου, ὡς κύριον τῆς τῶν ὅλων προνοίας καὶ διοικήσεως, καὶ ἐκεῖνος οὐκ ἀναγκασθήσεται ποιεῖν ἡγούμενον. [καὶ βούλομαι][3]), ἵνα προκρίνηται ἀπὸ τῶν μοναχῶν ὁ ἐπ' εὐλαβείᾳ καὶ φόβῳ θεοῦ μεμαρτυρημένος καὶ ταπεινός· ταύτην γὰρ πρώτην ἀρετὴν κρίνω, καὶ ὁ μὴ ἔχων ταπείνωσιν, κἂν νεκροὺς ἀνιστᾷ, ἀποδοκιμαστέος ἔστω καὶ ἀπόβλητος· θέλω γὰρ ταύτην τὴν ἀρετὴν ἐν τῷ τοῦ πτωχοτροφείου μοναστηρίῳ μου τὰ πρωτεῖα φέρειν. καὶ παράγηται τῷ κληρονόμῳ μου καὶ προχειρίζηται οὗτος παρ' ἐκείνου, τῇ ἐπιλογῇ δηλονότι τῶν μοναχῶν, ἀγωνοθετοῦντος αὐτοῦ καὶ ἀρεσκομένου. εἰ δὲ διχόνοια γένηται περὶ ἀρετῆς δύο προσώπων, ἵνα γράφωνται αἱ ὀνομασίαι αὐτῶν ἐν δυσὶ τεμαχίοις χάρτου καὶ ἀποτίθωνται[4]) τῇ ἁγίᾳ τραπέζῃ τοῦ θυσιαστηρίου τοῦ ναοῦ καὶ λειτουργῶνται, καὶ εἰσέρχηται παιδίον ἁγνὸν καὶ ἄκακον καὶ ἀναλαμβάνηται τὸ ἓν χαρτίον καὶ ἐξάγῃ, καὶ οὗτινος ὀνομασία εὑρεθῇ, ἄξιος τῆς οἰκονομίας καὶ τῆς ἡγουμενείας λογίζηται, προχειρίσεως γινομένης παρὰ τοῦ κληρονόμου μου, πρότερον πληροφορῶν ἐνώπιον τοῦ θεοῦ καὶ τῶν μοναχῶν, ὅτι τὰς ἐμὰς ἐντολὰς τηρήσει καὶ διατάξεις ἕως τελευτῆς. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν διακονητῶν ἔσται καὶ οὕτως κατὰ διαδοχὴν ὁ τοιοῦτος ὁρισμός μου διατελέσει κρατῶν, καὶ οὐκ ἐξωθήσεται τῆς ἡγουμενείας ὁ ἡγούμενος ἢ ὁ οἰκονόμος, εἰ μή γε ἐν οἱᾳδήποτε αἱρέσει ἢ πτώματι σαρκικῶν παθῶν ἁλωθῇ, ἢ ἐλεγχθῇ φανερῶς δολερὸς ἢ λυμαντικὸς ἢ καταφρονητὴς τῶν θείων δοξολογιῶν καὶ τῆς τοῦ θεοῦ ἐκκλησίας

---

1) Supplevimus. 2) γάρ S. 3) Supplevimus. 4) ἀποτίθενται S.

καὶ τῶν ψυχικῶν, ἢ δι' ὑπεροψίαν ἢ καταφρόνησιν ἢ δημοεγερσίαν λυπεῖ τὸν κληρονόμον μου· τότε γὰρ σφοδρῶς ἐκδιωχθήσεται παρὰ τοῦ κληρονόμου μου. εἰ δὲ ἐν μικροῖς καὶ ἀκουσίοις σφάλμασιν ὑποπτευθῇ καὶ ἕτοιμός ἐστι διόρθωσιν [ποιῆσαι] μετὰ τὸ παρὰ τοῦ κληρονόμου μου καὶ τῶν προκρίτων μοναχῶν νουθετηθῆναι ἢ καὶ ἐλεγχθῆναι, ἵνα μὴ ἐκδιώκηται, πρὸς διόρθωσιν δηλαδὴ θερμῶς διανιστάμενος.

ϛ'. Περὶ τοῦ ἀριθμοῦ τῶν μοναχῶν.

Ἀριθμὸν δὲ τὸν ἐν τῇ τοιαύτῃ μου μονῇ μοναχῶν τυπῶ καὶ περιστῶ τὸν ἕβδομον, εἰ καὶ νῦν διὰ τὴν στένωσιν τῶν πραγμάτων πέντε μόνους κατέταξα, ὡς παρθένον καὶ τίμιον καὶ πρόκριτον λογιζόμενον, καθ' ὃν καὶ οἱ αἰῶνες ἐτάχθησαν, καὶ τὸ τῶν ἑβδομάδων μέτρον, καὶ ὁ τῶν ἀστέρων δρόμος ἐκ τῆς τοῦ θεοῦ μεγαλοδυνάμου προστάξεως· ἀγαπητὸς γὰρ οὗτος ὁ ἀριθμὸς καὶ μυστικὸς τοῖς τε παλαιοῖς καὶ τοῖς νέοις, καθὰ παρθένος, ὡς προδιείληπται, διὰ τὸ ἐντὸς τῆς δεκάδος μόνον αὐτὸν μήτε γεννᾶν μήτε γεννᾶσθαι. ὅθεν καὶ πρὸς τὴν ἁγίαν παρθένον καὶ θεοτόκον διὰ τοῦτο κομίσαι τὰ εὐαγγέλια πείθομαι τὸν ἀρχιστράτηγον Γαβριήλ, ὡς παρὰ τοὺς ἄλλους ἐν τῷ ἰδίῳ ὀνόματι τὸν ἑβδοματικὸν ἀριθμὸν ἀποσώζοντα· καὶ διορίζομαι εἶναι μοναχοὺς ἑπτά, τῶν πραγμάτων σὺν θεῷ ἐπιδιδόντων, σὺν τῷ οἰκονόμῳ ἢ τῷ καθηγουμένῳ καὶ τῷ πυλωρῷ. εἰ δὲ τῇ βοηθείᾳ τοῦ παναγάθου θεοῦ ἡμῶν καὶ τῆς ἀχράντου καὶ κεχαριτωμένης αὐτοῦ μητρὸς ἐπαυξηθῶσιν αἱ πρόσοδοι τοῦ πτωχοτροφείου καὶ τῆς μονῆς, (πιστεύω γὰρ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὕτω γενήσεσθαι) τότε ἐπαυξηθήσεται καὶ ὁ ἀριθμὸς τῶν ἑπτὰ μοναχῶν κατὰ τὸ ἀνῆκον τῆς αὐξηθησομένης προσόδου, καὶ τὰ ψυχικὰ συμμέτρως· ἐγὼ γὰρ συμμετρησάμενος τήν τε ἰσχὺν τῶν προσκεκυρωμένων καὶ τὰ τοῦ πτωχοτροφείου ἀναλώματα, ὡς δὲ καὶ τὸ βραχὺ τοῦ Προδρομικοῦ ναοῦ, ὃς τῷ μοναστηρίῳ ἀφώρισται κοινὸν ἱλαστήριον καὶ πρῶτον καὶ κύριον, εἰς τοῦτο ἀριθμοῦ περιέστησα, καὶ συνέστειλα τοὺς μοναχούς· καὶ βούλομαι ἀποκείρεσθαι τούτους ἄνευ ἀποταγῆς δωρεάν, εἰ μὴ εἰς ἔργον δίδοταί τι οἰκοδομῆς ἢ ἀνοικοδομῆς ἢ ἀγορὰν ἀκινήτου. ἄνδρας δὲ ἐνεργεῖς, εἴτε εἰς τὴν ἐκκλησίαν ἢ λογαριαστὰς ἢ νοταρίους ἢ γραμματικοὺς σεμνοὺς ἀνθρώπους καὶ τιμίους, καὶ μὴ εριστικοὺς ἢ φιλονείκους ἢ κενοδόξους καὶ προδότας ἢ ἀπανθρωπίας μετέχοντας· οἷος γὰρ εὑρεθῇ τοιοῦτος, ἵνα ἀπελαύνηται· ἡ γὰρ λεγομένη ἀποταγὴ τὴν ὑποταγὴν ἐκ μέσου ποιεῖ, καὶ διχονοίας εἰσάγει πολλάς, ἀφ' ὧν οὐδὲ μικρόν τι μέρος ὀνομάζεσθαι ἢ πολιτεύεσθαι ἐν τῷ μοναστηρίῳ βούλομαι, ἀλλ' ἢ μόνον ἐν τῷ φωτισμῷ τῆς τοῦ μοναχοῦ ἀποκάρσεως, ἵνα ἐξοδιάζῃ ὁ ἀποκειρόμενος ὑπὲρ μυριστικῶν καὶ τραπέζης τῶν ἀδελφῶν καὶ λοιπῶν νομίσματα δέκα. καὶ οὐ μόνον

τὸ τῆς δόσεως τῆς ἀποταγῆς κωλύω, ἀλλ' οὐδὲ ἀργὸν λόγον πολιτεύεσθαι ἢ ἀργὸν τινὰ καθῆσθαι χωρὶς ἐργοχείρου καὶ ὑπηρεσίας τῷ μοναστηρίῳ ἀνηκούσης ἢ τῇ ἐκκλησίᾳ συγχωρῶ. πάντων δὲ κράτιστον τὴν ἡσυχίαν ἐπισκήπτω καὶ τὴν ὑποταγὴν καὶ ταπείνωσιν, καὶ τὸ εἰρηνεύειν ἀεὶ πρὸς ἀλλήλους τοὺς μοναχούς· καὶ τὸν προχειρισθησόμενον παρὰ τοῦ κληρονόμου μου ἡγούμενον ἢ οἰκονόμον δι' ἔργου ποιεῖσθαι τὸ μηδένα μοναχὸν ὀργιζόμενον πρός τινα ἢ ἐχθραινόμενον καθεύδειν κατὰ τὸν εἰπόντα· „μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν·“ ὀφείλουσι δὲ καὶ τοῖς κελλίοις αὐτῶν προσεδρεύειν διηνεκῶς ὑποτασσόμενοι τῷ τε κληρονόμῳ μου καὶ τῷ ἔχοντι, ὡς εἶπον, προχειρισθῆναι παρ' αὐτοῦ οἰκονόμῳ ἢ καθηγητῇ τῶν μοναχῶν, καὶ ὑπηρετοῦντες ἀόκνως εἰς τὰς τῆς μονῆς δουλείας καὶ διακονίας, καὶ εἰς τὴν μάθησιν καὶ δοξολογίαν τῆς ἐκκλησίας. ὅτε δὲ εὐκαιροῦσιν, ἵνα ἐνεργῶσι τὰ ἐργόχειρα αὐτῶν εἰς τὰς ἰδίας κέλλας ἰδιαζόντως ἕκαστος, καὶ μὴ ὦσιν ἀργοὶ καὶ περιέρχωνται ἀπὸ κελλίου [εἰς κελλίον][1]), καὶ συνομιλῶσιν ἢ συντρώγουσιν ἢ συμπίνωσιν εἰς ἀπώλειαν τῆς ἰδίας ψυχῆς καὶ ἑτέρων πολλῶν, ἀλλ' ἕκαστος ὑπὸ θεῷ μάρτυρι καὶ ὁδηγῷ τὴν τρίβον τῆς ἀρετῆς διανύῃ, καὶ καθ' ἑκάστην διεξάγῃ ἑαυτὸν καὶ πολυπραγμονῇ, τί κατώρθωσεν ἐν τῇδε τῇ ἡμέρᾳ, καὶ τί παρέλιπε. καὶ οὕτως ὥσπερ τῷ χρόνῳ, οὕτω καὶ τῷ δρόμῳ προκόπτῃ τῆς ἀρετῆς καὶ ἀποθνήσκῃ μὲν τῷ σώματι, ζῇ δὲ τῷ θεῷ διὰ τῶν ἱερῶν πράξεων, καὶ τῆς ταπεινώσεως καὶ τῆς κατὰ θεὸν ἀγάπης, ἃς δὴ δύο ἀρετὰς προκρίτους εἶναι καὶ πολιτεύεσθαι, καὶ ἀμετακίνητον εἶναι τύπον καὶ κανόνα τοῦ ἐν τῷ πτωχοτροφείῳ μοναστηρίου μου βούλομαι· καὶ εἰς πρόκρισιν ἀρετῆς, προεδρίας τυχὸν δοκιμαζομένης ἐκείνους προκρίνεσθαι βούλομαι, οἵτινες ἐν ἀνυποκρίτῳ ταπεινώσει καὶ εἰρηνικῇ καταστάσει διαλάμπουσιν· ὅπου γὰρ τοιοῦτοι ποιμαίνουσιν, ἐκεῖ ἐστιν ὄντως καὶ ὁ θεός, ὅπου δὲ ὁ θεός, ἅπαν ἀγαθὸν καὶ εὐάρεστον. διὰ τοῦτο καὶ ἐν ταῖς γινομέναις δοξολογίαις ἐπισκήπτω μετὰ προσοχῆς ἵστασθαι πάντας ἄνευ τῆς οἱασοῦν ὁμιλίας καὶ ψιθυρίσματος, καὶ διὰ νεύματος μετὰ φόβου καὶ τρόμου κατὰ τὸ γεγραμμένον· „δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.“ ἕξει δὲ πρὸς ἀνάγκην ἕκαστος μοναχός, ἡνίκα ἐσθίει ἐν μεσημβρίᾳ, μεταδιδόναι πένητι, ὅσον ἔχει προαιρέσεως, κἂν βραχύτατον ᾖ, εἴτε ψωμόν, εἴτε ποτόν, καὶ μὴ παρέρχηται ἡμέρα ἄνευ ἐλεημοσύνης, ἀλλ' ἀνοίγωσι καὶ πυλῶνα καὶ σπλάγχνα ἑκάστῳ πένητι ἄχρι καὶ ἑνὸς θρύμματος[2]). πάλιν δὲ τὴν πρὸς ἀλλήλους ἕνωσιν ἐν κελλίοις καὶ τὰ συμπόσια ἀποτρέπω, εἰ μὴ διὰ μνήμην ἁγίου ὦσιν ἢ ἑτέραν αἰτίαν εὔλογον ἑνωθῶσι σὺν θεῷ. καὶ τοὺς εὑρεθησομένους

---

[1]) Supplevimus. [2]) θρέμματος S.

οὕτω ποιεῖν στέρησιν κατακρίνω τῶν ἰδίων διαρίων καὶ ὑποκράτησιν ἐπὶ μῆνας ἕξ· εἰ δὲ καὶ πάλιν εὑρεθῶσιν οὕτω ποιοῦντες χωρὶς εὐλόγου αἰτίας, ἵνα ἐκδιώκωνται παρὰ τοῦ κληρονόμου μου, ἀλλὰ καὶ οἱ κατά τι ἐν ἁμαρτήμασιν ἑτέροις ἐλαφροῖς εὑρισκόμενοι καὶ προσκρούοντες τῷ τυπικῷ μου ἐλεγχθέσθωσαν ἀπερικαλύπτως, ἵνα αἰδοῖ τῶν ἐλέγχων μὴ ἀμελῶσι τῆς ἑαυτῶν σωτηρίας· „ἐλεγμῷ γάρ, φησι ἡ θεία γραφή, ἐλέγξεις τὸν πλησίον σου, καὶ οὐ λείψῃ ὑπὲρ αὐτοῦ ἁμαρτίαν.“ τοῦτο δὲ καὶ ὁ ἡγούμενος ἢ οἰκονόμος πείσεται παρὰ τῶν κληρονόμων μου καὶ τῆς ἀδελφότητος ἔν τινι μικρῷ σφάλματι ὑποπτευθείς. καὶ τὰ πρὸς ἀλλήλους δὲ προσκόμματα εἰς μέσον πάντες προθήσουσιν ἐξάρχοντος τοῦ κληρονόμου μου, καὶ διαλύσει οὗτος πάντα ἐξ ἅπαντος καὶ στηριχθήσεται ἡ ἀγάπη τῇ τοῦ θεοῦ χάριτι τοῦ εἰπόντος· „ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταὶ ἐστέ, ἐν τῷ ἀγαπᾶν ἀλλήλους·“ καὶ τούτου γινομένου ἀπελαθήσεται ᾐσχυμένος ὁ πάσης δημιουργὸς τῆς κακίας ὁ ἀνθρωποκτόνος διάβολος· ἡ γὰρ γινομένη κρίσις, ἐφορῶντος ἐξ ἅπαντος καὶ διαγινώσκοντος κἀνταῦθα τοῦ περιποθήτου καὶ γνησίου μου υἱοῦ, κυροῦ Θεοδώρου, καὶ τῶν καθεξῆς κληρονόμων μου καὶ συνδιοικούντων τὰ τῆς εἰρήνης, ἔσται κυρία καὶ ἰσχυρὰ καὶ ἀμετακίνητος· ἀλλαχοῦ γὰρ οὐχ ἑλκυσθήσεται δίκη παρὰ τῶν τοῦ πτωχοτροφείου καὶ τοῦ μοναστηρίου μου ἀδελφῶν ἢ μοναχῶν ἕνεκεν ἰδίας ἀδικίας ἢ βλάβης παρά τινος τῶν ὑπ' αὐτὸν προστριβομένων. εἰ δέ τις εὑρεθῇ δύσερις καὶ φιλόνεικος καὶ μετὰ δευτέραν καὶ τρίτην ἐπιτίμησιν οὐ διορθωθῇ, ἵνα ἐκδιώκηται· ἐν ἴσῳ γὰρ κείσεται τὴν τοῦ θεοῦ ταύτην κληρονομίαν ὅ τε δύσερις καὶ κενόδοξος καὶ ὁ αἰσχρός, καὶ οὐχ ἕξει μερίδα ἐν αὐτῇ· ἀνέλεγκτος δὲ οὐδὲ εἷς κατακριθήσεται.

ζ'. Περὶ ἀποταγῆς.

Ἀποταγὴν δέ, ὡς προείρηται, οὐ βούλομαι δίδοσθαι ἐν τῷ τοιούτῳ μου τοῦ πτωχοτροφείου μοναστηρίῳ, εἰ μὴ διὰ τὴν προειρημένην χρείαν θελήσει κἀκεῖνος· ἀλλ' οὔτε ἐξωμονίτην εἶναι ὅλως. εἰ δέ τις προσκυρώσει ἀκίνητον κτῆσιν πρὸς τὸ λαμβάνειν τοῦτον σιτηρέσια, θεοῦ θέλοντος γινέσθω τοῦτο. καὶ ἵνα παρέχωνται αὐτῷ, ἅπερ ἔχουσι συμφωνηθῆναι μέχρι τέλους ζωῆς αὐτοῦ καὶ μόνου· εἰ δὲ καὶ δώσει τις προσένεξιν ἕνεκα τοῦ μνημονεύεσθαι καὶ μόνον εἰς αἰῶνας, καὶ τοῦτο ἀκώλυτον ἔστω. ξενοκουρίτην δὲ οὐδὲ ὅλως κατατάττεσθαι βούλομαι ἐν τῇ τοιαύτῃ μονῇ, εἰ μὴ ὃν ἐγὼ ἔταξα μοναχὸν Ἀντώνιον καὶ τετύπωκα ἐκκλησιάρχην, ὡς εἰδότα τοὺς μοναχικοὺς τύπους τῆς ἐκκλησίας καὶ ῥυθμίζοντα αὐτούς, σὺν αὐτῷ καὶ τὸν ἕτερον μοναχὸν Ἀντώνιον, ὡς πρωτόκλητον εἰς τὸ πτωχοτροφεῖόν μου ἐγκαταστάντα μοναχόν. ἀλλὰ τοὺς ἀποκειρομένους ἐν αὐτῇ τεταγμένους εἶναι, κἀκείνους

εὐνούχους καὶ ἀπαθεῖς ἀνθρώπους, τὸ μὲν διὰ τὴν ἀπάθειαν, ἣν ὁ ἀφωρισμένος τοῖς τοιούτοις εὐαγέσιν οἴκοις Προδρομικὸς ναὸς ἐξόχως ἀγαπᾷ, καθὼς ἐγὼ πεπληροφορημένως ἐμυήθην καὶ ἔργοις αὐτοῖς παρέλαβον, τὸ δέ, ὅτι καὶ ἐν μέσῳ τῆς πόλεως καὶ ἔγγιστα τῆς ἀγορᾶς τὸ φροντιστήριον, καὶ οὐκ ἀκίνδυνον τὸ βαρβάτους ἐν αὐτῷ κατοικεῖν. καὶ οὐδεὶς ἔσται ἐν αὐτῷ βαρβάτος τεταγμένος, εἰ μὴ ἄρα ἐστὶν ἐκ τοῦ ἐμοῦ καὶ γένους καὶ αἵματος ἢ ἀπὸ βίου ἐστὶν ἄνθρωπος μεμαρτυρημένος ἐπὶ εὐλαβείᾳ καὶ φόβῳ θεοῦ, καὶ προσκυροῖ τῇ μονῇ ἀκίνητόν τινα κτῆσιν καὶ ὑπερβαίνων ἢ τὰ πεντήκοντα ἔτη τῆς ἡλικίας αὐτοῦ· ἐπὶ τούτων γὰρ συγχωρῶ καὶ μόνων τὸ κουρεύεσθαι βαρβάτους, ἕτερον δὲ ἔξωθεν οὐδένα. γίνεσθαι δὲ ἐπισκήπτω καὶ προλειτουργίαν κατὰ σάββατον ὑπὲρ τῶν μακαρίων γονέων μου Εἰρηνικοῦ καὶ Καλῆς, καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. μνημονεύεσθαι δὲ καὶ διηνεκῶς ἡμᾶς, σὺν ἡμῖν δὲ καὶ Σοφίαν καὶ Εἰρήνην καὶ Βασίλειον καὶ Λέοντα καὶ Ἄνναν καὶ Νικόλαον καὶ Κωνσταντῖνον, ἐξαιρέτως δὲ γίνεσθαι τρισάγιον καὶ ὑπὲρ τῶν βασιλέων ἡμῶν τῶν ἁγίων καὶ εὐσεβῶν, ἵνα καὶ οὗτοι ἐπικάμπτωνται καὶ ἐλεῶσι τό τε πτωχοτροφεῖον καὶ τὸ μοναστήριόν μου καὶ περισκέπωσι καὶ περιφυλάττωσιν, ὅπου ἂν αὐτῶν ἐπιδεηθῶσι, καὶ τῇ προστάξει τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτῶν ἀνεπηρεάστων καὶ ἀνενοχλήτων συντηρουμένων εὐαρεστῆται ὁ θεὸς καὶ ὑπερισχύῃ καὶ μεγαλύνηται τὸ κράτος αὐτῶν.

η΄. Περὶ τῆς δοξολογίας.

Τὰς δὲ δοξολογίας πάσας, τάς τε νυκτερινὰς καὶ ἡμερινὰς θέλω γίνεσθαι κατὰ τὸ τυπικόν μου, ὅπερ ἰδίως συνεγραψάμην, καὶ τὰ λοιπά, ὅσα ἐκεῖσε κεκανόνισται.

θ΄. Περὶ ῥόγας καὶ σιτήσεως τῶν μοναχῶν.

Ἡ δὲ ῥόγα τῶν μοναχῶν καὶ τὰ λοιπὰ ψυχικὰ τοῦ τε πτωχοτροφείου καὶ τοῦ μοναστηρίου τὰ διὰ λογαρίου, ἵνα πρότερον ἀποτίθωνται[1]) μετὰ τοῦ τυπικοῦ εἰς τὴν ἁγίαν τράπεζαν, καὶ τρισαγίου γινομένου ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου, καὶ ὑπὲρ τῶν φιλοχρίστων βασιλέων δεήσεως καὶ εὐχῆς γινομένης, ἵνα εἰσέρχηται εἷς τῶν τιμιωτάτων ἀνδρῶν καὶ ἀναλαμβάνηται τὸ τοιοῦτον λογάριον ἀπὸ τοῦ ἁγίου θυσιαστηρίου, ὡς ἀπὸ χειρῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἀναγινώσκηται πρότερον ἡ παροῦσά μου διάταξις, καὶ οὕτως ἐπιτελῆται ἡ ῥόγα χωρὶς παρακατασχέσεώς τινος ἢ στερήσεως παρὰ τοῦ κληρονόμου μου. πλὴν οὐ βού-

---

1) ἀποτίθενται S.

λομαι τὸν υἱόν μου τὸν μυστογράφον, κῦρ Θεόδωρον, ἀθετεῖσθαι παρά τινος ἢ καταφρονεῖσθαι τῶν μοναχῶν ἢ παρενοχλεῖσθαι παρὰ τὸ εἰκός, ἀλλὰ θέλω ἔχειν πάντας πρὸς αὐτὸν ἀγάπην καὶ συστολὴν καὶ αἰδῶ καὶ φόβον καὶ ὡς ἐμὲ αὐτὸν ὁρᾶν αὐτοὺς καὶ σέβεσθαι, ἐπειδὴ καὶ κτήτορος αὐτῷ προνόμια καταλιμπάνω καὶ κληρονόμον καὶ κύριον μετὰ θεὸν καὶ τὴν θεοτόκον ἀμετακίνητον καὶ ἀνεκλόγιστον ἐκ πάσης αἰτίας καὶ τρόπου, πλὴν μόνου τοῦ ἐκποιεῖσθαί τι τῶν προσκεκυρωμένων ἢ ὑποκρατεῖν ἀπὸ τῶν ψυχικῶν ὧν ἐτύπωσα, ἢ παραχαράττειν τὴν ἐμὴν διάταξιν. ἀλλ' εἴπερ ἴσως καὶ ἐναντίον τι δοκιμάσει, ἵνα μετὰ ἐπιεικείας ὑπομιμνήσκηται παρὰ τῶν μοναχῶν καὶ ἀναγκάζηται μετὰ παρακλήσεως πράττειν, ὅσα τὸ τυπικόν μου διακελεύεται· ὀφείλει γὰρ καὶ αὐτὸς ἔχειν πρὸς τοὺς μοναχοὺς τιμὴν καὶ μηδένα κακοποιεῖν ἢ ἀποστερεῖν τῶν τετυπωμένων αὐτῷ χωρὶς αἰτίας εὐλόγου.

ι'. Περὶ δίκης.

Εἰ δὲ ἀνακύψει ζήτησις ἢ δίκη περὶ κτήματος τοῦ θείου πτωχοτροφείου καὶ τῆς μονῆς, ἵνα μὴ ἔχωσιν ἐξουσίαν τοῦ δικάζεσθαι ἄνευ τοῦ λαβεῖν λίβελλον περιέχοντα, ὅτι ἐγὼ ὁ δεῖνα κινῶ κατὰ τῆς κληρονομίας τοῦ υἱοῦ τοῦ θεοῦ. ἐπειδὴ δὲ οἶδα, ὅτι ἀεὶ ὁ κατὰ τὴν ἡμέραν ἔπαρχος Κωνσταντινουπόλεως εὐσεβής ἐστι καὶ φιλόθεος καὶ ἄνθρωπος τοῦ θεοῦ, ἐπειδὴ δὲ καὶ πατὴρ προχειρίζεται πόλεως, θέλω, ἵνα μετὰ γνώμης ἐκείνου καὶ ἐπικουρίας δικάζωνται. καὶ ὑπὲρ τῆς τοιαύτης διακονίας ἔχῃ μὲν καὶ τὸν ἀπὸ θεοῦ μισθὸν καὶ στέφανον ἄφατόν τε καὶ ἄφθαρτον, μνημονεύηται δὲ καὶ εἰς τὸ διηνεκὲς ἐγγραφόμενος καὶ τοῖς ἱεροῖς διπτύχοις, λαμβάνῃ δὲ καὶ εὐλογίαν τῆς ψυχῆς καὶ τοῦ βίου αὐτοῦ νομίσματα πέντε, ἀρραβῶνα πνευματικῆς ἐπινεύσεως καὶ ἀφθονίας τοῦ βίου καὶ τῆς ζωῆς αὐτοῦ· ἄνευ γὰρ γνώμης αὐτοῦ, εἴ τι ἂν καὶ κριθῇ, ἵνα ὑπάρχῃ ἄκυρον, εἰ μὴ θελήσει ὁ κληρονόμος μου, εὐτελοῦς οὔσης τῆς ὑποθέσεως, καὶ ἄνευ αὐτοῦ δικάσασθαι· τότε γὰρ ἔξεστιν αὐτῷ οὕτω ποιεῖν· ἕτερον δὲ προνόμιον οὐχ ἕξει ὁ ἔπαρχος, πλὴν τῆς ἐπικουρίας καὶ τῆς ἐν ταῖς δίκαις ἀντιποιήσεως, ἢ τὸν ἀπὸ τοῦ θεοῦ μισθὸν καὶ τὴν εὐλογίαν τῶν πέντε νομισμάτων· εἰ γὰρ δοκιμάσει πρὸς ἐφορείαν ἀπιδεῖν ἢ προνομίαν ἑτέραν ἢ ἐξουσίαν, πρὸς τῷ μὴ εἰσακούεσθαι, παύηται καὶ τῆς τοιαύτης ἐπιβούλου ἐπικουρίας καὶ τῆς μισθαποδοσίας εὐθύς, καὶ οὐκ ἔτι δεήσει ἐπαρχικῆς βοηθείας τοῖς τοιούτοις ἱεροῖς, ὡς ἐπιβούλου. ὀφείλουσι δὲ λαμβάνειν οἱ μοναχοί, ὁ μὲν καθηγούμενος, ὅτε γένηται, ὡς προείρηται, ῥόγαν νομισμάτων ιβ'. οἱ διακονηταὶ ἀνὰ νομίσματα η'. οἱ πρεσβύτεροι ἀνὰ νομίσματα ζ', καὶ οἱ λοιποὶ ἀνὰ νομίσματα ς'. τὰ μὲν ἡμίση τραχέα, τὰ δὲ ἡμίση τέταρτα· ὁ καθηγούμενος σίτου μὲν μοδίους τεσσαράκοντα καὶ ὀκτώ, οἱ δὲ λοιποὶ ἀνὰ

μοδίους τριάκοντα. ἐπέκεινα δὲ τῆς τοιαύτης ποσότητος τυπῶ αὐτοὺς λαμβάνειν καὶ ἀνὰ μόδια τρία σίτου ὑπὲρ ἧς διωρισάμην ποιεῖν αὐτοὺς εἰς τὸν πυλῶνα καθ' ἑκάστην μεταδόσεως δι' ἑαυτῶν. οἴνου ὁ μὲν καθηγούμενος μέτρα λϛ', οἱ δὲ λοιποὶ ἀνὰ μέτρα κδ'. ὑπὲρ προσφαγίου ὁ μὲν καθηγούμενος νομίσματα τρία, οἱ δὲ λοιποὶ ἀνὰ δύο. ὀσπρίου ἀνὰ μόδια γ', καὶ ὑπὲρ ἐλαίου ἀνὰ νόμισμα ἕν, ὁ δὲ καθηγούμενος νομίσματα δύο. ἐν δὲ ταῖς κατὰ περίοδον γινομέναις ἑορταῖς ὀφείλει τελεῖσθαι οὕτως· ἐν τῇ ἑορτῇ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς Μεταμορφώσεως, ἵνα ἐξοδιάζωνται ὑπὲρ κηροῦ καὶ ἐλαίου καὶ τραπέζης τῶν μοναχῶν νομίσματα ἕξ, καὶ ὑπὲρ διαδόσεως τῶν πενήτων νόμισμα ἕν. ἐν τῇ παντίμῳ ἑορτῇ τῆς πανσέπτου Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου νομίσματα γ'. ἐν τῇ ἑορτῇ τοῦ Ἀσωμάτου τοῦ μεγάλου Ἀρχιστρατήγου τῇ τελουμένῃ ἐν τῇ ὀγδόῃ τοῦ νοεμβρίου μηνὸς νομίσματα δύο, ἐν τῇ ἑορτῇ τοῦ τιμίου Προδρόμου καὶ Βαπτιστοῦ, τῇ κατὰ τὸ ἡλιοτρόπιον ἐν τῇ ἁγίᾳ γεννήσει αὐτοῦ τελουμένῃ, διά τε φωταψίας, μυριστικῶν καὶ τραπέζης νομίσματα δ'. ἐν δὲ ταῖς λοιπαῖς αὐτοῦ ἑορταῖς ἀνὰ νόμισμα ἕν. εἰς τὰ ἅγια Χριστούγεννα καὶ τὰ Φῶτα νομίσματα τρία. καὶ ἐν τῇ σωτηριώδει καὶ ὑπερφυεστάτῃ ἀναστασίμῳ ἡμέρᾳ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὡσαύτως νομίσματα τρία, ὑπὲρ δὲ κηροῦ τῆς ἐκκλησίας τοῦ μοναστηρίου τοῦ ὅλου ἐνιαυτοῦ νομίσματα ιβ' τέταρτα, καὶ ἐλαίου λίτρας ρν'· καὶ ὑπὲρ θυμιάματος νομίσματα β'· ὑπὲρ δὲ προσφορᾶς καὶ νάματος τοῦ ὅλου ἐνιαυτοῦ, ἵνα παρέχωνται σίτου μόδιοι ιη' καὶ οἴνου μέτρα ιη', ἐφ' ᾧ καὶ τοὺς μοναχοὺς μεταλαμβάνειν ἐκ τούτου διὰ κλυσμοῦ καὶ ὑπὲρ ὑελίου νόμισμα ἕν. οὐκ ἐπιλέλησμαι δὲ τὰ περὶ τῶν συγγενῶν μου καταστοιχειούμενος εἰπών, ἵνα ὁ δόλον ἢ ἀμέλειαν μεγάλην ἐνδεικνύμενος ἢ ἄλλως κακῶς διαγινόμενος περὶ τὰ τῷ μοναστηρίῳ καὶ τῷ πτωχοτροφείῳ μου ἀνήκοντα, καθὼς πλατύτερον ἐν ἐκείνῳ τῷ χωρίῳ καὶ ἰδικῶς τὰς αἰτίας ἀνεταξάμην, ὁ τοιοῦτος ἀποκινῆται τῆς ἐφορείας καὶ κυριότητος καὶ προνοίας αὐτῶν, καὶ ἕτερος αὐτὴν διαδέχηται προβαθμιώτερος συγγενής, μεμαρτυρημένος ἐπὶ εὐλαβείᾳ καὶ φόβῳ θεοῦ καὶ κατατιθέμενος πάντα ποιεῖν κατὰ τὴν ἡμετέραν διάταξιν. ἐπειδὴ δὲ αὐστηρόν πως δοκεῖ καὶ ἀφιλάνθρωπον τὸ χωρὶς διαμαρτυρίας καὶ πρὸς τὸ δέον παραθήξεως τοὺς ἁμαρτάνοντας τιμωρίαις καθυποβάλλεσθαι, ὥστε καὶ αὐτὸν τὸν σπόρον τῆς ζωῆς ἀποβάλλεσθαι, διορίζομαι, ἵνα πρὸς τὸν μὴ ὀρθῶς κεχρημένον τοῖς ἐμοῖς διατάγμασι καὶ τοῖς τῶν εὐαγῶν οἴκων πράγμασι γίνωνται τρεῖς παραγγελίαι ἔγγραφοι ἐπὶ μαρτύρων κατὰ περιόδους τριμηνιαίας, καὶ τότε εἰ μὴ διορθοῦται, εἰ μὲν περίεισιν ἕτεροι τοῦ γένους μου, ἵνα προτιμᾶται ἕτερος ὁ ὑπερέχων ἐν ἀρετῇ καὶ βίου λαμπρότητι, ἐπιλειπόντων δὲ τῶν ἀρρένων, τότε ἵνα καὶ

τὸ θῆλυ τὸν τοιοῦτον σκοπὸν ἀπαντᾷ. εἰ δὲ ἴσως οὐχ ἕτερος εὑρίσκεται συγγενὴς ἐκ τῆς σειρᾶς ἧς προείρηκα, εἰ μὴ μόνος ὑπολέλειπται ὁ τὴν κυριότητα τηνικαῦτα καὶ ἐφορείαν ἔχων, ἵνα τῆς μὲν διοικήσεως καὶ προνοίας τοῦ τε μοναστηρίου καὶ τοῦ πτωχοτροφείου μου παύηται, καὶ οἱ μοναχοὶ διοικῶσι τὰ ἐπ' αὐτοῖς καὶ προνοῶνται καὶ διανέμωσι πάντα κατὰ τὴν παροῦσάν μου διάταξιν, ἐκείνῳ δὲ παρέχωσι τὰ ἡμίση τῶν περιττευόντων μετὰ τὰς τυπικὰς πάσας ἐξόδους, αἵτινες ἐπὶ διορθώσει κτημάτων καὶ οἰκημάτων γίνονται, ὡς τῶν ἑτέρων ἡμίσεων ὀφειλόντων ἀποτίθεσθαι καὶ φυλάττεσθαι εἰς ἐξώνησιν ἑτέρων ἀκινήτων καὶ εἰς ἐπανόρθωσιν τῶν δεόντων. εἰ δὲ συγγενὴς ὕπεστιν ἀξιόλογος καὶ τοῦ κακῶς διαγινομένου ἐκβαλλομένου ἀντεισαχθῇ πρὸς τὴν ἐφορείαν καὶ κυριότητα, ἵνα παρέχῃ πρὸς τὸν ἐκβαλλόμενον φιλανθρώπως μοναχοῦ ἑνὸς χρείαν καθ' ἕκαστον ἐνιαυτόν. ἐπὶ δὲ τοῦ μυστογράφου καὶ βασιλικοῦ νοταρίου, κυροῦ Θεοδώρου, τοῦ περιποθήτου μου υἱοῦ, ἔκπτωσις οὐ ψηφισθήσεται, ἀλλὰ μόνη τούτῳ ἀνάγκη ἐπιτεθήσεται ποιεῖν τὰ διατεταγμένα παρ' ἐμοῦ καὶ μὴ βουλομένῳ. εἰ δὲ κακουργεῖ, ἵνα ἐπίκηται αὐτῷ πρόστιμον ἡ ἐπίδοσις πάντων τῶν τετυπωμένων εἰς τὸ διπλάσιον· φιλοθέως γὰρ διοικῶν τὰ διατεταγμένα κατὰ τὸ ἀνυστέρητον καὶ εὐλογίας πάντως ἐπιτεύξεται ἐν τοῖς οἰκείοις καὶ εὐάρεστος ἔσεται πᾶσι· μηδὲ γὰρ θελησάτω εὐπορῆσαι ἀπὸ ὑστερημάτων ὁσίων, ὅτι ὁ τοιοῦτος τρόπος ἀπορίαν μᾶλλον καὶ κρίμα περιποιεῖ. ἐφιέμενος δὲ πλειόνων ἐργαζέσθω τὸ καλὸν καὶ ἀγωνιζέσθω καὶ δι' ἀγαθῆς ἐπικτάσθω πίστεως, οἴκοθεν ἔχων τὸ παράδειγμα ἐκ τοῦ φύσαντος. καὶ οὐκ ἐγκαταλείψει αὐτῷ κύριος ὁ θεὸς πᾶν εἴ τι χρηστὸν καὶ εὔδαιμον καὶ ἐπέραστον· μονογενῆ γὰρ αὐτὸν ἐσχηκὼς ὑπερηγάπησα καὶ ἐπόθησα καὶ βούλομαι, καὶ ψυχῇ καὶ σώματι εὐεκτεῖν καὶ ἄλυπον εἶναι καὶ ἀνενόχλητον ἐκ παντὸς προσώπου καὶ πράγματος. εἰ δὲ καὶ διὰ τοῦ πολλοῦ χρόνου ἐπιλείψαι ἴσως τὸ γένος μου, καὶ εἰς τὸ αὐτοδέσποτον περιστῇ τὸ μοναστήριόν μου σὺν τῷ πτωχοτροφείῳ, ὅτε μέλλει γενέσθαι ἡγούμενος, ἵνα ἐκλέγηται παρὰ πάντων τῶν μοναχῶν εἷς, ὁ τοὺς τρόπους αὐτοῦ ἐκλελεγμένους δεικνύων καὶ κατὰ θεὸν ἀνεπιλήπτως πολιτευόμενος, καὶ τῆς ἀρετῆς τὴν αὔλακα καλῶς γεωργῶν, καὶ σφραγίζηται παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς μονῆς τῶν Στουδίου, μὴ ἔχοντος ἐντεῦθεν τοῦ καθηγουμένου τοῦ Στουδίου παρείσδυσιν ἐφορείας ἢ τινὸς ἐξουσίας εἰς τὸ μοναστήριον καὶ τὸ πτωχοτροφεῖόν μου, ἀλλ' ἢ μόνην τὴν σφραγῖδα τοῦ ἡγουμένου καὶ τὸ διαλύειν τὴν ἴσως ἀναφυησομένην περὶ ἡγουμενείας ἀμφισβήτησιν, ὥστε προκρίνειν τὸν κρείττονα, καὶ πλείονος προνομίου μηδόλως ἐπιλαμβάνεσθαι τοῦτον ἐπισκήπτω καὶ διατάττομαι. εἰ δὲ περὶ ἀρετῆς δύο τῶν μοναχῶν ἐμπέσῃ ἀμφισβήτησις, καὶ οἱ μὲν προκρίνουσιν τοῦτον εἰς τὴν ποιμαντικὴν προστασίαν ἤγουν ἡγουμενείαν, οἱ δὲ ἐκεῖνον,

ἵνα γίνηται ὁ κλῆρος ἐκ τῆς θείας ψήφου, καθὼς προδιέστειλα, καὶ τότε σφραγίζηται ἡγούμενος παρὰ τοῦ εἰρημένου καθηγουμένου ὁ ἐκ τῶν ἀδύτων κατὰ κλῆρον ἐπιλεγείς. ὁ μέντοι λαμπρότατος ἔπαρχος ἔσται συναντιλαμβανόμενος ἐν ταῖς δίκαις τοῦ τε μοναστηρίου καὶ τοῦ πτωχοτροφείου μου κατὰ τὴν προεκφωνηθεῖσαν ἀπαραποιήτως διάταξιν ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας καὶ τῆς εἰς τὸν θεὸν θεραπείας, ὅς, εἴπερ ὁ τιμιώτατος καθηγούμενος ἐπιχειρήσει δεσποτείαν ἢ ἐφορείαν ἐν τοῖς εὐαγέσι τούτοις προσκτήσασθαι, ἵνα κωλύῃ αὐτὸν καὶ ἐξωθῇ τοῦ τοιούτου προνομίου καὶ διαδέχηται αὐτὸς ὁ λαμπρότατος δηλαδὴ ἔπαρχος τὴν τοῦ ἡγουμένου προχείρισιν. πλέον δὲ ταύτης καὶ τῆς ἐν ταῖς δίκαις ἀντιλήψεως καὶ βοηθείας ἐπέχῃ μηδέν. ταῦτα δὲ ἔσται μετὰ τὴν παρέλευσιν τῆς ἀπὸ τοῦ γένους μου ἐφορείας καὶ κυριότητος, ὡς προγέγραπται. ἀπαγορεύομεν γὰρ παντελῶς καὶ πᾶσαν ἐξουσίαν κοσμικήν τε καὶ ἱερατικὴν ἀποσοβοῦμεν τοῦ τοιούτου μοναστηρίου καὶ τοῦ πτωχοτροφείου, καὶ μόνῳ θεῷ τῷ ἐν ἀρχικωτάτῃ καὶ ὑπερουσίῳ Τριάδι δοξαζομένῳ ταῦτα ἀνατιθέμεθα, καθὰ πολλαχοῦ τῆς παρούσης γραφῆς διελάβομεν, καὶ οὐδεὶς ἕτερος ἐν αὐτοῖς διοικήσει καὶ τὰ προειρημένα ἕξει προνόμια ἐπὶ εὐαρεστήσει τοῦ θεοῦ καὶ ἀκολούθως τῆς παρούσης μου διατάξεως, εἰ μὴ ὁ γνήσιός μου υἱός, ὁ μυστογράφος καὶ βασιλικὸς νοτάριος, κῦρ Θεόδωρος, καὶ οἱ καθ' ἑξῆς ἐκ τῆς ὀσφύος αὐτοῦ κληρονόμοι μου εἰς ἀπέραντον, κατὰ τὴν τάξιν καὶ τὸν ὅρον, ἅπερ ἐθέμην ἐν οἷς περὶ ἐφορείας καὶ διοικήσεως τῆς μονῆς ἐμνημόνευσα, ὥστε τὸν ἄρρενα προτιμᾶσθαι τοῦ θήλεως καὶ τὸν κρείττονος βίον ὄντα τῶν λοιπῶν, καὶ ἁπλῶς οὕτως ἔσονται, ὥσπερ ἐν τῷ ὀπισθίῳ τμήματι πλατύτερον τὰ περὶ αὐτῶν συνέταξα καὶ διεταξάμην. εἰ δέ τις τῆς βασιλικῆς μερίδος ἢ τῆς ἐκκλησιαστικῆς ἢ ἄλλης τινὸς προνομίας ἢ βαθμοῦ ἢ τύχης παρασαλεῦσαί τι τῶν δεδογμένων μοι δοκιμάσει, πρὸς τῷ μὴ εἰσακουσθῆναι ἐπικατάρατος οὗτος παρὰ θεῷ καὶ ἀνθρώποις καὶ ἀπὸ μόνης τῆς ἐπιχειρήσεως ἔνοχος ἔσται πάσαις ταῖς προηγησαμέναις ἀραῖς, καὶ ἐπίσης λογισθήσεται ἡ μερὶς αὐτοῦ τοῖς ἀναθεματιζομένοις ἐν ταῖς ἁγίαις ἐκκλησίαις, ὡς παραβάτης καὶ ἀποτρόπαιος.

ια'. Περὶ τῶν παροίκων καὶ ἐκληπτόρων.

Οἱ δὲ πάροικοι καὶ ἐκλήπτορές μου ὀφείλουσι διατηρεῖσθαι ἀνενόχλητοι καὶ μὴ καταβαρύνεσθαι εἰς πλείονα δόσιν πάκτου ἢ δουλειῶν, παρ' ὅπερ ἐπ' ἐμοῦ κατεβάλλοντο καὶ ἐδούλευον· τὸν τύπον γὰρ καὶ τὴν τάξιν τῆς λειτουργίας αὐτῶν ἐναλλαγῆναι οὐ συγχωρῶ, εἰ μή τις εὑρεθῇ πλείονα τῆς ἐπιβαλλούσης γῆς αὐτῷ κατέχων καὶ ἐκκαρπούμενος ἢ ἄλλο τι ἐπισυμβῇ ἀπρόοπτον, δεόμενον προσθήκης δουλειῶν αὐτῶν ἢ συνεισφορῶν.

ιβ'. Περὶ τῶν δικαιωμάτων.

Τὰ μέντοι δικαιώματα τῶν προσκεκυρωμένων ἀκινήτων τῷ τε μοναστηρίῳ καὶ τῷ πτωχοτροφείῳ μου ἅμα τῷ πρωτοτύπῳ χρυσοβουλλίῳ, ἵνα ἀποκέωνται [1]) εἰς ἀρμάρια ἱστάμενα εἴτε ἐν τῷ σκευοφυλακίῳ τῆς μονῆς, εἴτε ἐν ἑτέρῳ οἰκήματι ἀσφαλεῖ, καὶ ἐπικέωνται [2]), ἑκάστῳ τῶν ἀρμαρίων δύο κλεῖδες, καὶ τῆς μὲν μιᾶς τὸ ἀνοικτήριον κατέχῃ ὁ κληρονόμος μου, τῆς δὲ ἑτέρας ὁ οἰκονόμος, εἰ μή ἐστιν ἡγούμενος· ἐπιτίθωνται [3]) δὲ καὶ σφραγῖδες παρά τε τοῦ κληρονόμου μου καὶ τῶν μοναχῶν, καὶ ὅτε γένηται χρεία δικαιώματος, ἵνα ἀνοίγωσι πάντες καὶ ἐξάγηται τὸ τοιοῦτον χαρτίον, καὶ πάλιν ἡ αὐτὴ γίνηται ἀσφάλεια ἐπὶ τῶν λοιπῶν, εἶτα τελειουμένης τῆς ὑποθέσεως ἀποτίθηται [4]) πάλιν τὸ τοιοῦτον χαρτίον, ὅθεν ἐξέβη· ἵνα δὲ ἀποτυλίγωνται κατ' ἐνιαυτὸν ἐκ τρίτου τὰ χαρτία, καὶ τινάσσωνται [5]), καὶ πάλιν ὦσιν ὑπὸ τὴν αὐτὴν ἀσφάλειαν· πλὴν ἵνα ἀπογραφῶσι πάντα τὰ δικαιώματα ἐν κονδακίῳ, ὡς ἂν συνοπτικῶς διαγινώσκηται πόσα καὶ ποῖα δικαιώματα ἔχει ἑκάστη κτῆσις· ἐγὼ γὰρ θεοῦ θέλοντος πάντα ὅσα ἐπεκτησάμην, μετὰ νομίμων καὶ ἀσφαλεστάτων πράξεων καὶ δικαιωμάτων ἐπεκτησάμην καὶ ἀγαθῆς πίστεως, μήτε δημόσιον καινοτομήσας, μήτε παρανομήσας ἐπὶ θεῷ μάρτυρι· καὶ ἐπὶ πάσης ὑποθέσεως τῶν κτημάτων μου ψηλαφῶντες οἱ διάδοχοι τῶν εὐαγῶν οἴκων, εὑρήσουσιν ἐξ ἅπαντος δικαίωμα πρόσφορον εἰς ἀσφαλεστάτην τοῦ ζητουμένου βοήθειαν. τὸ δὲ πρωτότυπον τυπικὸν ἵνα ὑπάρχῃ κατησφαλισμένον καὶ ἐσφραγισμένον ἄνωθεν, ἐνεργῇ δὲ τὸ τούτου ἰσότυπον καὶ ἀναγινώσκηται τρὶς τοῦ ἐνιαυτοῦ ἕν τε τῷ καιρῷ τῆς ῥόγας τῶν μοναχῶν, ὡς προδιείληπται, καὶ ἐν τῷ σεπτεμβρίῳ μηνὶ καὶ τῷ καιρῷ τῶν Φώτων. ἐὰν δὲ γένηταί τις ἀμφιβολία εἰς τὸ ἰσότυπον περὶ ῥητοῦ τινος, τότε ἵνα ἀνοίγηται τὸ πρωτότυπον, καὶ ἀντιβολῆς γινομένης, εἴτ' οὖν παρατεθητικῆς συγκρίσεως, πάλιν κατασφαλίζηται τὸ πρωτότυπον καὶ ἐπισφραγίζηται ἄνωθεν, καὶ τηρῆται ἐν ἀσύλῳ, ἐνεργῇ δὲ τὸ ἰσότυπον. ὁ δὲ εὐλαβὴς μοναχὸς Μιχαήλ, ὃν αὐτὸς προεχειρισάμην οἰκονόμον ὡς διαγωνιζόμενον τὰ πρὸς ἀρετήν, καὶ πρώτως τὴν κοσμικὴν ἀποθέμενον τρίχα, ἔσται τῷ περιποθήτῳ μου υἱῷ καὶ κληρονόμῳ ἐν πᾶσιν εὐαρεστῶν καὶ ἀντιποιούμενος τῆς αὐτοῦ εὐεξίας καὶ εὐπραγίας, καὶ πανταχόθεν αὐτῷ τὰ θυμήρη κατὰ θεὸν πραγματευόμενος, ὡς πρόκριτος ἐν τοῖς μοναχοῖς, καὶ εἰς πᾶν θεοφιλὲς ἔργον ἐμβιβάζων αὐτόν, ἐφ' ᾧ καὶ τὰς διαδόσεις τελεῖσθαι σὺν θεῷ παρ' ἐκείνου κατὰ τὴν παροῦσάν μου βούλησιν, ὡς ἂν καὶ τὴν ἀπ' ἐκείνου πάλιν προσπάθειαν καὶ

---

[1]) ἀπόκειναι S. [2]) ἐπίκεινται S. [3]) ἐπιτίθενται S. [4]) ἀποτίθεται S. [5]) τινάσωνται S.

τιμὴν ἀπολαμβάνῃ δεόντως. ὅθεν καὶ μισθὸς αὐτῷ πλείων τῶν ἄλλων νυνὶ τετύπωται, καὶ ἔσται νομίσματα δέκα ἢ ἀννόνα σίτου μόδιοι λς' καὶ οἴνου μέτρα τριάκοντα, τὰ δὲ λοιπὰ μένωσιν ἐπὶ τῆς προειρημένης τάξεως ἐν τῷ προλαβόντι. τῷ δὲ καθηγουμένῳ τοῦ Στουδίου, εἴποτε ἄρα προχειρίσασθαι τούτῳ γένοιτο καθηγούμενον τῇ μονῇ τοῦ πτωχοτροφείου τοῦ Πανοικτίρμονος, παρερχομένου ἴσως τοῦ γένους μου, (ὅπερ ἀπεύχομαι), ἵνα παρέχηται εὐλογία νομίσματα τρία ὑπὲρ ὀψωνίου αὐτοῦ. μοναχοῦ δὲ τῆς τοιαύτης μονῆς πρὸς κύριον ἐκδημοῦντος, ἵνα παραμένῃ ὁ τούτου ὑπουργὸς εἰς τὸ πτωχοτροφεῖον ἐπὶ ἡμέρας τεσσαράκοντα καὶ μὴ ἐκδιώκηται· εἰ δὲ εὑρεθῇ χρηστοῦ βίου καὶ ὑπολήψεως ἀγαθῆς, ἵνα συνεισάγηται ἐν τοῖς διατρεφομένοις καθ' ἑκάστην ἓξ ἀδελφοῖς ἀναπληρῶν τὸν ἕκτον ἀριθμόν· εἰ δὲ τοῦτο μὴ βούληται, ἵνα τάττηται εἰς τὰ ιη' πρόσωπα τὰ τυπωθέντα λαμβάνειν σῖτον, καὶ λαμβάνῃ σίτου μοδίους δώδεκα ἀννονικοὺς ἐτησίως. ἐπὶ δὲ τούτοις πᾶσι καὶ τοῦτο διορίζομαι, ἵνα εἴ τις ποτὲ περὶ καταστάσεως τοῦ πτωχοτροφείου μου ἢ μοναστηρίου ἢ ἐφορείας ἢ διοικήσεώς τινος ζήτησίν τινα ἐπαγάγοι καὶ παρασαλεῦσαί τι πειραθῇ ἀσεβῶς τῶν παρ' ἐμοῦ διατεταγμένων, ὑπόδικος μὲν ἢ ὁ τοιοῦτος καὶ τῷ αἰωνίῳ πυρὶ καὶ ταῖς φρικωδεστάταις ἀραῖς, μηδεὶς δὲ ἕτερος ἀκροᾶται τῶν παρ' αὐτοῦ ἀδολεσχημάτων καὶ ὀλεθρίων καὶ σατανικῶν ἐπιχειρημάτων, εἰ μὴ ὁ ἐκ τῆς τοῦ θεοῦ προχειρίσεως εὐσεβῶς τῶν ῥωμαϊκῶν ἐπειλημμένος σκήπτρων θειότατος βασιλεύς, ὡς ἂν ἐν χειρὶ θεοῦ τὴν καρδίαν ἔχων καὶ ἐκλεκτὸς αὐτοῦ ὑπὲρ ἅπαντας καθεστώς, ἀποσοβῇ μὲν σφοδρῶς καὶ τὸν λύκον τοῦτον καὶ πονηρὸν διώκτην καὶ φλύαρον, καὶ συντρίβῃ τὴν ἀπηχεστάτην θηριωδίαν αὐτοῦ, διατηρῇ δὲ ἀδιαλώβητα τὰ τῆς ἡμετέρας εὐτελοῦς διαταγῆς καὶ τὴν τῶν σεβασμίων τούτων οἴκων εὐετηρίαν ἐς τὸ ἀεί, ὡς εὐσεβὴς καὶ φιλόχριστος· αὐτῷ γὰρ πρέπει τὰς τῶν κτητόρων περιέπειν βουλήσεις καὶ τὰ σεβάσμια ἐκδικεῖν καὶ τὰ ἐπ' αὐτοῖς γεγονότα θεοσεβῆ χρυσοβούλλια συνέχειν καὶ συντηρεῖν ἀνεφύβριστα, ὅτι καὶ καθημερινὸν τρισάγιον ὑπὲρ τῶν θειοτάτων βασιλέων γίνεται, καθὼς ἐν τῷ τυπικῷ ἡμῶν περιέχεται, καὶ τῷ θάρρει τῆς αὐτῶν εὐσεβείας καὶ εὐποιίας, εἴτ' οὖν βοηθείας καὶ ἐκδικίας, οἱ κατὰ θεὸν ἄνθρωποι τοὺς βίους αὐτῶν τῷ θεῷ καθιεροῦσιν, ἐξίλασμα ὑπὲρ σωτηρίας αὐτῶν καὶ ὑψώσεως τροπαίων καὶ κατευοδώσεως καὶ νίκης τοῦ στρατοπέδου καὶ τῆς κοινῆς πολιτείας διακοσμήσεως καὶ ψυχικῆς ὠφελείας καὶ τῆς τοῦ θείου εὐαρεστήσεως. καὶ τοῦτο προσεπισκήπτω, ἵνα εἴ τις ποτὲ τῶν ἐκ πλαγίου μου συγγενῶν πειραθῇ παραλυπῆσαι τὸν περιπόθητον καὶ γνήσιόν μου υἱὸν κυρὸν Θεόδωρον ἢ δίκην τινὰ καθ' οἱανδήτινα αἰτίαν ἢ τρόπον ἢ διασεισμὸν ἐπιτεχνήνασθαι τούτῳ ἢ τοῖς καθεξῆς υἱοῖς καὶ ἐγγόνοις αὐτοῦ ἢ δισεγγόνοις καὶ τῇ ἐφεξῆς φυσικῇ διαδοχῇ, πρῶτον μὲν ὑπάρχῃ οὗτος

ἐπικατάρατος, ἔπειτα σχολάζῃ ἅπαν τὸ περὶ τῶν ἐκ πλαγίου συγγενῶν μου ῥηθὲν κεφάλαιον, ἐν ᾧ διωρισάμην ἀποκείρεσθαι τὸν βουλόμενον συγγενῆ μου ἐκ πλαγίου, καὶ κἂν εἰ μυριάκις παρέλθῃ τὸ τῶν κατιόντων μου ἅπαν γένος, μὴ ἔχῃ κἂν εἷς ἐκ τῶν ἐκ πλαγίου μου συγγενῶν παρείσδυσιν ἐφορείας τινὸς ἢ ἀπολήψεως ἐκ τῶν συστάντων παρ' ἐμοῦ εὐαγῶν οἴκων ἄχρι καὶ ψωμοῦ ἑνὸς ἢ ἑτέρου εἴδους. ἀλλὰ μηδὲ εἰς τὴν πύλην αὐτῶν εἰσιτητὸν ὑπάρχειν τούτοις, ὡς λογιζομένοις ἐπιβούλοις, καὶ τῆς ἐμῆς διαταγῆς ἐναντιόφροσι καὶ ἀποτροπαίοις. εἴπερ δὲ σὺν θεῷ καὶ ἕτερον χρυσόβουλλον ἐπιγένηται εἰς ἐπικύρωσιν τῆς ἐμῆς διαταγῆς καὶ ἐξκουσσείαν τῶν κτημάτων καὶ λοιπῶν αὐτῶν, ἵνα καταστρωνύηται εἰς τὸ τοιοῦτόν μου τυπικόν· ἐπὶ τούτῳ γὰρ καὶ ἄγραφα φύλλα διάφορα καταλέλοιπα. ὡσαύτως ἵνα γίνηται καὶ εἰς τὸ συνηνωμένον τῷ τυπικῷ μου βρέβιον, ὅταν ἢ κτῆμα ἢ χρῆμα ἐπέκεινα τῶν διαλαμβανομένων ἐν τούτῳ προσκυρωθῇ. ταῦτα φυλάξοι κύριος ὁ θεὸς ἀπαράτρωτά τε καὶ ἀπαράθραυστα τῷ παντὶ αἰῶνι συμπαρεκτεινόμενά τε καὶ συνδιευθετούμενα, καὶ οὐδεὶς ἔσται χρόνος ἢ φθόνος ὁ ταῦτα περιτρέψων καὶ λυμανούμενος[1]), ἀλλὰ πρὸς ἐπίδοσιν ἀεὶ καὶ αὔξησιν καὶ μονιμωτέραν κατάστασιν διεξάγοιντό τε καὶ διακυβερνῷντο[2]) τῇ ζωαρχικῇ καὶ θείᾳ χειρὶ σκεπόμενά τε καὶ συντηρούμενα, εἰς δόξαν πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν †.

† Μιχαὴλ πατρίκιος, ἀνθύπατος, κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου, ὁ Ἀτταλειάτης, τὰ ἀνωτέρω πάντα βεβαιῶν σὺν θεῷ καὶ ἀπαράθραυστα μένειν βουλόμενος ὑπέγραψα καὶ ἐσφράγισα, μηνὶ μαρτίῳ, ἰνδικτιῶνος ιε', ἔτους ,ςφπε' †.

† Τὸ δὲ γραφὲν ἐν τῷ παρόντι μου τυπικῷ, ἵνα ἐπιλείποντος τοῦ ἄρρενος ἀπὸ τῆς γενεᾶς μου ἀπαντᾷ καὶ τὸ θῆλυ πρὸς τὴν τῶν εἰρημένων εὐαγῶν οἴκων διαδοχήν, καὶ πάλιν ὁρίζω, καὶ οὐδὲν ἡ φύσις βλάψει τὸ γένος, καὶ τὴν ἐμοῦ[3]) τοῦ κτήτορος διάταξίν τε καὶ θέλησιν· ἡ γὰρ πρόνοια τῶν τοιούτων γυναιξὶ μὲν πολλάκις ἀνατίθεται διὰ δωρεῶν ἢ συγγενικῆς διαδοχῆς, ἐνεργεῖται δὲ διὰ μέσου ἀρρένων, εἴτε ὁμοζύγων αὐταῖς, εἴτε παίδων, εἴθ' ὑπηρετῶν εὐυπολήπτων καὶ ἁγνῶν, καὶ συντηρεῖται ἀμφοτέρωθεν τό τε δίκαιον τῆς διαδοχῆς καὶ τὸ τῆς πράξεως εὐσεβές. ὁ δὲ δοκιμάσων παρακινῆσαί τι τῶν παρ' ἐμοῦ διωρισμένων ἁπάντων, ἐκ πάσης ἡλικίας καὶ τύχης καὶ φύσεως καὶ βαθμοῦ, πρὸς τῷ καταγέλαστος εἶναι καὶ ἀνηνύτοις ἐπιχειρεῖν, ὡς μὴ κτητόρων διατάξεις σεβόμενος καὶ τιμῶν τύπους καὶ προνόμια τῆς βασιλευούσης τῶν πόλεων, ἐξοχώτατα τῶν ἐπαρχιῶν, καὶ νόμων

---

1) λυμηνούμενος S. 2) κυβερνοῖντο S. 3) ἐμοῦ τὴν S.

διανοίας ἐπιστάμενος καὶ χρυσοβούλλίων δυνάμεις, δι' ὧν καὶ αὐτὴ ἡ μεγάλη ἐκκλησία συνέστη τε καὶ συνίσταται καὶ λαῦραι καὶ μοναστήρια ὑπὲρ τοὺς ἀστέρας τῆς τῶν κτητόρων ἐπαπολαύουσι διατάξεως, ἵνα καὶ τοῖς σταυρωταῖς τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συγκατατάττηται καὶ αὐτίκα λύηται τοῖς κληρονόμοις μου καὶ ἡ ἐπιτεθεῖσα τούτοις ἐξ ἀπαιδίας τῆς ἀποκαταστάσεως αἵρεσις, καὶ ἔχωσιν ἐπ' ἀδείας καὶ ζῶντες καὶ μετὰ τελευτὴν παραπέμπειν τὰ καταλελειμμένα τούτοις παρ' ἐμοῦ ἀκίνητα, ὅπου καὶ βούλονται, πρὸς τῷ ἔχειν καὶ τὴν πρόνοιαν καὶ τὴν κυριότητα τῶν εἰρημένων καὶ παρ' ἐμοῦ συστάντων εὐαγῶν οἴκων εἰς τὸ ἑξῆς ἀναφαίρετον κατὰ τὰς ἐμὰς διαταγάς †.

† Μιχαήλ, πρόεδρος, κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου, ὁ Ἀτταλειάτης, καὶ τὴν προλεχθεῖσαν ταύτην προσθήκην ὡς παρ' ἐμοῦ γεγονυῖαν βεβαιῶν νῦν ὑπέγραψα †.

Ἀρχὴ τοῦ βρεβίου τῆς μονῆς τοῦ Πανοικτίρμονος.

† Εὐλογητὸς κύριος ὁ θεὸς ὁ ἐν Τριάδι τοῖς εὐσεβέσιν ὑμνούμενός τε καὶ γνωριζόμενος, καὶ τῷ τριλαμπεῖ τούτῳ φωτὶ καὶ συναϊδίῳ καὶ ὁμοουσίῳ πάντα φωτίζων καὶ διιθύνων, ὅσα τε ἐν κόσμῳ καὶ ὅσα δὴ ὑπερκόσμια καὶ τῆς ὕλης ὑπέρτερα, δι' οὗ κἀμοὶ σημεῖον εἰς ἀγαθὸν καὶ θαυμασίων χάρις προσγέγονεν· ἐκεῖθεν γὰρ ἐκ τῆς θείας προνοίας καὶ ἀπειροδυνάμου μεγαλειότητος, ἐκ χειρῶν ἀλαστορικῶν ἔν τε πολέμοις περσικοῖς καὶ ἀραβικοῖς καὶ αὖ πάλιν σκυθικοῖς ἀνηρπάγην, καὶ τῇ προσούσῃ μοι ἀσθενείᾳ σθένος ἐπετέθη παράδοξον καὶ ἰσχύς, πανωλεθρίαν τοιαύτην ἀπείργουσα, οὐ μὴν δέ, ἀλλὰ καὶ ἐκ βυθοῦ με θαλάσσης ὑπὲρ ἐλπίδα πολλάκις ἀνασωθῆναι πεποίηκεν ἡ θεία ἀντίληψις, καὶ τοσούτων καὶ τηλικούτων κινδύνων λύτρωσις ἐχαρίσθη σωτηριώδης· ἀνακηρύττειν γὰρ τὸν ἔλεον καὶ τὴν εὐεργεσίαν μὴ κρύπτειν ἀεὶ προτεθύμημαι, ὅτι ὄντως μέγας ὁ κύριος καὶ αἰνετὸς σφόδρα, θαυμαστὸς ἐν ὑψηλοῖς, καὶ ποιῶν θαυμάσια μόνος. ὁ τοιαῦτά μοι δείξας πρὸ ὀφθαλμῶν ὑπερμεγέθη ζωῆς καὶ σωτηρίας χαρίσματα καὶ οὐ μόνον διασώσας, ἀλλὰ καὶ πρὸς βίου εὔροιαν καὶ εὔκλειαν ὁδηγήσας, καὶ στήσας ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατευθύνας τὰ διαβήματά μου κατὰ πάντα καιρὸν καὶ τόπον καὶ προσδοκίαν· ὅθεν καὶ μαρτυρικὴν δανεισάμενος τὴν φωνήν, μετὰ δακρύων καὶ συντετριμμένης βοῶ τῆς ψυχῆς, ἵνα εὕροιμι τὸν πανοικτίρμονα δεσπότην καὶ κύριον καὶ θεόν μου ἵλεον ἐν ἡμέρᾳ τῆς κρίσεως, ἐπὶ συμπαθείᾳ καὶ παροράσει τῶν ἐμῶν ἀπείρων πλημμελημάτων. , ἡ δὲ ἱκετήριός μοι αὕτη φωνή· μεγαλύνων μεγαλύνω σε κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν μου, ἀλλ' ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου·

καὶ νῦν, δέσποτα, σκεπασάτω με ἡ χείρ σου, καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου· δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα, ἐν τῷ κρίνεσθαί με μὴ καταλάβοι με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ σκότους τούτου εἰς τὸ κατασπᾶσαί με τὸν ἁμαρτωλὸν εἰς βυθὸν Ἅιδου, ἀλλὰ παράστηθί μοι καὶ γενοῦ μοι σωτὴρ καὶ ἀντιλήπτωρ· ἐλέησον κύριε τὴν ῥυπωθεῖσαν τοῖς πάθεσι τοῦ βίου τούτου ψυχήν μου, καὶ καθαρὰν αὐτὴν διὰ μετανοίας πρόσδεξαι, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. ταῦτά σοι παρὰ δούλου ἀχρείου καὶ ταπεινοῦ καὶ λίαν ἁμαρτωλοῦ, πανοικτίρμον κύριε, φιλανθρωπότατε βασιλεῦ, προσπίπτων οὖν μετὰ συντετριμμένης καρδίας ἱκετεύω καὶ δέομαι, μὴ ἀπώσῃ τὴν δουλικήν σου ταύτην θυσίαν καὶ ἀναξίαν προσαγωγήν, ἀλλὰ κατὰ τὸ σὸν ἀνείκαστον καὶ ἀνέκφραστον ἔλεος πρόσδεξαι ταύτην ἐν εἰρήνῃ, καὶ φιλανθρώπως ἔπιδε ἐπὶ τὸ μικρὸν τοῦτο ποίμνιον, ὅτι κληρονομία σου κέκληται καὶ ἐστί, καὶ φύλαξον ταύτην ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ, συντηρῶν τὰ διατεταγμένα πρὸς σὴν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, τῆς ἑνιαίας καὶ τριλαμποῦς καὶ ὑπερτάτης βασιλείας ἐπιεικῶς εὐαρέστησιν· τὰ σὰ γὰρ ἐκ τῶν σῶν σοι προσφέρων, συγγνώμην αἰτῶ τοῦ τολμήματος, εἰδὼς ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶσα σάρξ, εἰ μὴ τὸ σὸν τῆς φιλανθρωπίας προφθάσει ἀκατάληπτον καὶ ἀδιήγητον ἔλεος, δι' οὗ καὶ τὰ προσενηνεγμένα ταυτὶ εὐτελῆ πολυπλασιασθῆναι πιστεύω καὶ εὔχομαι, καὶ εἰς ἐπίδοσιν αὐξηθῆναι καὶ πολλῷ πλείοσι τῶν δεομένων ἐπιδαψιλευθῆναι τὰ κρείττονα διὰ τῶν εὐσεβῶν διαδόσεων εἰς τὴν τοῦ σοῦ κράτους διηνεκῆ εὐχαριστίαν καὶ δοξολόγησιν. εἰσὶ δὲ τὰ βρεβωθέντα τῷ τε δουλικῷ σου μοναστηρίῳ καὶ τῷ πτωχοτροφείῳ ταυτί, οἷς συνταχθήσονται καὶ τὰ μετέπειτα προσεπαυξανόμενα διὰ τῆς σῆς μεγάλης βοηθείας καὶ ἐπινεύσεως, εἴτε δι' ἐμοῦ αὖθις, εἴτε διὰ φιλοθέων καὶ εὐσεβῶν ἑτέρων ἀνδρῶν, ὧν καὶ τὰ ὀνόματα ὀφείλουσι δηλοῦσθαι ἐν τῇ προσγραφῇ τοῦ καθιερωμένου πράγματος κινητοῦ ἢ ἀκινήτου, ὡς ἂν μνημονεύωνται διὰ παντὸς ἐν ταῖς ἡμεριναῖς καὶ νυκτεριναῖς δοξολογίαις τοῦ θείου ναοῦ.

α'. Διὰ τῶν ἱερῶν κειμηλίων.

Εἰκὼν μεγάλη ὑλογραφικὴ στασίδια, Ἰησοῦς Χριστὸς ὁ Πανοικτίρμων. σταυροὶ ἀργυροὶ διάχρυσοι βαϊοφορικοὶ τέσσαρες. εἰκὼν ἀργυρᾶ, προσευχάδιον διάχρυσον ὁ Σωτήρ, λαιμὴν δίθυρον, ἔχουσαι αἱ θύραι ἔσωθεν μὲν τὴν ὑπεραγίαν Θεοτόκον καὶ τὸν τίμιον Πρόδρομον, τοὺς ἁγίους ἀποστόλους Πέτρον καὶ Παῦλον, τὸν ἅγιον Ἀρτέμιον, καὶ τὸν ἅγιον Λουκιλιανόν, ἔξωθεν τοὺς ἁγίους μάρτυρας Γεώργιον, Ἀκίνδυνον, ἅγιον Νικόλαον, καὶ τὸν ἅγιον Μεθόδιον, τὸν ἅγιον Κοσμᾶν καὶ τὸν ἅγιον Δαμιανόν. ἑτέρα εἰκὼν ἀργυρὰ διάχρυσος ὁ Σωτήρ, λαιμὴν ἔχουσα γυρόθεν εἰκόνα

Θεοῦ, καὶ τὴν ἑτοίμην. ἑτέρα εἰκὼν ἀργυρὰ διάχρυσος ἡ ὑπέραγνος Θεοτόκος ἀριστεροκράτις, ἔχουσα γυρόθεν, καθὼς ἡ ἐπιγραφὴ γράφει, τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου. ἑτέρα εἰκὼν ἀργυρὰ διάχρυσος ὁ Ἀρχιστράτηγος . . .[1]) ἀργυρὰ διάχρυσος ἔχουσα εἰκόνα λαιμία ιη΄. ἑτέρα εἰκὼν ὑλογραφία ἡ ἁγία Αἰκατερίνα, μετὰ περιφερίων ἀργυρῶν διαχρύσων, ἔχουσα εἰκόνα λαιμία ς΄, καὶ σταυρίδια β΄. ἑτέρα εἰκὼν ὑλογραφία ὁ τίμιος Πρόδρομος, ἡ Προσκύνησις ἄνευ περιφερίων. ἕτεραι εἰκόνες ὑλογραφίαι ἤδεαι. τὸ τέμπλον ἔχον καὶ αὐτὸ μέσον τὴν Δέ[σποιναν][2]) καὶ τοῦ τιμίου καὶ ἁγίου Προδρόμου τὴν διήγησιν. ἑτέρα εἰκὼν ὑλογραφία, ὁ ἅγιος Παντελεήμων μετὰ περιφερίων ἀργυρῶν διαχρύσων καὶ ὑελίων κε΄. ἔχοντα τὰ περιφέρια γυρόθεν εἰκόνας ις΄. ἐκ προσαγωγῆς τοῦ πραιποσίτου Ἰωάννου καὶ γραμματικοῦ τοῦ κτήτορος, γενομένης κατὰ τὴν ἀρχὴν τοῦ ὀκτωβρίου μηνὸς τῆς κ΄ ἰνδικτιῶνος, ἤτοι· εἰκὼν ἀργυρὰ διάχρυσος ὁ ἅγιος Θεόδωρος· ἑτέρα εἰκὼν ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος, σαρούτ[η μετὰ][3]) περιφερίων ἀργυρῶν διαχρύσων. ἑτέρα εἰκὼν σαρούτη, ὁ ἅγιος Νικόλαος καὶ αὐτὴ μετὰ περιφερίων ἀργυρῶν διαχρύσων· ἀμφότεραι μικραί.

β΄. Διὰ τῶν ἱερῶν σκευῶν.

Δισκοποτήριον ἀργυροῦν διάχρυσον μετὰ τοῦ ἀστερίσκου, λαβίδος καὶ ἰθμοῦ, ἔχοντος τοῦ μὲν δίσκου ἐν τῷ χείλει βαμβ . . . καὶ ἐν τῷ πυθμένι σταυρόν, καὶ γράμματα διὰ κύκλου γράφοντα· Κύριε βοήθει Ῥωμανῷ μοναχῷ· τοῦ δὲ ποτηρίου σταυροὺς τέσσαρας, καὶ εἰς τὴν πόδωσιν γράμματα γράφοντα καὶ αὐτὰ ὁμοίως τοῦ δίσκου· ἐν δὲ τοῖς χείλεσιν· πίετε ἐξ αὐτοῦ πάντες· ἱστῶντα ἀμφότερα λίτρας τέσσαρας, οὐγκίας ἑπτά. κυθροκανδῆλαι ἀργυραὶ διάχρυσοι δύο, μετὰ τῶν κρεμασταρίων αὐτῶν, ἱστῶσα ἡ μὲν μία λίτρας δύο, ἡ δὲ ἑτέρα καὶ αὐτὴ λίτρας δύο παρὰ οὐγκίαν μίαν. κεφαλοκιόνια τῶν ἁγίων θυρῶν ἀργυρὰ διάχρυσα, τὸ μὲν ἓν ἔχον τὸν Χριστόν, τὸ δὲ ἕτερον τὴν ὑπεραγίαν Θεοτόκον, ἱστῶντα λίτραν μίαν. κατζίορ ἀργυροῦν ἀχρύσωτον· ὁ καβαλλάριος ἱστῶν καμπρίον ἀργυροῦν διάχρυσον περσικὸν μετὰ ἐγκαύσεως, ἱστῶν . . . ἐκ προσαγωγῆς τοῦ δηλωθέντος Ἰωάννου πραιποσίτου· ἰθμὸς ἀργυρὸς λιτός.

γ΄. Διὰ τῶν βιβλίων.

Εὐαγγέλιον μονόκαιρον τὸ ὕφος, αἱ ἐπιγραφαὶ πᾶσαι καὶ τὰ κεφάλαια χρυσογραφί[αι][4]), ἔχον σταυροὺς β΄, γαμμάτια δ΄, ἀμυγδάλας η΄, κομβοθήκας ζ΄, καρ-

---

[1]) **Deest hic in cod. folium.** [2]) **Suppl. S.** [3]) **Suppl. S.** [4]) **Suppl. S.**

φία νζ', τὰ ἀμφότερα ἀργυρὰ διάχρυσα. τετραευάγγελον λιτόγραφον, ἔχον σταυροὺς δύο μετὰ γαμματίων ὀκτώ, ἀμφότερα ὁλόχρυσα χειμευτά, ἔχον[τος][1]) τοῦ μὲν ἑνὸς σταυροῦ τὴν σταύρωσιν, τοῦ δὲ ἑτέρου τὴν ὑπεραγίαν Θεοτόκον, τὰ δὲ γαμμάτια τοὺς ἁγίους Ἀποστόλους καὶ ἑτέρους διαφόρους ἁγίους· ἔχει δὲ τὸ τοιοῦτον τετραευάγγελον καρφία μικρὰ οδ', μετὰ τζουνίων ἑπτὰ ἀργυρῶν διαχρύσων, ἔχον[τα][2]) καὶ αὐτὰ καρφία ις' καὶ ἀμυγδάλας η'. ἕτερον εὐαγγέλιον παλαιὸν λιτόγραφον ἔχον σταυρὸν ἀργυρὸν ἕνα καὶ γράμματα ἐν τῷ σταυρῷ γράφοντα·

Τύπον προτείνω καὶ θανὼν τῶν πρακτέων

Εἰς ἐξίλασμα πρὸς θεὸν καὶ δεσπότην.

Βιβλίον ἕτερον Ἀπόστολος, τὸ ὕφος μικρόν. προφήτης μονόκαιρος. ὀκτάηχος δικάνονος. στιχεράριν. ψαλτήριον τῆς στιχολογίας. μηναῖα τοῦ ὅλου χρόνου καὶ τριῴδιον σῶον. ἀναγνωστικά. θεολόγος· κατὰ Ἰωάννην τὸ πρῶτον. μεταφράσεις τεύχη δ'· μηναῖα δ', σεπτέμβριος, ὀκτώβριος, νοέμβριος καὶ δεκέμβριος. ἕτερον ψαλτήριον μετὰ τῆς ἑρμηνείας αὐτοῦ. βιβλίον ἕτερον ὁ Πανδέκτης. ἡ Ἑξαήμερος τοῦ Χρυσοστόμου τὸ δεύτερον, καὶ ἡ Ἑξαήμερος τοῦ ἁγίου Βασιλείου, μετὰ τῆς Ἀποκαλύψεως καὶ διαφόρων λόγων. ἕτερον βιβλίον πανηγυρικὸν διαφόρων ποιητῶν, καὶ ἕτερον βιβλίον τοῦ Χρυσοστόμου οἱ Ἀνδριάντες, καὶ ἕτερον βιβλίον θεολογικὸν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. ἕτερον βιβλίον Προφήτης μονόκαιρον· καὶ ἕτερον βιβλίον αἱ Κατηχήσεις τοῦ Στουδίτου.

Ἐκ προσαγωγῆς τοῦ αὐτοῦ Ἰωάννου πραιποσίτου· Βιβλίον σωμάτιον μονόκαιρον, ἔχον Χρυσοστομικὸν ἀνάγνωσμα καὶ τὸν βίον τοῦ ἁγίου Ἀρτεμίου, καὶ ἑτέρων ἁγίων βίους. ἕτερον σωμάτιον ἔχον τοὺς δεσποτικοὺς κανόνας ἑρμηνευμένους, καὶ σεισμοβροντολόγιον. ἕτερον βιβλίον βαμβύκινον ἔχον τὴν σύνοψιν τοῦ ἁγίου εὐαγγελίου, καὶ τὸν Ἀλέξανδρον καὶ λοιπὰ ἀναγνώσματα. ἕτερον βαμβύκινον, χρονικὸν ἐκτεθὲν παρὰ τοῦ κτήτορος.

Καὶ τὰ προσενεχθέντα τῇ ἁγίᾳ ταύτῃ μονῇ κατὰ τὸν μάρτιον μῆνα τῆς η' ἰνδικτιῶνος παρὰ τοῦ μοναχοῦ Μιχαὴλ καὶ καθηγουμένου τῆς αὐτῆς μονῆς ταῦτα· βιβλίον βαμβύκινον ὁ Πραξαπόστολος ἑρμηνευμένος, ἔχον καὶ τὰς ἑπτὰ καθολικὰς ἐπιστολὰς καὶ αὐτὰς ἑρμηνευμένας· σὺν τούτοις ἔχον καὶ τὸν Ἰώβ, παροιμίας Σολομῶντος, Ἐκκλησιαστήν, Ἆισμα ᾀσμάτων, Σοφίαν Ἰησοῦ υἱοῦ Σειράχ· τὰ ἀμφότερα μετὰ ἑρμηνείας· καλόγραφον ὅλον. ἕτερον βιβλίον βαμβύκινον, ψαλτήριον ἑρμηνευμένον. ἕτερον βιβλίον σωμάτιον λιτόγραφον, ἡ Ἅλωσις τῆς Ἱερουσαλήμ. ἕτερον βιβλίον σωμάτιον, Νομοκάνονα, τοῦ ἁγίου

---

[1]) Supplevit S. [2]) Supplevit S.

ἀποστόλου Πέτρου τὰ διὰ Κλήμεντος. ἕτερον βιβλίον σωμάτιον, ἑρμηνεία τοῦ Θεολόγου. ἕτερον, Εἱρμολόγιον βαμβύκινον. ἕτερον βιβλίον κονδακάριον Ψαλτήριον, Εἱρμολόγιον καὶ τὰ Ἀλληλουϊάρια Προκ[οπίου][1]. ἕτερον βιβλίον, Σχηματολόγιον . . .

Τὰ δὲ μετὰ τελευτὴν τῶν κτητόρων δοθέντα παρὰ τοῦ ἐπιτρόπου βιβλία, καὶ τὰ ἐπικτηθέντα μετὰ ταῦτα διὰ χρείαν τῆς μον[ῆς][2] βιβλία καὶ τὰ προσενεχθέντα παρὰ τοῦ μοναχοῦ κυροῦ Ἰωάννου καὶ πνευματικοῦ πατρὸς τοῦ μακαρίτου αὐθέντου ἡμῶν καὶ κτήτορος, διὰ τὴν στενότητα τῆς ἐν τῷ παρόντι χωρίῳ προσγραφῆς τῶν βιβλίων τοῦ τυπικοῦ προσεγράφησαν ἐν τῷ τέλει τοῦ τεύχους τοῦ αὐτοῦ τυπικοῦ.

δ'. Διὰ τῶν βλαττίων.

Ἐνδυτὴ μία, βλαττίον κραμβίζον τῆς ἁγίας τραπέζης, ἔχουσα πόλους ια', γρυψολέοντα δικέφαλον. ἑτέρα ἐνδυτὴ λινὴ ζωγραφία. καταπετάσματα δύο, τὸ μὲν ἓν εἰς τὸ τέμπλον, καὶ τὸ ἕτερον εἰς τὸν τίμιον καὶ ἅγιον Πρόδρομον. ποτηροκάλυμμα καινούργιον ἕν, καὶ παλαιὸν ἕν. ἑτέρα ἐνδυτή, βλαττίον σκαραμάγγιον τῆς ἁγίας τραπέζης· καταπέτασμα βλαττίον τοῦ τέμπλου ὅμοιον τῆς ἐνδυτῆς περικαλύπτον καὶ τοὺς κίονας τῶν ἁγίων θυρῶν· τὰ ἀμφότερα παλαιά. ἕτερον βλαττίον καταπέτασμα διβλάττιον ὀξύν· ὁ ταὼν κογχευτὸς μετὰ περιφερίων ἐσοφορίων πιστακέων· καὶ ἕτερον ἔπιπλον στενοεπίμηκες καὶ ὀξύλευκον τὸ λεγόμενον ἀμπελοκλάδιον μετὰ περιφερίων, ἐσοφορίων κοινῶν· ταῦτα τὰ δύω ἔπιπλα ἀφιερώθη ἐκ πόθου τῷ τιμίῳ καὶ ἁγίῳ Προδρόμῳ παρὰ τοῦ πραιποσίτου Ἰωάννου καὶ ἐπὶ τοῦ Κωνσταντίνου εἰς ἄφεσιν ἁμαρτιῶν αὐτοῦ, ὡς ἂν τὸ μὲν ἓν τὸ στενὸν ἀπηώρηται ὑπὲρ τὴν τιμίαν κεφαλὴν αὐτοῦ, τὸ δὲ ἕτερον ἔμπροσθεν αὐτοῦ ἐν τάξει ποδώσεως ἐν ταῖς ἑορταῖς.

ε'. Διὰ τῶν ἀκινήτων κτήσεων.

Τὸ μοναστήριον αὐτὸ σὺν τοῖς ἐνοικικοῖς, τῷ τε μαγκιπικῷ ἐργαστηρίῳ, τῷ μυρεψικῷ καὶ τοῖς ἀνωγεωκατώγοις οἰκήμασι τοῖς ἐνοικικῶς ἐκδιδομένοις, ἐκτὸς ὧν ὑπεξεῖλον, τοῦ τε ἡλιακοῦ καὶ τοῦ κατωγέου τῶν ἀφορώντων εἰς τὴν αὐλὴν τοῦ μικροῦ οἴκου. ἡ ἡμίσεια πρόσοδος τοῦ οἴκου τοῦ περιελθόντος μοι ἀπὸ Θωμᾶ τοῦ Νικαέως· ὁ ἐντὸς τοῦ κάστρου τῆς Ῥαιδεστοῦ μέγας οἶκός μου ἐξ ὁλοκλήρου, ὃν δὴ καὶ πτωχοτροφεῖον εἶναι καὶ ὀνομάζεσθαι ἐτύπωσα, καὶ ἀλληλουχεῖσθαι τῷ

---

[1]) Supplevit S. [2]) Supplevit S.

μοναστηρίῳ ἀδιασπάστως [1]). προσέτι τοῦ Σελοκάκα σὺν τῷ Μακρῷ Χωρίῳ· προσέτι τῶν Βαβούλου ἤτοι τοῦ Λιβός· προσέτι ἡ ἁγία Μυρόπη, ἤτοι τὸ μονοκέλλιον, καὶ τὸ ἕτερον μονοκέλλιον τὸ δωρηθὲν τῇ μονῇ καὶ τῷ πτωχοτροφείῳ μου, ὡς ἰδιόκτητον αὐτοῦ κτῆμα παρὰ τοῦ ἁγιωτάτου πατριάρχου θεουπόλεως μεγάλης Ἀντιοχείας, κυροῦ Νικηφόρου, ὑπὲρ οὗ καὶ ὀφείλουσι τελεῖσθαι ἤτε ἐκτενὴς αὐτοῦ διηνεκῶς καὶ τὰ μνημόσυνα, καὶ δίδοσθαι ἐν τῷ καιρῷ τῶν μνημοσύνων αὐτοῦ τοῖς μὲν μοναχοῖς ὑπὲρ λειτουργειῶν [2]) νομίσματα δύο, καὶ εἰς διάδοσιν πενήτων νομίσματα τρία, προσεπιτελεῖσθαι δὲ καὶ τρισάγιον καὶ λειτουργίαι κδ΄. προσέτι τοῦ Συμεωνίου· ἡ αὐλὴ τοῦ Μεταξᾶ· ἡ αὐλὴ τοῦ Ἀρχολύκη σὺν τοῖς ἀπὸ ἀνταλλαγῆς τῆς ἁγίας Σοφίας περιελθοῦσιν οἰκήμασι· ἡ αὐλὴ τοῦ Κεντάρχου· μετὰ τῶν ἐν αὐταῖς δηλονότι οἰκημάτων πάντων. ἀπὸ δὲ τῶν προαστείων μου τῶν ἐν τῷ Μεσοκώμῳ καθιερῶ τὸ ἕν, προσέτι ὅπερ ἀπὸ τῆς μοναχῆς . . . τῆς ἀνεψιᾶς τοῦ Σχρίβα ἐξωνησάμην, ὅπερ καὶ αὐτὸ τοῦ Χοσβαΐτου γέγονε. ἰστέον δέ, ὅτι τὸ δωρηθὲν ἀκίνητον ἀπὸ τοῦ Μονοκελλίου παρὰ τοῦ πατριάρχου θεουπόλεως μεγάλης Ἀντιοχείας, ἐκνικηθὲν ἀπ᾽ αὐτοῦ, διήνεγκε τῇ μοναχῇ Ξένῃ καὶ εὐγενεστάτῃ κουροπαλατίσσῃ τῇ Κομνηνῇ, καὶ ἐδωρήθη παρ᾽ αὐτῆς ὕστερον τῇ μονῇ τοῦ Πανοικτίρμονος, θελήσει τῆς ἡγιασμένης αὐτῆς μητρός, κυρᾶς Ἄννης· καὶ ὀφείλουσι μνημονεύεσθαι καὶ ἐν ζωῇ καὶ μετὰ θάνατον ἅμα Κωνσταντίνῳ, τῷ μακαρίτῃ ἀνδρὶ τῆς μοναχῆς κυρᾶς Ξένης, τελουμένων καὶ τῶν μνημοσύνων αὐτῶν κατὰ τὴν τῆς δωρεᾶς περίληψιν ἐσαεί †.

Exstat in cod. metochii Sancti Sepulchri in urbe Constantinopoli. Edidit C. Sathas, Μεσαιωνικὴ Βιβλιοθήκη *I. p. 2.*

II. Ante annum 6610—1118.

Typicum monasterii monialium Sanctae Mariae Gratiae Plenae in urbe Constantinopoli, editum ab imperatrice Irene Ducaena, quae e fundamentis exstruxit coenobium.

Τυπικὸν τῆς σεβασμίας μονῆς τῆς ὑπεραγίας θεοτόκου τῆς Κεχαριτωμένης τῆς ἐκ βάθρων νεουργηθείσης καὶ συστάσης παρὰ τῆς εὐσεβεστάτης αὐγούστης κυρᾶς Εἰρήνης τῆς Δουκαίνης κατὰ τὴν αὐτῆς πρόσταξιν καὶ γνώμην ὑφηγηθέν τε καὶ ἐκτεθέν.

† Πολλῶν μὲν ἡμῖν ἀγαθῶν καὶ μεγάλων, ὦ θεοῦ λόγου ζῶντος μῆτερ ὠδίνων ἄνευ καὶ μετὰ τόκον παρθενίας πάλιν κειμήλιον παναγέστατον, ὁ σὸς υἱὸς καὶ

---

[1]) ἀδισπάστως S. [2]) λειτουργικῶν S.

θεὸς ἀρχηγὸς καὶ δοτὴρ ἐχρημάτισεν, ὁ σωτὴρ ἡμῶν ὡς ἀληθῶς Ἰησοῦς καὶ Θεὸς μεθ' ἡμῶν, τὸ μέγα τοῦτο κατὰ τὸν ἅγιον Ἠσαΐαν τοῦ Ἐμμανουὴλ σημαινόμενον καὶ σεβάσμιον, ἔκ τε τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν καὶ τὸ εὖ εἶναι διὰ πάντων ἡμῖν χαρισάμενος καὶ λόγῳ τετιμηκὼς καὶ κριτήρια τῶν ὄντων, αἴσθησίν τε καὶ νοῦν δωρησάμενος, καὶ τούτοις τῶν ἐπὶ γῆς δικαστήσας ζώων καὶ βασιλέα τούτοις ἐπιστήσας τὸν ἄνθρωπον βασιλευόμενον ἄνωθεν. „καὶ τί ἂν ἀποδώσομεν τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν“· τῇ δημιουργίᾳ συμπαραζεύξας καὶ πρόνοιαν καὶ οὐδέπω μέχρι καὶ δεῦρο τὰς τῶν ἀγαθῶν ἡμῖν δαψιλὰς πηγὰς ἐπισχών· ἐξ οὗ δὴ καὶ οὐρανὸν ἐγύρωσε καὶ χρόνον διέστησε καὶ ἐξέχεε καὶ ὑφήπλωσε γῆν καὶ τῶν δρωμένων ἐπόπτην τὸν ἄνθρωπον κατεστήσατο. μεγάλα μὲν οὖν δὴ καὶ ταῦτα καὶ τῆς πρακτικωτάτης τούτων καὶ συνεκτικωτάτης δυνάμεως ἄξια κατὰ τὸν μέγαν φάναι Δαβίδ· „ἔλεον αὐτοῦ τίς ἐκζητήσει ποτὲ καὶ ἀλήθειαν“; ἀλλ' οἷον δή σε ἡμῖν ἀγαθὸν ὁ μεγαλόδωρος ἐδωρήσατο, πνεύματός τε ἁγίου ἐπέλευσις καὶ ὑψίστου ἐπισκιάσασα δύναμις καὶ ναὸν ἑαυτῷ λογικόν τε καὶ ἔμψυχον, ἀχράντως τε καὶ ἀμεταβόλως ἐκ τῶν σῶν παρθενικῶν πανάγνων αἱμάτων ὑποστησάμενος καὶ ὑπὸ χρόνον, ἄτερ πατρὸς ἐκ σοῦ γεννηθεὶς ὁ πρὸ αἰώνων ἄτερ μητρὸς φὺς ἐκ πατρός. ἀλλ' οἷον δή σε ἡμῖν ἀγαθόν, ὅπερ ἔφην, ὁ καὶ τῶν ἄλλων ἡμῖν ἀγαθῶν δοτὴρ ἐδωρήσατο, κλίμακά τε ἐπάρας καὶ ὑφαπλώσας σε γέφυραν πρὸς οὐρανὸν ἀνάγουσαν ἢ μετάγουσαν τὸ ἀνθρώπινον, οὐδ' εἰ ξύμπαντα τὸν οὐρανὸν πρὸς φωνὴν ἀναλυθῆναι μίαν ἐγένετο, ἀξίως ἂν οἶμαι ἡρμήνευσεν ἢ ἐξύμνησε τὸ μεγαλεῖον τοῦ δώρου τούτου τὸ ἀξιόθεον. „τίς γὰρ λαλήσει τὰς δυναστείας τοῦ κυρίου ἢ τίς ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ“ ἢ ποία γλῶσσα τὰς ἑκάστοτε διὰ σοῦ θεοσημίας, ὦ κεχαριτωμένη τοῦ θεοῦ. λόγου μῆτερ, ἐκδιηγήσεται, αἷς καὶ τὸ τῆς θεὸν στερέωμα πίστεως μένει ἀκράδαντον καὶ ἀσεβείας καθαιρεῖται τὰ ὀχυρώματα καὶ ἡ ἱερὰ θρησκεία κατὰ Χριστὸν ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων ἀραρότως ἐστήρικται· τίς ἐξείποι τὰς τῶν σῶν θαυμάτων μεγαλειότητας, τίς τὰ κατὰ διαφόρους καιροὺς ἐξηγήσεται τέρατα; τίς ἐξαγγελεῖ σου[1]) τὰ μεγαλεῖα ἢ τὰ παράδοξα ἐξυμνήσειεν, οἷς καὶ βασιλείαν κρατύνεις καὶ καθαιρεῖς τυραννίδας καὶ ἐπ' ἐλπίδι εὐζωίας μελλούσης τὸ φῦλον[2]) κατασκηνοῖς τὸ χριστιανικώτατον; ἐμοὶ δὲ δὴ τίς ἂν γένοιτο λόγος, ὦ τῶν ὑπερκοσμίων ἁπάντων θεογεννήτρια, τὴν τῶν περὶ ἐμέ σου θαυμασίων ἐξ ἁπαλῶν ὀνύχων εἰς τόδε ἡλικίας μεγαλειότητα ἢ ἁπλῶς ἐξηγούμενος ἢ πειρώμενος ἐξυμνεῖν καὶ τὸ τῆς περὶ ἐμέ σου ἐκ σπαργάνων ἔτι χρηστότητος ἐξηγήσασθαι πέλαγος; τά τε γάρ μοι πρὸς γένεσιν, ὦ

---

1) σοι M. 2) φύλλον C. emend. M.

τοῦ μὲν ἡμετέρου γένους σωτηριωδέστατον αὔχημα, τῶν δὲ ἐν οὐρανοῖς ὁμηγύρεων ἐν ταῖς ἐπουρανίοις ὡς εἰκός, πανηγύρεσι περιλάλητον ἀγαλλίαμα, ἐξ εὐσεβοῦς τε γένους καὶ πρὸς ἀρετὴν εὐφυοῦς εὐμενείᾳ θεοῦ καὶ ταῖς σαῖς ἐπιστασίαις καὶ ἀντιλήψεσι τὴν ἀρχὴν ἐκληρώσατο, τά τε πρὸς ἀναγωγὴν καὶ παιδείαν ὑπὸ καλλίστοις νόμοις πεπαιδαγώγηται καὶ ἐν ἔθεσιν (ἀπέστω φθόνος καὶ κόμπου βάρος), οὐδὲν ἐπαγομένοις ἐπισεσυρμένον ἢ δυσανάγωγον. καὶ τοῦτο πάντως δῶρον θεοῦ καὶ τῆς θεομήτορος σου. τά τε πρὸς τὴν χρονικὴν σαφῶς τελειότητα, τίνι τῶν ἁπάντων ἢ ἁπασῶν οὕτως, ὡς ἐμοί, τῇ σῇ θεραπαίνῃ, διὰ πάντων εὐώδωσας πρὸς τὸ εὐμαρέστερον, ἡ τοῖς νοητοῖς καὶ ἀκηράτοις ὡς ἀληθῶς κροσσωτοῖς περιβεβλημένη, πεποικιλμένη βασίλισσα καὶ ἐκ δεξιῶν ἑστῶσα τοῦ παντοκράτορος; ταῖς γὰρ δὴ κατ' ἀνθρώπους εὐετηρίαις τὰ κατ' ἐμὲ πανταχόθεν περικυκλώσασα ἢ ἐπικλύσασα καὶ οὐδέν, ὅ τι τῆς κάτω ἀνθρωπίνης εὐροίας τῶν περὶ ἐμὲ περιβόλων στήσασα πόρρωθεν, ἔτι με καὶ πρὸς τὸ τῆς κατ' ἀνθρώπους εὐδαιμονίας ἀκρότατον, οἷς οἶδας λόγοις, τὴν βασιλείαν ἀνήγαγες· τούτοις τὸ ἐν πορφύρᾳ τέθεικας γονιμώτατον τῇ μητρικῇ μου σχέσει καὶ κλήσει τὴν μητρομήτορα προσθεμένη καὶ πατρομήτερα. τούτοις τὸ τῆς βασιλικῆς δυναστείας μέχρι καὶ τήμερον παρέζευξας παρατατικώτερον, τὰς καλλινίκους ὑπὲρ βασιλέως ἐπιμαχίας ἐν δεινοῖς καὶ καιροῖς κινδυνώδεσι τὰ τούτου κατὰ βαρβάρων ὑπό σοι συμμάχῳ μεγάλα τε καὶ τῇ Ῥωμαίων ἐπικρατείᾳ σωτήρια τρόπαια, τὰς τῶν φιλτάτων ἡμῖν ἀναρρώσεις ἐν νόσοις ἢ καὶ ἀναρρύσεις ἐκ φάραγγος ἁρπάζοντος λέοντος. προσθήσοις δέ γε καὶ ἔτι ἡμέρας τοῦ βασιλέως καὶ σύμμαχος τούτῳ κατὰ βαρβάρων ἀπρόσμαχος γίνοιο. ἵνα δή σοι καὶ ἡ κληρονομία καὶ ἡ χειρισθεῖσά σοι μεγαλόπολις πηγὴ καὶ ῥίζα τῆς εὐσεβείας ἀειθαλὴς διασώζηται καὶ ἀένναος. ἀγγέλων οὖν ἐπὶ τούτοις ἀφεῖσα γλώσσαις, αἵτινές ποτε ἀγγέλων γλῶσσαι πεφύκασι τὴν σὴν εὐφημεῖν τε καὶ γεραίρειν μεγαλειότητα καὶ τὸ ὑπὲρ τοὺς ἀνωτάτω καὶ πρεσβυτάτους θρόνους καὶ τὰ Χερουβὶμ ἀκηλίδωτον καὶ ἀμόλυντον καὶ νοερῶς ἀνθομολογεῖσθαί σοι διὰ τὸ περὶ ἡμᾶς συμπαθές τε καὶ φιλάνθρωπον, μόνον ἐγὼ τὸν ἐπιστρεπτικὸν ἀντεισφέρω σοι μάλα ζέοντα ἔρωτα, τὸν προνοητικώτατόν τε καὶ σωστικώτατον μετὰ τοῦ μονογενοῦς τε καὶ πρωτοτόκου τρεφούσῃ περὶ τὸ ἀνθρώπινον ἔρωτα. καί μοι τὸ φρικτόν τε καὶ μέγα τῆς σῆς θεοτοκίας ἀξίωμα, περιλάλημα θυμηρέστατον καὶ ἐννόημα ἀδιάληπτον, ἐπί τε τὴν σὴν ἱερὰν λοχείαν πᾶσαν ἡδονὴν εὐαγῆ καὶ τροφὴν καλῶ. καὶ οὐδέν μοι πάντων οὕτω χαριέστατον ἄκουσμα ἢ διήγημα, ὡς τὰ περί σε θαυμάσια καὶ μυστήρια καὶ τὸ τῆς ἐφ' ἡμᾶς ἐπιρροίας τῶν ἀγαθῶν ἐκ θεοῦ διά σου μέσης ἀένναον· ἀλλὰ γὰρ ἐπὶ τούτοις ἄξιον μὲν οὐδὲν εἶναι παρ' ἡμῖν οἶδα, τῆς σῆς ὑπὲρ λόγον καὶ νοῦν ἁγιότητος, καθάπερ οὐδὲ τοῦ τὸ ἡμέτερον ἐκ σοῦ

διανοίας ἐπιστάμενος καὶ χρυσοβουλλίων δυνάμεις, δι' ὧν καὶ αὐτὴ ἡ μεγάλη ἐκκλησία συνέστη τε καὶ συνίσταται καὶ λαῦραι καὶ μοναστήρια ὑπὲρ τοὺς ἀστέρας τῆς τῶν κτητόρων ἐπαπολαύουσι διατάξεως, ἵνα καὶ τοῖς σταυρωταῖς τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συγκατατάττηται καὶ αὐτίκα λύηται τοῖς κληρονόμοις μου καὶ ἡ ἐπιτεθεῖσα τούτοις ἐξ ἀπαιδίας τῆς ἀποκαταστάσεως αἵρεσις, καὶ ἔχωσιν ἐπ' ἀδείας καὶ ζῶντες καὶ μετὰ τελευτὴν παραπέμπειν τὰ καταλελειμμένα τούτοις παρ' ἐμοῦ ἀκίνητα, ὅπου καὶ βούλονται, πρὸς τῷ ἔχειν καὶ τὴν πρόνοιαν καὶ τὴν κυριότητα τῶν εἰρημένων καὶ παρ' ἐμοῦ συστάντων εὐαγῶν οἴκων εἰς τὸ ἑξῆς ἀναφαίρετον κατὰ τὰς ἐμὰς διαταγάς †.

† Μιχαήλ, πρόεδρος, κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου, ὁ Ἀτταλειάτης, καὶ τὴν προλεχθεῖσαν ταύτην προσθήκην ὡς παρ' ἐμοῦ γεγονυῖαν βεβαιῶν νῦν ὑπέγραψα †.

Ἀρχὴ τοῦ βρεβίου τῆς μονῆς τοῦ Πανοικτίρμονος.

† Εὐλογητὸς κύριος ὁ θεὸς ὁ ἐν Τριάδι τοῖς εὐσεβέσιν ὑμνούμενός τε καὶ γνωριζόμενος, καὶ τῷ τριλαμπεῖ τούτῳ φωτὶ καὶ συναϊδίῳ καὶ ὁμοουσίῳ πάντα φωτίζων καὶ διιθύνων, ὅσα τε ἐν κόσμῳ καὶ ὅσα δὴ ὑπερκόσμια καὶ τῆς ὕλης ὑπέρτερα, δι' οὗ κἀμοὶ σημεῖον εἰς ἀγαθὸν καὶ θαυμασίων χάρις προσγέγονεν· ἐκεῖθεν γὰρ ἐκ τῆς θείας προνοίας καὶ ἀπειροδυνάμου μεγαλειότητος, ἐκ χειρῶν ἀλαστορικῶν ἔν τε πολέμοις περσικοῖς καὶ ἀραβικοῖς καὶ αὖ πάλιν σκυθικοῖς ἀνηρπάγην, καὶ τῇ προσούσῃ μοι ἀσθενείᾳ σθένος ἐπετέθη παράδοξον καὶ ἰσχύς, πανωλεθρίαν τοιαύτην ἀπείργουσα, οὐ μὴν δέ, ἀλλὰ καὶ ἐκ βυθοῦ με θαλάσσης ὑπὲρ ἐλπίδα πολλάκις ἀνασωθῆναι πεποίηκεν ἡ θεία ἀντίληψις, καὶ τοσούτων καὶ τηλικούτων κινδύνων λύτρωσις ἐχαρίσθη σωτηριώδης· ἀνακηρύττειν γὰρ τὸν ἔλεον καὶ τὴν εὐεργεσίαν μὴ κρύπτειν ἀεὶ προτεθύμημαι, ὅτι ὄντως μέγας ὁ κύριος καὶ αἰνετὸς σφόδρα, θαυμαστὸς ἐν ὑψηλοῖς, καὶ ποιῶν θαυμάσια μόνος. ὁ τοιαῦτά μοι δείξας πρὸ ὀφθαλμῶν ὑπερμεγέθη ζωῆς καὶ σωτηρίας χαρίσματα καὶ οὐ μόνον διασώσας, ἀλλὰ καὶ πρὸς βίου εὔροιαν καὶ εὔκλειαν ὁδηγήσας, καὶ στήσας ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατευθύνας τὰ διαβήματά μου κατὰ πάντα καιρὸν καὶ τόπον καὶ προσδοκίαν· ὅθεν καὶ μαρτυρικὴν δανεισάμενος τὴν φωνήν, μετὰ δακρύων καὶ συντετριμμένης βοῶ τῆς ψυχῆς, ἵνα εὕροιμι τὸν πανοικτίρμονα δεσπότην καὶ κύριον καὶ θεόν μου ἵλεον ἐν ἡμέρᾳ τῆς κρίσεως, ἐπὶ συμπαθείᾳ καὶ παροράσει τῶν ἐμῶν ἀπείρων πλημμελημάτων. ἡ δὲ ἱκετήριός μοι αὕτη φωνή· μεγαλύνων μεγαλύνω σε κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν μου, ἀλλ' ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου·

καὶ νῦν, δέσποτα, σκεπασάτω με ἡ χείρ σου, καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου· δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα, ἐν τῷ κρίνεσθαί με μὴ καταλάβοι με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ σκότους τούτου εἰς τὸ κατασπᾶσαί με τὸν ἁμαρτωλὸν εἰς βυθὸν Ἅιδου, ἀλλὰ παράστηθί μοι καὶ γενοῦ μοι σωτὴρ καὶ ἀντιλήπτωρ· ἐλέησον κύριε τὴν ῥυπωθεῖσαν τοῖς πάθεσι τοῦ βίου τούτου ψυχήν μου, καὶ καθαρὰν αὐτὴν διὰ μετανοίας πρόσδεξαι, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. ταῦτά σοι παρὰ δούλου ἀχρείου καὶ ταπεινοῦ καὶ λίαν ἁμαρτωλοῦ, πανοικτίρμον κύριε, φιλανθρωπότατε βασιλεῦ, προσπίπτων οὖν μετὰ συντετριμμένης καρδίας ἱκετεύω καὶ δέομαι, μὴ ἀπώσῃ τὴν δουλικήν σου ταύτην θυσίαν καὶ ἀναξίαν προσαγωγήν, ἀλλὰ κατὰ τὸ σὸν ἀνείκαστον καὶ ἀνέκφραστον ἔλεος πρόσδεξαι ταύτην ἐν εἰρήνῃ, καὶ φιλανθρώπως ἔπιδε ἐπὶ τὸ μικρὸν τοῦτο ποίμνιον, ὅτι κληρονομία σου κέκληται καὶ ἐστί, καὶ φύλαξον ταύτην ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ, συντηρῶν τὰ διατεταγμένα πρὸς σὴν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, τῆς ἑνιαίας καὶ τριλαμποῦς καὶ ὑπερτάτης βασιλείας ἐπιεικῶς εὐαρέστησιν· τὰ σὰ γὰρ ἐκ τῶν σῶν σοι προσφέρων, συγγνώμην αἰτῶ τοῦ τολμήματος, εἰδὼς ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶσα σάρξ, εἰ μὴ τὸ σὸν τῆς φιλανθρωπίας προφθάσει ἀκατάληπτον καὶ ἀδιήγητον ἔλεος, δι' οὗ καὶ τὰ προσενηνεγμένα ταυτὶ εὐτελῆ πολυπλασιασθῆναι πιστεύω καὶ εὔχομαι, καὶ εἰς ἐπίδοσιν αὐξηθῆναι καὶ πολλῷ πλείοσι τῶν δεομένων ἐπιδαψιλευθῆναι τὰ κρείττονα διὰ τῶν εὐσεβῶν διαδόσεων εἰς τὴν τοῦ σοῦ κράτους διηνεκῆ εὐχαριστίαν καὶ δοξολόγησιν. εἰσὶ δὲ τὰ βρεβωθέντα τῷ τε δουλικῷ σου μοναστηρίῳ καὶ τῷ πτωχοτροφείῳ ταυτί, οἷς συνταχθήσονται καὶ τὰ μετέπειτα προσεπαυξανόμενα διὰ τῆς σῆς μεγάλης βοηθείας καὶ ἐπινεύσεως, εἴτε δι' ἐμοῦ αὖθις, εἴτε διὰ φιλοθέων καὶ εὐσεβῶν ἑτέρων ἀνδρῶν, ὧν καὶ τὰ ὀνόματα ὀφείλουσι δηλοῦσθαι ἐν τῇ προσγραφῇ τοῦ καθιερωμένου πράγματος κινητοῦ ἢ ἀκινήτου, ὡς ἂν μνημονεύωνται διὰ παντὸς ἐν ταῖς ἡμεριναῖς καὶ νυκτεριναῖς δοξολογίαις τοῦ θείου ναοῦ.

α'. Διὰ τῶν ἱερῶν κειμηλίων.

Εἰκὼν μεγάλη ὑλογραφικὴ στασίδια, Ἰησοῦς Χριστὸς ὁ Πανοικτίρμων. σταυροὶ ἀργυροὶ διάχρυσοι βαϊοφορικοὶ τέσσαρες. εἰκὼν ἀργυρά, προσευχάδιον διάχρυσον ὁ Σωτήρ, λαιμὴν δίθυρον, ἔχουσαι αἱ θύραι ἔσωθεν μὲν τὴν ὑπεραγίαν Θεοτόκον καὶ τὸν τίμιον Πρόδρομον, τοὺς ἁγίους ἀποστόλους Πέτρον καὶ Παῦλον, τὸν ἅγιον Ἀρτέμιον, καὶ τὸν ἅγιον Λουκιλιανόν, ἔξωθεν τοὺς ἁγίους μάρτυρας Γεώργιον, Ἀκίνδυνον, ἅγιον Νικόλαον, καὶ τὸν ἅγιον Μεθόδιον, τὸν ἅγιον Κοσμᾶν καὶ τὸν ἅγιον Δαμιανόν. ἑτέρα εἰκὼν ἀργυρὰ διάχρυσος ὁ Σωτήρ, λαιμὴν ἔχουσα γυρόθεν εἰκόνα

Θεοῦ, καὶ τὴν ἑτοίμην. ἑτέρα εἰκὼν ἀργυρὰ διάχρυσος ἡ ὑπέραγνος Θεοτόκος ἀριστεροκράτις, ἔχουσα γυρόθεν, καθὼς ἡ ἐπιγραφὴ γράφει, τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου. ἑτέρα εἰκὼν ἀργυρὰ διάχρυσος ὁ Ἀρχιστράτηγος . . .[1]) ἀργυρὰ διάχρυσος ἔχουσα εἰκόνα λαιμία ιη'. ἑτέρα εἰκὼν ὑλογραφία ἡ ἁγία Αἰκατερίνα, μετὰ περιφερίων ἀργυρῶν διαχρύσων, ἔχουσα εἰκόνα λαιμία ϛ', καὶ σταυίδια β'. ἑτέρα εἰκὼν ὑλογραφία ὁ τίμιος Πρόδρομος, ἡ Προσκύνησις ἄνευ περιφερίων. ἕτεραι εἰκόνες ὑλογραφίαι ἤδέαι. τὸ τέμπλον ἔχον καὶ αὐτὸ μέσον τὴν Δέ[σποιναν][2]) καὶ τοῦ τιμίου καὶ ἁγίου Προδρόμου τὴν διήγησιν. ἑτέρα εἰκὼν ὑλογραφία, ὁ ἅγιος Παντελεήμων μετὰ περιφερίων ἀργυρῶν διαχρύσων καὶ ὑελίων κε'. ἔχοντα τὰ περιφέρια γυρόθεν εἰκόνας ιϛ'. ἐκ προσαγωγῆς τοῦ πραιποσίτου Ἰωάννου καὶ γραμματικοῦ τοῦ κτήτορος, γενομένης κατὰ τὴν ἀρχὴν τοῦ ὀκτωβρίου μηνὸς τῆς κ' ἰνδικτιῶνος, ἤτοι· εἰκὼν ἀργυρὰ διάχρυσος ὁ ἅγιος Θεόδωρος· ἑτέρα εἰκὼν ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος, σαρούτ[η μετὰ][3]) περιφερίων ἀργυρῶν διαχρύσων. ἑτέρα εἰκὼν σαρούτη, ὁ ἅγιος Νικόλαος καὶ αὐτὴ μετὰ περιφερίων ἀργυρῶν διαχρύσων· ἀμφότεραι μικραί.

β'. Διὰ τῶν ἱερῶν σκευῶν.

Δισκοποτήριον ἀργυροῦν διάχρυσον μετὰ τοῦ ἀστερίσκου, λαβίδος καὶ ἰθμοῦ, ἔχοντος τοῦ μὲν δίσκου ἐν τῷ χείλει βαμβ . . . καὶ ἐν τῷ πυθμένι σταυρόν, καὶ γράμματα διὰ κύκλου γράφοντα· Κύριε βοήθει Ῥωμανῷ μοναχῷ· τοῦ δὲ ποτηρίου σταυροὺς τέσσαρας, καὶ εἰς τὴν πόδωσιν γράμματα γράφοντα καὶ αὐτὰ ὁμοίως τοῦ δίσκου· ἐν δὲ τοῖς χείλεσιν· πίετε ἐξ αὐτοῦ πάντες· ἱστῶντα ἀμφότερα λίτρας τέσσαρας, οὐγκίας ἑπτά. κυθροκανδῆλαι ἀργυραὶ διάχρυσοι δύο, μετὰ τῶν κρεμασταρίων αὐτῶν, ἱστῶσα ἡ μὲν μία λίτρας δύο, ἡ δὲ ἑτέρα καὶ αὐτὴ λίτρας δύο παρὰ οὐγκίαν μίαν. κεφαλοκιόνια τῶν ἁγίων θυρῶν ἀργυρὰ διάχρυσα, τὸ μὲν ἓν ἔχον τὸν Χριστόν, τὸ δὲ ἕτερον τὴν ὑπεραγίαν Θεοτόκον, ἱστῶντα λίτραν μίαν. κατζίον ἀργυροῦν ἀχρύσωτον· ὁ καβαλλάριος ἱστῶν καμπρίον ἀργυροῦν διάχρυσον περσικὸν μετὰ ἐγκαύσεως, ἱστῶν . . . ἐκ προσαγωγῆς τοῦ δηλωθέντος Ἰωάννου πραιποσίτου· ἰθμὸς ἀργυρὸς λιτός.

γ'. Διὰ τῶν βιβλίων.

Εὐαγγέλιον μονόκαιρον τὸ ὕφος, αἱ ἐπιγραφαὶ πᾶσαι καὶ τὰ κεφάλαια χρυσογραφί[αι][4]), ἔχον σταυροὺς β', γαμμάτια δ', ἀμυγδάλας η', κομβοθήκας ζ', καρ-

[1]) **Deest hic in cod. folium.** [2]) **Suppl. S.** [3]) **Suppl. S.** [4]) **Suppl. S.**

φία νζ', τὰ ἀμφότερα ἀργυρὰ διάχρυσα. τετραευάγγελον λιτόγραφον, ἔχον σταυροὺς δύο μετὰ γαμματίων ὀκτώ, ἀμφότερα ὁλόχρυσα χειμευτά, ἔχον[τος][1]) τοῦ μὲν ἑνὸς σταυροῦ τὴν σταύρωσιν, τοῦ δὲ ἑτέρου τὴν ὑπεραγίαν Θεοτόκον, τὰ δὲ γαμμάτια τοὺς ἁγίους Ἀποστόλους καὶ ἑτέρους διαφόρους ἁγίους· ἔχει δὲ τὸ τοιοῦτον τετραευάγγελον καρφία μικρὰ οδ', μετὰ τζουνίων ἑπτὰ ἀργυρῶν διαχρύσων, ἔχον[τα][2]) καὶ αὐτὰ καρφία ις' καὶ ἀμυγδάλας η'. ἕτερον εὐαγγέλιον παλαιὸν λιτόγραφον ἔχον σταυρὸν ἀργυρὸν ἕνα καὶ γράμματα ἐν τῷ σταυρῷ γράφοντα·

Τύπον προτείνω καὶ θανὼν τῶν πρακτέων
Εἰς ἐξίλασμα πρὸς θεὸν καὶ δεσπότην.

Βιβλίον ἕτερον Ἀπόστολος, τὸ ὕφος μικρόν. προφήτης μονόκαιρος. ὀκτάηχος δικάνονος. στιχεράριν. ψαλτήριον τῆς στιχολογίας. μηναῖα τοῦ ὅλου χρόνου καὶ τριῴδιον σῷον. ἀναγνωστικά. θεολόγος· κατὰ Ἰωάννην τὸ πρῶτον. μεταφράσεις τεύχη δ'· μηναῖα δ', σεπτέμβριος, ὀκτώβριος, νοέμβριος καὶ δεκέμβριος. ἕτερον ψαλτήριον μετὰ τῆς ἑρμηνείας αὐτοῦ. βιβλίον ἕτερον ὁ Πανδέκτης. ἡ Ἑξαήμερος τοῦ Χρυσοστόμου τὸ δεύτερον, καὶ ἡ Ἑξαήμερος τοῦ ἁγίου Βασιλείου, μετὰ τῆς Ἀποκαλύψεως καὶ διαφόρων λόγων. ἕτερον βιβλίον πανηγυρικὸν διαφόρων ποιητῶν, καὶ ἕτερον βιβλίον τοῦ Χρυσοστόμου οἱ Ἀνδριάντες, καὶ ἕτερον βιβλίον θεολογικὸν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. ἕτερον βιβλίον Προφήτης μονόκαιρον· καὶ ἕτερον βιβλίον αἱ Κατηχήσεις τοῦ Στουδίτου.

Ἐκ προσαγωγῆς τοῦ αὐτοῦ Ἰωάννου πραιποσίτου· Βιβλίον σωμάτιον μονόκαιρον, ἔχον Χρυσοστομικὸν ἀνάγνωσμα καὶ τὸν βίον τοῦ ἁγίου Ἀρτεμίου, καὶ ἑτέρων ἁγίων βίους. ἕτερον σωμάτιον ἔχον τοὺς δεσποτικοὺς κανόνας ἑρμηνευμένους, καὶ σεισμοβροντολόγιον. ἕτερον βιβλίον βαμβύκινον ἔχον τὴν σύνοψιν τοῦ ἁγίου εὐαγγελίου, καὶ τὸν Ἀλέξανδρον καὶ λοιπὰ ἀναγνώσματα. ἕτερον βαμβύκινον, χρονικὸν ἐκτεθὲν παρὰ τοῦ κτήτορος.

Καὶ τὰ προσενεχθέντα τῇ ἁγίᾳ ταύτῃ μονῇ κατὰ τὸν μάρτιον μῆνα τῆς η' ἰνδικτιῶνος παρὰ τοῦ μοναχοῦ Μιχαὴλ καὶ καθηγουμένου τῆς αὐτῆς μονῆς ταῦτα· βιβλίον βαμβύκινον ὁ Πραξαπόστολος ἑρμηνευμένος, ἔχον καὶ τὰς ἑπτὰ καθολικὰς ἐπιστολὰς καὶ αὐτὰς ἑρμηνευμένας· σὺν τούτοις ἔχον καὶ τὸν Ἰώβ, παροιμίας Σολομῶντος, Ἐκκλησιαστήν, Ἆισμα ᾀσμάτων, Σοφίαν Ἰησοῦ υἱοῦ Σειράχ· τὰ ἀμφότερα μετὰ ἑρμηνείας· καλόγραφον ὅλον. ἕτερον βιβλίον βαμβύκινον, ψαλτήριον ἑρμηνευμένον. ἕτερον βιβλίον σωμάτιον λιτόγραφον, ἡ Ἅλωσις τῆς Ἱερουσαλήμ. ἕτερον βιβλίον σωμάτιον, Νομοκάνονα, τοῦ ἁγίου

---

[1]) Supplevit S. [2]) Supplevit S.

ἀποστόλου Πέτρου τὰ διὰ Κλήμεντος. ἕτερον βιβλίον σωμάτιον, ἑρμηνεία τοῦ Θεολόγου. ἕτερον, Εἱρμολόγιον βαμβύκινον. ἕτερον βιβλίον κονδακάριον Ψαλτήριον, Εἱρμολόγιον καὶ τὰ Ἀλληλουϊάρια Προκ[οπίου][1]. ἕτερον βιβλίον, Σχηματολόγιον . . .

Τὰ δὲ μετὰ τελευτὴν τῶν κτητόρων δοθέντα παρὰ τοῦ ἐπιτρόπου βιβλία, καὶ τὰ ἐπικτηθέντα μετὰ ταῦτα διὰ χρείαν τῆς μον[ῆς][2] βιβλία καὶ τὰ προσενεχθέντα παρὰ τοῦ μοναχοῦ κυροῦ Ἰωάννου καὶ πνευματικοῦ πατρὸς τοῦ μακαρίτου αὐθέντου ἡμῶν καὶ κτήτορος, διὰ τὴν στενότητα τῆς ἐν τῷ παρόντι χωρίῳ προσγραφῆς τῶν βιβλίων τοῦ τυπικοῦ προσεγράφησαν ἐν τῷ τέλει τοῦ τεύχους τοῦ αὐτοῦ τυπικοῦ.

δ'. Διὰ τῶν βλαττίων.

Ἐνδυτὴ μία, βλαττίον χραμβίζον τῆς ἁγίας τραπέζης, ἔχουσα πόλους ια', γρυψολέοντα δικέφαλον. ἑτέρα ἐνδυτὴ λινὴ ζωγραφία. καταπετάσματα δύο, τὸ μὲν ἓν εἰς τὸ τέμπλον, καὶ τὸ ἕτερον εἰς τὸν τίμιον καὶ ἅγιον Πρόδρομον. ποτηροκάλυμμα καινούργιον ἕν, καὶ παλαιὸν ἕν. ἑτέρα ἐνδυτή, βλαττίον σκαραμάγγιον τῆς ἁγίας τραπέζης· καταπέτασμα βλαττίον τοῦ τέμπλου ὅμοιον τῆς ἐνδυτῆς περικαλύπτον καὶ τοὺς κίονας τῶν ἁγίων θυρῶν· τὰ ἀμφότερα παλαιά. ἕτερον βλαττίον καταπέτασμα διβλάττιον ὀξύν· ὁ ταὼν κογχευτὸς μετὰ περιφερίων ἐσοφορίων πιστακέων· καὶ ἕτερον ἔπιπλον στενοεπίμηκες καὶ ὀξύλευκον τὸ λεγόμενον ἀμπελοκλάδιον μετὰ περιφερίων, ἐσοφορίων κοινῶν· ταῦτα τὰ δύω ἔπιπλα ἀφιερώθη ἐκ πόθου τῷ τιμίῳ καὶ ἁγίῳ Προδρόμῳ παρὰ τοῦ πραιποσίτου Ἰωάννου καὶ ἐπὶ τοῦ Κωνσταντίνου εἰς ἄφεσιν ἁμαρτιῶν αὐτοῦ, ὡς ἂν τὸ μὲν ἓν τὸ στενὸν ἀπηώρηται ὑπὲρ τὴν τιμίαν κεφαλὴν αὐτοῦ, τὸ δὲ ἕτερον ἔμπροσθεν αὐτοῦ ἐν τάξει ποδώσεως ἐν ταῖς ἑορταῖς.

ε'. Διὰ τῶν ἀκινήτων κτήσεων.

Τὸ μοναστήριον αὐτὸ σὺν τοῖς ἐνοικικοῖς, τῷ τε μαγκιπικῷ ἐργαστηρίῳ, τῷ μυρεψικῷ καὶ τοῖς ἀνωγεωκατώγοις οἰκήμασι τοῖς ἐνοικικῶς ἐκδιδομένοις, ἐκτὸς ὧν ὑπεξεῖλον, τοῦ τε ἡλιακοῦ καὶ τοῦ κατωγέου τῶν ἀφορώντων εἰς τὴν αὐλὴν τοῦ μικροῦ οἴκου. ἡ ἡμίσεια πρόσοδος τοῦ οἴκου τοῦ περιελθόντος μοι ἀπὸ Θωμᾶ τοῦ Νικαέως· ὁ ἐντὸς τοῦ κάστρου τῆς Ῥαιδεστοῦ μέγας οἶκός μου ἐξ ὁλοκλήρου, ὃν δὴ καὶ πτωχοτροφεῖον εἶναι καὶ ὀνομάζεσθαι ἐτύπωσα, καὶ ἀλληλουχεῖσθαι τῷ

---

[1]) Supplevit S. [2]) Supplevit S.

μοναστηρίῳ ἀδιασπάστως [1]). προσέτι τοῦ Σελοκάκα σὺν τῷ Μακρῷ Χωρίῳ· προσέτι τῶν Βαβούλου ἤτοι τοῦ Λιβός· προσέτι ἡ ἁγία Μυρόπη, ἤτοι τὸ μονοκέλλιον, καὶ τὸ ἕτερον μονοκέλλιον τὸ δωρηθὲν τῇ μονῇ καὶ τῷ πτωχοτροφείῳ μου, ὡς ἰδιόκτητον αὐτοῦ κτῆμα παρὰ τοῦ ἁγιωτάτου πατριάρχου θεουπόλεως μεγάλης Ἀντιοχείας, κυροῦ Νικηφόρου, ὑπὲρ οὗ καὶ ὀφείλουσι τελεῖσθαι ἥτε ἐκτενὴς αὐτοῦ διηνεκῶς καὶ τὰ μνημόσυνα, καὶ δίδοσθαι ἐν τῷ καιρῷ τῶν μνημοσύνων αὐτοῦ τοῖς μὲν μοναχοῖς ὑπὲρ λειτουργειῶν [2]) νομίσματα δύο, καὶ εἰς διάδοσιν πενήτων νομίσματα τρία, προσεπιτελεῖσθαι δὲ καὶ τρισάγιον καὶ λειτουργίαι κδ'. προσέτι τοῦ Συμεωνίου· ἡ αὐλὴ τοῦ Μεταξᾶ· ἡ αὐλὴ τοῦ Ἀρκολύκη σὺν τοῖς ἀπὸ ἀνταλλαγῆς τῆς ἁγίας Σοφίας περιελθοῦσιν οἰκήμασι· ἡ αὐλὴ τοῦ Κεντάρχου· μετὰ τῶν ἐν αὐταῖς δηλονότι οἰκημάτων πάντων. ἀπὸ δὲ τῶν προαστείων μου τῶν ἐν τῷ Μεσοκώμῳ καθιερῶ τὸ ἕν, προσέτι ὅπερ ἀπὸ τῆς μοναχῆς . . . τῆς ἀνεψιᾶς τοῦ Σκρίβα ἐξωνησάμην, ὅπερ καὶ αὐτὸ τοῦ Χοσβαΐτου γέγονε. ἰστέον δέ, ὅτι τὸ δωρηθὲν ἀκίνητον ἀπὸ τοῦ Μονοκελλίου παρὰ τοῦ πατριάρχου θεουπόλεως μεγάλης Ἀντιοχείας, ἐκνικηθὲν ἀπ' αὐτοῦ, διήνεγκε τῇ μοναχῇ Ξένῃ καὶ εὐγενεστάτῃ κουροπαλατίσσῃ τῇ Κομνηνῇ, καὶ ἐδωρήθη παρ' αὐτῆς ὕστερον τῇ μονῇ τοῦ Πανοικτίρμονος, θελήσει τῆς ἡγιασμένης αὐτῆς μητρός, κυρᾶς Ἄννης· καὶ ὀφείλουσι μνημονεύεσθαι καὶ ἐν ζωῇ καὶ μετὰ θάνατον ἅμα Κωνσταντίνῳ, τῷ μακαρίτῃ ἀνδρὶ τῆς μοναχῆς κυρᾶς Ξένης, τελουμένων καὶ τῶν μνημοσύνων αὐτῶν κατὰ τὴν τῆς δωρεᾶς περίληψιν ἐσαεί †.

Exstat in cod. metochii Sancti Sepulchri in urbe Constantinopoli. Edidit C. Sathas, Μεσαιωνικὴ Βιβλιοθήκη *I. p. 2.*

II. Ante annum 6610—1118.

Typicum monasterii monialium Sanctae Mariae Gratiae Plenae in urbe Constantinopoli, editum ab imperatrice Irene Ducaena, quae e fundamentis exstruxit coenobium.

Τυπικὸν τῆς σεβασμίας μονῆς τῆς ὑπεραγίας θεοτόκου τῆς Κεχαριτωμένης τῆς ἐκ βάθρων νεουργηθείσης καὶ συστάσης παρὰ τῆς εὐσεβεστάτης αὐγούστης κυρᾶς Εἰρήνης τῆς Δουκαίνης κατὰ τὴν αὐτῆς πρόσταξιν καὶ γνώμην ὑφηγηθέν τε καὶ ἐκτεθέν.

† Πολλῶν μὲν ἡμῖν ἀγαθῶν καὶ μεγάλων, ὦ θεοῦ λόγου ζῶντος μῆτερ ὠδίνων ἄνευ καὶ μετὰ τόκον παρθενίας πάλιν κειμήλιον παναγέστατον, ὁ σὸς υἱὸς καὶ

---

1) ἀδισπάστως S. 2) λειτουργικῶν S.

θεὸς ἀρχηγὸς καὶ δοτὴρ ἐχρημάτισεν, ὁ σωτὴρ ἡμῶν ὡς ἀληθῶς Ἰησοῦς καὶ θεὸς μεθ' ἡμῶν, τὸ μέγα τοῦτο κατὰ τὸν ἅγιον Ἠσαΐαν τοῦ Ἐμμανουὴλ σημαινόμενον καὶ σεβάσμιον, ἔκ τε τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν καὶ τὸ εὖ εἶναι διὰ πάντων ἡμῖν χαρισάμενος καὶ λόγῳ τετιμηκὼς καὶ κριτήρια τῶν ὄντων, αἴσθησίν τε καὶ νοῦν δωρησάμενος, καὶ τούτοις τῶν ἐπὶ γῆς διαστήσας ζώων καὶ βασιλέα τούτοις ἐπιστήσας τὸν ἄνθρωπον βασιλευόμενον ἄνωθεν. „καὶ τί ἂν ἀποδώσομεν τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν“· τῇ δημιουργίᾳ συμπαραζεύξας καὶ πρόνοιαν καὶ οὐδέπω μέχρι καὶ δεῦρο τὰς τῶν ἀγαθῶν ἡμῖν δαψιλὰς πηγὰς ἐπισχών· ἐξ οὗ δὴ καὶ οὐρανὸν ἐγύρωσε καὶ χρόνον διέστησε καὶ ἐξέχεε καὶ ὑφήπλωσε γῆν καὶ τῶν δρωμένων ἐπόπτην τὸν ἄνθρωπον κατεστήσατο. μεγάλα μὲν οὖν δὴ καὶ ταῦτα καὶ τῆς πρακτικωτάτης τούτων καὶ συνεκτικωτάτης δυνάμεως ἄξια κατὰ τὸν μέγαν φάναι Δαβίδ· „ἔλεον αὐτοῦ τίς ἐκζητήσει ποτὲ καὶ ἀλήθειαν“; ἀλλ' οἷον δή σε ἡμῖν ἀγαθὸν ὁ μεγαλόδωρος ἐδωρήσατο, πνεύματός τε ἁγίου ἐπέλευσις καὶ ὑψίστου ἐπισκιάσασα δύναμις καὶ ναὸν ἑαυτῷ λογικόν τε καὶ ἔμψυχον, ἀχράντως τε καὶ ἀμεταβόλως ἐκ τῶν σῶν παρθενικῶν πανάγνων αἱμάτων ὑποστησάμενος καὶ ὑπὸ χρόνον, ἄτερ πατρὸς ἐκ σοῦ γεννηθεὶς ὁ πρὸ αἰώνων ἄτερ μητρὸς φὺς ἐκ πατρός. ἀλλ' οἷον δή σε ἡμῖν ἀγαθόν, ὅπερ ἔφην, ὁ καὶ τῶν ἄλλων ἡμῖν ἀγαθῶν δοτὴρ ἐδωρήσατο, κλίμακά τε ἐπάρας καὶ ὑφαπλώσας σε γέφυραν πρὸς οὐρανὸν ἀνάγουσαν ἢ μετάγουσαν τὸ ἀνθρώπινον, οὐδ' εἰ ξύμπαντα τὸν οὐρανὸν πρὸς φωνὴν ἀναλυθῆναι μίαν ἐγένετο, ἀξίως ἂν οἶμαι ἡρμήνευσεν ἢ ἐξύμνησε τὸ μεγαλεῖον τοῦ δώρου τούτου τὸ ἀξιόθεον. „τίς γὰρ λαλήσει τὰς δυναστείας τοῦ κυρίου ἢ τίς ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ“ ἢ ποία γλῶσσα τὰς ἑκάστοτε διὰ σοῦ θεοσημίας, ὦ κεχαριτωμένη τοῦ θεοῦ λόγου μῆτερ, ἐκδιηγήσεται, αἷς καὶ τὸ τῆς θεὸν στερέωμα πίστεως μένει ἀκράδαντον καὶ ἀσεβείας καθαιρεῖται τὰ ὀχυρώματα καὶ ἡ ἱερὰ θρησκεία κατὰ Χριστὸν ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων ἀραρότως ἐστήρικται· τίς ἐξείποι τὰς τῶν σῶν θαυμάτων μεγαλειότητας, τίς τὰ κατὰ διαφόρους καιροὺς ἐξηγήσεται τέρατα; τίς ἐξαγγελεῖ σου[1]) τὰ μεγαλεῖα ἢ τὰ παράδοξα ἐξυμνήσειεν, οἷς καὶ βασιλείαν κρατύνεις καὶ καθαιρεῖς τυραννίδας καὶ ἐπ' ἐλπίδι εὐζωίας μελλούσης τὸ φῦλον[2]) κατασκηνοῖς τὸ χριστιανικώτατον; ἐμοὶ δὲ δὴ τίς ἂν γένοιτο λόγος, ὦ τῶν ὑπερκοσμίων ἁπάντων θεογεννήτρια, τὴν τῶν περὶ ἐμέ σου θαυμασίων ἐξ ἁπαλῶν ὀνύχων εἰς τόδε ἡλικίας μεγαλειότητα ἢ ἁπλῶς ἐξηγούμενος ἢ πειρώμενος ἐξυμνεῖν καὶ τὸ τῆς περὶ ἐμέ σου ἐκ σπαργάνων ἔτι χρηστότητος ἐξηγήσασθαι πέλαγος; τά τε γάρ μοι πρὸς γένεσιν, ὦ

---

[1]) σοι M. [2]) φύλλον C. emend. M.

τοῦ μὲν ἡμετέρου γένους σωτηριωδέστατον αὔχημα, τῶν δὲ ἐν οὐρανοῖς ὁμηγύρεων ἐν ταῖς ἐπουρανίοις ὡς εἰκός, πανηγύρεσι περιλάλητον ἀγαλλίαμα, ἐξ εὐσεβοῦς τε γένους καὶ πρὸς ἀρετὴν εὐφυοῦς εὐμενείᾳ θεοῦ καὶ ταῖς σαῖς ἐπιστασίαις καὶ ἀντιλήψεσι τὴν ἀρχὴν ἐκληρώσατο, τά τε πρὸς ἀναγωγὴν καὶ παιδείαν ὑπὸ καλλίστοις νόμοις πεπαιδαγώγηται καὶ ἐν ἔθεσιν (ἀπέστω φθόνος καὶ κόμπου βάρος), οὐδὲν ἐπαγομένοις ἐπισεσυρμένον ἢ δυσανάγωγον. καὶ τοῦτο πάντως δῶρον θεοῦ καὶ τῆς θεομήτορος σου. τά τε πρὸς τὴν χρονικὴν σαφῶς τελειότητα, τίνι τῶν ἁπάντων ἢ ἁπασῶν οὕτως, ὡς ἐμοί, τῇ σῇ θεραπαίνῃ, διὰ πάντων εὐώδωσας πρὸς τὸ εὐμαρέστερον, ἡ τοῖς νοητοῖς καὶ ἀκηράτοις ὡς ἀληθῶς κροσσωτοῖς περιβεβλημένη, πεποικιλμένη βασίλισσα καὶ ἐκ δεξιῶν ἑστῶσα τοῦ παντοκράτορος; ταῖς γὰρ δὴ κατ' ἀνθρώπους εὐετηρίαις τὰ κατ' ἐμὲ πανταχόθεν περικυκλώσασα ἢ ἐπικλύσασα καὶ οὐδέν, ὅ τι τῆς κάτω ἀνθρωπίνης εὐροίας τῶν περὶ ἐμὲ περιβόλων στήσασα πόρρωθεν, ἔτι με καὶ πρὸς τὸ τῆς κατ' ἀνθρώπους εὐδαιμονίας ἀκρότατον, οἷς οἶδας λόγοις, τὴν βασιλείαν ἀνήγαγες· τούτοις τὸ ἐν πορφύρᾳ τέθεικας γονιμώτατον τῇ μητρικῇ μου σχέσει καὶ κλήσει τὴν μητρομήτορα προσθεμένη καὶ πατρομήτερα. τούτοις τὸ τῆς βασιλικῆς δυναστείας μέχρι καὶ τήμερον παρέζευξας παρατατικώτερον, τὰς καλλινίκους ὑπὲρ βασιλέως ἐπιμαχίας ἐν δεινοῖς καὶ καιροῖς κινδυνώδεσι τὰ τούτου κατὰ βαρβάρων ὑπό σοι συμμάχῳ μεγάλα τε καὶ τῇ Ῥωμαίων ἐπικρατείᾳ σωτήρια τρόπαια, τὰς τῶν φιλτάτων ἡμῖν ἀναρρώσεις ἐν νόσοις ἢ καὶ ἀναρρύσεις ἐκ φάραγγος ἁρπάζοντος λέοντος. προσθήσοις δέ γε καὶ ἔτι ἡμέρας τοῦ βασιλέως καὶ σύμμαχος τούτῳ κατὰ βαρβάρων ἀπρόσμαχος γίνοιο. ἵνα δή σοι καὶ ἡ κληρονομία καὶ ἡ χειρισθεῖσά σοι μεγαλόπολις πηγὴ καὶ ῥίζα τῆς εὐσεβείας ἀειθαλὴς διασώζηται καὶ ἀένναος. ἀγγέλων οὖν ἐπὶ τούτοις ἀφεῖσα γλώσσαις, αἵτινές ποτε ἀγγέλων γλῶσσαι πεφύκασι τὴν σὴν εὐφημεῖν τε καὶ γεραίρειν μεγαλειότητα καὶ τὸ ὑπὲρ τοὺς ἀνωτάτω καὶ πρεσβυτάτους θρόνους καὶ τὰ Χερουβὶμ ἀκηλίδωτον καὶ ἀμόλυντον καὶ νοερῶς ἀνθομολογεῖσθαί σοι διὰ τὸ περὶ ἡμᾶς συμπαθές τε καὶ φιλάνθρωπον, μόνον ἐγὼ τὸν ἐπιστρεπτικὸν ἀντεισφέρω σοι μάλα ζέοντα ἔρωτα, τὸν προνοητικώτατόν τε καὶ σωστικώτατον μετὰ τοῦ μονογενοῦς τε καὶ πρωτοτόκου τρεφούσῃ περὶ τὸ ἀνθρώπινον ἔρωτα. καί μοι τὸ φρικτόν τε καὶ μέγα τῆς σῆς θεοτοκίας ἀξίωμα, περιλάλημα θυμηρέστατον καὶ ἐννόημα ἀδιάληπτον, ἐπί τε τὴν σὴν ἱερὰν λοχείαν πᾶσαν ἡδονὴν εὐαγῆ καὶ τροφὴν καλῶ. καὶ οὐδέν μοι πάντων οὕτω χαριέστατον ἄκουσμα ἢ διήγημα, ὡς τὰ περί σε θαυμάσια καὶ μυστήρια καὶ τὸ τῆς ἐφ' ἡμᾶς ἐπιρροίας τῶν ἀγαθῶν ἐκ θεοῦ διά σου μέσης ἀέναον· ἀλλὰ γὰρ ἐπὶ τούτοις ἄξιον μὲν οὐδὲν εἶναι παρ' ἡμῖν οἶδα, τῆς σῆς ὑπὲρ λόγον καὶ νοῦν ἁγιότητος, καθάπερ οὐδὲ τοῦ τὸ ἡμέτερον ἐκ σοῦ

πτωχεύσαντος φύραμα, οἷς οὐδὲν ἑαυτῶν, ἀλλὰ τὰ πάντα θεοῦ, καὶ ἡμεῖς· γεννησάσῃ γάρ σοι τὸν λόγον ὑπὲρ λόγον τὸν ἄυλον, τό τε ἀνενδεὲς ἐντεῦθεν ἀπεκληρώθη καὶ τέλειον καὶ τὰ τῆς κάτω ῥεούσης ὕλης οὐκ ἔντιμα. ἐπειδὴ δὲ καὶ τοῖς ἔτι περὶ τὰ κάτω στρεφομένοις καὶ ζῶσι κατ' ἄνθρωπον ἀμήχανον θειοτέραις τισὶν ἀπαρχαῖς καὶ ὑπὲρ τὴν ὕλην τὸ τῆς περί σε πίστεως ζέον ἐνδείκνυσθαι, σοί τε τῇ τοῦ λόγου μητρὶ τὸ τοῦ λόγου συγκαταβατικόν τε καὶ μέτριον διὰ ζήλου τε καὶ μιμήσεως ἐκ τῶν παρ' ἡμῖν τε καὶ καθ' ἡμᾶς εὐαγῆ καὶ αὕτη ναὸν δειμαμένη τῷ ἁγίῳ ναῷ σοι καὶ ἐν δικαιοσύνῃ κατὰ τὸν σὸν προπάτορα καὶ μέγαν Δαβὶδ θαυμαστῷ ὑμνῳδούς σοι μονοτρόπους καὶ τῇ θείᾳ μακαριότητι τοῦ παρ' ἡμῖν σώφρονος θήλεος γένους ἐκ τούτῳ κατῴκισα τὰ ἐτήσιά τε καὶ ἡμερήσια κατὰ λόγον ἀναγκαῖα τῷ ἀπορρύτῳ τοῦ σώματος ἀπὸ τῶν σῶν μεγάλων ἐμοὶ δωρεῶν ἑκάστῃ τούτων ἐπιμετρήσασα κατὰ τὸ ἀνάλογον, μᾶλλον δὲ καὶ κοινοβιακὴν διὰ πάντων καταστήσασα ταύταις τὴν ἄσκησιν καὶ πανταχόθεν περὶ τὴν ἱερὰν πολιτείαν τῷ θείῳ τούτῳ συντάγματι τὸ ἀπερίσπαστον περιποιησαμένη καὶ συγκροτήσασα. αἱ δή μοι καὶ κατ' ἐλπίδα τε καὶ εὐχὴν τὴν ἀσκητικὴν διαθέουσι δίαυλον, ἐξ οὗ δὴ τὴν καλὴν ἐκείνην ὁμολογίαν περὶ τὴν ἱερὰν ταύτην μάνδραν θεοῦ τε καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ἐνώπιον ὡμολόγησαν καὶ οὐδὲ ἐνταῦθά μοι αἱ ἐπί σοι, παρθένε μῆτερ θεοῦ, ἐλπίδες διημαρτήκασι καὶ τὰ ἐπὶ τούτοις εὐχαριστήρια χοροί σοι πάντως ἀγγέλων ἀνοίσουσιν, οὓς ἐπὶ σωτηρίᾳ χαίρειν ἀνθρώπου καὶ μεγάλα σκιρτᾶν διαγορεύει τὰ εὐαγγέλια. ἀλλ' ἐγὼ μὲν οὕτω δή σοι τῇ τεκούσῃ τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν, ἐν θεοῦ πόθου περιουσίᾳ τὴν ἱερὰν ἐδειμάμην μάνδραν καὶ ἀγέλην λόγῳ τετιμημένην τῇ τοῦ πρώτου ἢ καὶ ἑνὸς ποιμένος, κατὰ τὸν σοφὸν Σολομῶντα, μητρί σοι προσήγαγον. σὺ δέ μοι, ὦ τί ἄν σέ τις εἰπὼν ὀρθῶς προσείποι; τὴν κεχαριτωμένην παρὰ θεῷ, τὴν ὑπὲρ τὰ ὁρώμενα, τὴν ὑπὲρ τὰ νοούμενα, τὴν τοὺς ὅρους ὑπερβᾶσαν τῆς φύσεως, τὴν θεοῦ καὶ ἀνθρώπων μεσίτιδα, τί τὰ πολλὰ μηκύνω; τὴν ἀληθῶς ὑπὸ παρθενίᾳ καὶ ἁγνότητι θεομήτορα. σὺ δέ μοι τὴν ἐγκάρδιον πίστιν ἐπιεικῶς διαβασανίσασα, δέξαι τὴν ἀπαρχὴν εὐμενῶς καὶ μὴ ἀπώσῃ μοι τὴν προσαγωγήν, μηδὲ ἀποτρέψῃς ἀπὸ τῆς παιδός σου τὸ πρόσωπόν σου, ἀλλὰ τῷ δεξιῷ τῆς ἀρχῆς πρόσθες καὶ τὸ τοῦ πέρατος αἴσιον, τὰς τοῖς τοῦ παναγίου περιηργυρουμένας χαρίσμασι πνεύματος καὶ αὐτή, κατὰ τὸν Μωϋσέα, διεῖσα, παναμώμητε, πτέρυγας, καὶ τὴν καλὴν ταύτην μάνδραν οὕτω περιθριγκώσασα καὶ τῷ περιϊόντι καὶ τίνα καταπίοι ζητοῦντι καὶ τοὺς ἱεροὺς περιβόλους ὑπὸ λιμῷ τε καὶ δόλῳ περιοδεύοντι λέοντι, τὴν ἀνατεθεῖσαν ταύτην ἀγέλην τῇ σῇ, παρθένε καὶ μῆτερ, μεγαλειότητι συντηροῦσα καθάπαξ ἀνεπιβούλευτον, καὶ τὸ θῆλυ πρὸς ἀρετὴν ἀρρενοῦσα τῇ ἀδελφότητι, καὶ

τὴν πανσθενῆ σοι δεξιὰν ὑπερέχουσα τοῦ καλοῦ τοῦδε ποιμνίου κατὰ τὴν διηνέκειαν, ὡς μηδὲ μίαν καὶ πάλιν ἐν ταύταις Εὔαν εὑρεῖν τὸν ἀρχαῖον πτερνιστήν τε καὶ δράκοντα ἢ ψιθυρίσαι ταύτης πρὸς ὦτα θανατηφόρα σοφίσματα καὶ πρὸς Ἅιδου κατάγοντα πέταυρον, ἀλλ' ἅμα πάσας ὑπὸ τὴν σὴν κραταιοτάτην αὐλιζομένας ἀντίληψιν τὸν ἱερόν, καθ' ἑτέραν ἐπιβολήν, μελισσῶνα τοῦτον περιβομβεῖν ἐμμελέστατα, τὸν τῆς ἀρετῆς ἐργαζομένας καρπὸν ὑπὲρ μέλι γλυκάζοντα ἐν αὐλῇ ἁγίᾳ θεοῦ προσκυνούσας ἀχράντως τῷ κρείττονι, θεῷ θυσίαν θυούσας αἰνέσεως τῆς ἡμέρας ἑπτάκις ἐπὶ τὰ τῆς θείας δικαιοσύνης αἰνούσης μαρτύρια, καὶ τήν τε θείαν μακαριότητα, τήν τε σὴν ἀνυμνούσας μεγαλειότητα ἐπὶ τὰ τῆς ὑπερουσίου θεότητος κρίματα ἐξεγειρομένας μετὰ τοῦ Δαβὶδ μεσονύκτιον ἐν ταῖς νυξὶν ἐπαιρούσας ὁσίας χεῖρας χωρὶς διαλογισμῶν εἰς τὰ ἅγια, ἐν ἐκκλησίαις τὸν θεὸν εὐλογούσας κύριον ἐκ πηγῶν Ἰσραήλ, τὸν χοῦν κενούσας, τὸν νοῦν πτερούσας, δουλευούσας τῷ κυρίῳ, ζεούσας τῷ πνεύματι, ἀλλήλας κατανοούσας εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων κατὰ τὸν θεῖον ἀπόστολον. ἐν τούτοις δή μοι τὴν ποίμνην ταύτην, ὦ κεχαριτωμένη τοῦ λόγου μῆτερ, καὶ τῶν ἁπάντων βασίλισσα, διατήρει τε καὶ διάσωζε, ὡς ἐντεῦθεν κακίαν τε τούτων πᾶσαν καὶ ἄγνοιαν ἐξελαύνεσθαι καὶ διὰ τῆς καθάρσεως ἀεὶ βαδίζειν ταύτας πρὸς καθαρότητα καὶ τὰς τούτων ἱκετηρίας εἰς ὦτα κυρίου Σαβαὼθ ἀνατείνεσθαί τε καὶ εἰσοικίζεσθαι καὶ οὕτως ἡμῖν ἐκεῖθεν ἐφήκειν ἅπαν ὅ τι σωτήριον τῇ ἱερατείᾳ, τῇ βασιλείᾳ, τῷ κατὰ Χριστὸν πολιτεύματι, ὡς ἐντεῦθεν καὶ τὸν τὴν τοῦ Χριστοῦ βασιλείαν διέποντα ἐν ἀκεραιότητι εὐσεβείας διέπειν τε τὸ ὑπήκοον καὶ εἰρήνην τῷ κόσμῳ καὶ εὐστάθειαν πραγματεύεσθαι, ἐν καλοῖς παγγενῆ συντηρούμενον καὶ βαρβάρους τροπούμενον, ὅσοι τε ὁρατοὶ καὶ ὅσοι ἀόρατοι, ὅσοι τε τὰ νῶτα τούτῳ τηροῦσιν, ὅσοι κατὰ στέρνων τοῦτον πειρῶνται παίειν, ὅσοι τε ὑπερόριοι καὶ ὅσοι αὐθιγενεῖς ἢ ἐγκόλπιοι τούτῳ δράκοντες, τὸ ἀπευκταῖόν τε καὶ ἀπώμοτον. τοιοῦτον δή σοι τὸν βασιλέα μετὰ τῶν ἐξ αὐτοῦ, τόν τά τε ἄλλα καὶ περὶ τὴν ἀπαρχήν μοι ταύτην ὁμογνώμονα καὶ συνέριθον εὐγνώμονα καὶ ὁμόδουλον. ὁ καλὸς οὗτος τῆς ποίμνης εὐχόμενος ὅμιλος τῷ κατὰ Χριστὸν ἐπιμήκιστον περισώζεσθαι πολιτεύματι κατὰ λόγον δήπου πάντως τῆς σῆς ἐπικουρίας δεῖται καὶ κραταιᾶς, ὡς εἰκός, ἀντιλήψεως περὶ τὸ μέγα λίαν αἴτημα τοῦτο καὶ τῇ οἰκουμένῃ σωτήριον, ἧς ἀπούσης καὶ μηδὲ τῆς θείας ῥοπῆς παρούσης οὐδὲν καλὸν οὐδενὶ τῶν ἁπάντων καθορθοῦν εὐπετές. τοιαῦτά σοι τὰ παρ' ἡμῶν, ὦ θεομῆτορ, ἁπάσης κτίσεως δέσποινα, ἐπί τε τοῖς παρεληλυθόσιν εὐχαριστήρια, ἐπί τε τοῖς μέλλουσιν ἱκετήρια. καὶ γένοιτο δὴ ἡμῖν κατά τε τόνδε τὸν βίον τὸν ταραχώδη καὶ πολυκύμονα ὑπὸ τὰς σὰς αὐλίζεσθαι πτέρυγας, ὡς τόν τε μὴ ὑπὸ ταύταις σκεπόμενον, ἀλλὰ καὶ περὶ τὸ τοῦ κόσμου

μέσον ἢ τὸ τῶν κοσμικῶν πραγμάτων κέντρον στρεφόμενον ἀμήχανον ἢ καὶ τελέως ἀδύνατον μὴ φλέγεσθαι ἐπ' ἀνθράκων βαδίζοντα ἢ ἐπ' ἀκανθῶν μὴ ἀμύττεσθαι ἢ ἐπὶ ξιφῶν μὴ αἱμάττεσθαι. κατά τε γοῦν τὸν παρόντα βίον τὸν πολυκίνητον καὶ φιλομετάβολον, οὕτω δή σε τὴν καλλονὴν Ἰακὼβ ὑπέρμαχον ἔχειν ἡμῖν ἐν πᾶσιν ἀπρόσμαχον γένοιτο, τὰς τῶν σφετέρων ἐλπίδων ἀγκύρας ὅλας τῆς σῆς χρηστότητος ἐξαρτήσασι, κατά τε λῆξιν τὴν μέλλουσαν εὑρεῖν σε πάλιν προστατίδα περὶ τὸ φρικτόν τε καὶ μέγα τοῦ υἱοῦ σου καὶ βασιλέως κριτήριον, ὅ τε δὴ καὶ τοὺς λόγους τῶν ἐν τῇ καλῇ Ναζαρὲτ μεγάλων εὐαγγελίων τῆς ἐν σοὶ παναρρήτου τοῦ λόγου σαρκώσεως καὶ τῶν κατὰ τὴν ἱερὰν Βηθλεὲμ ἐν τῇ φάτνῃ σπαργάνων οἱ τῆς ἀρετῆς ἐργάται συνήσουσι τρανότερόν τε καὶ καθαρώτερον. ἀλλὰ τοιαῦτα μὲν δὴ τῇ ὑπερλάμπρῳ καὶ θείᾳ κιβωτῷ σοι τοῦ ἁγιάσματος τὰ παρ' ἡμῶν εὐχαριστήριά τε καὶ ἱκετήρια, ἃ δὲ δὴ περί τε τῆς ἱερᾶς σοι μάνδρας καὶ τῆς τῶν κατ' αὐτὴν ἡμῖν διατετύπωται καταστάσεως ταῦτά ἐστι.

Κεφ. α'. Περὶ τοῦ ἐλευθέραν καὶ αὐτοδέσποτον εἶναι τὴν τῆς Κεχαριτωμένης καὶ πανάγνου θεομήτορος μονήν. Βούλομαι τὴν ὑπ' ἐμοῦ συστᾶσαν τῆς Κεχαριτωμένης δεσποίνης μου θεοτόκου μονήν, μέχρι μὲν ἂν ἐγὼ τῆς αὐτῆς ἐκτενεῖ πρεσβείᾳ καὶ χάριτι ἐν τῇ παρούσῃ διατηρῶμαι ζωῇ, καθ' ὃν ἂν αὐτὴ θέλω τρόπον διοικεῖσθαι καὶ διεξάγεσθαι, μετὰ δὲ τὴν ἐμὴν ἀποβίωσιν (ἄνθρωπος γὰρ οὖσα θανεῖν ἀπεκδέχομαι καὶ τὸ κοινὸν ἐπιγνῶναι χρέος τῆς φύσεως) ἐλευθέραν εἶναι καὶ αὐτοδέσποτον καὶ πάσης χειρὸς καὶ δεσποτείας ἀπεξενωμένην καὶ μηδενὶ τῶν ἁπάντων ἐπ' αὐτῇ προσεῖναι ὁτιοῦν δίκαιον ἢ προνόμιον, ἀλλὰ παντάπασιν οὖσαν ἐλευθέραν μένειν καθ' ἑαυτὴν καὶ ἐφ' ἑαυτῆς διοικεῖσθαι κατὰ τὰ παρ' ἐμοῦ ῥητῶς ἐνταῦθα διατυπωθησόμενα, μήτε βασιλικοῖς ἢ ἐκκλησιαστικοῖς ἢ προσωπικοῖς ὁτεδήποτε ὑποτιθεμένην δικαίοις, μήτε κατὰ δωρεὰν ἢ ἐπίδοσιν ἢ ἐφορίαν ἢ οἰκονομίαν ἢ ἐπιτήρησιν ἢ ἑτέραν τινὰ πρόφασιν προσώπῳ οἰῳδήτινι ἢ μονῇ ἢ εὐαγεῖ οἴκῳ ἢ τῷ ὀρφανοτροφείῳ ἢ ἑτέρῳ σεκρέτῳ ἢ ξενῶνί τινι ἀνατιθεμένην, ἀλλ' ὑπὸ τὴν ἐξουσίαν μόνης τῆς κεχαριτωμένης παρθενομήτορος, ᾗ δὴ καὶ ἀνατέθειται, κεῖσθαι μένουσαν ἐς ἀεί, καὶ παρὰ τῆς κατὰ τὴν ἡμέραν ἡγουμενευούσης ἐν αὐτῇ κυβερνᾶσθαί τε καὶ διεξάγεσθαι κατὰ τὰ παρόντα ἡμῶν διατάγματα· ὁ μὲν γὰρ κράτιστός μου βασιλεύς, κῦρις Ἀλέξιος ὁ Κομνηνός, ὃν δῴη κύριος ὁ θεὸς μακραίωνα διαβιῶναι ζωὴν καὶ εἰς γῆρας ἐλάσαι βαθύ, τοιαύτην ἕξει τὴν ἐπὶ τῇ μονῇ ἐξουσίαν, ὁποίαν δὴ καὶ ἐγώ. μετὰ δὲ τὴν τοῦ κρατίστου μου βασιλέως τῶν ἐντεῦθεν ἐκδημίαν οὐ βούλομαι τὴν τῆς Κεχαριτωμένης μου θεοτόκου μονὴν ὑπό τινος τῶν ἁπάντων διοικεῖσθαι καὶ διεξάγεσθαι, ἐλευθέραν καὶ αὐτοδέσποτον ἐς ἀεὶ διαμένουσαν, καθὼς ἀνωτέρω λεπτομερέστερον

διείληπται, ἀλλ' αὐτὴν ἐφ' ἑαυτῆς διοικεῖσθαι καὶ διακυβερνᾶσθαι παρὰ τῆς κατὰ τὴν ἡμέραν ἡγουμενευούσης ἐν αὐτῇ κατὰ τὴν τοῦ παρόντος τυπικοῦ διαταγήν. εἰ δέ τις βουληθείη ποτὲ ἐν οἱῳδήποτε χρόνῳ καθ' οἷον δή τινα τρόπον καταδουλώσασθαι ταύτην ἡμῶν τὴν μονὴν καὶ ὑπὸ ἐξουσίαν ἑτέρου θέσθαι τινός, κἂν βασιλεὺς εἴη, κἂν πατριάρχης, κἂν ἄλλος τις τῶν ἐκκλησιαστικῶν ἢ συγκλητικῶν [ἀρχόντων], κἂν αὐτὴ ἡ προεστῶσα ἢ [ὁ] οἰκονόμος ἤ τις ἁπλῶς τῶν νῦν ἐν ταύτῃ ἀδελφῶν ἐξ ἐπηρείας δαιμονικῆς παρακεκινημένη, οὐ μόνον ἔνοχος ἔσται τῷ θείῳ σώματι καὶ αἵματι τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ καὶ ἀνάθεμα ἔσται, καθώς φησιν ὁ θεῖος ἀπόστολος, καὶ τῇ ἀρᾷ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων [τῶν ἐν Νικαίᾳ] ὑπόδικος γένηται, ὅτι ὅπερ ἐκ ζεούσης καρδίας καὶ πίστεως ἐξ ἐλαχίστου μέρους τῶν πρὸς τῆς Κεχαριτωμένης θεοτόκου πρὸς ἡμᾶς εὐεργεσιῶν συνεστησάμεθα μοναστήριον καὶ τῇ ἐξουσίᾳ καὶ δεσποτείᾳ αὐτῆς τῆς Κεχαριτωμένης θεοτόκου ἡμῶν ὑπεκθέμεθα, ἐκ πάντων ἁπλῶν ἐλεύθερον αὐτὸ τυγχάνειν θελήσαντες, τοῦτο οὗτος κακοτρόπῳ γνώμῃ καὶ δολερᾷ ὑπὸ ἐξουσίαν ἀνθρώπων διεφθαρμένων ἴσως καὶ πονηρῶν καὶ πρὸς οὐδὲν ἄλλο βλεπόντων ἢ κέρδος ὀλέθριον ἀθλίως ὁ ἄθλιος ποιήσασθαι ἐμελέτησεν.

Κεφ. β'. Περὶ τοῦ δεῖν κοινοβιακὴν τὴν διαγωγὴν μετιέναι τὰς ἐν τῇ μονῇ τῆς Κεχαριτωμένης τὸν μονήρη βίον διανυούσας. Περί γε μὴν τῆς διαγωγῆς τῶν μοναζουσῶν καὶ τῆς ὅλης ἐν τῇ μονῇ πολιτείας ἐφεξῆς σαφέστερόν τε καὶ διὰ βραχέων εἰρῆσθαι καλόν. διορισθήσεται δὲ τὰ περὶ τούτου, καθὰ τοῖς θείοις πατράσι περὶ τῶν ἄρτι ἀποταξαμένων διηυκρίνηταί τε καὶ διηγόρευται· διεγνώκασι γὰρ καὶ νενομοθετήκασι κοινοβιακὴν ὑπεισέρχεσθαι πολιτείαν καὶ εἰς ὑποταγὴν ἐκδίδοσθαι ἀρνησαμένους τὸ θέλημα τοὺς ἄρτι τὸν πολυκύμονα φυγόντας κόσμον καὶ προσπεφευγότας τῷ τοῦ μονήρους βίου ἀκυμάντῳ λιμένι, ἅτε δεομένους κυβερνήτου καὶ ὁδηγοῦ, ὡς τὸ τῆς ψυχῆς ὄμμα τυφλὸν περιφέροντας καὶ μὴ οἵους τε ὄντας ἑαυτοῖς ἐπαρκεῖν διὰ τὴν τοῦ καλοῦ ἄγνοιαν. τούτοις οὖν πειθομένη βούλομαι καὶ σφόδρα βούλομαι, ἐν κοινοβιακῇ διαγωγῇ τε καὶ καταστάσει τὰς μοναζούσας ἐν τῇ μονῇ τῆς Κεχαριτωμένης μητροπαρθένου διαζῆν καὶ τὴν τῆς τοιαύτης πολιτείας κανόνα ἐσαεὶ κύριον εἶναι παρ' αὐτῇ, ἀναλλοίωτόν τε καὶ ἀμετάτρεπτον καὶ πάσῃ περιστάσει ἀσάλευτον μέχρι τῆς τοῦ παντὸς τοῦδε συστάσεως κατὰ μηδένα τρόπον παραχαραττόμενον ἢ ἀλλοιούμενον μηδὲ παρακινούμενον δι' ἡντιναοῦν αἰτίαν ἢ πρόφασιν, μὴ διὰ πλοῦτον, μὴ διὰ πενίαν, μὴ δι' ἀφορίαν ἢ εὐφορίαν, μὴ δι' ἄλλην ὁποιανοῦν εὐλογοφανῆ αἰτίαν ἢ ἀφορμήν, ἀλλὰ πάντῃ τε καὶ πάντως τὴν κοινοβιακὴν φυλάττεσθαι διαγωγὴν καὶ κατάστασιν μέχρι παντὸς ἀπαράθραυστον, κἂν εἰς δύο μοναζουσῶν διάρκειαν περιστῆναι συμβῇ τὴν

ὅλην πρόσοδον τῆς μονῆς καὶ αὐτὰς κοινοβιακῶς βουλόμεθα ζῆν καὶ τῷ τῆς διαγωγῆς ταύτης κανόνι στοιχεῖν. κἂν μὲν τῶν ἡγουμενῶν τις ἐναντίον βουληθῇ, τὰς μοναχὰς ἀντιλέγειν, εἰ δ' αἱ μοναχαί, τὴν ἡγουμένην ἀντιπίπτειν, εἰ δὲ καὶ σύμπασαι συμφρονήσαιεν, τὴν τῆς μονῆς ἀντιλαμβανομένην τὰ παρ' ἡμῶν διατεταγμένα διεκδικεῖν, εἰ δὲ καὶ αὕτη ἐκείναις συναπαχθείη, ἄδειαν ἐκχωροῦμεν παντὶ τῷ βουλομένῳ ὑπὲρ εὐσεβοῦς ἀγωνίζεσθαι πράγματος, εἰ μή γε παρὰ τῶν συγγενῶν ἡμῶν τοῦτο γένηται, καὶ δικαστηρίῳ προσιέναι δι' αὐτὸ τὸ καλὸν καὶ τὸν ὑπὲρ τούτου μισθὸν καὶ τὰ παρ' ἡμῶν διατεταγμένα ζητεῖν ἔχειν τὸ ἐνεργὸν καὶ τὰς πρωταιτίους τῆς τοῦ κοινοβιακῶς ζῆν καταλύσεως ἐξωθεῖν τῆς μονῆς καὶ μὴ νομίζειν τοῦτο μικρὸν εἶναι κατόρθωμα, ἀλλὰ καὶ πάνυ μέγα καὶ σωτήριον.

Κεφ. γ'. Περὶ τῶν εἰς ἀντίληψιν τῆς μονῆς τεταγμένων καὶ περὶ τοῦ κρατεῖν καὶ ὅσα ἐν τῇ διαθήκῃ μου περὶ τῆς μονῆς διατάξομαι ἴσα τῷ παρόντι τυπικῷ, ὃ καὶ ὀφείλει ἔχειν τὸ ἀναλλοίωτον καὶ ἄτρεπτον ἐσαεί. Ἐπεὶ δὲ τῶν ἀναγκαίων ἦν φροντίσαι τὴν βασιλείαν μου, ὅπως καὶ μετὰ τὴν ἀμφοτέρων ἡμῶν ἀπὸ τῶν ἐνθένδε μετάστασιν ἡ τῆς Κεχαριτωμένης μου θεοτόκου μονὴ εὐπορoίη τῶν ἀντιληψομένων, ἵνα μὴ καὶ τοῖς τὰ ἀλλότρια συλῶσι διάρπαγμα γένηται, οἷα μὴ ὑπὸ σκέπην τινὰ καὶ ἀσφάλειαν φρουρουμένη, τοῦτο δὴ καὶ πεποίηκα καὶ κατὰ λόγον ἀρίστης οἰκονομίας βούλομαι τὴν περιπόθητόν μου θυγατέρα καὶ πορφυρογέννητον, μοναχὴν κυρὰν Εὐδοκίαν, περιέπειν αὐτὴν καὶ συγκροτεῖν καὶ διεκδικεῖν καὶ ἀποτρέπειν παντοίως τοὺς πειρωμένους αὐτῇ ἐπηρεάζειν, καὶ ὅτε τι ἴσως τῶν ἐν τῷ παρόντι τυπικῷ παραθραύεσθαι κινδυνεύει, κωλύειν, ἅτε μοναχὴν οὖσαν καὶ μέλλουσαν τῇ τοιαύτῃ μονῇ ἐγκαρτερεῖν. μετὰ μέντοι τὴν ταύτης πρὸς τὰ ἐκεῖθεν μετάστασιν ἐκεῖναι εἰς τὴν τῆς μονῆς ἐφορείαν καὶ ἀντίληψιν καταστήσονται, αἷς ἡ βασιλεία μου τὸ τοιοῦτον δίκαιον δώσει, ἢ διὰ προσθήκης ἐν τῷ παρόντι τυπικῷ γενομένης ἢ καὶ διά τινος ἐγγράφου τελευταίας βουλήσεως· καὶ ὅσα γὰρ ἂν ἐν ταῖς τελευταίαις μου βουλήσεσι διατυπώσωμαι περὶ τῆς μονῆς ταύτης καὶ πάντων τῶν ὑπ' αὐτήν, οὕτω βούλομαι κἀκεῖνα κρατεῖν, ὥσπερ ἂν εἰ ἐν τῷ παρόντι μου τυπικῷ ἐνεγράφησαν καὶ οὕτω καὶ ταῦτα ἀναλλοίωτα διαμένειν, ὃν τρόπον καὶ διωρισμένα ἐνταυθοῖ. ἀλλὰ καί τινα τῶν ἐν τούτῳ γραφέντων μοι, εἰ βουληθῶ ἀλλοιῶσαι ἐνδιαθήκως, πάντως καὶ τοῦτο ἐξέσται μοι, καὶ οὐδεμία διαφορὰ λογισθήσεται τῷ παρόντι μου τυπικῷ πρὸς τὴν τελευταίαν μου βούλησιν, ὅσον εἰς τὸ ἐπίσης κρατεῖν ἰσχυρῶς πάντα τὰ δι' ἀμφοτέρων ἐπὶ τοῖς τῆς μονῆς τῇ βασιλείᾳ μου δόξαντα, εἰ μή που τινὰ τῶν ἐνταυθοῖ γεγραμμένων, ὡς εἴρηται, σχολὴν ἀπὸ τῆς διαθήκης μου δέξονται. τῇ προφάσει δὲ ταύτῃ οὐκ ὀφείλει τις τῶν αἷς ἀντιλαμβάνεσθαι τῆς

μονῆς παρὰ τῆς βασιλείας μου ἐγκεχώρηται ἐξουσιάζειν τινὸς τῶν ἐν αὐτῇ, οὐ παραχαράττειν τι τῶν ἐν τῷ παρόντι τυπικῷ διωρισμένων, οὐ τὴν ἡγουμένην μεθιστᾶν, οὐ μοναχὰς κατατάττειν, οὐκ εἰσάγειν, οὐκ ἐξάγειν, οὐκ ἐν λογισμοῖς τισιν ὑποτιθέναι ἢ αὐτὴν τὴν ἡγουμένην ἢ τὸν οἰκονόμον ἤ τινα τῶν μοναζουσῶν, ἐφ' οἷς διοικοῦσί τε καὶ προνοοῦνται, οὐ τῶν εἰσοδιαζομένων τε καὶ ἐξοδιαζομένων εἴδησιν ἀπαιτεῖν ἢ λαμβάνειν τι ἀπὸ τῆς μονῆς τὸ σύνολον ἐπιχειρεῖν ἢ νοσφίζεσθαι τὸ οἱονοῦν ἢ διατάττεσθαι[1]· τὴν γὰρ διοίκησιν τῆς μονῆς καὶ τῶν ὑπ' αὐτὴν πάντων ἀπεριχλόνητον ἀνατιθέαμεν αὐτῇ τῇ προεστώσῃ καὶ ταῖς μοναχαῖς κατὰ τὴν τοῦ τυπικοῦ περίληψιν. ἐπὶ δὲ τούτῳ μόνῳ τὰς ῥηθείσας ἐφιστῶμεν τῇ μονῇ, ἐπὶ τῷ συγκροτεῖν τε καὶ περιέπειν αὐτήν τε καὶ ὑπ' αὐτήν, καὶ σκανδαλιζομένας ἴσως τὰς μοναχὰς εἰρηνεύειν καὶ ἀποσοβεῖν τοὺς ἐθέλοντας τοῖς τῆς μονῆς ἐπεμβαίνειν δικαίοις ἢ παραθραύειν τι τῶν ἐν τῷ παρόντι τυπικῷ διηγορευμένων, ἀρκέσει δὲ αὐταῖς τὸ μνημονεύεσθαι μόνον καθ' ἑκάστην ἐν τῇ μονῇ καὶ μετὰ θάνατον τοῖς ἱεροῖς διπτύχοις [ἐγ]γράφεσθαι[2]· τὸ γὰρ παρὸν ἡμῶν τυπικὸν βουλόμεθα ἔχειν τὸ κράτος ἀκλόνητόν τε καὶ ἀπαράτρωτον μέχρι παντός, μὴ προσθήκην τινὰ δεχόμενον, μὴ ἀφαίρησιν, μὴ μεταποίησιν· οὐδέποτε γάρ τι τῶν ἐν τούτῳ διηγορευμένον ἢ διαγορευθησομένων παραβαθήσετε ἤ τινα τρόπον [ἀλλοίωσιν][3] ἢ μεταποίησιν δέξεται παρ' οὑτινοσοῦν, οὐδὲ ἐν μιᾷ καιροῦ ῥοπῇ, κἂν πολλῷ κρείττονα διατάγματα καὶ οἰκονομήματα εἴτε παρ' αὐτῆς τῆς ἡγουμένης, εἴτε παρὰ τῆς τῆς μονῆς ἀντιλαμβανομένης εἰσάγοιτο τῇ μονῇ, ἐξ ὧν προσδοκᾶται αὐτήν τε καὶ τὰ ὑπ' αὐτὴν ἐπίδοσιν μεγίστην λαβεῖν καὶ κατάστασιν κρείττονα.

Κεφ. δ'. Περὶ τοῦ πῶς ἂν διάγοιεν ἐν τῇ μονῇ αἱ ἐκ τῶν ἐγγόνων ἡμῶν ἀποκειρόμεναι καὶ ἐν ταύτῃ παραχωρηθεῖσαι διάγειν καὶ αἱ ἐκ τῶν περιφανεστέρου βίου καὶ σεμνοῦ προσερχόμεναι τῇ τοιαύτῃ μονῇ καὶ ἀποκειρόμεναι ἐν αὐτῇ. Ἐὰν δέ τις τῶν θυγατέρων τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης ἢ τῆς πορφυρογεννήτου κυρᾶς Μαρίας ἐν τῇ τοιαύτῃ μονῇ τὴν κοσμικὴν τρίχα θελήσει κείρασθαι ἢ καὶ ἀπὸ τῶν ἔξω ἀποκαρεῖσα εἰσέλθοι, παραδεκτέα ἔσται, καὶ εἰ μὲν τῷ αὐτῷ τύπῳ τε καὶ κανόνι ἐμμένειν βούλοιτο ἔν τε τῇ διαγωγῇ καὶ διαίτῃ καὶ κατοικίᾳ καὶ πάσῃ ἄλλῃ τῶν ἐν ταύτῃ ἀσκουσῶν καταστάσει, μηδέν τι παρηλλαγμένον καὶ τῆς τῶν λοιπῶν μοναζουσῶν πολιτείας ἀλλότριον ἐπιδεικνυμένη, εὐαπόδεκτος αὐτὴ καὶ θεῷ καὶ ἐμοὶ ὑπὲρ τῆς ἀρίστης

---

[1]) ἐπιχειρεῖν ἢ νοσφ. τὸ οἱονοῦν ἢ διατάττεσθαι ἐπιχειρεῖν. M. [2]) γράφεσθαι M.
[3]) Supplevimus.

μεταβολῆς καὶ δεξιᾶς ἀλλοιώσεως. εἰ δ' ἐκ τῆς συνήθους ἴσως ἁβροτέρας διαγωγῆς εἰς τὴν ἄγαν σκληρὰν μεταπεσεῖν μὴ δύναιτο, τοὺς μὲν λογισμοὺς ἑαυτῆς καὶ τὰς πράξεις ἀναθήσει καὶ αὕτη τῷ κοινῷ πατρὶ τῶν μοναζουσῶν, ἐξαγορευομένη αὐτῷ ἐπίσης καὶ ταῖς λοιπαῖς, διαίτῃ δὲ καὶ ψαλμωδίᾳ χρήσεται τῇ κατὰ δύναμιν ἑαυτῆς ἐν τῷ δοθησομένῳ αὐτῇ κελλίῳ, ἤγουν τῇ ὄπισθεν τοῦ μύακος τῆς τραπέζης τῶν μοναζουσῶν ἐχομένως τοῦ περιβόλου αὐτῶν ἀνεγερθείσῃ μικρᾷ τροπικῇ μετὰ τοῦ παρακελλίου καὶ τῆς χρειώδους ἄλλης ἀκολουθίας τοῦ τοιούτου οἰκήματος ἰδιαζόντως διάγουσα καὶ ἑστιωμένη ἐπέκεινα τῆς τῶν ἄλλων μοναζουσῶν συνήθους διαίτης, καθὼς ἂν ἥτε κατάστασις τῆς ἀποκειραμένης ἀπαιτῇ καὶ ἡ τῆς καθηγουμένης διάκρισις οἰκονομήσῃ, ἐπ' ἀδείας τε ἔσται αὐτῇ ἔχειν καὶ δύο γυναῖκας τὰς ἐκδουλευούσας αὐτῇ ἐλευθέρας, εἴτε καὶ δούλας, ὀφειλούσας διοικεῖσθαι ἀπὸ τῶν τῆς μονῆς. ἀνδράσι μέντοι ἀβάτου ὁρισθέντος εἶναι τοῦ μοναστηρίου, εἴπερ ἄρα βούλοιτό τισι συντυχεῖν αὐτὴ τῶν οἰκείων αὐτῆς, εἴτε ἀναγκαία χρεία καλεῖ, οὐκ ἐξέσται αὐτῇ ἐντὸς τῆς μονῆς τούτους εἰσαγαγεῖν, ἀλλ' ἐξελεύσεται αὕτη μετὰ καὶ τῆς βουλῆς τῆς καθηγουμένης εἰς τὸ πρὸς τὸν πυλῶνα ἐξάγον διαβατικὸν κἀκεῖσε τούτοις συνομιλήσασα εἰσελεύσεται αὖθις εἰς τὴν μονὴν ἄβατον αὐτήν, ὡς εἴρηται, ἀνδράσιν διαφυλάττουσα. εἰ δέ τις τῶν τοιούτων οὐ δύναται τῷ περὶ τῆς ἐξελεύσεως τῆς μονῆς ὁρισθέντι ἐπὶ ταῖς λοιπαῖς μοναζούσαις ἐν τῷ παρόντι ἡμῶν τυπικῷ ἐμμένειν τύπῳ, παραχωρηθήσεται παρὰ τῆς καθηγουμένης, περιστατικοῦ τινος αὐτῇ συμβάντος, ἐξέρχεσθαι τῆς μονῆς μετὰ μιᾶς τῶν γεραιτέρων καὶ σεμνοτέρων ἀδελφῶν, ἣν ἂν ἡ καθηγουμένη βούλοιτο. καὶ ἡ μὲν μοναχὴ εὐθὺς ὑποστρέφει, ἐκείνη δὲ θεασαμένη τὸν ἀσθενοῦντα συγγενῆ αὐτῆς δύο εἴτε καὶ τρεῖς ἡμέρας, ὑποστρέφει πρὸς τὴν μονήν. εἰ δὲ καὶ τὰ ἔσχατα πνεῖ ὁ ἀσθενῶν συγγενὴς αὐτῆς, καρτερήσει ἐκεῖσε μέχρις ἂν ἐκεῖνος τέλει τοῦ βίου χρήσεται, εἴ γε καὶ ἡ τούτου τελευτὴ πρὸς μίαν ἢ καὶ δύο ἡμέρας ἐπεκτείνεται ἢ καὶ πλεῖον, καὶ ἔκτοτε πρὸς τὴν μονὴν ὑποστρέψει. ἀλλὰ καὶ εἴ τις ἑτέρα τῶν ἐκ περιφανεστέρου βίου καὶ καταστάσεως σεμνῆς βουληθείη ἐν τῇ τοιαύτῃ μονῇ τὴν κοσμικὴν ἀποθέσθαι τρίχα ἢ καὶ ἀπὸ τῶν ἔξω ἀπακαρεῖσα εἰσέλθοι, παραδεκτέα ἔσται καὶ αὕτη· καὶ εἰ μὲν τῷ αὐτῷ τύπῳ τε καὶ κανόνι ἐμμένειν βούλοιτο ἔν τε διαγωγῇ καὶ διαίτῃ καὶ κατοικίᾳ καὶ πάσῃ ἄλλῃ τῶν ἐν ταύτῃ μοναχῶν καταστάσει, εὐαπόδεκτος θεῷ καὶ ἐμοί. εἰ δ' ἴσως πρὸς τὴν κοινὴν κατοικίαν ἀποκνέοι, κατὰ τοῦτο μόνον ἔσται διαλλάττουσα πρὸς τὴν πᾶσαν διαγωγὴν καὶ κατάστασιν τῶν μοναζουσῶν, κατὰ τὸ ἔχειν δηλαδὴ εἰς ἰδίαν κατοικίαν τὴν δηλωθεῖσαν τροπικήν, ἐκχωρουμένη ἔχειν εἰς ὑπηρεσίαν καὶ μίαν ὑπούργισσαν διοικουμένην ἀπὸ τῶν τῆς μονῆς, ἐν ἄλλοις δέ τισιν παρὰ τὰ ἐνταῦθα

διηγορευμένα περὶ αὐτῶν ἡ τοῦ κοινοβίου ἀκρίβεια παρὰ τῆς καθηγουμένης ἐπ' αὐταῖς οὐ παραθεωρηθήσεται· οὐ γὰρ ἐπὶ καταστροφῇ καὶ ἀταξίᾳ τῆς κοινοβιακῆς καταστάσεως παραδέχεσθαι ταύτας διωρισάμεθα· ἀρκεῖ γὰρ ἡ ὁρισθεῖσα ἐν αὐταῖς παραλλαγή. εἰ δ' ἴσως κατά τι τὴν μονὴν παραβλάπτειν ἐξ ἁπασῶν τούτων πειραθείη τις, οἷα πολλὰ τὰ τῆς ἀβουλίας, ἤ τινας τῶν μοναζουσῶν ἐν τῷ ἰδίῳ κελλίῳ παραδέχεσθαι ἢ συνομιλεῖν ἐπὶ σκανδάλῳ καὶ διασχισμῷ τῆς ὅλης ἀδελφότητος, οὐ δύναται δὲ διορθώσασθαι ταύτην ἡ καθηγουμένη, ἀνασταλήσεται καὶ ἄκουσα παρὰ τῆς τηνικαῦτα τῆς μονῆς ἀντιλαμβανομένης.

Κεφ. ε'. Περὶ τοῦ ἀριθμοῦ τῶν μοναζουσῶν. Ἔσονται μὲν οὖν αἱ μοναχαὶ τῆς Κεχαριτωμένης καὶ ὑπεραχράντου δεσποίνης θεοτόκου εἰκοσιτέσσαρες τὸν ἀριθμόν, αἱ τῇ τῆς ἐκκλησίας ὑπηρεσίᾳ καὶ ψαλμῳδίᾳ καὶ ταῖς τῆς μονῆς διακονίαις προσανέχειν ὀφείλουσαι διηνεκῶς. εἰ δέ γε τῇ τῆς Κεχαριτωμένης θεοτόκου εὐμενείᾳ τὰ τῆς ὑπ' αὐτῆς μονῆς ἐπίδοσιν ἀξιόλογον ὁθενδήποτε λάβοι, ὡς καὶ εἰς πλειόνων αὐτάρκειαν ἐξαρκοῦντα εὑρίσκεσθαι, ὁ τῶν μοναζουσῶν ὅρος τῷ τριάκοντα περιγραφέσθω ἀριθμῷ ἢ καὶ μικρόν τι τοῦτον ὑπερβαινέτω καὶ ὁριζέσθω μέχρι τῶν τεσσαράκοντα, ὧν πλείους εἶναι τὰς ἐν τῇ μονῇ ἀσκουμένας ἀπαγορεύομεν, τῆς ἡγουμένης τῷ ἀριθμῷ τούτῳ μὴ περιεχομένης, μήτε μὴν τῶν δύο παιδίων· ἀνατρέφεσθαι γὰρ καὶ δύο παιδία ἐν τῇ μονῇ διοριζόμεθα καὶ ἀνάγεσθαι καὶ παιδεύεσθαι καὶ καταρτίζεσθαι καὶ ἀποκείρεσθαι ἐν καιρῷ τῷ προσήκοντι, μήτε τῶν ἓξ ὑπουργισσῶν, ἃς τυποῦμεν εἶναι ἐν τῇ μονῇ εἰς ὑπηρεσίαν τῆς ἀδελφότητος, ὧν μὴ ἀρκουσῶν καὶ ἑτέρα μία εἴτε καὶ δύο παραληφθήσονται. ἀλλὰ καὶ τὴν μέχρι τῶν τεσσαράκοντα τῶν μοναζουσῶν ἐπίδοσιν ἐπιτρέπομεν, εἴ γε τὸν κανόνα καὶ τὸν ὅρον τῆς κοινοβιακῆς καταστάσεως, ὃν τετυπώκαμεν, φυλάττοιεν αἱ μονάζουσαι ἀπαράθραυστον, καὶ οὐ τὸ πλῆθος ἐμποδίζει τὴν τούτων ἀκρίβειαν. εἰ δέ τις ἀκαταστασίας ἀφορμὴ ἡ αὔξησις τῶν μοναζουσῶν γένηται, σχολάζειν παντάπασι τὸν ἀριθμὸν τοῦτον διοριζόμεθα· προηγουμένως γὰρ ἡμῖν φροντὶς τῆς τῶν μοναζουσῶν καὶ τῆς κοινοβιακῆς καταστάσεως, οὐχὶ πολλὰς εἶναι τὰς μοναζούσας, ἐστίν.

Κεφ. ς'. Περὶ τοῦ ἐν ἑνὶ οἰκίσκῳ τὰς μοναζούσας πάσας μένειν. Αὗται μὲν οὖν ἅπασαι ἐν ἑνὶ κοιτωνίσκῳ ὀφείλουσιν ὑπνοῦν τῷ παρὰ τῆς βασιλείας μου ἐπ' αὐτῷ τούτῳ νεουργηθέντι καὶ ἀφορισθέντι, πᾶσαι πάσαις κατάδηλοι, ἵνα δὴ τὰς φιλοπόνους μιμῶνται αἱ ῥᾳθυμότεραι πρὸς παροξυσμὸν ἀρετῆς καὶ καλῶν ἔργων. εἰ δὲ τὸ πλῆθος τῶν μοναζουσῶν ὑπερβαίνει τὴν τοῦ οἰκίσκου χώρησιν, μέρος τι τοῦ παρακειμένου οἰκίσκου οἰκήσουσιν αἱ μὴ χωρούμεναι ἐν τῷ ἀφορισθέντι κοιτωνίσκῳ, τὸ δ' ἄλλο μέρος χρήσιμον ἔσται αὐταῖς, ὅτε τοῖς ἐργοχείροις σχολάζουσιν ὑπ' ὄψιν τῆς ἡγουμένης, ἅπερ ἂν αὐτὴ ἐπιτάξειεν ἑκάστη

τούτων, μιᾶς ἐξ αὐτῶν ἀναγινωσκούσης τι τῶν τῆς θείας γραφῆς, ὅπερ ἂν δόξῃ τῇ ἡγουμένῃ εἶναι κατάλληλον καὶ μεθέλκον πρὸς θείαν ἡδονὴν καὶ τὸν ἐκ τῆς ἐργασίας πόνον ἐκλύον. οἱ μὲν νεουργηθέντες κοιτωνίσκοι παρὰ τῆς βασιλείας μου καὶ ἀφορισθέντες ταῖς μοναζούσαις εἰς καταμονὴν καὶ αἱ λοιπαὶ κέλλαι αἱ ἐντὸς τῆς μονῆς πρὸς οἱανδήτινα χρείαν ἀφορισθεῖσαι ταῖς μοναζούσαις ἐπὶ τοῦ αὐτοῦ μενοῦσι σχήματος καὶ τῆς αὐτῆς καταστάσεως, μήτε διώροφα γινόμενα, μήτε ἀλλοίως μετασχηματιζόμενα.

Κεφ. ζ΄. Περὶ τοῦ δωρεὰν ἀποκείρεσθαι τὰς ἀποκείρεσθαι μελλούσας καὶ πότε ἔσται δεκτὸν τὸ προσαγόμενον. Δωρεὰν δὲ προσλαμβάνεσθαι καὶ ἀποκείρεσθαι τὰς προσιούσας βουλόμεθαι καὶ τῇ ῥηθείσῃ τῶν ἀδελφῶν καθαριθμεῖσθαι ποσότητι δόσεως ἄνευ τινός· οὔτε γὰρ ἀποταγὴν παρέξει τις, οὔτε συνήθειαν, οὔτε προσένεξις ἐπιζητηθήσεται[1]), οὔτε τὸ λεγόμενον τραπεζιατικόν, οὔτ' ἄλλο τι ὁποιωδήποτε ὀνόματι κατονομαζόμενον· τὰ τοιαῦτα γὰρ ἀνυποταξίας ἀφορμή, ἀντιλογίας τε καὶ ἀπειθείας ταῖς παρεχούσαις γίνονται, καὶ οὐκ αὐταὶ μόνον τὰ μέγιστα καταβλάπτονται ἐντεῦθεν, ἀλλὰ καὶ ἐν τῇ λοιπῇ ἀδελφότητι κακὸν ὑπόδειγμα γίνονται. διὰ ταῦτα γοῦν βούλομαί τε καὶ διορίζομαι, δωρεὰν καὶ δόσεως ἄνευ παντοίας εἰσδέχεσθαι τῇ μονῇ τὰς ἀποκείρεσθαι μελλούσας μηδὲν ἐπιζητουμένας τὸ σύνολον. εἴ τις δὲ ἐξ αὐτῶν οἰκειοθέλως προσαγαγεῖν βουληθείη τι τῶν ἑαυτῆς, εἴτε κινητὸν εἴη, εἴτε ἀκίνητον τὸ προσαγόμενον, προσδεχθήσεται· τὸ γὰρ ὡς ἀνάθημα τῇ Κεχαριτωμένῃ καὶ παναχράντῳ δεσποίνῃ ἡμῶν ἐκ πίστεως προσαγόμενον καὶ εἰς σύστασιν μὲν τῆς μονῆς, μνήμην δὲ καὶ ψυχῆς ὠφέλειαν τῇ διδούσῃ ἐσόμενον οὐκ ἀποπέμπεσθαι χρή. πλὴν μὴ πρόκρισίν τινα διὰ τοῦτο τῶν λοιπῶν ἀδελφῶν ἡ διδοῦσα ἔχειν ὑπολαμβανέτω, ἀλλ' ἴστω, ὅτι ἐπίσης ἔσται ταῖς πάσαις καὶ τῷ τῆς μονῆς τύπῳ πρὸς ἀνάγκης ἕξει ἀκολουθεῖν. ἂν δέ γέ ποτε πειρασθεῖσα ἐκ δαιμόνων, οἷα πολλὰ τὰ τῆς ἀβουλίας, ἐκστῆναι μὲν τῆς μονῆς πειραθῇ, βούλοιτο δὲ καὶ τὸ δεδωρημένον ἀναλαβεῖν, οὐ δοτέον αὐτῇ τοῦτο, κἂν ὅ τι τύχῃ ὄν· τὸ γὰρ ἅπαξ θεῷ ἀφιερωθὲν ἀναφαίρετον, καὶ ὁ ἀφαιρούμενος ἱερόσυλος, ὁποῖον δὲ τὸ ἱεροσυλεῖν ἔχει ἐπιτίμιον, πάντες ἴσασι, κἂν ἡμεῖς μὴ λέγωμεν, ὥστε ἢ ἂν προσάγῃ τὸ οἰκεῖον ἀκίνητον ἢ κινητόν, ἀναγινωσκέτω ταῦτα τὰ ῥήματα πρότερον, καὶ εἴπερ ἐλευθέρῳ σκοπῷ καὶ θεοφιλεῖ ποιεῖται τὴν προσαγωγήν, ὡς μήτε ἀναληψομένη ὕστερον, μήτε προτίμησίν τινα ἐντεῦθεν τῶν ἄλλων ἀδελφῶν ζητοῦσα, τότε δὴ προσδεχέσθω τὸ δῶρον αὐτῆς καὶ τῇ Κεχαριτωμένῃ ἀνατεθείσθω, παρ' ἧς καὶ ὁ μισθὸς αὐτῇ τῆς πίστεως ἀποδοθήσεται.

---

[1]) προσένεξιν ἐπιζηθήσεται M.

Κεφ. η'. Περὶ τοῦ τὰ παρὰ κοσμικῶν θεοφιλεῖ σκοπῷ ἀφιερούμενα τῇ μονῇ τῆς Κεχαριτωμένης κινητά τε καὶ ἀκίνητα δεκτέα εἶναι. Ἀλλὰ καὶ εἴ τις τῶν κοσμικῶν ἢ τῶν παίδων ἡμῶν ἢ τῶν ἄλλως συγγενῶν ἢ καὶ πάντη ἀλλοτρίων θεοφιλεῖ γνώμῃ καὶ προαιρέσει κινούμενος κινητὰ ἢ ἀκίνητά τινα τῇ μονῇ ἀφιερῶσαι προέλοιτο, ὑπεραποδεχόμεθα μὲν τοῦτον τῆς θεοφιλοῦς προαιρέσεως εἰδότες, ὅτι καὶ παρὰ θεοῦ πολλαπλασίονα τὴν μισθαποδοσίαν κομίζεται. βουλόμεθα δὲ τὴν τῶν παρ' αὐτοῦ ἀφιερωθέντων ἀκινήτων πρόσοδον μὴ εἰς πλεονασμὸν τῆς τῶν μοναχῶν κατακενοῦσθαι διαίτης ἢ τινα ἄλλην ἐναλλαγὴν τῶν παρ' ἡμῶν διατεταγμένων, ἀλλ' εἴς τε προσθήκην μοναχῶν τῷ αὐτῷ κανόνι χρωμένων, εἴς τε διαδόσεις πενήτων, ὡς ἄρα ἐκεῖνος βούλοιτο, καὶ εἰς ἑορτῶν καὶ μνημοσύνων ἀναλώματα· οὐκ ἐξέσται γὰρ τοῖς προσάγουσι τῇ ἀφορμῇ τῶν προσαγομένων τύπους τινὰς καινίζειν ἢ διατάγματα ἐναντία τοῖς ἡμετέροις διατυπώμασιν, ἀλλὰ τὰ μὲν προσενεχθέντα θεοφιλεῖ σκοπῷ λήψονται αἱ μονάζουσαι, καὶ ὅσα περὶ μνημοσύνων καὶ διαδόσεων διατυπώσονται οἱ προσάγοντες, ἐνεργήσουσι. πλέον δὲ τούτων οὐδέν, ὡς προείρηται.

Κεφ. θ'. Περὶ τοῦ πάντα τὰ τῇ μονῇ ἀφοριζόμενα ἀνεκποίητα εἶναι κινητά τε καὶ ἀκίνητα. Θέλω δὲ καὶ πάντα τὰ τῇ μονῇ ἀφορισθέντα ἢ ἀφορισθησόμενα ἢ ὁπωσοῦν προσγενησόμενα, οὐκ ἀκίνητα μόνον, ἀλλὰ καὶ κινητὰ ἀκίνητα μένειν καὶ ἀνεκποίητα παρ' αὐτῇ, μὴ δωρούμενα, μὴ ἀναλλαττόμενα, μὴ πωλούμενα, μὴ ὁπωσδηποτοῦν ἀποκτώμενα, κἂν διπλάσιον ἢ τριπλάσιον ἢ δεκαπλάσιον εἴη τὸ ἀντὶ τοῦ ἐκποιουμένου διδόμενον· ἱεροσυλία γὰρ ἄντικρυς τὸ ποιῆσαί τι τοιοῦτον ἢ καὶ γενόμενον καταδέξασθαι, καὶ ὁ τοιοῦτόν τι ποιήσας ἢ ἀναδεχόμενος, κἂν βασιλεὺς εἴη, κἂν πατριάρχης, κἂν ἄρχων, κἂν ἰδιώτης ἢ ἡ ἡγουμένη τῆς μονῆς ἢ καί τις τῶν ἐν αὐτῇ μοναχῶν, ἐκεῖνος μὲν λόγους ὑφέξει τῷ φοβερῷ καὶ δικαίῳ κριτῇ, τὸ δ' ἐκποιηθὲν ἀκίνητον ἀποκαθίστασθαι τῇ μονῇ διορίζομαι σπουδῇ τοῦ ἁγιωτάτου πατριάρχου, ἐκ τῶν νόμων καὶ τῶν κανόνων τὴν περὶ τούτου φροντίδα ἔχοντος, τῆς τῆς μονῆς ἀντιλαμβανομένης καὶ τῶν λοιπῶν μοναχῶν ὑπομιμνησκουσῶν καὶ ἀνακαλουμένων αὐτὸ καὶ παντὸς ἑτέρου τοῦ βουλομένου τὴν ἐκδίκησιν σπεύδοντος δι' εὐσέβειαν.

Κεφ. ι'. Περὶ τοῦ πότε κινητὸν τῆς μονῆς ἐκποιεῖσθαι δύναται. Ἡ μὲν οὖν τῶν ἀκινήτων ἐκποίησις οὕτως ἔσται κεκωλυμένη παντάπασι, τῶν δὲ κινητῶν ἐκ μιᾶς καὶ μόνης αἰτίας εὔλογον ἡγεῖται ἡ βασιλεία μου τὴν ἐκποίησιν, ὁπηνίκα τις βλάβη μεγάλη προσγένηται τῇ μονῇ ἢ τοῖς ὑπ' αὐτὴν κτήμασιν ἐξ ἐπιδρομῆς ἐθνῶν ἢ ἐμπρησμοῦ ἢ σεισμοῦ, ἀποροίη δὲ τὸ μοναστήριον χρημάτων εἰς ἐπανόρθωσιν τοῦ βλαβέντος· τηνικαῦτα γὰρ ἐφίημι ἐκποιεῖσθαί τινα τῶν κινητῶν εἰς

ἐπανόρθωσιν τῶν ἀκινήτων, καὶ τότε δὲ ἵνα πρὸς ἁγίας ἐκκλησίας καὶ θείους ναοὺς ἡ ἐκποίησις γίνηται, ὥστε μεῖναι τὰ ἱερὰ πάλιν ἱερὰ καὶ μὴ κοινωθῆναι τὰ ἅγια· τὰ γὰρ ἅπαξ ἀφιερωθέντα μὴ δεῖν κοινοῦσθαι τοῖς πᾶσι καθέστηκε γνώριμον. προαιρούμεθα δὲ τὴν τῶν κινητῶν ἐκποίησιν διὰ τὴν τῶν ἀκινήτων ἐπανόρθωσιν οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ὡς ἂν οἰηθείη τις, ἀλλ' ὅτι πολλῷ μᾶλλον οἶδεν ὠφελεῖν τὴν μονὴν ἡ τῶν ἀκινήτων πρόσοδος καὶ ὅτι ἐκ μὲν τῆς τῶν ἀκινήτων ὠφελείας δυνατόν, ἔστιν ὅτε κινητὰ ἐπικτήσασθαι, τὸ δ' ἐναντίον ἐστὶ δυσχερές. καὶ ταύτην δὲ τὴν ἐκποίησιν οὐκ ἀνεξετάστως οὕτως συγχωροῦμεν, οὐδ' ἐν παραβύστῳ, οὐδ' ἐν γωνίᾳ γίνεσθαι, οὐδὲ μέρει τινὶ τῶν ἐν τῇ μονῇ γινωσκομένην, ἀγνοουμένην δὲ ταῖς λοιπαῖς, ἀλλὰ τῆς προεστώσης, τοῦ οἰκονόμου, τῆς ἐκκλησιαρχίσσης, τῆς σκευοφυλακίσσης καὶ τῶν λοιπῶν προκρίτων διακονητριῶν καὶ τῶν ἱερέων τῆς μονῆς ἐπὶ τὸ αὐτὸ συνιόντων καὶ περὶ τῆς προκειμένης ἐξόδου διαγινωσκόντων καὶ περὶ τοῦ ἐκποιηθησομένου εἴδους διασκοπουμένων, ἔπειτά τινων μετακαλουμένων εἴδησιν ἐχόντων ἀκριβῆ τοῦ ἀπεμποληθησομένου, πρακτικὸν δὲ διατιμήσεως ἐκτιθεμένων τὸν σὺν τοῖς χαρτίοις τῆς μονῆς ἀποτεθῆναι καὶ διατηρεῖσθαι ὀφεῖλον, πάντων δὲ τούτων μετὰ εἰδήσεως τῆς τῆς μονῆς ἀντιλαμβανομένης γινομένων.

Κεφ. ια΄. Περὶ τοῦ πῶς δεῖ ἐπιλέγεσθαι καὶ προχειρίζεσθαι τὴν καθηγουμένην. Περὶ δὲ ἐπιλογῆς καὶ προχειρίσεως ἡγουμένης ἤδη διαληπτέον· νῦν μὲν γὰρ ἐποίησε καθηγουμένην ἡ βασιλεία μου, ἣν ἐποίησε, καὶ αὖθις εἰ δεήσει ἡγουμένης, ἕως ἂν ζῶ, παρ' ἐμοῦ γενήσεται, μετὰ δὲ τὴν ἐμὴν μετάστασιν κρατήσει τὰ τῆς παρούσης μου διατάξεως· διορίζομαι γάρ, εἰ μὲν προσδόκιμος καὶ προεγνωσμένη ἡ τῆς κατὰ τὴν ἡμέραν ἡγουμένης γένηται τελευτή, προσέρχεσθαι αὐτῇ πᾶσαν τὴν ἀδελφότητα καὶ κοινῇ γνώμῃ τούτων τε καὶ αὐτῆς ὡς εἴδησιν ἐχούσης τῆς ἑκάστης τῶν μοναζουσῶν πολιτείας τε καὶ διαγωγῆς ἐπιλέγεσθαι τρεῖς τὰς βίῳ κεκοσμημένας καὶ λόγῳ καὶ φρονήσει διαφερούσας καὶ εἰς προστασίαν ψυχῶν καὶ ἰατρείαν σοφωτέρας τε καὶ ἐμπειροτέρας τῶν ἄλλων, γνωριζομένας καὶ ὁμολογουμένας εἴτε ἀπὸ τῶν διακονητριῶν τοιαῦταί τινες εὑρίσκονται, εἴτε καὶ ἀπὸ τῶν λοιπῶν μοναχῶν. εἰ δὲ ἀδοκήτως οὕτως συμβῇ τὴν προεστῶσαν τὸν βίον καταλιπεῖν, περὶ διαδόχου μηδὲν μήτε σκοπήσασαν, μήτε γνωρίσασαν, τηνικαῦτα πᾶσαν καθ' ἑαυτὴν συναχθεῖσαν τὴν ἀδελφότητα, ποιεῖσθαι τὴν τῶν τριῶν ἐπιλογὴν παρουσίᾳ καὶ τῆς κατὰ καιροὺς ἀντιλαμβανομένης τῆς μονῆς, διαστάσεως δὲ ἀναφυομένης καὶ φιλονεικίας διεγειρομένης ἐν αὐταῖς (ὅπερ ἀπεύχομαι) περὶ τὴν ἐπιλογήν, ἡ τῆς μονῆς ἀντιλαμβανομένη λύσει τὴν ἀμφιβολίαν, τὴν κρίσιν προτιμωμένη τοῦ ἀρετῇ καὶ καταστάσει πνευματικῇ ὑπερέχοντος μέρους, μελήσει δὲ αὐτῇ πάντως τοῦ ἐλευθέρως καὶ ἀπαθῶς ποιεῖσθαι τὴν διά-

γνωσιν, εἰ μὴ βούλοιτο τὸν πάσης κτίσεως κριτὴν καὶ δεσπότην πλαγίως ἰδεῖν κατ' αὐτῆς φερόμενον διὰ τὸ καὶ αὐτὴν πλαγιάσαι (ὅπερ ἀπεύχομαι) ἐν ἀδίκῳ κρίσει τὸ δίκαιον. καὶ ταῦτα μὲν περὶ τῆς ἐκλογῆς. ἡ δὲ τῆς μιᾶς τῶν ἐπιλεγεισῶν πρόκρισίς τε καὶ προχείρισις τοιόνδε τρόπον ἐνεργηθήσεται. γραφήσεται παρὰ τοῦ πνευματικοῦ πατρὸς τῶν μοναζουσῶν ἐν χάρταις ἴσοις τε καὶ ὁμοίοις τρισὶ τάδε· „δέσποτα, κύριε ἡμῶν Ἰησοῦ Χριστέ, καρδιογνῶστα, ταῖς πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου τῆς κεχαριτωμένης, ἀνάδειξον ἡμῖν ταῖς ἁμαρτωλαῖς, εἰ ἀξίαν ἔκρινας τοῦ τῆς ἡγουμενείας ἡμῶν ἀξιώματος τὴν ἀδελφὴν ἡμῶν τήνδε“· καὶ ἐν τοῖς ἑτέροις χαρτίοις τὰ αὐτὰ πάλιν ῥήματα τῶν ὀνομάτων μόνων ἐναλλαττομένων καὶ σφραγῖδι ἐνσημανθέντες οἱ χάρται παρὰ τῆς τῆς μονῆς ἀντιλαμβανομένης ὑπὸ τοῦ ἱερέως ἐπ' ὄψει ταύτης καὶ τῆς ἀδελφότητος τῇ ἱερᾷ τραπέζῃ ἐντεθήσονται ἐν ἑσπερινῷ τοῦ σαββάτου, ἢ εἰ φθάσοι τότε ἑορτή τις τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἢ τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου, ἀγρυπνίας ἐπιτελεισθείσης καὶ ἱκεσίας ὁλοψύχου ἐκ συντετριμμένης καρδίας πρὸς θεὸν γενομένης παρ' ὑμῶν, τιμιώταταί μοι μητέρες, ὡς ἀναγκαίου τοῦ πράγματος ὄντος, περὶ οὗ ἡ παράκλησις, δι' οὗ καὶ ἡ σύστασις τῆς μονῆς, ὥσπερ (ὃ μὴ γένοιτο) καὶ ἡ κατάλυσις, δι' οὗ καὶ ἡ τῆς σωτηρίας ὑμῶν ἐλπίς. καὶ τῇ ἐπαύριον, τῆς θείας λειτουργίας τελεσθείσης, μετὰ τὴν συμπλήρωσιν ταύτης ἔτι τοῦ ἱερέως τὴν ἱερατικὴν ἐνδεδυμένου στολὴν τρισάγιον γενήσεται παρ' ὑμῶν καὶ τροπάρια ταῦτα ψαλθήσονται· „ἐλέησον ἡμᾶς, κύριε, δόξα, κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε καὶ νῦν, μονογενὲς ὁμοούσιε“. καὶ ὁ ἱερεὺς ἐκτενῆ αἴτησιν ποιήσεται ἀναφωνήσας μετὰ τὰς ἄλλας αἰτήσεις καὶ τό· „ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀποκαλύψαι ἡμῖν κύριον τὸν θεὸν ἡμῶν τὴν ἀξίαν τῆς προστασίας ἡμῶν“. καὶ ὑμεῖς ἐπιφωνήσεσθε τό· „κύριε, ἐλέησον“ λ', καὶ γονυκλισίας ποιήσετε ιε'. τοῦτο καὶ ὑμεῖς ἐν τῇ πρὸς θεὸν ἀνατάσει τῶν χειρῶν ὑμῶν ἐπιφωνοῦσαι ἑαυταῖς „ὁ θεὸς ὁ καρδιογνώστης, ἀνάδειξον ἡμῖν ταῖς ἁμαρτωλαῖς τὴν ἀξίαν τῆς προστασίας ἡμῶν“. καὶ μετὰ ταύτας τὰς γονυκλισίας ὁ ἱερεὺς τρεῖς αὐτὸς γονυκλισίας ἔμπροσθεν τῆς ἁγίας τραπέζης βαλὼν μέχρι γῆς, ἔτι τὴν ἱερατικὴν στολὴν ἐνδεδυμένος καὶ τὸ αὐτὸ πρόσρημα κἀκεῖνος ἐπιλέγων ἕνα τῶν τριῶν ἀναλήψεται χάρτην, οὗ δεδομένου παρ' αὐτοῦ τοῦ ἱερέως ἐνώπιον πάσης τῆς ἀδελφότητος πρὸς τὴν τὴν οἰκείαν σφραγῖδα αὐτῷ ἐπιθεῖσαν. ἐπιγνώσεται μὲν αὕτη τὸ ἑαυτῆς ἐπισφράγισμα, ἀνοιγήσεται δὲ πάντων ὁρώντων ὁ χάρτης καὶ ἧς τὸ ὄνομα ἐν ἐκείνῳ ἐγγεγραμμένον φανῇ, τοῦ τυπικοῦ ἡμῶν καὶ τῆς βακτηρίας ἐν τῷ πρὸ τοῦ ἁγίου θυσιαστηρίου τόπῳ κειμένων τρεῖς γονυκλισίας ποιήσασα λήψεται ταῦτα, ἀποσκοποῦσα καὶ ἐν ἑαυτῇ ἀναλογιζομένη, ὅθεν ταῦτα λαμβάνῃ καὶ τίνι ὑπισχνεῖται

φυλάττειν αὐτά, καὶ ὅτι ἄγγελοι τὴν αὐτῆς ὑπόσχεσιν ἀπογράφονται, οἵτινες μέλλουσιν αὐτὴν εἰς τὸ φοβερὸν ἐκεῖνο εἰσαγαγεῖν δικαστήριον λόγους τῆς ἐκπληρώσεως τῶν ὑποσχέσεων ἀποδώσουσαν. εἶτα στήσεται εἰς τὸν ἀποκεκληρωμένον τῇ ἡγουμένῃ τόπον καὶ πᾶσαι αὐτῇ τὸν θεῖον προσάξουσιν ἀσπασμόν. μετὰ δὲ τὸν ἀσπασμὸν δόξα τῷ θεῷ ἀναπεμφθήσεται καὶ ἡ ἀπόλυσις ἕψεται τῇ συνήθει τοῦ ἱερέως εὐχῇ. αὕτη δὲ ὑμῶν ἔσται εἰς τὸ ἑξῆς προεστῶσα, ἣν καὶ ὡς μητέρα σεβάσεσθε καὶ διάθεσιν καὶ ὑπακοὴν πρὸς αὐτὴν ἕξετε ὡς θεοχειροτόνητον. εὐκταῖον οὖν ἔστι μοι, πάντοτε ἐν ὑμῖν εἶναι αὐταῖς εὐπορίαν τῶν ἀξίων τῆς προστασίας καὶ μηδέποτε τὰς πρὸς τοῦτο τὸ πρᾶγμα προσφυεῖς μοναζούσας ἐπιλιπεῖν ἐν τῇ εὐαγεστάτῃ μονῇ ταύτῃ τῆς Κεχαριτωμένης, ἀλλ᾽ ὁσάκις ἂν γένηται χρεία προχειρίσεως ἡγουμένης, ἐξ αὐτῶν τῶν ἐν ταύτῃ ἀσκουμένων μοναχῶν ἐξεῖναι γίνεσθαι τὴν ἐπιλογήν, ἅτε καὶ θεμέλιον ἄριστον σὺν θεῷ τῆς μοναχικῆς καὶ κοινοβιακῆς διαγωγῆς καταβεβλημένων καὶ κατάλληλον τῷ θεμελίῳ τὴν τῆς ἐναρέτου πολιτείας ποιουμένων οἰκοδομήν. εἰ δὲ καὶ τριῶν τοιούτων μοναζουσῶν οὐκ ἔστιν εὐπορία ἐν τῇ μονῇ, ἀλλὰ δύο μόναι εὑρίσκονται ἄξιαι τῆς τοιαύτης προστασίας, καὶ αὗται ἀρκέσουσι καὶ μόνων τῶν δύο τούτων ἀπογραφομένων τὰ ἑξῆς, ὡς εἴρηται, προχωρήσουσι. εἰ δ᾽, (ὅπερ ἀπεύχεται ἡ βασιλεία μου,) μία ἀξία τῆς προστασίας ταύτης φαίνεται ὑπάρχειν ἐν τῇ μονῇ, τότε ἡ κατὰ καιροὺς τῆς μονῆς ἀντιλαμβανομένη εὑρήσει δευτέραν μοναχὴν ἐξ ἑτέρου μοναστηρίου εὐλαβῆ καὶ δόκιμον εἰς ἡγουμενείαν καὶ οὕτω πάλιν τῶν δύο τούτων ἀπογραφομένων, τῆς τε οὔσης ἐν τῇ μονῇ καὶ τῆς ἔξωθεν εἰσαγομένης, ὡς εἴρηται, τηρηθήσονται τὰ τῆς ἀκολουθίας, ὡς γέγραπται, καὶ οὕτως ἡ ἐκείνη δοκοῦσα καὶ ἀναδεικνυμένη ἀξία εἰς ἡγουμενείαν προχειρισθήσεται.

Κεφ. ιβ΄. Περὶ τοῦ χωρὶς πάθους γίνεσθαι τὴν ἐπιλογὴν τῆς ἡγουμένης καὶ προχείρισιν καὶ τῶν διακονητριῶν· Εἶεν, ἀλλὰ παρακαλοῦμεν, τιμιώταται ἡμῶν μητέρες, τῆς ἐκλογῆς τῶν ἡγουμενῶν παρ᾽ ὑμῶν ὀφειλούσης γίνεσθαι καὶ τῆς τῶν λοιπῶν διακονητριῶν προκρίσεως παρὰ τῆς καθηγουμένης γινομένης, ἀπέστω ἔρις, ἀπέστω φθόνος, ἀπέστω ματαία προσπάθεια καὶ χάρις ἀλόγιστος, κρίσει δέ τοι ὀρθῇ καὶ στοχασμῷ ἀκριβεῖ καὶ ἀληθείᾳ, ὡς ἐφορῶντος τοῦ τὰ πάντα βλέποντος ὀφθαλμοῦ παρ᾽ ὑμῶν ἡ κρίσις τε καὶ δοκιμασία γινέσθω. μὴ χωρήσητε τοίνυν εἰς διαμάχας καὶ ἀμφιγνωμοσύνας προκρίνουσαι, ἀλλ᾽ ἐν ὁμογνωμοσύνῃ καὶ εἰρήνῃ καὶ ἀγάπῃ τὴν ἐκλελεγμένην ἐκδέχοισθε [1]). οὐδὲ μία ἔσται, τῆς ἐκλογῆς καὶ προκρίσεως γινομένης ἡ πρὸς τὸ ἡγουμενεύειν ἢ ἑτέραν

---

[1]) ἐκλέγοισθε M.

τινὰ διακονίαν μετέρχεσθαι ἀναξίως ἐπιπηδῶσα χρόνους τυχὸν προβαλλομένη ἢ ἐνέργειαν ἢ εὐγένειαν ἢ προσαγωγὴν κτημάτων τινῶν ἢ χρημάτων, ἀλλ' ἐκείνη ἔσται προτιμητέα ἐν ὑμῖν, ἥτις ἂν εἴη τοιαύτη, οἵαν ὁ λόγος ἀνωτέρω ὑπέγραψε, κἂν ἐκ νέου τύχῃ ἀποκαρεῖσα, κἂν ἐξ ἰδιωτικῆς τύχης τῇ μονῇ προσελήλυθε. πᾶσαν οὖν εὔνοιαν, πᾶσαν ὑποταγήν, πᾶσαν εὐπείθειαν τῇ ἡγουμένῃ ὑμῶν ἀποσώζοιτε, καθάπερ τινὶ τῶν θείων πατέρων εἴρηται λέγοντι· „εἰ γὰρ ὑπὲρ ἡμῶν λόγον ἀποδοῦναι μέλλουσιν οἱ ἡμῶν ἐπιμελούμενοι, πῶς οὐχὶ κατὰ πάντα τούτοις ὑποταγησόμεθα καὶ ὡς κεφαλῇ τὰ λοιπὰ μέρη τοῦ σώματος ὑπακούσομέν τε καὶ ἐξυπηρετήσομεν, καθώς φησι καὶ ὁ θεῖος ἀπόστολος· πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες". ἀλλὰ καὶ πρὸς ἀλλήλας ἀγάπην, εἰρήνην, ὁμόνοιαν φυλάττουσαι εἴητέ μοι, ἀλλήλων ὑπερκαιόμεναι, ἀλλήλας ὑποστηρίζουσαι, νουθετοῦσαι, παρακαλοῦσαι, ἀνεχόμεναι πᾶν εἴ τι χρηστόν, εἴ τι σωτήριον, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, σπεύδουσαι εἰς δύναμιν κατορθοῦν· φησὶ γὰρ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· „ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς κἀγὼ ὑμᾶς ἠγάπησα. καὶ ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους." καὶ σὺ δέ, ὦ μῆτερ πνευματικὴ τῆς ἱερᾶς ταύτης ποίμνης καὶ ὁδηγέ, μετρία ἔσο ταῖς ἀδελφαῖς κηδεμονικὴ καὶ τὸ ὅλον μητρικὴν αὐταῖς ἀποσώζουσα τὴν εὔνοιαν, ναὶ παρακαλοῦμεν, πασῶν κήδου καὶ πασῶν ἀντέχου νουθετοῦσα, παραινοῦσα, διδάσκουσα, παρακαλοῦσα, νοσούσας ὑγιάζουσα, ἀσθενούσας ὑποστηρίζουσα, ὀλιγοψυχούσας παραμυθουμένη, ἁμαρτανούσας ἐπιστρέφουσα καὶ καθώς φησιν ὁ ἅγιος Βασίλειος λέγων· „αὐτὸς ὁ καθηγούμενος, ὡς πατὴρ παίδων γνησίων ἐπιμελόμενος ἐπισκέψεται τὴν καθ' ἑνὸς ἑκάστου χρείαν καὶ τὴν ἁρμόζουσαν εἰσάξει κατὰ τὸ δυνατὸν θεραπείαν καὶ ἐπιμέλειαν καὶ τὸ κατ' ἀλήθειαν ἀσθενοῦν μέλος, εἴτε σωματικῶς, εἴτε ψυχικῶς μετ' ἀγάπης καὶ τῆς πνευματικῆς εὐνοίας διαβαστάσει".

Κεφ. ιγ'. Περὶ μετακινήσεως τῆς μὴ ὡς δεῖ ἡγουμενευούσης. Καὶ ταῦτα μὲν οὕτως. τὰ δὲ ἑξῆς ῥηθῆναι μέλλοντα περὶ τῆς μετὰ τὴν ἡμῶν παρέλευσιν ἡγουμονευσούσης καὶ τῶν μετ' ἐκείνην ἡγουμενευσουσῶν[1]) οὐκ ἐβουλόμην γραφῇ παραδοῦναι· οὐδὲ γὰρ ἔδει τὴν ἅπαξ εἰς τοῦτο κεκριμένην τῆς τοιαύτης στάσεώς τε καὶ τάξεως μεθιστᾶν[2]). ἀλλ' ἦν μὲν ἀρεστὸν τοῦτο καὶ ἀποδεκτέον, εἴπερ ἡ φύσις ἡμῶν ἄτρεπτός τε καὶ ἀναλλοίωτος ἦν, ἐπεὶ δὲ τοῦτο οὐκ ἔστι· (τρεπόμεθα γὰρ αὖθις καὶ ἀλλοιούμεθα, οἷα τὰ ἀνθρώπινα, καὶ τιμῆς ἀξιούμενοι πρὸς τὴν τῶν καλῶν ἐργασίαν μᾶλλον χαυνούμεθα, ῥαθυμίᾳ εἴκοντες

---

[1]) ἡγουμενευούσης — ἡγουμενευουσῶν M. [2]) μετιστᾶν M.

τὰ πολλά, ὡς φιλούσης τῆς ἀρχῆς τοὺς εἰς αὐτὴν ἀνηγμένους ὑποχαυνοῦν, ὁπότε πλείω τὸν ἀγῶνα καὶ τὴν προσοχὴν ἐπιδείκνυσθαι ἔδει), διὰ ταῦτα καὶ γραφῇ παραδοτέον τὸ πρᾶγμα καὶ κολαστέον εἰς δύναμιν. εἰ μὲν οὖν ἄτρεπτος μένοι ἡ καθηγουμένη τῆς ἀρετῆς ἐπιεικῶς ἀντεχομένη, δι' ἣν ταύτης ἠξιώθη τῆς τάξεως, ἀμετακίνητος ἔσται τῆς ἀρχῆς ταύτης καὶ ἀδιάπτωτος. εἰ δὲ ἀδόκιμόν τε καὶ ἀσύμφορον ὁ χρόνος αὐτὴν ἀπελέγξει, ὡς εἴτε τῆς προστασίας τῶν ἀδελφῶν ἀμελῶς τε καὶ καταφρονητικῶς ἐχομένην, εἴτε τοῖς ἑαυτῆς συγγενέσι χαριζομένην, εἴτε τι τῶν τῆς μονῆς ἢ αὐτὴν νοσφιζομένην ἢ ἑτέρῳ τινὶ ὑποτιθεῖσαν καὶ καταπροδιδοῦσαν, εἴτε τι τῶν τοῦ τυπικοῦ διαταγμάτων παραθραύουσαν[1]) ὅλως καὶ τοῖς ἑαυτῆς στοιχοῦσαν θελήμασι καὶ διὰ ταῦτα πρὸς κυβέρνησιν ψυχῶν ἀνεπιτήδειον ἐλεγχομένην, εἰ μὲν οὕτως κακῶς ζῶσα ἑαυτῆς ποτε γένοιτο καὶ τῶν κακῶν ἀπόσχοιτο, τῆς τε πρὸς τὰ κρείττω καὶ σωτηριώδη φερούσης ἅπτοιτο, ἔστω καὶ ἡγουμενευέτω, εἰ δὲ αὐτὴ μένοι μὴ τῶν κακῶν ἀποσχομένη, εἰ μὴ καὶ μᾶλλον αὐτοῖς ἐπεκτεινομένη, ἐκείνην μὲν τὴν ἀδόκιμον μετατίθεσθαι τῆς προστασίας ὑμῶν παρὰ τῆς τῆς μονῆς ἀντιλαμβανομένης διοριζόμεθα, ἐκλογὴν δὲ πάλιν καὶ ψῆφον ἑτέραν γίνεσθαι καὶ προχείρισιν ἑτέρας ἡγουμένης κατὰ τὰ ἀνωτέρω διατεταγμένα. ἡ δὲ ἀποβληθεῖσα τῆς ἡγουμενείας, εἰ μὲν διὰ γῆρας ἢ καὶ ἀφέλειαν ταύτης μετακινηθείη καὶ βούλοιτο αὖθις καθῆσθαι καὶ προσμένειν ἐν τῇ μονῇ ὡς μία τῶν ἀδελφῶν καὶ τῇ προεστώσῃ ἐφ' ἅπασιν ὑποτάσσεσθαι, μὴ κατά τι λυμαινομένη τῇ τῆς μονῆς εὐταξίᾳ μηδὲ ταράττουσα ἢ ταραττομένη, ἔστω καὶ οὕτως ἐν αὐτῇ· ἡ δὲ ὡς πρὸς λύμην τῆς τῆς μονῆς συστάσεως γεγονέναι καταφανεῖσα καὶ τῆς τάξεως ταύτης καὶ καταστάσεως καὶ πρὸς ἀθέτησιν τῶν ἐν τῷ παρόντι τυπικῷ τῆς βασιλείας μου διατεταγμένων, ἐκδιωκέσθω παντελῶς, ἵνα μὴ σκανδάλου αἰτία καὶ ταῖς λοιπαῖς γένηται.

Κεφ. ιδ'. Περὶ τοῦ οἰκονόμον δεῖν εἶναι ἐν τῇ μονῇ εὐνοῦχον καὶ σεμνοῦ βίου. Καὶ οἰκονόμον δὲ διορίζεται ἡ βασιλεία μου εἶναι ἐν τῇ μονῇ διοικοῦντα τὰ ταύτῃ ἀνήκοντα κατ' ἐπιτροπὴν τῆς ἡγουμένης καὶ τὰ ἐν τούτοις οἰκονομούμενον κατὰ τὴν ἐκείνης βούλησιν. καὶ νῦν μέν ἐστιν ὁ ὤν, παρὰ τῆς βασιλείας μου γεγονώς, κἂν ἑτέρου δεήσῃ, παρὰ τῆς βασιλείας μου ἕτερος εἰσαχθήσεται. ἐπὰν δὲ τῶν τῇδε μεταστῶ, παρὰ τῆς ἡγουμένης γενήσεται, εἴτε ἐκ τῶν ἱερουργούντων ἐν τῇ μονῇ, εἴ τις τούτων ἐνεργὴς ἔσται καὶ τοῦ οἰκονομεῖν ἄξιος δηλονότι, εἴτε καὶ ἔξωθεν δοκιμαζόμενος καὶ προχειριζόμενος, κατὰ τόνδε τὸν τρόπον. μετὰ τὴν ἐξ ἐρεύνης τούτου ἐπιλογὴν καὶ τὴν τῶν ποιητέων εἴδησιν

---

[1]) παρατραύουσα M.

αὐτοῦ ἐμφανισθεὶς καὶ τῇ τὴν ἐπιτήρησιν τῆς μονῆς ἐχούσῃ, ὡς ἂν γνωρίζοιτο παρ' αὐτῆς, εἰσελθὼν εἰς τὸν ναὸν τῆς μονῆς καὶ μικρὸν ἐπιμείνας, τρισαγίου γενομένου παρὰ τῶν ἀδελφῶν, πεσὼν προσκυνήσει τάς τε ἄλλας τῶν ἁγίων θείας εἰκόνας καὶ τὴν σεπτὴν καὶ πανίερον τῆς Κεχαριτωμένης θεοτόκου. εἶτα ἀσπασάμενος, εὐξαμένου τοῦ ἱερέως τὴν τῆς ἀπολύσεως εὐχήν, ἐξελεύσεται τοῦ ναοῦ καὶ ἔσται τὸ ἀπὸ τοῦδε οἰκονόμος καὶ φροντιεῖ τῶν τῆς μονῆς, μεταγεγραμμένον ἰδίᾳ λαμβάνων καὶ τὸ παρὸν κεφάλαιον τὰ περὶ αὐτοῦ δηλοῦν. ἔσται καὶ αὐτῷ ἔργον περισπούδαστον ἡ[1]) τῶν ὑποκειμένων τῇ μονῇ ἀκινήτων πάντων τῶν ἐκτός τε καὶ ἐντὸς τῆς Μεγαλοπόλεως ἐπιτήρησις καὶ οἱ τῶν προνοητῶν καὶ οἱ τῶν οἰκολόγων λογαριασμοί, ἡ ἀνακεράμωσις τῆς μονῆς καὶ τῶν ὑπ' αὐτὴν μετ' ἐπιμελείας ἁρμοζούσης γινομένη κατ' ἔτος, ἡ τῶν ἴσως γινομένων ἐν τῇ μονῇ συμπτωμάτων ἀνόρθωσις διὰ προστάξεως τῆς καθηγουμένης, ἀγωνίζεσθαι πρὸς τοῦτο καὶ ἐπιμελεῖσθαι ὀφείλοντι. πρὸς τούτοις ἡ φροντὶς τῶν ἐξ εὐλόγων ἐπιδόσεων εἰσόδων καὶ τοῦ πάντα τὰ ἐν τοῖς κτήμασι καὶ τοῖς οἰκήμασιν οἰκονομεῖσθαι πρὸς τὸ λυσιτελέστερον καὶ μὴ συγχωρεῖσθαι τοὺς κατὰ καιρὸν προνοουμένους τῶν τοιούτων ἢ ἀμελῶς διακεῖσθαι περὶ τὴν ἀντίληψιν τούτων καὶ πρὸς τὸ κρεῖττον ἐπίδοσιν, ἢ νοσφίζεσθαί τινας τῶν εἰσόδων καὶ ἴδιον κέρδος τιθέναι. ἀλλὰ καὶ ἐπιμελῶς τὴν πρόνοιαν τούτων ποιεῖσθαι καὶ τὰς εἰσόδους ἀκαινοτομήτους προσάγειν τῇ μονῇ καὶ τὰ μὲν γεννήματα καὶ τὰ λοιπὰ εἴδη κατὰ τὸν ἐπιτήδειον καιρὸν ἀποστέλλεσθαι, τῶν διακομίζειν ταῦτα ὀφειλόντων πλοίων ἐγκαίρως ἀποστελλομένων, τὰ δὲ λογάρια εἰσκομίζεσθαι τῇ μονῇ καὶ παρουσίᾳ τοῦ οἰκονόμου ταῦτα παραδίδοσθαι τῇ καθηγουμένῃ καὶ τῇ δοχειαρίᾳ δι' ἀποδείξεως αὐτῶν σημειουμένης παρ' αὐτῶν, εἶτα καὶ καταστρωννυομένης εἰς τὸν εἰσοδοέξοδον τοῦ δοχείου. εἰ δ' ἴσως ὁ οἰκονόμος ἀποδημεῖ ἐν τοῖς ἔξω διάγων παρουσίᾳ τοῦ παροικονόμου τὴν τῶν εἰσοδιαζομένων λογαρίων παράδοσιν γίνεσθαι πρὸς αὐτάς. εἰ δὲ καὶ ὁ παροικονόμος ἐν τοῖς ἔξω ἀποδημεῖ, καὶ μόναις ταῖς τῇ τε καθηγουμένῃ καὶ τῇ δοχειαρίᾳ ταῦτα εἰσκομίζεσθαι καὶ παρ' αὐτῶν, ὡς εἴρηται, τὰς ἀποδείξεις γίνεσθαι· ἀκρίβειαν δὲ ποιεῖσθαι τὸν οἰκονόμον, ὥστε τοὺς τῶν προνοητῶν λογαριασμοὺς ποιεῖν κατὰ τὸν καιρὸν τὸν προσήκοντα καὶ μὴ ὑπερτίθεσθαι τούτους, ἀλλὰ μᾶλλον διέρχεσθαι ἁπανταχοῦ τῶν κτημάτων καὶ ἐφορᾶν αὐτούς τε τοὺς προνοητὰς καὶ τὰ κτήματα καὶ σπουδάζειν ἔρχεσθαι ταῦτα εἰς ἐπίδοσιν, ἐπισκέπτεσθαι δὲ καὶ τὰ διὰ [τῆς][2]) Πόλεως τῇ μονῇ διαφέροντα, ὡς ἐνδέχεται, κἀντεῦθεν ἐξ ἔργων αὐτῶν παριστᾶν τὸ τῆς οἰκονομίας αὐτοῦ ἔργον καὶ τοὺς παρ' αὐτοῦ γινομένους ἐτησίως

[1]) ὁ M. [2]) Supplevimus.

λογαριασμοὺς τῶν προνοητῶν καὶ τῶν οἰκολόγων εἰσκομίζειν τῇ μονῇ καὶ παραδιδόναι τῇ καθηγουμένῃ καθ' ἕκαστον ἔτος, ὡς ἂν ἐπιτηρῶνται παρ' αὐτῆς καὶ οὕτω γίνηται ἡ τῶν προνοητῶν ἀθώωσις παρ' αὐτῆς. εἰ δὲ πολλάκις τῶν κατὰ καιροὺς οἰκονόμων τις εὑρεθείη μὴ ταῦτα οὕτω διαπραττόμενος κατὰ τὴν ἀνωτέρω περίληψιν, μεταστήσεται τῆς οἰκονομίας, κοινουμένης [δὲ] τὸν περὶ τούτου λόγον τῆς καθηγουμένης μετὰ καὶ τῆς ἀντιλαμβανομένης τῆς μονῆς γενήσεται ἕτερος ἀξιόλογος. συνοπτικῶς δὲ τοῦτο διορίζεται ἡ βασιλεία μου, ἵνα πάντα μετ' εἰδήσεως καὶ βουλῆς τῆς καθηγουμένης οἰκονομῶνται παρὰ τοῦ κατὰ τὴν ἡμέραν οἰκονόμου, ἔσται δὲ σὺν αὐτῷ καὶ παροικονόμος ὁ εἷς τῶν ἐν τῇ μονῇ ἀφορισμένων ἱερέων, καθὼς εἰρήσεται, ἔργον ἔχων καὶ αὐτὸς τὸ πάντα τὰ εἰσοδιαζόμενα ἐν τῇ μονῇ λογάρια γεννήματα καὶ λοιπὰ εἴδη προσγράφεσθαι καὶ ἔχειν εἴδησιν τούτων. ὅτε δὲ ἴσως καὶ οἰκονόμος μὴ πάρεστι, μετὰ προστάξεως τῆς καθηγουμένης ἐνεργῶν ἔσται τὰ παρ' αὐτῆς ἐπιταττόμενα.

Κεφ. ιε'. Περὶ τῶν ἱερέων. Καὶ ἱερέας εἶναι δεῖ περὶ τὴν μονὴν δύο, μοναχοὺς εὐνούχους τὸ αἰδέσιμον ἀπὸ τῆς πολιτείας ἔχοντας, ἐπιεικεῖς, συνεσταλμένους, εἰδότας ὑπαναγινώσκειν καλῶς τὰ ἱερὰ τῆς θείας γραφῆς λόγια. ἀπορίᾳ δὲ τούτων καὶ μὴ μοναχούς, εὐνούχους δὲ μεμαρτυρημένους ἐπ' ἀρετῇ καὶ θεοσεβείᾳ, ὡς ἂν ταῖς αὐτῶν ἱεραῖς εὐλογίαις καὶ εὐπροσδέκτοις εὐχαῖς ἡ ἀδελφότης βοηθουμένη πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν εὐάρεστον ᾠδὴν εἰς ὦτα κυρίου Σαβαὼθ ἀναπέμποιεν. ὁ δὲ τὰς ὑπὲρ ἡμῶν ἱκεσίας αὐτῶν προσιέμενος εὐμενῶς ἀφήσει ἡμῖν τὰ ὀφειλήματα ἐν καιρῷ κρίσεως. ἀπὸ δὲ τῶν τοιούτων δύο ἱερέων ὁ εἷς ἔσται καὶ παροικονόμος, ὡς ἐν τῷ τοῦ οἰκονόμου κεφαλαίῳ περιείληπται πλατύτερον. ὁπηνίκα δὲ ὁ οἰκονόμος εἴτε ὡς ἀδόκιμος τυχὸν παρασταλῇ, εἴτε τοῦ βίου μεταστῇ, ὁ παροικονόμος ἄξιος ὢν τοῦ οἰκονομεῖν, ἵνα ἀποκαθιστῆται οἰκονόμος, ἀντ' ἐκείνου δὲ ἵνα εἰσάγηται εὐθὺς ἕτερος, οἷον ὁ λόγος ἄνωθεν παρέστησεν.

Κεφ. ιϛ'. Περὶ τοῦ πάσας τὰς μοναζούσας ὑφ' ἕνα εἶναι πνευματικὸν πατέρα. Βούλομαι δὲ πάσας τὰς μοναζούσας ἑνὶ πνευματικῷ πατρὶ τοὺς ἑαυτῶν λογισμοὺς ἀναφέρειν, καὶ μάλιστα εὐνούχῳ ἀρετῇ διαλάμποντι καὶ πολλὴν ἔκ τε τοῦ χρόνου καὶ τῆς ἀσκήσεως συναγαγόντι τὴν πεῖραν τῆς τῶν λογισμῶν ἀναδοχῆς ἱκανῷ ψυχαῖς ἐξομολογουμέναις κατάλληλα προσφέρειν τὰ φάρμακα.

Κεφ. ιζ'. Περὶ τοῦ πῶς οἱ παραβάλλοντες ὀφείλουσιν ἐντυγχάνειν ταῖς μοναχαῖς καὶ τίνες καὶ πότε. Εἰ καὶ πολλαχοῦ τῶν ἀσκητικῶν παραγγελμάτων διηγόρευται τοῖς πατράσιν, συγγένειαν μοναχοῖς μηδεμίαν εἶναι ἐπὶ γῆς, ἀλλὰ διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν κελεύομεν, ἵνα εἴπερ παραβάλλῃ τῇ μονῇ γυνή, μήτηρ τυχὸν μοναζούσης ἢ ἀδελφὴ ἢ νύμφη ἐπ' ἀδελφῷ, εἰσελεύσεται

εἰς τὸ μοναστήριον τῆς ἡγουμένης ἐπιτρεπούσης καὶ συνεστιασθεῖσα ταῖς μοναχαῖς τὴν παρατεθεῖσαν τροφὴν ὑποχωρήσει[1]) πρὸς ἑσπέραν, εἴπερ ὑγιαίνουσαν ἰδεῖν συγγενῆ παρεγένετο, καὶ τοῦτο δράσει ἅπαξ ἢ δὶς τοῦ ἐνιαυτοῦ. εἰ δὲ νοσοῦσαν καὶ νόσον βαρεῖαν, εἰ μὲν μήτηρ εἴη, ἐγκαταμενεῖ τῇ μονῇ καὶ παρεδρεύσει τῇ νοσούσῃ θυγατρί, καὶ κατὰ τὴν δευτέραν ἡμέραν ταῖς μοναχαῖς ὁμοίως συνεστιασθεῖσα πρὸς ἑσπέραν ὑποχωρήσει. εἰ δὲ ἀδελφὴ τυγχάνει ἢ νύμφη ἐπ' ἀδελφῷ ἢ ἀνεψιὰ ἀπὸ ἀδελφῆς ἢ ἀδελφοῦ ἡ πρὸς θέαν ἀφικομένη, πάντῃ καὶ πάντως πρὸς ἣν ἂν ἡμέραν ἀφίκηται, πρὸς ἑσπέραν ὑποχωρήσει. εἰ δὲ ἀνὴρ εἴη ὁ πρὸς θέαν παραβαλὼν πατὴρ τυχὸν ἢ ἀδελφὸς ἢ ἐπ' ἀδελφῇ γαμβρός, εἰς μὲν τὸ μοναστήριον οὐδαμῶς εἰσελεύσεται· ἄβατον γὰρ τοῦτο παντάπασιν ἀνδράσιν ἡ βασιλεία μου διορίζεται καὶ κεκλεισμένον διηνεκῶς, ἔξωθεν δὲ κρούσαντες αὐτοῦ, τῆς ἡγουμένης ὑπομνησθείσης, ἡ θεαθῆναι ζητουμένη μονάζουσα κελεύσει ταύτης ἀφίξεται πρὸς τὸν πυλῶνα, συναφίξεται δὲ καὶ ἡ καθηγουμένη, εἴπερ ἐθέλει καὶ δύναιτο ἢ κελευσάσης αὐτῆς μία τῶν γηραλεωτέρων καὶ τιμιωτέρων μοναζουσῶν καὶ τῆς θύρας ἀνοιγείσης πρὸς τῷ πυλῶνι στὰς καὶ βραχύ τι διομιλήσας τῇ μοναχῇ ἀπελεύσεται. εἰ δ' ἴσως ἡ μοναχή, ἧς πρὸς τὴν θέαν ὁ πατὴρ ἀφίκετο ἢ ὁ ἀδελφὸς ἢ ὁ ἐπ' ἀδελφῇ γαμβρός, νοσοίη καὶ οὕτως ἔχοι, ὡς μηδὲ τῷ πυλῶνι προσβαλεῖν δύνασθαι, οὐκ εἰσελεύσεται μὲν οὐδὲ οὕτω τις αὐτῶν εἰς τὸ μοναστήριον. εἰ δὲ βούλοιτο ἡ νοσοῦσα καὶ ἀναγκαῖον ἡγοῖτο τὸν παραβαλόντα ἰδεῖν συγγενῆ, φορείῳ βασταχθεῖσα καὶ πρὸς τῷ πυλῶνι γενομένη θεασάσθω αὐτὸν ἐκεῖσε καὶ ἐπαναχθήτω· τὸ γὰρ δοῦναι πρόφασιν εἰσόδου τοῖς ἀνδράσι πρὸς τὴν μονὴν καὶ μὴ τὴν ἔξω πύλην εὐθὺς ἀποκεκλεῖσθαι πᾶσι, σφόδρα φορτικὸν τῇ βασιλείᾳ μου καὶ ἀβούλητον· δέος γὰρ μή τι συνέλθῃ βλάβος ἐπηρείας δαιμονικῆς ταῖς τῷ ἁγνῷ νυμφίῳ νυμφευομέναις καὶ διὰ τοῦτο πάσης εἰσόδου τοὺς ἄνδρας ἀπείργεσθαι προσήκειν ἡγοῦμαι καὶ οὕτως διακελεύομαι. τὸ δ' αὐτὸ κρατείτω, κἂν εἰ τῇ προεστώσῃ ἐντευξόμενος ἀνὴρ τῇ μονῇ παραβάλοι. εἰ δ' ἴσως τῶν μοναζουσῶν τινος πατὴρ ἢ μήτηρ νοσοίη καὶ οὕτως ἔχοι, ὥστε τὰ τελευταῖα πνεῖν, βούλοιτο δὲ ἡ μονάζουσα, ἧς ὁ πατὴρ ἢ ἡ μήτηρ ἀρρωστοίη, καὶ ἀναγκαῖον ἡγοῖτο, τὸν ἀσθενοῦντα πατέρα ἢ τὴν μητέρα ἰδεῖν, ἐξελεύσεται τῆς μονῆς προστάξει τῆς καθηγουμένης συμπαραλαβοῦσα δύο τινὰς τῶν γηραλεωτέρων καὶ σεμνοτέρων μοναζουσῶν καὶ θεασαμένη τὸν νοσοῦντα πατέρα τυχὸν ἢ τὴν μητέρα, πρὸς ἑσπέραν ἐπανακάμψει πρὸς τὴν μονήν, μηδαμοῦ ἀνεχομένη μεῖναι ἔξωθεν τῆς μονῆς. αὐτοὺς μέντοι γε τοὺς προνοουμένους τῶν τῆς μονῆς καὶ τοὺς ἄλλως παραβάλ-

---

[1]) ὑποχωρήσῃ M.

λοντας, οἷς ἀναγκαῖόν ἐστιν ἴσως καὶ χρειῶδες θεᾶσθαι παρὰ τῆς καθηγουμένης, οὐκ ἔνδοθεν τῆς μονῆς ἐντυγχάνειν ταύτῃ βουλόμεθα, ἀλλ' ἐξελεύσεται αὕτη μετὰ δύο ἢ καὶ τριῶν γραῶν τῶν εὐλαβεστέρων ἄχρι τοῦ ἔσω πυλῶνος καὶ μεταξὺ τῶν δύο πυλώνων ἐντεύξεται τοῖς παραγινομένοις καὶ φροντίσει τῶν τῆς μονῆς, εἶτ' αὖθις εἰς τὴν μονὴν ἐλεύσεται, ἄβατον ταύτην φυλάττουσα ἀνδράσιν, ὡς εἴρηται. ἐὰν δὲ μὴ ᾖ ἐπάναγκες ἔργον, δι' ὃ μέλλει ἐξέρχεσθαι καὶ ἐντυγχάνειν τοῖς εἰσβάλλουσιν, ἵνα μὴ ἐξέρχηται, ἀλλ' ἵνα ὑπομιμνήσκηται, εἴτε παρὰ τοῦ οἰκονόμου, εἴτε παρὰ τοῦ πρεσβυτέρου, καὶ ὃ δοκεῖ συμφέρον οἰκονομῆται[1]) παρ' αὐτῆς. εἰ δὲ γυνὴ πρὸς θέαν αὐτῆς εἰς τὴν μονὴν ἀφίκοιτο, τῇ γνώμῃ ταύτης τὸ πρᾶγμα ἀνατιθέαμεν· οὐ γὰρ ἂν παρὰ τοὺς ἀσκητικοὺς κανόνας τὴν ἔντευξιν ποιήσασθαι ὑπομείνειε πρὸς τὴν ἔξωθεν παραβάλλουσαν. εἰ δέ τις τῶν βίῳ σεμνῷ κεκοσμημένων γυναικῶν, κοσμικῶν ἢ μοναχικῶν ἀπὸ τῶν ἔξω διὰ τὴν τῶν ἐν αὐτῇ ἀσκουμένων μοναζουσῶν ἀρετὴν θελήσει παραβαλεῖν τῇ μονῇ, οὐ κωλυθήσεται παντάπασιν, ἀλλ' εἰσελεύσεται ἐν αὐτῇ προστάξει τῆς καθηγουμένης καὶ συνεστιασθεῖσα ταῖς μοναχαῖς πρὸς ἑσπέραν ὑποχωρήσει. εἰ δὲ βούλοιτο ἡ προσβάλλουσα καὶ ἀναγκαῖον ἡγοῖτο μεῖναι ἐν τῇ μονῇ, ἐγκαταμενεῖ ἐν αὐτῇ καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ ὑποχωρήσει. καὶ τοῦτο γενήσεται ἅπαξ ἢ δὶς τοῦ ἐνιαυτοῦ ἐφ' ἑκάστῃ τῶν παραβαλλουσῶν εὐλαβῶν γυναικῶν. αἱ τουτονὶ τὸν τρόπον παραγενόμεναι ἀνάπαυσιν ἕξουσιν ἐν τῷ πλησίον τοῦ πυλῶνος γενομένῳ ἀρχονταρικίῳ καὶ διὰ τοῦ ἐκεῖσε παρόντος διαβατικοῦ εἰσελεύσονται καὶ ἐξελεύσονται ἐν τῇ μονῇ.

Κεφ. ιη'. Περὶ τοῦ παρὰ τίνος δεῖ γίνεσθαι τὰς προχειρίσεις τῶν διακονητριῶν καὶ πῶς· Πασῶν δὲ τῶν τῆς μονῆς διακονητριῶν τὴν πρόκρισίν τε καὶ προχείρισιν ἡ καθηγουμένη ἔσται ποιοῦσα κατὰ γνώμην οἰκείαν καὶ προκρίνουσα καὶ προχειριζομένη· ὁσάκις γὰρ ἂν δεήσῃ προχειρισθῆναί τινα εἰς ὁποιανοῦν διακονίαν, αἱ κλεῖδες μὲν πρὸ τοῦ ἱεροῦ τεθήσονται βήματος καὶ τὰ παρὰ τῆς τοιαύτης διακονίας ῥήματα σὺν αὐταῖς ἐκ τοῦ παρόντος τυπικοῦ τῆς βασιλείας μου μεταλαμβανόμενα. τρισαγίου δὲ γενομένου προσελεύσεται ἡ εἰς τὴν διακονίαν ἀφορισθεῖσα, τρίτον τε γονυκλινήσασα καὶ τὰς κλεῖς εἰληφυῖα ὑποκλινεῖ μετὰ τοῦτο τῇ καθηγουμένῃ τὴν κεφαλήν, πρότερον πεσοῦσα παρὰ τοὺς πόδας τῆς καθηγουμένης καὶ ἀναστᾶσα. ἡ δὲ προχειριεῖται ταύτην, ἐπειποῦσα τάδε τὰ ῥήματα· „ἡ ὑπεράμωμος καὶ Κεχαριτωμένη θεοτόκος ἀφορίζει σε εἰς τὴν διακονίαν τήνδε“. ἐν μέντοι ταῖς διακονίαις, αἷς οὐ πρόσεισι κλεῖδες, ἀρκέσουσιν εἰς προχείρισιν τὰ παρὰ τῆς καθηγουμένης ἐπιλεγόμενα τῆς προχειρίσεως ῥήματα καὶ

---

[1]) οἰκονομεῖται M.

ἡ ἀπὸ τοῦ πρὸ τοῦ ἁγίου βήματος τόπου ἀνάληψις τῶν περὶ ἑκάστης διακονίας ἐγγράφων, ὡς εἴρηται, διαταγμάτων. χρὴ δὲ καὶ τὰς διακονητρίας τὰ τῆς ἐμπεπιστευμένης ἑκάστῃ τούτων διακονίας ἰδικὰ παραγγέλματα ἐκ τοῦ πρὸ τοῦ ἁγίου βήματος τόπου παραλαμβάνειν, ὡς ἂν εἰδείη, ὅθεν τε ἀναδέχεται τὴν διακονίαν καὶ ὅπως ὑπισχνεῖται[1]) ταύτην διέπειν.

Κεφ. ιθ'. Περὶ τῆς σκευοφυλακίσσης· Καὶ σκευοφυλάκισσαν εἶναι βούλομαι ἐν τῇ μονῇ, ἥτις ὀφείλει φυλάττειν τὰ ἱερὰ σκεύη καὶ ἔπιπλα καὶ παντοίας ἐπιμελείας ἀξιοῦν αὐτὰ παραδιδόμενα ταύτῃ[2]) δι' ἐγγράφου καὶ ἀξιοπίστου τῆς παραδόσεως πρακτικοῦ. ὡσαύτως καὶ τὸ εἰσαγόμενον κηρίον ἐν τῇ μονῇ ἡ αὐτὴ ὀφείλει παραλαμβάνειν καὶ προσγράφεσθαι κατὰ λεπτὸν τὰς εἰσοδοεξόδους αὐτοῦ καὶ λογαριάζεσθαι παρὰ τῆς ἡγουμένης. ἡ αὐτὴ δὲ ὀφείλει ἔσωθεν τῆς μονῆς διὰ γυναικῶν κατασκευάζειν τὰ κηρία τὰ εἰς φωταψίαν πᾶσαν τοῦ ναοῦ ἐξοδιάζεσθαι ἐτησίως διορισθέντα κατὰ τὸν τυπωθέντα παρὰ τῆς βασιλείας μου σταθμόν[3]). καὶ παραδιδόναι τῇ ἐκκλησιαρχίσσῃ. ἡ δὲ τὴν τῆς ἐκκλησίας ποιήσεται φωταγωγίαν, καθὼς ἐν τοῖς ἐφεξῆς εἰρήσεται. δεῖ δὲ ταύτην τὰ μὲν τῆς καθημερινῆς χρείας καὶ τὰ ἐν ταῖς ἑορταῖς χρειώδη παραδιδόναι τῇ ἐκκλησιαρχίσσῃ εἰς ὑπηρεσίαν τῆς ἐκκλησίας, ὅτε δὲ καιρός, παραλαμβάνειν πάλιν ταῦτα ἐξ αὐτῆς καὶ παραφυλάττειν, τὰ δὲ ἐπέκεινα τῶν χρειωδῶν ἔχειν ἐν τῷ σκευοφυλακείῳ ἐγκεκλεισμένα καὶ βεβουλλωμένα παρὰ τῆς καθηγουμένης καὶ αὐτῆς, πάντα τὰ ταύτῃ ἐμπεπιστευμένα ἀντιπαραδιδόναι ὀφειλούσης, ὁπηνίκα κἂν τῆς τοιαύτης διακονίας μετακινοῖτο κατὰ τὸ γεγονὸς πρὸς αὐτὴν τῆς παραδόσεως πρακτικόν· ἐπ' ἐξουσίας γάρ ἐστι τῇ καθηγουμένῃ μεθιστᾶν τὰς διακονούσας καὶ ἐναλλάττειν, καθ' ὃν εἰρήσεται τρόπον· τὰς γὰρ ἐφ' ἑκάστῃ τῶν διακονιῶν προκεχειρισμένας προσεκτικῶς μὲν καὶ θεοφόβως αὐτὰς μετιούσας ἐᾶν ἀμετακινήτους δίκαιον, ἀμελούσας δὲ αὐτῶν καὶ καταφρονούσας, ἴσως δὲ καὶ δολιευομένας ἐν αὐταῖς μεθιστᾶν καὶ ἑτέρας ἀποκαθιστᾶν. εἴ τις δὲ τούτων νοσφιζομένη τύχῃ ἄχρι καὶ τοῦ τυχόντος, ὑπόδικος ἔσται τῇ παναχράντῳ καὶ Κεχαριτωμένῃ θεοτόκῳ, ἀφ' ἧς ἄρα τὰς κλεῖς παρέλαβεν. ἡ αὐτὴ οὐ σκευοφυλάκισσα μόνον ἔσται, ἀλλὰ καὶ χαρτοφυλάκισσα, μετὰ ἀπογραφῆς τὰ χαρτῷα πάντα δικαιώματα τῆς μονῆς παραλαμβάνουσα καὶ παραφυλάττουσα ταῦτα καὶ παντοίας ἐπιμελείας ἀξιοῦσα καὶ μήτε σητόβρωτα συγχωροῦσα γίνεσθαι. χρείας δὲ χαρτίου τινὸς γινομένης, ὁρισμῷ τῆς καθηγουμένης ἐξενέγκῃ τὸ ζητούμενον χαρτίον, καὶ ἐπιδώσει προσγραφομένη, ὁποῖόν τε τὸ χαρτίον ἐστὶ καὶ τίς ὁ τοῦτο ἀναλαβόμενος. ἡμερῶν δέ τινων μετὰ τοῦτο

---

[1]) ὑπισχνῆται M. [2]) ταυτῇ M. [3]) σταυθμόν C. emend. M.

διελθουσῶν ὑπομνήσει τὴν καθηγουμένην καὶ ἀνακαλέσεται τὸ ἐκβληθέν, ὡς εἴρηται. χαρτίον καὶ οὐκ ἐάσει παραπόλλυσθαι. ἐπεὶ δὲ καὶ τὸ εἰσοδιαζόμενον ἐν τῇ μονῇ κηρίον κατὰ πολὺ ἐπέκεινα τῆς ἐξόδου ἐστί, διορίζεται ἡ βασιλεία μου, πέντε μόνα κεντηνάρια ὑποκρατεῖσθαι ἐξ αὐτοῦ λόγῳ τῆς ἐκκλησίας καὶ λοιπῆς ἐξόδου, τὸ δὲ λοιπὸν ἅμα τῷ εἰσοδιασθῆναι εὐθὺς διαπωλεῖσθαι καὶ δίδοσθαι εἰς ἑτέρας ἐξόδους τῆς μονῆς.

Κεφ. κ'. Περὶ τῆς ἐκκλησιαρχίσσης. Ἡ μέντοι ἐκκλησιάρχισσα παρὰ τῆς καθηγουμένης προχειριζομένη, ἥτις ἂν αὐτῇ δόξῃ πρὸς τὴν τοιαύτην διακονίαν πρόσφορός τε καὶ ἐπιτηδεία, παραλαμβάνουσα πάντα ἀπὸ τῆς σκευοφυλακίσσης τὰ μὲν ἐν τῷ ναῷ τῆς μονῆς ὀφείλοντα χρησιμεύειν, κατὰ τὸν καιρὸν τῆς προχειρίσεως, διὰ πρακτικοῦ, τὰ δ' ἄλλα τὰ ἐν ταῖς ἑορταῖς ἢ τῇ καθημερινῇ χρήσει πρόσφορα κατὰ τὸν δέοντα καιρόν. αὕτη φροντιεῖ τοῦ συνήθους κόσμου τῆς ἐκκλησίας καὶ τῆς ἀφωρισμένης ἐν τῷ παρόντι τυπικῷ ἑκάστοτε φωταψίας, τὰ τετυπωμένα κηρία εἰργασμένα παραλαμβάνουσα ἀπὸ τῆς σκευοφυλακίσσης, τά τε εἰς καθημερινὴν χρείαν καὶ τὰ εἰς ἑκάστην ἑορτὴν ἀναλίσκεσθαι τυπωθέντα, ποιεῖσθαι δὲ φροντίδα καὶ τῆς ἐκκλησιαστικῆς ἐν τῇ ψαλμῳδίᾳ καταστάσεως, καθὼς ἔθος ἐστὶ ταῖς ἐκκλησιαρχίσσαις. ὀφείλει δὲ ἔχειν ἡ κατὰ καιροὺς ἐκκλησιάρχισσα καὶ παρεκκλησιάρχισσαν συμπονοῦσαν αὐτῇ καὶ καθυπηρετοῦσαν καὶ συνεργοῦσαν εἰς τὴν ἀνακειμένην αὐτῇ διακονίαν.

Κεφ. κα'. Περὶ τῆς τὰ ἐδώδιμα εἰσοδιαζούσης τε καὶ ἐξοδιαζούσης διακονητρίας καὶ τῆς παρ' αὐτῆς ὀφειλούσης γίνεσθαι τούτων ἀπογραφῆς. Ὡσαύτως καὶ τὴν τὰ εἰσοδιαζόμενα πάντα τῇ μονῇ βρώσιμα εἰσοδιάζουσάν τε καὶ ἐξοδιάζουσαν διακονητρίαν διοριζόμεθα κατὰ μικρὸν ἀπογράφεσθαι τὰς εἰσόδους, πόσαι τε καὶ πότε καὶ ὅθεν, τὰς δὲ ἐξόδους ποιεῖν φανερῶς κατὰ τὴν τῆς ἡγουμένης πρόσταξιν, εἴπερ μέλλοι τῇ μὲν ἑαυτῆς διακονίᾳ τὸ ἄμεμπτον περιποιεῖσθαι καὶ ἀπρόσκοπον, τῇ δὲ ἀδελφότητι πάσῃ τὸ ἀσκανδάλιστον καὶ ἀτάραχον, καὶ πάσας πληροφορεῖν.

Κεφ. κβ'. Περὶ τῆς οἰνοχόης· Καὶ οἰνοχόην προχειριεῖται ἡ καθηγουμένη ὀφείλουσαν παραλαμβάνειν πάντα τὸν εἰσοδιαζόμενον ἐν τῇ μονῇ οἶνον παλαιόν τε καὶ νέον, προσγράφεσθαι τοῦτον καὶ ἐξοδιάζειν, ἔνθα παρὰ τῆς ἡγουμένης προσταχθῇ.

Κεφ. κγ'. Περὶ τῆς ὡρειαρίας. Καὶ ὡρειαρίαν δὲ καταστήσει ἡ καθηγουμένη ὀφείλουσαν τὰ γεννήματα πάντα παραλαμβάνειν, ἔτι δὲ καὶ τὰ ὄσπρια καὶ τὰς ἐξόδους τούτων ποιεῖσθαι προστάξει τῆς καθηγουμένης, ἔτι τε παντοίως ἐπιμελεῖσθαι τούτων, ἵνα μὴ ἐξ ἀμελείας τυχὸν ἐν τοῖς ὡρείοις ἀπόλλωνται.

Κεφ. κδ'. Περὶ τῆς τῶν δοχειαριῶν διακονίας. Περὶ δὲ τῆς τῶν νομισμάτων εἰσόδου τε καὶ ἐξόδου, φυλακῆς τε καὶ ἀπογραφῆς ἤδη λεκτέον· δύο γὰρ δοχειαρίας τυποῦμεν εἶναι ἐν τῇ μονῇ, ὧν τὴν μὲν μίαν κρατεῖν τὸ κιβώτιον τῶν τῆς εἰσοδοδιεξόδου νομισμάτων, τὴν δὲ ἑτέραν κρατεῖν τὸ βέστιον τῶν ἐνδυμάτων· καὶ αὐτὴ γὰρ δοχειαρία ὀνομασθήσεται. ἡ γοῦν δοχειαρία τῆς εἰσόδου τῶν νομισμάτων ἅμα τῇ ἑτέρᾳ δοχειαρίᾳ τῇ ἐπὶ τοῦ βεστίου, εἰδήσει καὶ παρουσίᾳ τῆς ἡγουμένης ἀπογράψεται πᾶσαν εἴσοδον διὰ νομισμάτων, εἰσοδιαζομένην εἰς τὸ μοναστήριον, οἷα καὶ ὅθεν ἐστίν, ἐκβάλλουσα δὲ ἀπ' αὐτῶν προστάξει τῆς καθηγουμένης ποσότητα νομισμάτων, ὅσην ἂν αὐτὴ ἡ καθηγουμένη θελήσῃ, καὶ προσγραφομένη ταύτην ἐν τῷ μικρῷ προσγράφῳ μετὰ τῆς ἑτέρας δοχειαρίας αὐτὴ παραλήψεται ταύτην καὶ ἐξοδιάσει, ἔνθα ἡ καθηγουμένη προστάξει, προσγράφου λεπτομεροῦς τῆς ἐξόδου τῶν τοιούτων νομισμάτων γινομένου παρ' αὐτῆς, ἥτις μετὰ τὸ πληρῶσαι τὰ νομίσματα ἀποκομίσει τὸ πρόσγραφον καὶ λογαριασθήσεται παρὰ τῆς καθηγουμένης ἐνώπιον καὶ τῆς ἑτέρας δοχειαρίας, καὶ ἀπογραφαὶ τῶν τοιουτοτρόπως ἐξοδιαζομένων νομισμάτων ἐν ἰδιάζοντι κοντακίῳ καταστρωννύμεναι εἰς τὸ δοχεῖον κεῖσθαι ὀφείλουσιν, εἶθ' οὕτως ἀναλήψεται πάλιν ἕτερα[1]) νομίσματα ἡ δοχειαρία προστάξει τῆς καθηγουμένης καὶ οὕτως γενήσεται εἰς τὸ διηνεκές. τὸ μέντοι κιβώτιον τῶν τοιούτων νομισμάτων τῆς εἰσοδοεξόδου ὀφείλει ἐσφραγισμένον εἶναι παρά τε τῶν δύο δοχειαριῶν καὶ αὐτῆς τῆς καθηγουμένης. ἕτερον δὲ κιβώτιον βουλόμεθα κεῖσθαι ἐν τῷ σκευοφυλακείῳ, ἐσφραγισμένον παρά τε τῆς καθηγουμένης, τοῦ οἰκονόμου, τῆς σκευοφυλακίσσης καὶ τῶν δοχειαριῶν, ὅπερ ὀφείλει ἔχειν τὰ ἐναπόθετα νομίσματα. ὅτε γοῦν συμπληρωθῇ ὁ χρόνος καὶ εὑρίσκηται[2]) τῷ τῆς Κεχαριτωμένης ἐλέει περιττεύοντά τινα νομίσματα[3]) παλαιᾶς ποιότητος ὄντα, μὴ χρειώδη τηνικαῦτα τυγχάνοντα τῇ μονῇ, ἐναποτίθεσθαι ταῦτα τῷ εἰρημένῳ κιβωτίῳ ἀποσφραγιζομένῳ καὶ σφραγιζομένῳ, καθὼς ἀνωτέρω εἴρηται, προσγραφήν τε γίνεσθαι τῆς τῶν νομισμάτων ἀποθέσεως, ὥσπερ πάλιν (ὅπερ ἀπεύχομαι) τυχηροῦ τινος συμβάντος εἰς τὴν μονήν, ὥστε μὴ ἔχειν τὰ πρὸς ἔξοδον ταύτης ἀλλαχόθεν, ἀποσφραγίζεσθαι τὸ τοιοῦτον κιβώτιον παρὰ τῶν σφραγιζόντων καὶ ἐκβάλλεσθαι ποσότητα νομισμάτων τινὰ καὶ δίδοσθαι ταῦτα εἰς τὸ δοχεῖον καὶ προβαίνειν τὰς ἐξόδους, καθὼς ἄνωθεν εἴρηται.

Κεφ. κε'. Περὶ τῆς τραπεζαρίας καὶ τῆς ταύτης διακονίας. Μετὰ δὲ τῶν ἄλλων διακονητριῶν, ὧν οἶδε δεῖσθαι ἡ τῶν κοινοβιακῶς ζώντων διαγωγή, προχειριεῖται ἡ ἡγουμένη καὶ τραπεζαρίαν, διακονοῦσαν μὲν καὶ τἄλλα, ὅσαπερ

---

[1]) ἑτέρα M. [2]) εὑρίσκεται M. [3]) νομισμάτων M.

ἡ κελλαρέα αὐτῇ ἐπιτρέψειε, καὶ ἐν αὐτῇ δὲ τῇ ἑστιάσει περιέρχεσθαι τὴν τράπεζαν ἡσυχῇ καὶ ἠρεμαίως ὀφείλουσαν, καὶ εἴ τινας ἴδοι τῶν ἀδελφῶν διοχλούσας καὶ ταραττομένας ἢ ψιθυριζούσας, ἠρέμα ταύτας ἡσυχίας ὑπομιμνήσκειν καὶ συμβουλεύειν αὐταῖς ψάλλειν κατὰ νοῦν καὶ ὁμιλίας ἀπέχεσθαι. καὶ προσέτι μελήσει ταύτῃ καὶ ἡ τῶν ἀδελφῶν ἀκριβολογία καὶ τὸ μὲν μὴ ἀγνοῆσαι, τίς μὲν αὐτῶν οὐ παρῆν ἐν τῇ εὐχαριστίᾳ, τίς δὲ ἀπελείφθη εἰς τὴν ἑστίασιν καὶ περὶ ἑκάστης ἀναγγέλλειν τῇ προεστώσῃ, ἢ κατ' οἰκείαν ἐπιλογήν τε καὶ πρόκρισιν τὰς διακονεῖν ὀφειλούσας, ὡς πολλάκις εἴρηται, προχειριζομένη ἐπ' ἀδείας ἕξει τὰς μὲν ἀκαταγνώστως τὴν πιστευθεῖσαν ἐνεργούσας διακονίαν ἐᾶν, εἴ γε βούλοιτο, ἐπὶ πλεῖστον ταύταις ἐνασχολεῖσθαι, τὰς δὲ μὴ ὡς θέμις, (ὅπερ ἀπείη), ταύτας μεταχειριζομένας ὡς ἀδοκίμους μετακινεῖν, ἑτέρας δὲ ἀντικαθιστᾶν. καὶ ἡ μὲν καθηγουμένη ἐπὶ ταύταις πράξει τὰ κατὰ γνώμην ἑαυτῇ καὶ ἀρέσκειαν. ἐγὼ δὲ πάσαις παραγγέλω ταῖς ἡντιναοῦν διακονίαν πεπιστευμέναις μέχρι τῶν ἐσχάτων καὶ ὡς ἐν μέρει χάριτος αἰτῶ παρ' αὐτῶν τὸ καλῶς τε καὶ θεοφιλῶς ἑκάστην τὴν ἑαυτῆς ἀνύειν διακονίαν καὶ οὕτω διακεῖσθαι πρὸς τὴν τῶν ἀνηκόντων ἐκπλήρωσιν, ὡς καὶ πιστευομένας τὰ τοῦ θεοῦ καὶ τῷ θεῷ ὑφεξούσας τὸν ἐπὶ τούτοις λόγον, ὥσπερ ἔχει καὶ ἡ ἀλήθεια· πάντα γὰρ ὁ φιλάνθρωπος θεὸς τὰ παρ' ἡμῶν εἰς ἀλλήλους γινόμενα φιλανθρώπως εἰς ἑαυτὸν ἀναδέχεται, καθὼς τὰ ἱερὰ διδάσκουσιν ἡμᾶς εὐαγγέλια, ἐν οἷς λέγων αὐτὸς φαίνεται· „ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων, ἐμοὶ ἐποιήσατε, καὶ ἐφ' ὅσον οὐκ ἐποιήσατε, οὐδὲ ἐμοὶ ἐποιήσατε". καὶ παρακαλῶ ὁλοψύχως τῶν διακονιῶν ἔχεσθαι καὶ μὴ ὀλιγωρεῖν ἢ ἀπογινώσκειν, ὡς τὴν ἑαυτῶν ἀπολωλεκυίας ὠφέλειαν, ἀπολιμπανομένας τῶν θείων συνάξεων ἐκ τῆς εἰς τὰς διακονίας ἀσχολίας, ἀλλ' εὐθύμως μᾶλλον ἔχειν καὶ χαρμοσύνως διακελεύομαι, ὅτι ἐνίσχυσεν αὐτὰς ὁ κύριος ταῖς πρεσβείαις τῆς ἀπειράνδρου καὶ Κεχαριτωμένης μητρὸς αὐτοῦ ταῖς αὐτῶν ἀδελφαῖς κατὰ μίμησιν ἐκείνου διακονῆσαι, ὅς φησιν· „οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ θεῖναι τὴν ψυχήν μου λύτρον ἀντὶ πολλῶν". ὁρᾶτε, ἀδελφαί, ποῖον αὐταὶ ἔργον ἀποπληροῦτε, ὁρᾶτε, τίνα μιμεῖσθε, βλέπετε, ὅτι τὸ κεφάλαιον παντὸς ἀγαθοῦ τὴν ἀγάπην μετέρχεσθε. χαίρειν μὲν οὖν δεῖ καὶ σκιρτᾶν ὑμᾶς, ὅτι ὃ μόλις δύναιντ' ἂν κατορθῶσαι αἱ τῇ εὐχῇ προσανέχουσαι, ἔργῳ καθ' ἑκάστην αὐταὶ ἐκπληροῦτε, μακάριαί ἐστε τῆς ἐνταῦθα ἀσχολίας καὶ ζηλωταί· καλὴ μὲν γὰρ καὶ ἡ προσευχὴ καὶ σφόδρα καλή, θεῷ προσομιλεῖν ἡμᾶς ποιοῦσα καὶ ἀπὸ γῆς εἰς οὐρανὸν αἴρουσα, κρείσσων δὲ ἄρα καὶ μείζων πολλῷ πλέον ἡ ἀγάπη· ἐκείνη μὲν γὰρ μέρος ἀρετῆς καὶ τοῦ ὅλου μέρους τῆς τελειότητος ἀπότμημά τι καὶ μόριον, ἡ δὲ ἀγάπη κεφαλὴ καὶ ἀπαρτισμός· καὶ γὰρ καὶ τὴν ὑψοποιὸν ταπείνωσιν συνεζευγμένην ἑαυτῇ δείκνυσι

καὶ τὴν ἐλεημοσύνην καὶ τὴν φιλανθρωπίαν, δι' ἃ καὶ μᾶλλον ὁ θεὸς γέγονεν ἄνθρωπος καὶ ἃ καλεῖται ὁ θεὸς καὶ δι' ὧν ὁ ἄνθρωπος θεὸς ἀποδείκνυται καὶ τῷ οὐρανίῳ πατρὶ ὅμοιος. ἵνα τί γοῦν τὸν θησαυρὸν πάντων τούτων τῶν ἀγαθῶν ἀφεῖσαι καὶ τὴν κεφαλὴν ἐπὶ τὰ κάτω καὶ πρὸς ἑνὸς ἐπίκτησιν τρέχετε; δέον τὴν κεφαλὴν φθασάσας εὐπετῶς κατέχειν τε ἀσφαλῶς καὶ πάντα ποιεῖν, ὥστε μὴ ταύτης ἐκπεσεῖν. δεδοίκαμέν, φησι, διὰ τὴν τοῦ κανόνος ὑστέρησιν, ἀλλὰ μὴ δεδίατε· ἡ γὰρ καθαρὰ ἐξαγόρευσις τὸ ὑστέρημα ταύτης ἀναπληρώσει ὑμῖν, τὴν συγχώρησιν δικαίως ἐπιβραβεύουσα, μόνον μὴ ῥᾳθυμίας ᾖ τὸ ὑστέρημα. τοῦτο φοβεῖσθε, τούτῳ προσέχετε. εἰ δὲ τοῦτο μὴ εἴη, χαίρετέ μοι τῶν διακονιῶν προθύμως ἐχόμεναι.

Κεφ. κϛʹ. Περὶ προχειρίσεως ἐπιστημοναρχίσσης καὶ τῆς διακονίας αὐτῆς. Ἡ καθηγουμένη μέντοι καὶ ἐπιστημονάρχισσαν προβαλεῖται, ἣν κατ' οἰκείαν ἐπιλογὴν τῆς τοιαύτης διακονίας λογίζεται ἀξίαν, ὀφείλουσαν τῆς μοναδικῆς καταστάσεως καὶ εὐκοσμίας φροντίζειν, ἔν τε ταῖς κοιναῖς συνελεύσεσι καὶ ὑμνῳδίαις διαθρεῖν, μή πού τινες τῶν ἀδελφῶν τῆς ὑμνῳδίας ἀφέμεναι ἀλλήλαις διομιλῶσι καὶ τῆς πρὸς θεὸν ἐντεύξεως κατολιγωροῦσαι ἑτέρα τῇ ἑτέρᾳ συντυγχάνωσιν, ἔν τε ταῖς κοιναῖς πρὸς ἑστίασιν συνελεύσεσιν ταύτας ἐπισκοπεῖν, ὡς ἂν ἐν τῇ πρεπούσῃ μοναχαῖς διαμείνωσιν ἡσυχίᾳ καὶ κοσμιότητι, ἀλλὰ μὴν καὶ ἐν ταῖς ὅλαις ἀναστροφαῖς τε τούτων καὶ διαγωγαῖς ἀκριβῶς τὰ κατ' αὐτὰς ἐπιτηρεῖν, κἂν ἴδῃ τινὰς τούτων ἢ συγκαθημένας ἀλλήλαις ἢ ἀνόητα διομιλούσας ἢ καὶ καθ' ἑαυτὰς ἀπράκτους καὶ ἀργὰς διαμενούσας, ἃς ὁ μέγας ἀπόστολος μηδὲ ἐσθίειν παρακελεύεται, ἢ ἄλλο τι ποιούσας ἀπᾷδον ἐπαγγέλματος μοναδικοῦ καὶ θεοφιλοῦς ἀλλότριον καὶ πνευματικῆς καταστάσεως, προσιέναι ταύταις ἡμέρως καὶ ἀδελφικῶς καὶ πρᾴως καὶ ἀγαπητικῶς εἰσηγεῖσθαι τὰ δέοντα καὶ τὰ συμφέροντα νουθετεῖν παυσαμένας τῶν οὐδεμίαν ὄνησιν ἐχόντων ψιθυρισμῶν, μᾶλλον μὲν οὖν καὶ ψυχοβλαβῶν, εἰ καὶ μὴ δι' ἄλλο τι, καθόσον γοῦν τῆς πρὸς θεὸν ὁμιλίας τὰς χρωμένας ἀπάγουσι ταῖς εἰς τὸν θεὸν προσανέχειν δοξολογίαις καὶ τοῖς ᾀδομένοις προσερείδειν τὸν νοῦν, φεύγειν δὲ τὸν πάσης κακίας ἀρχηγόν, ἀργίαν, καὶ τὸν σοφὸν τὰ θεῖα μιμεῖσθαι Δαβὶδ „κατὰ μόνας εἰμὶ ἐγώ“ λέγοντα καὶ τοῖς ἰδίοις τόποις ἐφησυχάζειν ἢ εὐχῇ προσκειμένας ἢ ἐργόχειρον μεταχειριζομένας πρὸς ἀνατροπὴν ἀκηδίας τῆς ὀλεθρίου, μελέτην τε τοῦ φρικτοῦ θανάτου ἔχειν διηνεκῆ καὶ μνήμην ἀκατάπαυστον τῆς φοβερωτάτης ἡμέρας τῆς κρίσεως. τῶν δὲ μοναζουσῶν περὶ τὸ ἐργόχειρον διαπονουσῶν μία τούτων, ἡ παρὰ τῆς ἡγουμένης ἐπιτρεπομένη, ἔσται ἀναγινώσκουσα εἰς ἐπήκοον πασῶν τὰ ἱερὰ καὶ σωτήρια τῆς θείας γραφῆς λόγια.

Κεφ. κζ΄. Περὶ τῶν ἐργοδοτριῶν. Καὶ ἐπὶ τῶν ἔργων δὲ ἡ καθηγουμένη δύο τινὰς τῶν μοναζουσῶν καταστήσει, ἃς ἂν τῶν λοιπῶν προκρινῇ, ὀφειλούσας τὴν χρειώδη τῷ ἐργοχείρῳ τῶν μοναζουσῶν ὕλην λαμβάνειν μετὰ προσγράφου κατὰ καιρὸν ἀπὸ τοῦ δοχείου καὶ ἐργοδοτεῖν ταύτην ταῖς ἐργαζομέναις προστάξει καὶ τῆς καθηγουμένης. αὖθίς τε εἰδήσει ταύτης παραλαμβάνειν τὰ ἐργοδοθέντα εἰργασμένα καὶ παραδιδόναι ταῖς εἰς τὸ δοχεῖον τοῦ βεστίου ἐνεργούσαις μετὰ προσγράφου, ὡς ἂν καὶ ταῦτα κατὰ τὴν τῆς ἡγουμένης ἐξοδιάζοντα πρόσταξιν.

Κεφ. κη΄. Περὶ τῶν ἐν τῷ βεστίῳ δοχειαριῶν. Αἱ δὲ δοχειαρίαι τοῦ βεστίου τῶν ἐνδυμάτων τῶν μοναζουσῶν (καὶ αὐταὶ γὰρ δοχειαρίαι ὀνομασθήσονται) ὀφείλουσι παραλαμβάνειν πάντα τὰ εἰς ἐνδυμενίαν τῶν μοναζουσῶν χρησιμεύειν ὀφείλοντα μετὰ προσγράφου καὶ ἐξοδιάζειν ταῦτα διὰ προστάξεως τῆς ἡγουμένης, ἔνθα ἂν αὐτὴ βούληται. αἱ αὐταὶ δὲ παραλήψονται καὶ τὰ λοιπὰ πάντα τὰ εἰς ὑπηρεσίαν τῶν μοναζουσῶν, ἤγουν σαγία, πηλωτά, ἐφαπλώματα τὰ εἰς τὸ λουτρὸν χρειώδη καὶ ἁπλῶς πάντα καὶ ἐξοδιάσουσιν, ἔνθα ἂν ἡ καθηγουμένη προστάξῃ προσγραφὰς καὶ τῆς ἐξόδου τούτων ποιούμεναι καὶ λογαριαζόμεναι παρ' αὐτῆς.

Κεφ. κθ΄. Περὶ τῆς πυλωροῦ. Ἀλλὰ καὶ τὴν τὰς κλεῖς τοῦ πυλῶνος κατέχειν ὀφείλουσαν, ἣν καὶ πυλωρὸν ὀνομάζομεν, ἡ καθηγουμένη ὀφείλει προχειρίζεσθαι, ᾗ καὶ φροντὶς ἔσται τοῦ μηδόλως γνώμης ἄτερ τῆς ἡγουμένης τὸν πυλῶνα ἀνοίγεσθαι, μήτε μὴν εἰσιέναι ἢ ἐξιέναι τινὰς εἰς τὸ μοναστήριον ἄνευ εἰδήσεως τῆς καθηγουμένης· διὰ γὰρ τοῦτο καὶ τὸ περὶ τούτων κεφάλαιον τὸ διαλαμβάνον, πῶς καὶ πότε καὶ τίνες τῶν παραβαλλόντων ταῖς μοναχαῖς ἐντυγχάνειν ὀφείλουσι, μεταγραφὲν ἐγχειρισθήσεται αὐτῇ, ὡς ἂν εἴδησιν τῶν τοῦ τυπικοῦ ῥημάτων ἔχουσα, ὑπομιμνήσκῃ τὴν καθηγουμένην καὶ προστάξει αὐτῆς αἱ ἐντεύξεις γίνωνται κατὰ τὴν τοῦ τυπικοῦ δύναμιν. γραῦς μέντοι ὀφείλει εἶναι ἡ εἰς ταύτην τὴν διακονίαν προβαλλομένη καὶ βίου σεμνοῦ καὶ μεμαρτυρημένη παρὰ πάσης τῆς ἀδελφότητος, ἥτις καὶ καθ' ἑκάστην ἑσπέραν τὰς κλεῖς εἰσκομίζουσα ἔσται τῇ καθηγουμένῃ. καὶ οὐδὲ αὐτὴ τοὺς ἐπὶ θέαν αὐτῆς ἀφιγμένους συγγενεῖς ὄψεται ἄνευ προτροπῆς τῆς ἡγουμένης, ἐπιτροπῇ δὲ ταύτης θεάσεται αὐτούς, καθὼς ἂν ἐπιτραπείη. διηνεκῶς μέντοι προσμένειν αὐτὴν ἐν τῷ πυλῶνι οὐ βούλεται ἡ βασιλεία μου, ἀλλὰ καθῆσθαι καὶ αὐτὴν ἐν τῷ ἀφορισμένῳ οἰκίσκῳ μετὰ τῆς ἀδελφότητος διορίζεται, εἴ τις δὲ χρεία γένηται παραβάλλειν ταύτην ἐν τῷ πυλῶνι ἀναδιδαχθεῖσαν διὰ τοῦ κώδωνος, ὅτι καλοῖτο πρὸς τὸν πυλῶνα, προστάξει τῆς καθηγουμένης ἀπελεύσεται καὶ τὴν διακονίαν, ὁποία ἐστί, πληρώσασα, εἰσελεύσεται αὖθις καὶ συγκαθεσθήσεται ταῖς λοιπαῖς.

Κεφ. λ. Περὶ τοῦ πόσον χρόνον δεῖ περιμένειν ἐν τῇ τὴν ἔξωθεν εἰσιοῦσαν καὶ μέλλουσαν ἀποκείρεσθαι. Αἵ γε μὴν ἀποκείρεσθαι μέλλουσαι καὶ τὸν ὡρισμένον τῶν μοναχῶν ἀναπληροῦν ἀριθμόν, εἰ μὲν βούλονται τὰς τρίχας ἀποθέμεναι τὸ τῆς ὑποταγῆς ἱμάτιον καὶ τὸν μανδύαν μόνον ἐπενδύσασθαι, περιμενοῦσι τὸν ἑξαμηνιαῖον καιρόν. εἰ δέ γε συνήθεις τινὲς καὶ τῶν ἀξιολογωτέρων τυγχάνοιεν, ὡς αὐταί τε ἐπιγινώσκεσθαι, ὁποῖαι τὸν βίον εἰσὶ καὶ τὴν τοῦ μοναστηρίου διαγωγὴν καὶ κατάστασιν μηδαμῶς ἀγνοεῖν, ὅτε κρινεῖ ἡ ἡγουμένη συμφέρον εἶναι κατὰ τὸν τύπον ἀποκαρήσονται. αἱ δὲ βουλόμεναι τὸ ἅγιον σχῆμα ἐξ αὐτῆς ἐπενδύσασθαι, εἰ μὲν εἶεν γυναῖκες εὐλαβεῖς καὶ τὸν μοναχικὸν βίον ἐν κοσμικῷ διανύουσαι σχήματι, οὐδ᾽ αὐταὶ περιμενοῦσι τὸν τῆς δοκιμασίας καιρόν, τουτέστι τὴν τριετίαν, ἣν οἱ ἅγιοι πατέρες εἰς πεῖραν καὶ δοκιμασίαν ταῖς ἄλλως ἐχούσαις κατὰ τὸν βίον κανονικῶς ἀφωρίσαντο, ἀλλ᾽ ἀρκέσει ταύταις εἰς ἀπόπειραν παντελῆ καὶ ὁ ἑξαμηνιαῖος χρόνος καὶ τὸ τηνικαῦτα τεύξονται τοῦ ἐφετοῦ, καθὼς καὶ τοῖς ἁγίοις πατράσι διηγόρευται. εἰ δὲ τῶν ἀγνοουσῶν τε καὶ ἀγνοουμένων τυγχάνοιεν, ἑβδομάδα μίαν ἡμερῶν τῇ μονῇ περιμείνασαι περιβαλοῦνται τὰ μοναχικὰ περιβόλαια καὶ ὑπηρετεῖν ἐν ταῖς κατὰ δύναμιν διακονίαις ἐπιταττόμεναι προσκαρτερήσουσι τῇ μονῇ τριετίαν τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος μὴ καταξιούμεναι, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος αὐταῖς ἀφεθῇ εἰς πεῖραν καὶ δοκίμους αὐτὰς καὶ ἀξίας τῆς τηλικαύτης βιοτῆς παραστήσῃ· τοῦτον γὰρ τὸν καιρὸν κρατεῖν καὶ αἱ ἐπὶ ταύταις κείμεναι διατάξεις ὡρίσαντο, πλὴν εἰ μή πού τις βαρεῖα περιπεσοῦσα νόσος τὸν χρόνον ἀναγκάσοι συσταλῆναι τῆς δοκιμασίας.

Κεφ. λα΄. Περὶ τοῦ τίνας δεῖ ἀποστέλλεσθαι εἰς τὴν τῶν κτημάτων τῆς μονῆς πρόνοιαν. Οἱ δέ γε ἀποστελλόμενοι εἰς τὴν τῶν κτημάτων τῆς μονῆς πρόνοιαν μὴ διὰ συγγένειαν ἢ οἰκειότητα ἢ ἑτέραν τινὰ τοιαύτην αἰτίαν προτιμάσθωσαν, ἀλλὰ πολλὴν φροντίδα τιθέσθωσαν ἥ τε καθηγουμένη καὶ ὁ κατὰ καιροὺς οἰκονόμος εὑρίσκειν ἀνθρώπους εὐυπολήπτους καὶ ὀλιγαρκεῖς, ἀναπαύοντας μὲν καὶ τοὺς ἐν τοῖς κτήμασι καὶ μηδενὸς νοσφιζομένους τῶν τῇ μονῇ ἀνηκόντων, πεῖράν τε ἔχοντας εἰς τὰ γεωργικά. τῆς δὲ τούτων ἀποστολῆς ἡ καθηγουμένη ἕξει τὴν ἐξουσίαν, ὡσαύτως καὶ τῆς διαδοχῆς, ὅτε εὑρεθεῖεν[1]) τῆς ὀρθότητος ἐκτραπέντες, οὓς ὀφείλει ὁ οἰκονόμος ἐφορᾶν, ὅτε παρὰ τῆς ἡγουμένης πεμφθείη τοὺς συγκλεισμοὺς ἐποπτεύσων καὶ τοὺς ἐπισκεπτίτας λογαριάσων καὶ πάντα δεόντως οἰκονομήσων.

---

[1]) εὑρεθοῖεν C. corr. M.

Κεφ. λβ'. Περὶ ἀκολουθίας πρώτης, τρίτης τε καὶ ἕκτης ὥρας. Ἀλλὰ μέχρι τούτου περὶ τούτων διαλεχθέντες, φέρε, περὶ τῆς ἐκκλησιαστικῆς λοιπὸν ἀκολουθίας διαληψόμεθα. καὶ ἵνα γε ἀπὸ φωτὸς ἀρξώμεθα ἀπὸ τῆς πρώτης ἡμερινῆς ὥρας τὴν ἀρχὴν ποιησώμεθα, τὸν θεὸν κατὰ τοῦτο μιμούμενοι, τῆς τοῦ κόσμου συστάσεως ἀπὸ τῆς τοῦ φωτὸς δημιουργίας ἀρξάμενον. μετὰ τοίνυν τὴν συμπλήρωσιν τῆς ὀρθρινῆς δοξολογίας δεῖ συνάπτειν ἡμᾶς τὴν πρώτην ὥραν κατὰ τὸ συνειθισμένον καὶ ἐπὶ τῷ τέλει ταύτης λέγεσθαι τὴν εὐχὴν ταύτην· „ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ.“ καὶ μετὰ τὴν εὐχὴν γίνεσθαι τὰς συνήθεις γονυκλισίας ταῖς μὲν δυνατωτέρας ἀπὸ γῆς ἄνευ προσευχαδίου, ταῖς ἀσθενεστέραις δὲ καὶ μετά τινος ὑποστηρίγματος ταπεινοῦ καὶ βοηθήματος. ἔστι δὲ ἡ γονυκλισία μετάνοιαι δεκαπέντε, ὧν αἱ μὲν πρῶται τρεῖς ὀφείλουσι γίνεσθαι σχολαιότερον καὶ οἷον βραδύτερον ἔν τε τῇ συστάσει καὶ τῇ τῶν γονάτων κλίσει, ὥστε δύνασθαι ἑκάστην ὑμῶν ἑστῶσαν μὲν καὶ τὰς χεῖρας ἐκτεταμένας ἔχουσαν λέγειν καθεκάστην ἐκ τρίτου τό· „ὁ θεὸς ἱλάσθητί μοι τῇ ἁμαρτωλῷ.“ εἶτα κλίνασαν τὰ γόνατα καὶ τὴν κεφαλὴν ἕως γῆς τρίτον λέγειν ὁμοίως τό· „ἥμαρτόν σοι, κύριε, συγχώρησόν μοι.“ καὶ τὰς μὲν τρεῖς γονυκλισίας οὕτως ὑμῖν ποιητέον, τὰς δὲ λοιπὰς δώδεκα συντομώτερον, ὡς ἐφάπαξ λέγειν ἑκάστην ἐν τῇ τῶν γονάτων κλίσει καὶ τῇ στάσει ἅπαξ τὰ προειρημένα τῆς ἱκετείας ῥήματα. ποιήσεσθε τάς τε τῶν γονάτων κλίσεις καὶ τὰς ἀνανεύσεις οὐχ ὅτε δοκεῖ ἑκάστῃ, ἀτάκτως καὶ ἀλλην-άλλως, ἀλλ' ὡς ἓν σῶμα, ἅμα μὲν κλινόμεναι, ἅμα δὲ ἀνιστάμεναι καὶ ὁδηγῷ χρώμεναι ἀμφοτέρων τῇ ἐκκλησιαρχίσσῃ πρὸ τοῦ ἁγίου βήματος ἑστώσῃ καὶ τῇ κλίσει μὲν τὴν κλίσιν ὑποδεικνύσῃ, τῇ ἀνανεύσει δὲ τὴν ἀνάνευσιν. ἀλλ' αὕτη μὲν [ἡ] ἀκολουθία [τῆς][1]) ἡμέρας, ἐν ᾗ ἀντὶ τοῦ· „θεὸς κύριος“, „ἀλληλούια“ ψάλλεται. εἰ μέντοι ἀκολουθίαν ἔχει ἡ ἡμέρα καὶ ἀπολυτίκιον καὶ τό· „θεὸς κύριος“ ψάλλεται, αἱ μὲν τρεῖς πρῶται γονυκλισίαι τελεσθήσονται μετὰ τῶν τῆς ἱκετείας ῥημάτων, καθὼς προείρηται, αἱ δώδεκα δὲ σχολάσουσι καὶ οὐδαμῶς ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τῷ κοιμητηρίῳ ὑμῶν τελεσθήσονται, μετὰ μέντοι τὰς τρεῖς βραδυτέρας γονυκλισίας ἐκφωνήσετε ἐκτεταμέναις ταῖς χερσὶ τό· „ὁ θεὸς ὁ προαιώνιος, ὁ πάσης κτίσεως δημιουργός.“ καὶ μετὰ τὴν εὐχὴν ταύτην ἀνάγνωσις ὑμῖν προτεθήσεται ἡ κατήχησις, μετὰ δὲ τὴν ἀνάγνωσιν ποιήσετε τὸ τετυπωμένον ὑπὲρ ἡμῶν τρισάγιον. καὶ ἕως μὲν ὁ θεὸς ἐθέλει με ζῆν, ἵνα λέγητε τροπάρια ταῦτα· „ἐλέησον ἡμᾶς, κύριε, ἐλέησον ἡμᾶς, δόξα, ἐλπὶς τοῦ κόσμου ἀγαθή· καὶ νῦν, οὐδεὶς προστρέχων ἐπί σοι.“ τελευτησάσης δέ μου ἵνα λέγηται τροπάρια ἀνα-

---

[1]) ἡ — τῆς supplevimus.

καύσιμα· „μνήσθητι, κύριε, ὡς ἀγαθός, τῆς δούλης σου, δόξα, ἀνάπαυσον, σωτὴρ ἡμῶν· καὶ νῦν. οὐδεὶς προστρέχων ἐπί σοι. ἡ καταφυγὴ καὶ δύναμις.“ καὶ ἐπὶ τούτοις τό· „κύριε, ἐλέησον“ ιε΄. εἶτα καὶ τὴν εὐχὴν ἐπισυνάψετε ταύτην. „ὁ ἀποστέλλων τὸ φῶς·“ πάσας μέντοι τὰς εὐχὰς χερσὶν ἀνατεταμέναις εὔξεσθε. τελειωθείσης δὲ τῆς δηλωθείσης εὐχῆς καὶ τοῦ ἱερέως τὴν συνήθη ἐπειπόντος εὐχὴν ὑμεῖς μὲν πᾶσαι ἐπὶ πρόσωπον εἰς γῆν πεσεῖσθε, ἡ δὲ προεστῶσα παντὸς ἀρχηγὸς ὑμῖν γινομένη ἀγαθοῦ, οὕτω πως ἐρεῖ· „εὔξασθε ὑπὲρ ἐμοῦ, ἀδελφαί, τῷ κυρίῳ, ἵνα ῥυσθῶ ἐκ τῶν παθῶν καὶ τῶν σκανδάλων τοῦ πονηροῦ.“ καὶ ὑμεῖς ἀποκρίνεσθε· „ὁ θεὸς σῶσαι σέ, τιμία μῆτερ, εὖξαι καὶ σὺ ὑπὲρ ἡμῶν, ἁγία μῆτερ, ἵνα ῥυσθῶμεν ἐκ τῶν παθῶν καὶ τῶν σκανδάλων τοῦ πονηροῦ.“ εἶτα πάλιν ἐκείνη ἐπευχομένη ἐρεῖ· „ὁ θεὸς δι᾽ εὐχῶν τῶν πατέρων ἡμῶν σῶσαι πάσας ἡμᾶς.“ καὶ οὕτως ἀναστᾶσαι πορεύεσθε εἰς τὸ κοινὸν τῆς συνδιαγωγῆς οἴκημα, κἀκεῖσε γενόμεναι πάσης ἀφέξεσθαι ματαίας ἀπασχολίας, ἀνθέξεσθε δὲ πᾶσαι τῶν ἐργοχείρων ὑμῶν, μιᾶς τινος μέσον ὑμῶν καθημένης καὶ ἀναγινωσκούσης, ἥ τις ἂν παρὰ τῆς ἡγουμένης προσταχθείη, καὶ ὅπερ ἂν κελευσθείη, ἡ γὰρ ἀνάγνωσις πάσας μὲν ἀποκωλύσει ματαίας καὶ ἀνωφελεῖς ἢ καὶ βλαπτικὰς συντυχίας, μεγάλην δὲ προξενήσει τὴν ὠφέλειαν ταῖς προσέχειν αὐτῇ βουλομέναις.

Κεφ. λγ΄. Περὶ τῶν μεσωρίων τῆς πρώτης, τρίτης τε καὶ ἕκτης ὥρας, τῶν τυπικῶν, τῆς ἱερᾶς λειτουργίας καὶ τῆς ἁγίας μεταλήψεως. **Καταλαμβανούσης** δὲ τῆς προσηκούσης ὥρας κρουσθήσεται τὸ ξύλον, κἀκεῖσε ψαλεῖτε τὰ μεσώρια τῆς πρώτης, τήν τε τρίτην καὶ ἕκτην ὥραν μετὰ τῶν μεσωρίων, τῶν εὐχῶν καὶ τῶν μετανοιῶν, ἔνθα ἂν ἡ καθηγουμένη βουληθῇ, εἴτε ἐν τῷ κοιμητηρίῳ, εἴτε ἐν τῷ τῆς ἐκκλησίας ἐξωνάρθηκι[1]). ψαλεῖτε δὲ καὶ τὰ τυπικὰ ἐν τῷ τῆς ἐκκλησίας νάρθηκι, ὅτε μέντοι γίνεται ἀγρυπνία, οὐ ποιήσετε μετάνοιαν ἐν τῷ κοιμητηρίῳ ὑμῶν διὰ τὸν ἐκ τῆς ἀγρυπνίας κόπον, οὔτε κατὰ τὸ δωδεκαήμερον, οὔτε κατὰ τὴν ὅλην πεντακοστήν, οὔτε μὴν κατὰ τὰς μεθεόρτους ἐννέα ἡμέρας τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, τῆς μεταμορφώσεως τοῦ σωτῆρός μου Χριστοῦ, οὐκ ἐν αὐταῖς ταῖς ἑορτασίμοις ἡμέραις τῶν ἐνδόξων καὶ πανευφήμων δώδεκα ἀποστόλων, οὐ κατὰ πᾶν σάββατον. ἥ γε μὴν ἱερὰ καὶ θεία λειτουργία ἐκτελεῖσθαι ὀφείλει καθ᾽ ἑκάστην τετράδα, παρασκευήν, σάββατον καὶ κυριακὴν καὶ κατὰ τὰς ἑορτάς. ἐν μέντοιγε ταῖς τεσσαρακοσταῖς γίνεσθαι ὀφείλει, καθὼς περιέχει τὸ συναξάριον. εἰσηγοῦμαι δὲ ὑμῖν, ἀδελφαί, τῆς θείας τελουμένης ἱερουργίας προσεκτικωτέρας ἑαυτὰς ἑαυτῶν γίνεσθαι καὶ φόβου καὶ φρίκης μεστὰς

---

[1]) ἐξωάρθηκι **et inferius** ἄρθηκι **M.**

παρεστᾶναι· θειότερα γὰρ καὶ φρικωδέστερα καὶ φοβερώτερα τὰ ἐν ταύτῃ τελούμενα τῇ πάντα λόγον καὶ νοῦν ὑπερβαινούσῃ πανυπερτίμῳ ἱερουργήσει τοῦ παναχράντου σώματος καὶ αἵματος Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ἐν ᾗ μάλιστα προσεκτέον καὶ πάντα λογισμὸν ῥυπαρὸν ἀποδιωκτέον καὶ μόνον λογιστέον τὸ τελούμενον θεῖον ὑπὲρ κατάληψιν μέγα καὶ φοβερὸν μυστήριον. οὕτω τε τῶν θείων ἁγιασμάτων μεταληπτέον τὰς ὅσαις ἄρα καὶ μεταλαμβάνειν συγκεχώρηται. ἐπειδὴ οὖν ἡ τῶν ἁγιασμάτων μετάληψις ψυχῆς ἐστι φωτισμὸς τοῖς ἐγγὺς τῆς ἀξίας, ὁ δὲ ἀναξίως μεταλαμβάνων κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, καθώς φησιν ὁ θεῖος ἀπόστολος. συνεχέστερον μὲν βουλόμεθα τούτων μεταλαμβάνειν ὑμᾶς, ὅμως τὴν ἐπὶ τῇ θείᾳ μεταλήψει διάκρισιν τῷ πνευματικῷ ἡμῶν πατρὶ ἀνεπιθέαμεν, εἰδήσει καὶ τῆς καθηγουμένης, ἀκοινώνητον δέ τινα ἑαυτὴν ἡγεῖσθαι ἄνευ τῆς ἐκείνου εἰδήσεως οὐκ ἐπαινετόν. κατάκριτος δὲ ἔσται ἡ τοῦτο ποιοῦσα, ὡς ἴδιον ἐκπληροῦσα θέλημα. τὰς μέντοι μεταλαμβάνειν ὀφειλούσας ἐνδεχόμενόν ἐστι τὴν ἐπὶ τῇ ἁγίᾳ μεταλήψει ἀκολουθίαν ψάλλειν, κοινήν τε κοινῶς τὴν γονυκλισίαν ἀλλήλαις ποιούσας διδόναι συγχώρησιν καὶ οὕτως τῶν ζωοποιῶν μεταλαμβάνειν ἁγιασμῶν.

Κεφ. λδʹ. Περὶ τοῦ πόσους ἄρτους δεῖ προσφέρεσθαι καθ' ἑκάστην λειτουργίαν καὶ ὑπὲρ τίνων. Καθ' ἑκάστην δὲ ἡμέραν ἐν τῇ θείᾳ λειτουργίᾳ ἑπτὰ ἄρτοι προσενεχθήσονται, εἷς δεσποτικῶς, ἕτερος τῆς Κεχαριτωμένης ἡμῶν δεσποίνης καὶ θεοτόκου, ἕτερος τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, ἄλλος ὑπὲρ λύτρου καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ τε κρατίστου μου βασιλέως καὶ ἐμοῦ, ἕτερος ὑπὲρ τῶν κεκοιμημένων μοναχῶν, ἄλλος ὑπὲρ τῶν κεκοιμημένων γονέων καὶ λοιπῶν συγγενῶν ἡμῶν καὶ ἕτερος ὑπὲρ τῶν ζώντων παίδων καὶ γαμβρῶν καὶ λοιπῶν συγγενῶν ἡμῶν, καὶ μετὰ θάνατον δὲ ἡμῶν ἰδιαζόντως ὁ ῥηθεὶς ἄρτος ὑπὲρ ἀφέσεως τῶν ἡμετέρων προσενηχθήσεται ἁμαρτιῶν καὶ οὕτως γενήσεται εἰς τὸ διηνεκές. εἰ δέ τις ἐξ ἀμφοτέρων ἡμῶν προτελευτήσει τοῦ ἑνός, ὁ μὲν εἷς ἄρτος πάλιν ἰδιαζόντως ὑπὲρ τοῦ ζῶντος προσκομισθήσεται, ἕτερος δὲ αὖθις ὑπὲρ τοῦ τελευτήσαντος προσαχθήσεται. μετὰ δὲ τὸν τοῦ ἐπιζήσαντος θάνατον εἷς πάλιν ὑπὲρ ἀμφοτέρων προσενεχθήσεται. καθ' ἕκαστον δὲ σάββατον καὶ σταυρία ὀφείλουσι προσκομίζεσθαι ὑπὲρ τῶν προκεκοιμημένων γονέων καὶ παίδων καὶ νυμφῶν ἡμῶν καὶ τῶν εἰς τὸ μετέπειτα κοιμηθησομένων ἐπὶ τοῖς τέσσαρσιν ἕν, οἳ καὶ ὀφείλουσιν ἐγγράφεσθαι ἐν τοῖς διπτύχοις καὶ μνημονεύεσθαι κατὰ τὸν τοῦ τυπικοῦ περίληψιν, ὡσαύτως καὶ ὑπὲρ τῶν ζώντων καὶ ἀναγραφομένων ἐν τοῖς διπτύχοις καὶ τῷ τυπικῷ καὶ καθ' ἑκάστην κυριακὴν ἕτερα σταυρία ἐπίσης τοῖς κεκοιμημένοις προσκομισθήσονται.

Κεφ. λε'. Περὶ τῆς ἐννάτης ὥρας, ἑσπερινοῦ καὶ παννυχίδος. Ὡσαύτως καὶ τὰ τῆς ἐννάτης ὥρας μεσώρια ἐν τῷ κοιμητηρίῳ ὑμῶν ψάλλεσθαι βουλόμεθα, τοῦ μικροῦ συμβόλου κρουομένου, τήν γε μὴν ἐννάτην ὥραν ψάλλειν ὑμᾶς δεῖ, καθὼς καὶ τὰς προδιαληφθείσας ὥρας, μετά τε τῶν μεσωρίων αὐτῆς καὶ τῶν μετανοιῶν, τοῦ σημαντῆρος πάσας συγκαλοῦντος, ὡς ἔθος. καὶ ὁ ἑσπερινὸς δὲ ὕμνος κατὰ τὴν τοῦ συναξαρίου ὑμῖν τελούμενος ἔσται περίληψιν καὶ συναπτῶς ἡ παννυχίς. ἐπεὶ δὲ σήμερον ἐν τῇ παννυχίδι ἓξ τροπάρια καθ' ἑκάστην ᾠδὴν ψάλλονται, μετὰ τὴν ἡμῶν πρὸς κύριον ἐκδημίαν τὰ μὲν τέσσαρα ὀφείλουσι ψάλλεσθαι κατὰ τὸ συναξάριον, τὰ δὲ δύο εἶναι νεκρώσιμα.

Κεφ. λς'. Περὶ τῶν ἀποδείπνων. Ἡ δέ γε τῶν ἀποδείπνων ἀκολουθία μετὰ τὸ δεῖπνον ὑμῖν τελεσθήσεται ἐν τῷ τῆς ἐκκλησίας ἐξωνάρθηκι[1]), ἐν ᾧ καὶ τὰ γόνατα κλιτέον ὑμῖν, εἰ μή γε τό· „θεὸς κύριος" ψάλλοιτο.

Κεφ. λζ'. Περὶ τῆς νυκτερινῆς ἀκολουθίας. Καὶ μετὰ τὴν τῶν ἀποδείπνων συμπλήρωσιν τοῦ ἱερέως τὴν συνήθη ἐπειπόντος εὐχὴν ὑμεῖς μὲν ἐπὶ πρόσωπον εἰς γῆν πεσεῖσθε προσέχουσαι τῇ καθηγουμένῃ, ἐκείνης δὲ πρὸς ὑμᾶς εἰπούσης· „συγχωρήσατέ μοι ἐν κυρίῳ, ἀδελφαί· ἥμαρτον γὰρ καὶ ἔργῳ καὶ λόγῳ καὶ κατὰ διάνοιαν." κἀκείνης ἐπευξαμένης ὑμῖν καὶ εἰπούσης· „ὁ θεὸς δι' εὐχῶν τῶν πατέρων ἡμῶν συγχωρήσαι πάσαις ἡμῖν." οὕτως ἀπάρξασθε τῆς νυκτερινῆς ἀκολουθίας κατὰ τὸν τύπον εἰς τὸ κοιμητήριον ἀφικόμεναι, εἴτε ἐντὸς τοῦ κοιμητηρίου, εἴτε ἐκτὸς ἐκτελεῖν ταύτην ὀφείλουσαι, καθὼς ἂν ὅ τε καιρὸς ἀπαιτοίη καὶ ἡ καθηγουμένη βούλοιτο, ἣν ἐκπληρώσασαι πλήρεις εὐφροσύνης πνευματικῆς εἰς ὕπνον τραπήσεσθαι.

Κεφ. λη'. Περὶ τῆς μεσονυκτίου ἀκολουθίας. Ἐν καιρῷ δὲ προσήκοντι τῆς τελούσης τὴν τῆς ἐκκλησιαρχίας διακονίαν μετάνοιαν τῇ καθηγουμένῃ βαλλούσης καὶ τὸ ξύλον κρουσάσης τὴν μεσονύκτιον ἀκολουθίαν ἐν τῷ νάρθηκι[2]) τῆς ἐκκλησίας παραγενόμεναι ἐκτελέσετε, οὐδὲ αὐτῆς τῆς διυπνισάσης ὑμᾶς ἀπολιμπανομένης, ἀλλ' ἅμα τε σὺν ὑμῖν ψαλλούσης καὶ τὰς τοῦ ναοῦ φωταγωγοὺς ἀναπτούσης. τῆς δὲ μεσονυκτίου ὑμνῳδίας ὑμῖν τελεισθείσης κρουσθήσεται τὸ μέγα σημαντήριον, προσέτι δὲ καὶ τὸ χαλκοῦν. καὶ οὕτως ἀπάρξεσθε τῆς ὀρθρινῆς ἀκολουθίας, ἧς ἡ ἔναρξις ἐφεξῆς εἰρήσεται.

Κεφ. λθ'. Περὶ ἐνάρξεως ὄρθρου. Μετὰ δὲ τὸ κρουσθῆναι τὸ χαλκοῦν σημαντήριον ὁ ἱερεὺς εὐλογήσει τὸν θεόν, τὸν τύπον τοῦ τιμίου σταυροῦ ἔμπροσθεν τῆς ἁγίας τραπέζης τῷ θυμιατηρίῳ τυπῶν. εἶτα ἅμα τῇ τοῦ θεοῦ αἰνέσει τρισαγίου

---

[1]) ἐξωάρθηκι M. [2]) ἄρθηκι M.

γενομένου παρ' ὑμῶν τὸν ἐννεακαιδέκατον καὶ εἰκοστὸν ψαλμὸν ᾄσεσθε μετὰ τῶν συνήθων τροπαρίων καὶ τοῦ· „κύριε ἐλέησον", ὡς οἷόν τε μετὰ ἰσότητος καὶ προσοχῆς. ἀλλὰ ταῦτα μὲν ἔσονται ψαλλόμενα παρ' ὑμῶν, ἔστ' ἂν ὁ κράτιστός μου βασιλεὺς ἐν τοῖς ζῶσιν ᾖ (εἴη δὲ ἐπιμήκιστον, ὦ κύριε καὶ θεοτόκε). ἐπειδὰν δὲ τῆς τῇδε μεταστῇ, ψαλμοὶ μὲν ὑμῖν ᾀδόμενοι ἔσονται τό· „κύριος ποιμαίνει με" καὶ τό· „σοὶ πρέπει ὕμνος, ὁ θεὸς ἐν Σιών." τροπάρια δὲ καὶ αὐτὰ ἀναπαύσιμα· „μνήσθητι, κύριε, ἀνάπαυσον, σωτὴρ ἡμῶν, δόξα, καὶ νῦν·" μετὰ δὲ τὸ τελεσθῆναι τὸ τρισάγιον ἡ ἐκκλησιάρχισσα τοῦ ἐξαψάλμου ἀπάρξεται σχολαίως τε καὶ προσεκτικῶς ᾄδουσα αὐτὸ καὶ ἡσύχῳ ὑπάδουσα τῇ φωνῇ, ἵν' ἔχοιεν ἀκολουθεῖν αὐτῇ αἱ λοιπαὶ ἀπροσκόπως καὶ ἀπλανῶς καὶ διεξιέναι καθ' ἑαυτὰς τὰ ῥήματα τῶν ψαλμῶν, οὕτω τε μετὰ τὴν τοῦ ἐξαψάλμου ἐκπλήρωσιν ἡ πᾶσα τοῦ ὄρθρου ἀκολουθία τελεσθήσεται κατὰ τὴν τοῦ συναξαρίου περίληψιν. ὅπερ δὴ συναξάριον καὶ περὶ τῆς τῶν ἁγίων νηστειῶν ἀκολουθίας ἀκριβέστατα ὑμῖν ὑποθήσει. καθὸ καὶ διαπρακτέον τά τε ἄλλα ὑμῖν καὶ δὴ καὶ τὰς ἀγρυπνίας ἐν πάσῃ κυριακῇ [καὶ] δεσποτικῇ ἑορτῇ καὶ [ἐν ταῖς] [1]) τῶν λοιπῶν ἁγίων μνήμαις, ἃς διέξεισι τὸ συναξάριον. πλὴν ἐνταῦθα συγκαταβαίνουσα ἡ βασιλεία μου τῇ ἀσθενείᾳ ὑμῶν καὶ περὶ τῶν ἀγρυπνιῶν συμπαθέστερόν τι ἐπινενόηκε· βούλομαι γὰρ καὶ διορίζομαι, τὰς μὲν ἐπὶ ταῖς δεσποτικαῖς ἑορταῖς τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν καὶ τῆς πανάγνου δεσποίνης καὶ θεοτόκου τελεῖσθαι μελλούσας ἀγρυπνίας πάσας ὁλονυκτίους γίνεσθαι καὶ αὐτὴν τὴν τοῦ μεγάλου κανόνος καὶ τὴν τῶν ἁγίων παθῶν, ἔτι γε μὴν καὶ τὴν τῆς ὑψώσεως τοῦ τιμίου σταυροῦ καὶ τὴν τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου, τὰς δέ γε ἐπὶ τῶν κυριακῶν ἡμερῶν, εἰ μή που ταύταις καὶ τῶν δεσποτικῶν μία συνδράμῃ ἑορτῶν, θέρους μὲν τρίτης ὥρας, χειμῶνος δὲ τετάρτης ἀρχομένης ἐκτελεῖν. εἰ δέ που τύχοι δύο ἐν μιᾷ ἑβδομάδι συνδραμεῖν ἀγρυπνίας, μίαν μὲν δεσποτικῆς τινος ἑορτῆς, ἑτέραν δὲ τῶν ἐν ταῖς κυριακαῖς τετυπωμένων, τὴν μὲν οὖν δεσποτικὴν, εἴτε δὴ προηγήσεται, εἴτε καὶ μή, ὁλονύκτιον γίνεσθαι ἐντελλόμεθα, τὴν δὲ τῆς κυριακῆς ἕκτης ὥρας ἀρχομένης, ἵν' οὕτω μικρὸν ἀναπαυσάμεναι προθυμότεραι τοῖς ἔμπροσθεν γίνοισθε, καὶ ἐπὶ τῷ ὄρθρῳ δὲ τῆς μετὰ τὴν ὁλονύκτιον ἀγρυπνίαν ἡμέρας βραδύτερον ὑμᾶς τοῦ συνήθους, ὡσεὶ μίαν ὥραν ἐξανίστασθαι ἡ βασιλεία μου βούλεται καὶ ὀρθρίζειν, ἵνα τὰ σώματα ὑμῶν ἀπὸ τοῦ κόπου ἀνακτηθέντα εἰς τὴν οἰκείαν αὖθις ἀποκαταστῶσιν ἰσχύν.

---

[1]) **Supplevimus.**

Κεφ. μ'. Περὶ τῆς εἰς τὴν τράπεζαν κλήσεως καὶ τῆς ἐν αὐτῇ διαγωγῆς. Ἐπειδὴ περὶ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τὰ δοκοῦντα διείληπται, δεῖ λοιπὸν εἰπεῖν καὶ περὶ τῆς ἑστιάσεως τῶν μοναζουσῶν. πληρωθείσης τοίνυν τῆς ἱερᾶς καὶ θείας λειτουργίας ἐν τῷ νάρθηκι[1]) προσμένειν ὀφείλουσιν ἐκδεχόμεναι τὴν διὰ τοῦ συνήθους ξύλου πρόσκλησιν ἐπὶ τὴν κοινὴν τράπεζαν, τοῦ ξύλου δὲ κρουσθέντος συνεξιέναι τῇ ἐκκλησιαρχίσσῃ, προσκυνεῖν δὲ τῇ προεστώσῃ καὶ οὕτω τοῦ συνήθους ἀρξαμένας ψαλμοῦ ἠρεμαίᾳ καὶ καθηκούσῃ τῇ φωνῇ, ἤγουν τοῦ· „ὑψώσω σε, ὁ θεός μου, ὁ βασιλεύς μου", ἠρέμα βαδίζειν ἐπὶ τὴν τράπεζαν καὶ τὸν ψαλμὸν πληρωσάσας καθέζεσθαι εὐτάκτως, καθὼς ἂν ἡ καθηγουμένη τάξῃ καὶ τὰ τῆς καθέδρας αὐτῶν. οὕτω τε τῶν παρατιθεμένων εὐχαρίστως μεταλαμβάνειν, γινομένης συνήθως ἀναγνώσεως, χωρὶς θορύβου καὶ ταραχῆς, μόνης τῆς προεστώσης, εἴ τι βούλοιτο, φθεγγομένης καὶ αὐτῆς ἠρεμαίως καὶ τῆς ἀποκρίνεσθαι πρὸς αὐτὴν ὀφειλούσης ἠρεμαιοτέρᾳ τῇ φωνῇ χρωμένης καὶ ὀλίγοις ὡς οἷόν τε καὶ συντεταγμένοις τοῖς ῥήμασιν. ὡς ἂν ἄκρας ἡσυχίας οὔσης ἐν τῇ τραπέζῃ μόνῃ προσέχητε τῇ ἀναγνώσει καὶ ταύτῃ μὲν τὰς ψυχὰς εὐφραίνητε καὶ πιαίνητε, τοῖς δὲ παρατιθεμένοις τὰ σώματα τρέφητε.

Κεφ. μα'. Περὶ τοῦ ἐάν τις ἐν τῇ ἑστιάσει ἀτακτῇ. Ἐὰν δέ τις ἐν τῷ ἑστιᾶσθαι ὑμᾶς ταράσσουσα φαίνοιτο καὶ ταρασσομένη, θορυβοῦσά τε καὶ θορυβουμένη καὶ συγχέουσα τὴν ἀνάγωσιν ἀκαίροις καὶ ἀπρεπέσι ῥήμασι καὶ τὴν γαληνιαίαν τε καὶ ἠρεμαίαν κατάστασιν ἀφανίζουσα, κατασιγαζέσθω παρὰ τῆς τραπεζαρίας ἡσύχῳ παραινέσει τε καὶ νουθετήσει. καὶ παυομένη μὲν ἐάσθω, ἐπιμένουσα δὲ ἐξεγειρέσθω τῆς τραπέζης καὶ ἄκουσα ὁρισμῷ τῆς καθηγουμένης, ἥτις, εἰ βούλοιτο, καὶ τὸ τῆς ἀτροφίας ἐπιτίμιον αὐτῇ ἐπιθήσει ἢ καὶ ἄλλως, ὡς δοκεῖ, σωφρονίσει.

Κεφ. μβ'. Περὶ τοῦ ἐάν τις περὶ προκαθεδρίας ἀμφισβητῇ. Ἐὰν δὲ καὶ μέχρι τοσούτου ταῖς αὔραις τις ὑμῶν ῥιπισθείη τοῦ πονηροῦ, ὥστε δόξης ματαίας φροντίζειν καὶ προκαθεδρίας καὶ προβάλλεσθαι πρὸς τοῦτο ἢ χρονιωτέραν ἐν τῇ μονῇ διαγωγὴν ἢ ἄλλην ἐνέργειαν ὁποιανοῦν, ἐντέλλομαι ἐν κυρίῳ τὸν ἔσχατον αὐτῇ τόπον ἀποκληροῦν, κἂν μὲν διορθωθείη, τῷ θεῷ χάρις, εἰ δὲ ἀδιόρθωτος μένοι, ἐκδιώκειν αὐτὴν ἀπὸ τῆς μονῆς, ὅπως μὴ καὶ ταῖς ἄλλαις τῆς τοιαύτης λύμης μεταδῷ.

Κεφ. μγ'. Περὶ τοῦ μὴ ζητεῖν τι παρ' ἀλλήλων. Ἐν μέντοι γε τῷ ἀριστᾶν ἀλλήλαις οὐδαμῶς μεταδώσετε οὔτε βρώματός τινος, οὔτε πόματος

---

1) ἄρθηκι M.

ἄχρι γοῦν καὶ ῥανίδος τυχὸν μικρᾶς εἰς τὸ καταψύξαι τὸ κερασθὲν ποτήριον καὶ ζέον πλέον τοῦ δέοντος, ἀλλ' ἡ δεομένη τοιούτου τινὸς μετ' εὐλαβείας ὅτι μάλιστα πολλῆς καὶ σεμνότητος παρὰ τῆς καθηγουμένης τὸ ἐνδέον αἰτήσεται, κἂν μὲν τύχοι ταύτης ἐπινευούσης κομεῖται τὸ κελευσθέν. εἰ δὲ μή, συστελεῖ ἑαυτὴν καὶ καθεσθήσεται μετὰ σιωπῆς, εὐχαριστοῦσα διὰ τὴν τοῦ θεοῦ ἐντολήν. οὕτως οὖν ἑστιασθεῖσαι ἐγερθήσεσθε ἀπὸ τῆς τραπέζης καὶ τὴν τυπικὴν ἀκολουθίαν καὶ τὴν εὐχὴν ἐκπληρώσασαι εἰς τὸ κοιμητήριον ἀπελεύσεσθε.

Κεφ. μδ'. Περὶ τοῦ ἀπαραίτητον εἶναι ταῖς ὑγιαινούσαις τὴν κοινὴν τράπεζαν καὶ περὶ νοσουσῶν. Ταύτην δὲ τὴν κοινῇ εὐτρεπισθεῖσαν ὑμῖν τράπεζαν αἱ μὲν ὑγιαίνουσαι ἀπροφάσιστον καὶ ἀπαραίτητον ἕξετε. καὶ οὐδεμία ἔσται πρόφασις ἱκανὴ πρὸς παραίτησιν τῆς εἰς τὸ κοινὸν ἑστιατόριον συνελεύσεως. αἱ ἀσθενοῦσαι δὲ ἰσχυρῶς καὶ οὕτως, ὥστε μὴ δύνασθαι τῆς κλίνης ἐξανίστασθαι ἢ ἀταράχως ὑπνοῦν, ἀλλ' ἐνοχλοῦσαι καὶ ἐνοχλούμεναι, κατὰ γνώμην τῆς καθηγουμένης ἐν ἰδιάζοντι κελλίῳ τεύξονται ἀναπαύσεως καὶ θεραπείας ἐπιμελεστέρας. φροντιεῖ δὲ ἡ καθηγουμένη καὶ τῶν νοσουσῶν ἐπιμελέστερον, ὡς οἰκείων μελῶν, καὶ παρέξει ταύταις τὰ κατάλληλα πρὸς διατροφήν, πρόνοιάν τε ποιήσεται καὶ τῆς ἄλλης αὐτῶν ἀναπαύσεως.

Κεφ. με'. Περὶ τοῦ καὶ δευτέραν γίνεσθαι ἑστίασιν. Τοίνυν μετὰ τὸ τὰς μοναχὰς ἀναστῆναι τῆς τραπέζης ἑστίασις δευτέρα γινέσθω ἄρτων παρατιθεμένων καὶ βρωμάτων, ὅσα ἐν τῇ πρώτῃ παρατέθειται τραπέζῃ, καὶ ἑστιάσθωσαν αἱ διακονήσασαι. μὴ ἐξέστω δὲ (ὅπερ καὶ ἐν τῇ πρώτῃ ἑστιάσει τυπωθῆναι διέλαθεν), ἀνισταμένῃ τῆς τραπέζης αἴρειν τι μεθ' ἑαυτῆς ἐκ τῶν παρακειμένων, μήτε ἄρτον, μήθ' ἕτερόν τι, ἀλλὰ μηδὲ τῶν μοναχῶν τις αἰτείτω μεθ' ἑαυτῆς λαβεῖν ἢ μαγειρείαν ἢ ὄσπριον ἢ ἄλλο τι, ἀλλὰ κοινῇ πᾶσαι ἑστιάσθωσαν.

Κεφ. μϛ'. Περὶ τῆς ἐν ταῖς λιταῖς ἡμέραις τροφῆς. Ἡ δὲ τροφὴ ὑμῶν ἔσται ἐν ταῖς λιταῖς ἡμέραις κατὰ τὸ ἄριστον, τρίτῃ μὲν καὶ πέμπτῃ καὶ σαββάτῳ καὶ κυριακῇ ἐδέσματα δύο ἢ τρία, εἰ τῇ καθηγουμένῃ δοκοίη, δι' ἰχθύων καὶ τυροῦ, ἐν δὲ τῇ δευτέρᾳ δύο ἢ τρία δι' ὀσπρίων ἑψητῶν σὺν ἐλαίῳ καὶ ὀστρακοδέρμων, εἰ εὑρίσκοιντο, τετράδι τε καὶ παρασκευῇ δύο ἢ τρία ἐδέσματα δι' ὀσπρίων ἑψητῶν σὺν ἐλαίῳ καὶ λαχάνων ὁμοίως. εἰ δὲ καὶ ἐν αὐταῖς, τῇ δευτέρᾳ φημί, τετράδι τε καὶ παρασκευῇ παρά τινων φιλοχρίστων γένηται παράκλησις ἢ ἑορτὴ τύχῃ δεσποτικὴ ἢ τινος τῶν δώδεκα ἁγίων ἀποστόλων ἢ τῶν ἐπισήμων μαρτύρων ἢ ἱεραρχῶν, ἐσθίειν καὶ τότε ἰχθύας αὐτῆς [τῆς][1]) ἡγουμένης

[1]) Supplevimus.

τούτου φροντιζούσης, εἰ μή τις ἴῃ παρ' ἑτέρων παράκλησις. ἡ δὲ πόσις ὑμῶν ἐν πάσαις ταῖς λιταῖς ἡμέραις ἔσται μετὰ τοῦ μείζονος ἐξαγίου. ὅτε δὲ τῇ προεστώσῃ δόξει, καὶ ἐπαυξηθήσεται, καθόσον αὐτῇ βουλητόν. κατὰ δὲ τὸ δεῖπνον τῶν αὐτῶν ἡμερῶν παρατεθήσεται ὑμῖν ἄρτος καὶ λάχανα κατὰ τὸν καιρὸν καὶ ὀπῶραι μικραὶ κατὰ γνώμην τῆς προεστώσης· τὸ δέ τοι πόμα δοθήσεται μετὰ τοῦ μείζονος ἐξαγίου.

Κεφ. μζ'. Περὶ τῆς ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ τροφῆς. Ταῦτα μὲν ἐν ταῖς λιταῖς ἡμέραις τοῦ ἐνιαυτοῦ. ἐν δέ γε ταῖς τῶν ἁγίων νηστειῶν οὐχ οὕτως. καὶ πρό γε τῶν ἄλλων ἐν τῇ πρώτῃ καὶ μεγίστῃ, ἧς κατὰ τὴν πρώτην ἡμέραν τῆς πρώτης ἑβδομάδος, ἤγουν κατὰ τὴν δευτέραν μήθ' ἱερουργητέον, μήτε τραπέζης φροντιστέον ἢ βρώσεως. ταῖς μέντοι ἑξῆς ἡμέραις τῆς τοιαύτης ἑβδομάδος καὶ τράπεζαν παραθετέον καὶ βρώσεως τὴν αἱρουμένην μεταληπτέον, ἥτις δὲ ἔσται ἐξ ὀσπρίων διαβρόχων ὕδατι καὶ ὠμῶν τινων λαχάνων, ἴσως καὶ ὀπωρῶν. πόμα δὲ πίεσθε θερμὸν ὕδωρ κυμίνῳ συνηρτυμένον. ἐν μέντοι τῇ παρασκευῇ ἑψητά τινα βρωτέον ὑμῖν, ἐδέσματα δύο, τὸ μὲν ἓν μετὰ ἐλαίου, τὸ δὲ ἕτερον χωρὶς ἐλαίου καὶ οἶνον ποτέον μετὰ τοῦ μείζονος ἐξαγίου διδόμενον διὰ τὴν ἑορτὴν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, ἣν ἡ προεστῶσα ὀφείλει ἐπιτελεῖν χρεωστικῶς καὶ παρακαλεῖν ὑμᾶς κατὰ τὴν τοῦ σαββάτου ἡμέραν καὶ ὀστρακοδέρμοις τὴν ἀδελφότητα ἑστιᾶν. εἰ δὲ παρά τινος τῶν φιλοχρίστων παράκλησις γένοιτο, καὶ δι' ἰχθύων ἑστιασθήσεσθε. ἡ μὲν δὲ πρώτη ἑβδομὰς τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς οὕτως ὑμῖν ἀνυέσθω, τοῖς δὲ σάββασι πᾶσι καὶ ταῖς κυριακαῖς τῆς αὐτῆς ἁγίας νηστείας τρία παρατιθέσθω ὑμῖν ἐδέσματα μαγειρευτὰ μετέχοντα ἐλαίου, διδόσθω δὲ καὶ εἰς πόσιν τὸ σύνηθες μέγα κρασοβόλιον· τὸ δ' αὐτὸ γινέσθω καὶ τῇ τετράδι τῆς μεσονηστίμου καὶ τῇ πέμπτῃ τοῦ μεγάλου κανόνος, ταῖς δέ γε τρίταις καὶ πέμπταις ταῖς ἄλλαις δύο μὲν ὑμῖν ἐδέσματα παρατεθήσονται μαγειρευτά, ἀμφότερα ἐλαίου μετέχοντα, οἶνος δὲ τῷ ἐλάττονι ἐξαγίῳ μετρούμενος τὰς μέντοι δευτέρας δύο ἐδέσματα μαγειρευτὰ παρατεθήσονται, ὧν τὸ ἓν μετὰ ἐλαίου, τὸ δὲ ἕτερον ἐλαίου ἀμέτοχον καὶ οἶνος δὲ τῷ ἐλάττονι ἐξαγίῳ μετρούμενος, ὅπερ ἐστὶ τοῦ μείζονος τὸ ἥμισυ. τὰς δὲ τετράδας καὶ παρασκευὰς δύο ἐδέσματα μαγειρευτὰ μέν, ἐλαίου δὲ ἀμέτοχα, καὶ ἡ πόσις οἶνος τῷ ἐλάττονι ἐξαγίῳ μετρούμενος. εἰ δὲ ἐν δευτέρᾳ τινὶ ἢ τρίτῃ ἢ πέμπτῃ ἢ σαββάτῳ ἢ κυριακῇ τύχῃ τὴν μνήμην συνδραμεῖν τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου ἢ τῶν ἁγίων Τεσσαράκοντα ἢ τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ καὶ δι' ἰχθύων ἑστιατέον καὶ οἴνου μεταδοτέον τῷ μείζονι ἐξαγίῳ ἢ οἴκοθεν ὀψωνιζομένων τῶν ἰχθύων ἢ παρακλήσεως στελλομένης παρὰ τῶν φιλοχρίστων, εἰ δέ τις τῶν

εἰρημένων ἑορτῶν ἐν μιᾷ τῶν τῆς πρώτης ἑβδομάδος ἡμερῶν τύχῃ τελεῖσθαι, ἐπίσης ταῖς τρίταις καὶ πέμπταις τῶν ἄλλων ἑβδομάδων τῆς ἁγίας τεσσαρακοστῆς ἑστιαστέον ἐν βρώμασιν, οἴνου δὲ μεταδοτέον τῷ μείζονι ἐξαγίῳ. τὰς ἄλλας τοίνυν πάσας ἁγίας ἡμέρας τῆς τεσσαρακοστῆς οὐκ ἐξέσται ὑμῖν ἰχθυοφαγεῖν τὸ σύνολον, εἰ μὴ παράκλησις ἴσως πεμφθείη παρά τινος ἐν σαββάτῳ ἢ κυριακῇ· τῆς ἑορτῆς δὲ τοῦ εὐαγγελισμοῦ ἐπιστάσης λαμπρῶς ἑορταστέον εἰς δύναμιν καὶ ἰχθύων μεταληπτέον οἴκοθεν ὀψωνιζομένων καὶ οἴνου ποτέον διὰ τοῦ μείζονος ἐξαγίου. ἰχθυοφαγήσετε δὲ ἐν τῇ ἁγίᾳ ταύτῃ ἑορτῇ, ὡς εἴρηται, ἐὰν μὴ τῇ ἁγίᾳ καὶ μεγάλῃ ἑβδομάδι συνδράμῃ· τότε γὰρ τοῖς ὀστρακοδέρμοις χρήσεσθε μόνοις, μᾶλλον δὲ παρακληθήσεσθε διὰ τὴν ἑορτήν, ἐπεὶ τὰς τρεῖς ἡμέρας ταύτης τῆς ἑβδομάδος, ἤγουν δευτέρᾳ, τρίτῃ καὶ τετράδι διάγειν εἰκός τισιν ὀσπρίοις διαβρόχοις καὶ λαχάνοις ὠμοῖς καὶ ὀπώραις ταῖς παρατυχούσαις ἀρκούμεναι καὶ τῷ κυμινάτῳ θερμῷ πόματι. εἰ δὲ καὶ ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τῆς ἁγίας καὶ μεγάλης ἑβδομάδος συνδράμῃ ἡ προδηλωθεῖσα ἑορτὴ τοῦ εὐαγγελισμοῦ ἢ τῇ μεγάλῃ πέμπτῃ, τοῖς ὀστρακοδέρμοις χρήσεσθε μόνοις. εἰ δὲ καὶ ἐν τῇ μεγάλῃ τετράδι καὶ παρασκευῇ ἢ καὶ αὐτῷ τῷ μεγάλῳ σαββάτῳ, τῇ μὲν μεγάλῃ τετράδι καὶ τῇ μεγάλῃ παρασκευῇ ὀσπρίοις τισὶν ἑψητοῖς καὶ λαχάνοις σὺν ἐλαίῳ ἀρκεσθήσεσθε. μεταληπτέον δὲ καὶ οἴνου τῷ μείζονι ἐξαγίῳ. ἐν δὲ τῷ ἁγίῳ σαββάτῳ ἀπέστω πᾶσα μέριμνα περισπασμὸν ἐμποιοῦσα· οὐ γὰρ διὰ τὴν ἑορτὴν καταλύσετε τὴν τοῦ μεγάλου σαββάτου νηστείαν, ᾧ μόνῳ νηστεύειν ἀπὸ πάντων κανονικῶς παρελάβομεν, ἀλλὰ καὶ μᾶλλον τηρητέον τὰς τῶν θείων πατέρων διατάξεις καὶ ἐργαστέον ὑμῖν, ὡς δυνατόν, κατὰ τὸν θεολόγον Γρηγόριον πᾶν ἕτερον ἐν αὐταῖς ἀγαθόν· „καὶ γάρ, φησι, τοῦτό ἐστι τὸ ἑορτάζειν, ἡμῶν ψυχῇ τι θησαυρίζειν τῶν ἑστώτων καὶ κρατουμένων, ἀλλὰ μὴ τῶν ὑποχωρούντων καὶ λυομένων καὶ μικρὰ σαινόντων τὴν αἴσθησιν, τὰ πλεῖστα δὲ βλαπτόντων κατὰ τὸν ἐμὸν λόγον.“ καὶ πάλιν· „ἀρκετὸν τῷ σώματι ἡ κακία αὐτοῦ. τί δὲ δεῖ τῇ φλογῇ πλείονος ὕλης ἢ τῷ θηρίῳ δαψιλεστέρας τροφῆς, ἵνα μᾶλλον δυσκάθεκτον γένηται καὶ τοῦ λογισμοῦ βιαιότερον; διὰ ταῦτα γοῦν ἑορταστέον πνευματικῶς.“ τῇ τοίνυν ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ, ὅτε μὴ ἑορτάζομεν τὸν εὐαγγελισμόν, κατὰ τὰς τρίτας καὶ πέμπτας τῶν λοιπῶν ἑβδομάδων τῆς τεσσαρακοστῆς ἡ ἑστίασις ἔσται ὑμῖν ἐν τοῖς ἐδέσμασιν, ὁ δὲ οἶνος τῷ μείζονι ἐξαγίῳ. τῇ μέντοι ἁγίᾳ παρασκευῇ, εἰ μὴ ἡ προλεχθεῖσα ἑορτὴ τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου συνδράμῃ, οὐδόλως μαγειρευτέον, λαχάνων δέ τινων ὠμῶν καὶ ὀπωρῶν μεταληπτέον καὶ οἴνου τῷ μείζονι διδομένου ἐξαγίῳ διὰ τὸν ἐκ τῆς ἀγρυπνίας κόπον. ἐν δὲ τῷ ἁγίῳ σαββάτῳ ἀπέστω πᾶσα μέριμνα περισπασμὸν ἐμποιοῦσα, μόνος δὲ διακλυσμὸς γινέσθω κατὰ

τὸ ἔθος κἂν ἡ τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου συνδράμῃ ἑορτὴ τοῦ εὐαγγελισμοῦ. τοῦτον μὲν δὴ τὸν τρόπον ἡ ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ δίαιτα τῶν τροφῶν ὑμῖν ἐχέτω τῆς περὶ τῶν ἀσθενουσῶν φροντίδος τῇ διακρίσει τῆς προεστώσης ἀνατεθείσης. τὰ δὲ τῶν ἁγίων ἀποστόλων αὐτίκα δὴ τυπωθήσεται.

Κεφ. μη'. Περὶ τῆς ἐν τῇ τῶν ἁγίων ἀποστόλων τεσσαρακοστῇ καὶ τῶν [τοῦ] Χριστοῦ γενεθλίων τροφῆς. Μετὰ τὸ τελεσθῆναι τὴν πᾶσαν ἀκολουθίαν τῶν τε ὡρῶν καὶ τῆς θείας λειτουργίας, ὡς τὸ συναξάριον διέξεισι, καλείτω ὑμᾶς ἡ τράπεζα κατὰ τὸν ἄνω διαταγέντα τύπον ἑβδόμης ὥρας ἐνισταμένης, ἐν ᾗ κατὰ μὲν τὴν δευτέραν τετράδα καὶ παρασκευὴν δύο ἐδέσματα ὑμῖν σὺν ἐλαίῳ ἑψητὰ ἐσθιέσθω καὶ οἶνος πινέσθω διὰ τοῦ μείζονος ἐξαγίου, κατὰ δὲ τὰς τρίτας καὶ τὰς πέμπτας δύο ἢ τρία ὅμοια ἐδέσματα, καθὼς ἡ προεστῶσα θελήσει, τὰ δὲ σάββατα καὶ τὰς κυριακὰς καὶ ἰχθύων μεταληπτέον οἴκοθεν παρεχομένων, εἰ μὴ διάκρισις παρά τινος στέλλοιτο, καὶ οἶνος δὲ ἐν ἁπάσαις ταῖς ἡμέραις ὁ μετὰ τοῦ μείζονος ἔσται ἐξαγίου. ἀλλὰ καὶ δεῖπνος[1]) ἐν ἁπάσαις παρατιθέσθω ἄρτου καὶ λαχάνων ὠμῶν καὶ ὀπωρῶν τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον καὶ οἶνος ὁ τοῦ μείζονος ἐξαγίου διὰ τὸ καυσῶδες καὶ ξηραντικὸν τοῦ καιροῦ. ἂν δέ τις ἔῃ παράκλησις καὶ ἐν ἑτέρᾳ ἡμέρᾳ μεταληπτέον καὶ τότε ἰχθύων εὐχαριστούσας. καὶ ἡ τῶν ἁγίων δὲ τοῦ Χριστοῦ γενεθλίων τεσσαρακοστὴ ὁμοία ἔσται τῇ τῶν ἁγίων ἀποστόλων ἔν τε ταῖς βρώσεσι καὶ ταῖς πόσεσι, καὶ ἡ ἀκολουθία ἔσται πᾶσα κατὰ τὸ συναξάριον. δυσὶ δὲ τούτοις μόνοις ἡ ἐν ταύτῃ τῇ τεσσαρακοστῇ δίαιτα τῆς τῶν ἁγίων ἀποστόλων παραλλάττειν ὀφείλει, τῷ τε ἅπαξ ἑστιᾶσθαι· ἐννάτῃ γὰρ ὥρα τὴν ἑστίασιν ὑμῖν παραθήσει νηστείας ἀγομένης, νηστεία δὲ εἴη πάντως, ὁπότε μὴ τὸ „θεὸς κύριος“ ἐν τῷ ὄρθρῳ ψάλλοιτο[2])· ἐν ταῖς ἄλλαις ἡμέραις δείπνου βραχέως παρατιθεμένου ὑμῖν διὰ τὸ ἄριστον μὴ κατὰ τὴν ἐννάτην ὥραν γίνεσθαι, ἀλλὰ ταχύτερον, καὶ τὸ οἶνον δίδοσθαι τῷ ἐλάττονι κρασοβολίῳ ἐν τῷ δείπνῳ ἐν ταῖς ἡμέραις, ἐν αἷς δειπνεῖν συγκεχώρηται. ἐν δέ γε τῇ ἑορτῇ τῆς εἰς τὰ ἅγια τῶν ἁγίων εἰσόδου τῆς θεοτόκου καὶ ἰχθῦσι τραφήσεσθε, κἂν μηδεὶς προσενέγκοι, ἐν δὲ ταῖς ἄλλαις ἡμέραις, ὅτε παρά τινος προσενεχθεῖεν.

Κεφ. μθ'. Περὶ τοῦ μὴ λαθροφαγεῖν. Τῶν μὲν οὖν κατὰ τὴν τροφὴν οὕτως ὑμῖν διατυπωθέντων καὶ ἀποχὴν λαθραίας βρώσεώς τε καὶ πόσεως εἰσηγούμεθα. καὶ φεύγετε ταύτην ὁπόση δύναμις ἐκεῖνο διὰ παντὸς φέρουσαι κατὰ τὸν νοῦν, ὅτι καὶ κατ' ἀρχὰς βρῶσις ἡμᾶς ὑπήγαγε τῷ θανάτῳ παρήκοος καὶ τῆς ἐν παραδείσῳ διαγωγῆς ἀπεστέρησε, τοῦ πονηροῦ καὶ ἀρχεκάκου δαίμονος αὐτὴν

---

[1]) Ἴσ. δεῖπνον: etiam alibi habes δεῖπνος M. [2]) μὴ τὸ . . . μὴ ψάλλ. M.

εἰσηγησαμένου, ὅστις ἐξ ἐκείνου καὶ μέχρι τοῦ νῦν οὐ παύεται τοῖς κατ' αὐτοῦ πόλεμον ἀναδεξαμένοις ὡς ἀρχαῖον ὅπλον τὴν λαθραίαν καὶ ἀπηγορευμένην γεῦσιν βρωτοῦ τινος ἢ ποτοῦ προβαλλόμενος, καὶ μὴ μόνον προβαλλόμενος, ἀλλὰ καὶ συνηγορῶν τῇ λαθραίᾳ γεύσει καὶ κατὰ φύσιν εἶναι λέγων τὸ πρᾶγμα καὶ ἀναιτίατον. ὑμεῖς δὲ μὴ ἀγνοήσητε αὐτοῦ τὰ νοήματα, πρὸς τὸ τέλος τῆς συμβουλῆς ἀφορῶσαι, ὅτι παράβασίς ἐστιν ἐντολῆς.

Κεφ. ν'. Περὶ ἀκτησίας. Ἵνα γοῦν τὴν τοιαύτην παγίδα τοῦ πονηροῦ εὐχερῶς ὑπερβαίνητε, ἀκτησίαν ἐσχάτην ἡμεῖς ὑμῖν ἐπιτάττομεν, τὰ μέγιστα συμβαλέσθαι δυναμένην, ἣν φυλάττουσαι ἀμογητὶ τὸν τῆς λαθραιοφαγοποσίας διαδιδράσκοιτε κίνδυνον· ὁ γὰρ ἔχων μηδὲν τίνος ἂν γεύσοιτο; ἄκραν τοιγαροῦν ἀκτησίαν ἀσκήσατε, οὐκ ἐν χρήμασι μόνον μέχρι καὶ ὀβολοῦ, ἀλλὰ καὶ ἐν βρώμασί τε καὶ πόμασι μέχρι τοῦ ἐλαχίστου· ὥστε γὰρ μὴ παραβαίνεσθαι τὴν τοιαύτην ἐντολὴν ἡμῶν, καὶ τῇ προεστώσῃ εἰσηγούμεθα, ὁσάκις καὶ ὅτε βούλοιτο διερευνᾶν ὑμᾶς καὶ μηδὲν πλέον ἔχειν ἐᾶν παρὰ τῶν παρὰ τοῦ κοινοβιακοῦ κανόνος συγχωρουμένων.

Κεφ. να'. Περὶ τοῦ μὴ δεῖν τὰς μοναχὰς ἐπὶ ταῖς τοῦ τυπικοῦ ὑποθήκαις περὶ τῆς κοινοβιακῆς διαγωγῆς ἀθυμεῖν. Ταῖς τοιαύταις ὑμῶν ὑποθήκαις καὶ εἰσηγήσεσιν οὐ μόνον μὴ ἀθυμεῖν ὑμᾶς, μηδ' ἄχθεσθαι, ἀλλὰ καὶ χαίρειν καὶ ἀγαλλιᾶσθαι εἰκός, ὅτι πάσης ἀπολελυμέναι φροντίδος ἓν ἔργον ἀπερίσπαστον ἕξετε, τὴν τῆς πνευματικῆς σωτηρίας φροντίδα καὶ ἐπιμέλειαν· τράπεζάν τε γὰρ κοινὴν ὑμῖν ἡτοιμάσαμεν οὐδενὸς τῶν ἀναγκαίων ἐπιδεῆ, ἣν καὶ ἕξετε μέχρι παντὸς ἀπαραίτητόν τε καὶ ἀπροφάσιστον, κατ' οὐδένα τρόπον αὐτὴν παραιτούμεναι· κἂν γὰρ δι' ἄσκησιν λέγῃ τις ἐθέλειν τῆς κοινῆς τραπέζης ἀπολιμπάνεσθαι, ἀλλ' ἐξὸν καὶ παρούσῃ γεύεσθαι μὲν ἑκάστου τῶν παρατιθεμένων, κατὰ τὸν μέγαν Βασίλειον (ὅπερ καὶ τὸν ἐπιγινόμενον τῇ νηστείᾳ καταβάλλειν εἴωθε τῦφον), μὴ ἐσθίειν δέ, ὡς εἶναι μόνην εὐπαράδεκτον αἰτίαν εἰς ἀπόλειψιν τῆς κοινῆς ἑστιάσεως νόσον τῇ προεστώσῃ τῆς μονῆς οὐκ ἀγνοουμένην.

Κεφ. νβ'. Περὶ τοῦ πᾶσαν τὴν διοίκησιν τῶν μοναζουσῶν ἀπὸ τῶν εἰσόδων γίνεσθαι τῆς μονῆς. Καὶ ἄμφια δὲ καὶ περιβλήματα καὶ σκεπάσματα καὶ τὴν λοιπὴν χρείαν ἀπὸ τῶν ἀφορισθεισῶν τῇ μονῇ προσόδων γίνεσθαι ὑμῖν διορίζομαι κατὰ τὸν προσήκοντα καιρὸν προεξωνούμενα καὶ ἀποτιθέμενα. προσήκων δὲ καιρός, καθ' ὃν οὐκ ἐπιλείπουσι τὰ τοιαῦτα εἴδη, ἀλλὰ καὶ εὑρίσκονται δαψιλέστερα καὶ πιπράσκονται εὐωνότερα. καὶ ἁπλῶς πᾶσαν ὑμῶν τὴν ἀναγκαίαν διοίκησιν, ἵνα μὴ τὰ καθ' ἕκαστον ἀπαριθμῶμαι, ἀπὸ τῆς μονῆς γίνεσθαι διατάττομαι. καὶ ἔσται οὕτω ταῦτα γινόμενα, ὥστε τὸ τοῦ κοινοβίου

ὄνομα ἐπαληθεύειν, ἀλλὰ μὴ χωλεύειν τῇ τῆς Κεχαριτωμένης θεοτόκου μονῇ. ἔσονται δὲ πάντως καὶ φροντισταὶ τούτων καὶ ἐπιμεληταὶ παρὰ τῆς καθηγουμένης προϊστάμεναι καὶ φροντίζουσαι μὴ μόνον τὰ καινὰ μὴ καταβλάπτεσθαι, ἀλλὰ καὶ τὰ πεπονηκότα ἐπισκευάζεσθαι. ταῦτα οὕτω διατάττομεθα γίνεσθαι, ὥστε πάσης βιωτικῆς φροντίδος ὑμᾶς μένειν ἀπηλλαγμένας καὶ διηνεκὲς ἔργον ἔχειν ἑαυτῶν τε καὶ ἡμῶν ὑπερεύχεσθαι.

Κεφ. νγʹ. Περὶ τοῦ μὴ ἐξωμονίτιδας ἢ καταπεμπτὰς προσδέχεσθαι ἐν τῇ μονῇ. Ἐξωμονίτιδας δὲ ἢ καταπεμπτὰς οὔτε εἶναι, οὔτε ὀνομάζεσθαι βούλομαι. ταύτῃ τοι καὶ διατάττομαι ἐξωμονίτιν μηδαμῶς προσδέχεσθαι, κἂν περιφανοῦς εἴη τύχης, κἂν περιουσίας εὐποροίη πολλῆς, κἀντεῦθεν προσαγωγήν τινα περιττήν τε καὶ δαψιλῆ ἢ προσφέρῃ ἢ ἐπαγγέλληται ὑπὲρ τοῦ ῥητά τινα κομίζεσθαι σιτηρέσια· ἀθέτησις γὰρ τὸ τοιοῦτόν ἐστι τῆς ἡμετέρας καὶ γνώμης καὶ διατάξεως· προῖκα μὲν γὰρ καὶ δόσεως ἄνευ ἡστινοσοῦν ταῖς τὴν κοινοβιακὴν ἀσπαζομέναις διαγωγὴν καὶ μηδὲν πλέον παρὰ τὰ παρ' ἡμῶν διατεταγμένα ἔχειν ἢ λαμβάνειν ἐπιζητούσαις τὰς τῆς μονῆς πύλας ἠνοίξαμεν, δόσιν δὲ ἐπὶ ῥητοῖς τισι γινομένην καὶ τὰ παρ' ἡμῶν διατεταγμένα παραχαράττουσαν οὐδαμῶς προσιέμεθα. καταπεμπτὴν δέ τίς ἂν εἰς ἐλευθέραν μονὴν παραπέμψειε καὶ μόνῃ τῇ κραταιᾷ χειρὶ τῆς Κεχαριτωμένης θεοτόκου ἀνατεθεῖσάν τε καὶ πιστευθεῖσαν καὶ ταύτην ἔχουσαν ἐκδικητήν; τίς δ' ἂν ἐθελήσῃ τὴν πανάμωμον ἑαυτῷ ἐκπολεμῶσαι τοῦ λόγου μητέρα ἀνθρώπῳ φθαρτῷ χαριζόμενος; μηδεὶς τοῦτο βουληθείη ποτέ, μηδ' οὕτως φρονήσοι κακῶς· τῷ μὲν γὰρ συντηροῦντι τὰ δόξαντα τοῖς προσενεγκοῦσι θεῷ μισθός ἐστιν οὐ μικρὸς ἀποκείμενος, τοῖς ἀθετεῖν δὲ καὶ παραχαράττειν πειρωμένοις αἰώνιος ἡτοίμασται κόλασις.

Κεφ. νδʹ. Περὶ τοῦ καὶ ἐξωκουρίτιδας δέχεσθαι ἐναρέτους, εἰ μὴ βασιλικῇ ἢ ἀρχοντικῇ χρήσαιντο δυναστείᾳ. Εἰ μέντοι τις τῷ βίῳ θεοφιλεῖ σεμνυνομένων μοναζουσῶν καὶ καλὸν ἐπὶ τούτῳ κτησαμένων ὄνομα καὶ σαφῆ τὰ ἴχνη τῶν ἀρετῶν ἐπιδεικνυμένων ἢ πόθῳ τῷ πρὸς τὴν μονὴν ἢ ἔρωτι τῆς ἐν αὐτῇ διαγωγῆς ἢ καὶ διαθέσει τῇ πρὸς ἡμᾶς μέρος βουληθείη γενέσθαι τῆς ἀδελφότητος, αἰδούμεθα καὶ ἐρυθριῶμεν ἀποκλεῖσαι τῇ τοιαύτῃ τὴν εἴσοδον. ταύτῃ τοι καὶ διοριζόμεθα ὑπτίαις, ὃ δὴ λέγεται, ταύτην χερσὶν ὑποδέχεσθαι καὶ μᾶλλον, εἰ προσίῃ μὴ βασιλικῆς δεηθεῖσα ἐξουσίας, μὴ ἀρχοντικῇ ἐπικουρίᾳ χρησαμένη ἢ πατριαρχικῇ, κατὰ τὰς παρατηρήσεις μέντοι τὰς ἐν τοῖς ἀσκητικοῖς κανόσι διηγορευμένας τοῖς ἁγίοις πατράσι περὶ τῶν ἐξ ἑτέρου μοναστηρίου εἰς ἕτερον μεταβαινουσῶν· καὶ πῶς γὰρ ἂν ἄλλως δείξαμεν, ὅτι τιμητέον ἡ ἀρετὴ καὶ λόγου τοῖς νοῦν ἔχουσιν ἄξιον; πλὴν τὸ περὶ τῆς τοιαύτης εἰρημένον μοναχῆς εἰς τὰς

μὴ τοιαύτας οὐδαμῶς ἑλκυσθήσεται εἰς ὑπόδειγμα, οὐδὲ δώσει χώραν ἀφορμῆς τοῖς ζητοῦσιν ἀφορμὰς πρὸς τὸ τὰ καθεστηκότα συγχεῖν καὶ τὰ καλῶς διωρισμένα μεταπλάττειν τε καὶ μεταμορφοῦν καὶ μὴ πρὸς τὸν διωρισμένον ἀπευθύνειν σκοπόν, ἀλλὰ μεθέλκειν εἰς τὸ ἴδιον βούλημα· κἂν γὰρ ὡς τοιαύτη μέν τις παραδεχθείη, οἵαν ὁ λόγος προανεφώνησεν, ἐλεγχθείη δὲ μὴ τοιαύτη οὖσα (ἀλλοιούμενοι γὰρ ἐσμεν μάλιστα πάντων οἱ ἄνθρωποι), καὶ φανείη πρὸς βλάβην οὖσα τῆς μονῆς ἢ τῶν ἐν αὐτῇ, ἀλλ' οὐκ ὄνησιν, ἐξέσται τῇ καθηγουμένῃ μετὰ τῆς προσηκούσης αἰδοῦς τε καὶ ἡμερότητος ἀπειπεῖν αὐτῇ τὴν ἐν τῇ μονῇ λοιπὸν διαγωγὴν καὶ μετ' εὐχῶν ἀποπέμψασθαι.

Κεφ. νε′. Περὶ τοῦ μὴ ἀλλοιοῦσθαί ποτε τὴν κοινοβιακὴν διαγωγήν. Περί γε μὴν τῆς κοινοβιακῆς διαγωγῆς εἴρηται μὲν πολλάκις καὶ πολλαχοῦ τοῦ παρόντος συντάγματος, εἰρήσεται δὲ καὶ νῦν, ὡς οἷόν τε διὰ βραχέων· ὃ γὰρ βούλομαι, σφόδρα βούλομαι, βούλομαι δὲ τὴν κοινοβιακὴν διαγωγὴν καὶ κατάστασιν ἐμπαραμεῖναι τῇ μονῇ ἀναλλοίωτόν τε καὶ ἀμετάτρεπτον μέχρι τῆς τοῦ παντὸς τοῦδε συστάσεως κατὰ μηδένα λόγον παραχαραττομένην ἢ ἀλλοιουμένην, μηδὲ παρακινουμένην δι' ἥντιναοῦν αἰτίαν ἢ πρόφασιν, μὴ διὰ πλοῦτον, μὴ διὰ πενίαν, μὴ δι' ἀφορίαν ἢ εὐφορίαν, μὴ δι' ἄλλην ὁποιανοῦν εὐλογοφανῆ αἰτίαν ἢ ἀφορμήν, ἀλλὰ πάντη τε καὶ πάντως τὴν κοινοβιακὴν φυλλάττεσθαι διαγωγὴν καὶ κατάστασιν μέχρι παντὸς ἀπαράθραυστον, κἂν εἰς δύο μοναζουσῶν διάρκειαν περιστῆναι συμβῇ τὴν ὅλον πρόσοδον τῆς μονῆς, καὶ αὐτὰς κοινοβιακῶς βουλόμεθα ζῆν καὶ τῷ τῆς διαγωγῆς ταύτης κανόνι στοιχεῖν. κἂν μὲν τῶν ἡγουμενῶν τις ἐναντίον βουληθῇ, τὰς μοναχὰς ἀντιλέγειν, εἰ δ' αἱ μοναχαί, τὴν ἡγουμένην ἀντιπίπτειν, εἰ δὲ καὶ σύμπασαι συμφωνήσαιεν, τὴν τῆς μονῆς ἀντιλαμβανομένην τὰ παρ' ἡμῶν διατεταγμένα διεκδικεῖν, εἰ δὲ καὶ αὕτη ἐκείναις συναπαχθείη, ἄδειαν ἐκχωροῦμεν παντὶ τῷ βουλομένῳ ὑπὲρ εὐσεβοῦς ἀγωνίζεσθαι πράξεως καὶ δικαστηρίῳ προσιέναι δι' αὐτὸ τὸ καλὸν καὶ τὸν ὑπὲρ τούτου μισθὸν καὶ τὰ παρ' ἡμῶν διατεταγμένα ζητεῖν ἔχειν τὸ ἐνεργόν, καὶ τὰς πρωταιτίους τῆς τοῦ κοινοβιακῶς ζῆν καταλύσεως ἐξωθεῖν τῆς μονῆς καὶ μὴ νομίζειν τοῦτο μικρὸν εἶναι κατόρθωμα, ἀλλὰ καὶ πάνυ μέγα καὶ σωτήριον.

Κεφ. νϛ′. Περὶ τοῦ τὴν αὐτὴν εἶναι πασῶν τῶν μοναζουσῶν βρῶσίν τε καὶ πόσιν καὶ ἐνδυμενίαν χωρὶς τῶν ἀρρώστων. Ἐπὶ δὲ τούτοις καὶ τοῦτο διοριζόμεθα, ἵνα πάσαις ὑμῖν ἡ αὐτὴ τροφή τε καὶ πόσις εἴη, ἔνδυσίς τε καὶ ὑπόδησις[1]), καὶ μὴ διαφορά τίς ποτε τούτων ἐν ὑμῖν γένηται. τοῖς αὐτοῖς

---

[1]) ὑπόδυσις C., emendationem proposuit M.

δὲ χρήσεσθε πᾶσαι, φημὶ δὴ ἡ ἡγουμένη, ἡ ἐκκλησιάρχισσα, αἱ προύχουσαι τῷ χρόνῳ καὶ τῇ ἀρετῇ καὶ τῇ τοῦ βίου περιφανείᾳ καὶ αἱ τούτων κατὰ ταῦτα λειπόμεναι· μόνας γὰρ ἐκείνας θεραπευτέον ἐφ' ἅπασι καὶ χειραγωγητέον, ὅσαι δὴ καὶ προφανεῖς ἀρρωστίας περίκεινται καὶ διὰ τοῦτο δέονται τυχὸν κρείττονος βρώσεώς τε καὶ πόσεως πρὸς σύστασιν τοῦ ταλαιπώρου αὐτῶν σώματος· τοῦτο γὰρ καὶ διακρίσεως, οἶμαι, καὶ τὴν συνείδησιν τῶν λοιπῶν διατηρεῖ ἀσκανδάλιστον.

Κεφ. νζ'. Περὶ τοῦ παραβάλλειν ἰατρὸν ἐν τῇ μονῇ καὶ περὶ τῆς τῶν ἀσθενουσῶν[1]) προνοίας. Ἀναγκαῖον δέ ἐστι τῇ μονῇ ἡμῶν ἐνδημεῖν καί τινα ἰατρὸν διὰ τὴν τῶν ἀσθενουσῶν ἀδελφῶν ἐπιμέλειαν καὶ ἐπίσκεψιν, εὐνοῦχον ἢ γηραιόν, παραβάλλοντα τῇ μονῇ καὶ ἐπισκεπτόμενον τὰς ἀσθενούσας καὶ κατάλληλα τοῖς νοσήμασι τὰ τῆς θεραπείας εἰσφέροντα. δεῖ δὲ ποιεῖσθαι καὶ αὐτὴν τὴν καθηγουμένην τὴν τῶν ἀρρώστων ἐπιμέλειαν οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὸ ἀναγκαῖον καὶ ἐνδεχόμενον ἐν τῇ βρώσει καὶ πόσει καὶ τοῖς λοιποῖς χρειώδεσιν, ἀφορίσαι δὲ κελλίον ἰδιάζον ἐπὶ τῇ ἀναπαύσει αὐτῶν καὶ ἰατρείας ἐξωνεῖσθαι, ὅτε καιρὸς ἐπιτήδειος, καὶ κατασκευάζειν καὶ ἀποτίθεσθαι ἐν αὐτῷ καὶ πάντα τὰ λυσιτελοῦντα ταῖς καμνούσαις. καὶ αἱ ἀδελφαὶ δὲ ἡμῶν αἱ ἄρρωστοι μὴ τούτῳ τεθαρρηκυῖαι ἐκλυέτωσαν ἑαυτὰς ζητοῦσαι περιττά τινα καὶ ἅπερ ἴσως οὐδ' εἰς ἀκοήν ποτε ἐδέξαντο, μή τί γε εἶδον ἢ ἔφαγον, ἀλλὰ συνεχέτωσαν ἑαυτὰς καὶ συστελλέτωσαν ἀρκούμεναι ἐκείνοις καὶ μόνοις, οἷς ἄρα ἡ τοῦ καιροῦ καὶ τῆς εὐπορίας περιφορὰ ταύτας δεξιοῦται.

Κεφ. νη'. Περὶ λουτροῦ. Λοιπὸν δ' ἂν εἴη καὶ περὶ λουτροῦ διαλαβεῖν. κελεύομεν οὖν λούεσθαι τὰς ὑγιαινούσας μοναζούσας καθ' ἕκαστον μῆνα, αἱ δὲ νοσοῦσαι, ὁσάκις ἂν ὁ τῆς νόσου διαγνώμων ἰατρὸς συμφέρον ὑπάρχειν εἴποι τὸ λούσασθαι, ὅστις καὶ περὶ τῆς καταλλήλου τῆς νόσου λαλήσει τροφῆς.

Κεφ. νθ'. Περὶ τῆς κατὰ τὴν κοίμησιν τῆς θεοτόκου ἑορτῆς. Ἐν αὐτῇ πρώτῃ τῇ κοιμήσει τῆς Κεχαριτωμένης δεσποίνης ἡμῶν θεοτόκου αἱρομένων τῶν κρατήρων κρεμάσθωσαν ἀργυρὰ πολυκάνδηλα τὰ πολυφώτια καὶ αἱ ἀργυραὶ χυτροκανδῆλαι καὶ οἱ ἀργυροὶ κρατῆρες καὶ ἐλαίου μετὰ ὕδατος ἀρτυόμενα ἁπτέσθωσαν πάντα. κηρία δὲ πηγνύσθωσαν μετὰ βαμβακηροῦ νήματος ἔν τε ταῖς λάμναις τῶν τέμπλων καὶ τῶν προσκυνήσεων τὰ πληροῦντα αὐτάς, σταθμὸν ἓξ οὐγγιῶν ἕκαστον ἕλκοντα, ἐν δὲ τοῖς πρὸ τῆς προκειμένης εἰς προσκύνησιν ἁγίας εἰκόνος τῆς θεοτόκου ἱσταμένοις δωδεκαφωτίοις μανουαλίοις λιτραῖα μετὰ βαμβακηροῦ νήματος. εἰς δὲ τὴν ἐκκλησίαν ἱστάσθωσαν ἐπὶ μανουαλίων λαμπάδες

---

[1]) ἀσθενούντων C., ἴσ. ἀσθενουσῶν M. in marg.

ἐξαλιτραῖαι τέσσαρες, παρ' ἑκάτερα δὲ τοῦ σεπτοῦ θυσιαστηρίου δύο ἑξαούγγιοι. ἐν δὲ τοῖς τάφοις τοῖς ὁπουδήποτε ὀφείλουσιν ἵστασθαι κηρία τετραούγγια ἀνὰ ἕν, ὅτε τεθῶσι λείψανα. ῥοδοστάγματα δὲ καὶ ξυλαλόαι καὶ θυμιάματα ὀφείλουσιν χορηγεῖσθαι, ὅθεν ἂν συνορᾷ ἡ ἡγουμένη ἐνδεχόμενον εἶναι· διαδιδόσθω δὲ καὶ κατὰ τὴν ἑορτὴν ταύτην ἐν τῷ πυλῶνι τοῖς ἀδελφοῖς ἡμῶν τοῖς πένησι ψωμία μὲν μοδίων τριῶν, νουμμία δὲ νομισμάτων τραχέων ἕξ, παρεχέσθω δὲ καὶ ὑπὲρ ὀψωνίου νεαρῶν ἰχθύων τῆς τραπέζης τῶν ἐνασκουμένων ἀδελφῶν νομίσματα τραχέα τὰ ἀρκοῦντα.

Κεφ. ξ'. Περὶ τῆς κατὰ τὴν γέννησιν τῆς θεοτόκου ἑορτῆς. Ἐν δὲ τῇ ἑορτῇ τῆς γεννήσεως τῆς θεοτόκου ὀφείλουσιν ἅπτεσθαι ἀπὸ τῶν ἱσταμένων κηρίων ἐν τοῖς δωδεκαφωτίοις ἀνὰ ἕξ, εἰς τὸ τέμπλον ἕξ, καὶ ὀψώνιον ταῖς μοναχαῖς τὸ ἀρκοῦν χορηγεῖσθαι. ὡσαύτως δὲ ὀφείλει γίνεσθαι καὶ ἡ ἑορτὴ τῆς ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ καὶ ἡ ἑορτὴ τοῦ ἁγίου μάρτυρος Δημητρίου καὶ ἡ ἑορτὴ [τῆς] τῆς θεοτόκου [εἰσόδου εἰς] τὰ ἅγια τῶν ἁγίων.[1])

Κεφ. ξα'. Περὶ τῆς ἑορτῆς τῶν Χριστουγέννων. Ἐν δὲ τῇ ἑορτῇ τῆς τοῦ Χριστοῦ γεννήσεως ἡ μὲν φωταψία ὁμοία ἔσται τῇ τῆς κοιμήσεως, ὡσαύτως δὲ καὶ τὸ ὀψώνιον τῶν μοναχῶν. ἡ δὲ ἐν τῷ πυλῶνι διάδοσις ἔσται μοδίων δύο καὶ νομισμάτων τεσσάρων. αὕτη δὲ ἡ φωταψία ἀρκέσει καὶ κατὰ τὴν ἑορτὴν τῶν φώτων. ἡ δὲ ἐν τῷ πυλῶνι διάδοσις ὁμοία ἔσται τῇ προειρημένῃ ἑορτῇ, ἤγουν τῆς τοῦ Χριστοῦ γεννήσεως, ὁμοίως καὶ τὸ τῶν μοναχῶν ὀψώνιον.

Κεφ. ξβ'. Περὶ τῆς ἑορτῆς τῆς ὑπαπαντῆς. Ἐν δέ γε τῇ ἑορτῇ τῆς ὑπαπαντῆς ὀφείλουσιν ἅπτεσθαι ἐν τοῖς δωδεκαφωτίοις ἀνὰ κηρία ἓξ ἀπὸ τῶν πρὶν ἱσταμένων, εἰς δὲ τὸ τέμπλον ὁμοίως ἀνὰ ἕξ. ἡ δέ γε ἑορτὴ τοῦ εὐαγγελισμοῦ καὶ ἡ ἑορτὴ τῆς βαϊοφόρου ὁμοίως τὴν αὐτὴν ἕξουσι φωταψίαν.

Κεφ. ξγ'. Περὶ τῆς τῶν ἁγίων παθῶν φωταψίας. Ἡ μέντοι φωταψία τῆς κατὰ τὴν ἁγίαν καὶ μεγάλην πέμπτην ἑορτῆς ὁμοίως τῇ τῆς κοιμήσεως γενήσεται, ὡσαύτως καὶ ἡ ἐν τῷ πυλῶνι διάδοσις ὁμοία ἔσται τῇ τῆς προειρημένης ἑορτῆς χωρὶς τοῦ ὀψωνίου· ἡ δέ γε ἁγία καὶ μεγάλη κυριακὴ τὴν αὐτὴν ἕξει φωταψίαν τε καὶ διάδοσιν καὶ τὸ ὀψώνιον τῇ ἀνωτέρω ῥηθείσῃ ἑορτῇ. ἡ δέ γε τῆς ἀναλήψεως ἑορτὴ καὶ ἡ τῆς πεντηκοστῆς, ὡσαύτως δὲ καὶ ἡ τῶν ἁγίων ἀποστόλων ὁμοίαν ἕξουσι τὴν φωταψίαν καὶ τὸ ὀψώνιον τῇ ἑορτῇ τῆς γεννήσεως τῆς θεοτόκου. ἡ δέ γε ἑορτὴ τῆς μεταμορφώσεως τοῦ κυρίου καὶ

---

[1]) **Supple εἰσόδου, ingressus in Sancta Sanctorum, id est festum praesentationis beatae virginis. M.**

θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὀφείλει γίνεσθαι ὁμοία τῇ τῆς κοιμήσεως τῆς θεοτόκου, ἡ δὲ διάδοσις ἔστω σίτου μοδίων δύο καὶ νουμμία νομισμάτων τραχέων τεσσάρων.

Κεφ. ξδ'. Περὶ τοῦ γίνεσθαι μετάδοσιν καθ' ἑκάστην ἡμέραν ἐν τῷ πυλῶνι. Δέον δέ ἐστιν καὶ ἐν τῷ πυλῶνι γίνεσθαι διάδοσιν καθ' ἑκάστην ἡμέραν ψωμία σίτου μοδίου τοῦ τρίτου ἤτοι ταῖς τρισὶν ἡμέραις σίτου μοδίου ἑνός, ὡς καὶ τῶν περισσευμάτων τῆς τραπέζης ἑκάστης ἡμέρας ὀφειλόντων δίδοσθαι, ὡς ἂν διὰ τῆς πρὸς τοὺς ἀδελφοὺς ἱλαρᾶς ἐλεημοσύνης ἱλαρὸν καὶ ὑμεῖς καὶ δαψιλῆ τὸν ἐκ θεοῦ ἔλεον ἀπολάβητε.

Κεφ. ξε'. Περὶ τοῦ ἀναγινώσκεσθαι τὸ τυπικὸν εἰς ἐπήκοον πασῶν κατὰ μῆνα. Ἐπὶ πᾶσι καὶ τοῦτο παραφυλακτέον οὐδὲν ἧττον τῶν ἄλλων, εἰ μὴ καὶ μᾶλλον, ὡς ἀρχήν τε καὶ αἰτίαν τῆς ἀμεταπτώτου τῶν διατετυπωμένων τηρήσεως καὶ τοῦ ὅλου τῆς μονῆς καταρτισμοῦ, φημὶ δὴ τὸ ἀναγινώσκεσθαι τὸ τυπικὸν εἰς ἐπήκοον πασῶν τῶν ἐν τῇ μονῇ καθ' ἑκάστην νουμηνίαν[1]), ἵνα τῇ συνεχεῖ ἀναγνώσει μάλιστα παράμονα καὶ ἀνεξάλειπτα εἴη τὰ διατετυπωμένα καὶ πρὸς συνεθισμὸν τῆς τούτων πληρώσεως εὔοδα, ἃ δεῖ πάσῃ φυλακῇ τηρεῖν ἔμπρακτα καὶ ἐνεργὰ καὶ ὡς νόμους θείους ἀπαραβάτως καὶ ἀναλλοιώτως ἔχοντα, μήθ' ὑπὸ χρόνου παλαιούμενα καὶ ἀφανιζόμενα, μήθ' ὑπό τινος ἐπηρείας ἢ βιωτικῆς περιτροπῆς ἀμαυρούμενα, μήθ' ὑπὸ ῥᾳθυμίας τῇ λήθῃ παραδιδόμενα, μήθ' ὡς ἐπαχθῆ ὑπ' ἀνασκησίας ἀποσειόμενα.

Κεφ. ξς'. Περὶ τῆς τοῦ θείου ναοῦ καθημερινῆς φωταγωγίας. Ἔστω τοίνυν ἡ κατὰ τὸν θεῖον ναὸν καθημερινὴ φωταγωγία τοιαύτη· κανδῆλαι ἀκοίμητοι νυχθημεριναὶ διατηρείσθωσαν, ἐν μὲν τῷ μύακι μία, ἔμπροσθεν τῆς Κεχαριτωμένης θεοτόκου μία, ἐν τῷ τέμπλῳ μία, ἐν τῷ νάρθηκι[2]) μία καὶ ἐν τῷ ἐξωνάρθηκι[3]) ἑτέρα. ὅταν δὲ ἔν τινι τάφῳ φθάσῃ τεθῆναι λείψανον, ὀφείλει ἅπτειν κανδήλα μία.

Κεφ. ξζ'. Περὶ τῶν κύκλῳ τοῦ τρούλλου κρεμαμένων κρατήρων καὶ τῶν λοιπῶν. Οἱ δὲ ἐν μέσῳ τοῦ χοροῦ κρεμάμενοι κρατῆρες ἁπτέσθωσαν μὲν εἷς παρ' ἕνα κατ' ἀρχὰς τῶν τελουμένων συνήθως ἐν τῷ ναῷ συνάξεων, κατ' ὄρθρον, ἑσπερινὸν καὶ λειτουργίαν, σβεννύσθωσαν δὲ πάλιν κατὰ τὰ τέλη τούτων. τὸ αὐτὸ δὲ γινέσθω καὶ περὶ πάσας τὰς τοῦ τέμπλου κανδήλας.

Κεφ. ξη'. Περὶ τῶν ὀφειλόντων ἅπτεσθαι κηρίων. Κηρία δὲ ἁπτέσθωσαν νυχθημερινὰ ἀκοίμητα, ἐν μὲν τῷ βήματι ἕν, καὶ ἔμπροσθεν τῆς Κεχαριτω-

---

1) νουμενίαν M. 2) ἄρθηκι M. 3) ἐξωάρθηκι M.

μένης μου θεοτόκου ἕν, ὀφείλουσι δὲ τὰ δωδεκαφώτια ἵστασθαι ἐν ταῖς προσκυνήσεσι διὰ παντός, ἐξ ὧν ὀφείλει ἅπτεσθαι ἐν τῇ ψαλμωδίᾳ καθ' ἑκάστην ἡμέραν ἓν καὶ ἐν τῷ τέμπλῳ ἕν, σβέννυσθαι δὲ ἐν τῇ ἀπολύσει. ἐν δὲ ταῖς ἑορταῖς ταῖς μὴ ἀναγεγραμμέναις ἐν τῷ τυπικῷ τρία. ὡσαύτως δὲ καὶ ἐν τῷ τέμπλῳ τρία, πλὴν ἐν ταῖς ἤδη ῥηθείσαις μεγίσταις ἑορταῖς ἀντὶ τῶν ἀποκεκαυμένων κηρίων ὁλόκληρα πηγνύσθωσαν, ἃ δεῖ πάλιν φυλάττεσθαι, ὡς ἂν ὑπουργήσωσι μέχρι τελείας καύσεως ἐν ταῖς καθημεριναῖς.

Κεφ. ξθ'. Περὶ τοῦ ὕδατος. Ἐπεὶ δὲ πολλὰ μοχθήσασα ἡ βασιλεία μου τῇ τοῦ θεοῦ συνεργίᾳ ἠδυνήθη καὶ ὕδωρ ἀένναον ἀποκομίσαι ἐν τοῖς μοναστηρίοις αὐτῆς, γεγόνασι δὲ καὶ μερίστραι δύο ἰσόμετροι, διορίζομαι· ἀπὸ μὲν τῆς μιᾶς ἀρδεύεσθαι τὸ γυναικεῖον μοναστήριον καὶ τὰ δεσποτικὰ οἰκήματα, ἅπερ ἐποίησεν ἡ βασιλεία μου, ἀπὸ δὲ τῆς ἑτέρας τὸ ἀνδρῷον. εἴπερ δὲ γένηται κλάσμα ἐν τοῖς τοιούτοις παρολκίοις, ὀφείλει ἐπανορθοῦσθαι ἀπὸ τῶν λαμβανόντων τὸ τοιοῦτον ὕδωρ. ἐπεὶ δὲ ἐτυπώθη παρὰ τῆς βασιλείας μου εἶναι ὑδραγωγοὺς δύο χάριν τοῦ ἀγωγοῦ τοῦ τοιούτου ὕδατος, ὀφείλουσι προνοεῖσθαι ὁ μὲν εἷς ἀπὸ τοῦ ἑνὸς μοναστηρίου, ὁ δὲ ἕτερος ἀπὸ τοῦ ἑτέρου. εἴ ποτε δὲ γένηται κλάσμα ἐν τῷ ἀγωγῷ τῷ εἰσάγοντι τὸ τοιοῦτον ὕδωρ, ὀφείλει γίνεσθαι πρακτικὸν παρά τινος τῶν τριβούνων καὶ δίδοσθαι τὴν ἔξοδον ἀπ' ἀμφοτέρων τῶν μοναστηρίων ἐξ ἴσου, καὶ ἐπανορθοῦσθαι αὐτὸν καὶ ἔχειν τὸ ὕδωρ ἀένναον.

Κεφ. ο'. Περὶ τοῦ ταφείου τῶν μοναζουσῶν. Ταῦτα μὲν δὴ οὕτως ᾠκονόμηταί τε καὶ διατέτακται. ἐπεὶ δὲ καὶ ταφεῖον ἀναγκαῖον ἦν κατασκευασθῆναι ἐπὶ τῇ ἀποθέσει τῶν λειψάνων τῶν πρὸς κύριον ἐκδημουσῶν μοναζουσῶν, τὸ δὲ στενόχωρον τῆς μονῆς οὐ παρεῖχε χώραν εἰς τὴν τοῦ τοιούτου ἀνέγερσιν, ἀνελάβετο ἡ βασιλεία μου ἀπὸ τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας τὴν μονὴν τὰ Κελλαραίας, πατριαρχικὴν μὲν οὖσαν, ἀφιερωθεῖσαν δὲ τῇ μονῇ τῆς Κεχαριτωμένης μου θεοτόκου χάριν ταφείου τῶν ἐν αὐτῇ ἀσκουμένων μοναζουσῶν, καθὸ καὶ τὸ παρὰ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, κυροῦ Νικολάου, γεγονὸς ἐπὶ τοῦτο διατρανοῖ ὑπόμνημα. καὶ δὴ τυποῦμεν εἶναι ἐν αὐτῇ μοναζούσας τέσσαρας, λαμβανούσας ἑκάστῳ ἐνιαυτῷ ἀπὸ τῆς μονῆς τῆς Κεχαριτωμένης μου θεοτόκου ἑκάστην αὐτῶν σίτου ἀνὰ μόδια θαλάσσια δεκαοκτώ, οἴνου ἀνὰ μέτρα θαλάσσια δώδεκα, τυροῦ ἀνὰ λίτρας πεντήκοντα, ὀσπρίου ἀνὰ μόδιον ἕνα καὶ ὑπὲρ ῥόγας αὐτῶν ἀνὰ νομίσματα τραχέα εἴκοσι τέσσαρα καὶ ἀντὶ ἐνδυμασίας νόμισμα ἓν ὑπέρπυρον. ἔτι γε μὴν καὶ ἱερέα τινὰ κοσμικὸν τυποῦμεν ἀφορισθῆναι ἐκεῖσε καὶ ὑπηρετεῖν ἐν τῷ τοιούτῳ μοναστηρίῳ ἐπί τε τῇ ψαλμῳδίᾳ καὶ φωταψίᾳ καὶ πάσῃ τῇ προσηκούσῃ ἐπιμελείᾳ, τυπωθῆναι δὲ λαμβάνειν αὐτὸν τὸ ἐνδεχόμενον

ὑπὲρ τῆς τοιαύτης ὑπηρεσίας ἀπὸ τῆς τῆς Κεχαριτωμένης μου θεοτόκου μονῆς, ἀφ' ἧς δίδοσθαι καὶ τὰ εἰς ψωταψίαν τοῦ τοιούτου κοιμητηρίου, ἤγουν καθ' ἕκαστον ἐνιαυτὸν ἐλαίου μέτρα θαλάσσια δύο καὶ σίτου μόδια δώδεκα. τὴν δὲ τῶν ἀποθνησκουσῶν μοναζουσῶν μετακομιδήν τε καὶ ταφὴν οὕτω διαταττόμεθα γίνεσθαι· τελεῖσθαι μὲν ἐν τῷ ἐξωνάρθηκι[1]) τὰ ἐπὶ τῇ τεθνεώσῃ νενομισμένα, τήν τε ψαλμῳδίαν, φημί, καὶ τὴν τοῦ λειψάνου πᾶσαν ἀμφίασιν καὶ οὕτω μετακομίζεσθαι εἰς τὸ μοναστήριον τῆς θεοτόκου τὰ Κελλαραίας μετὰ τῆς κλίνης βασταζομένης[2]) ἢ παρὰ τῶν συναδελφῶν αὐτῆς ἢ παρὰ τῶν ὑπουργισσῶν, ἀκολοθουσῶν αὐτῇ τῶν μοναχῶν, ὅσας προστάξει ἡ καθηγουμένη. ἐκεῖσε δὲ ἐν ταῖς τῶν μοναζουσῶν ἀποτίθεσθαι τάφοις, ἐν αἷς μόναι αἱ ἐν τῇ μονῇ τῆς Κεχαριτωμένης μου θεοτόκου ἐνασκούμεναι μοναχαὶ ὀφείλουσι θάπτεσθαι, μή τινος τῶν ἔξωθεν τοῦ καταλόγου τῆσδε τῆς ἀδελφότητος ταύταις συνθαπτομένης, κἂν συγγενὴς εἴη τῆς προεστώσης ἢ τινος ἄλλης τῶν μοναχῶν, κἂν συνήθης, κἂν γνώριμος, οὔτε μὴν διὰ προστάξεως τῆς τῆς μονῆς ἀντιλαμβανομένης, ἵνα μὴ ξενοταφεῖον τὸ ταφεῖον τῶν μοναχῶν καταστῇ. εἰ δὲ πειραθῇ τις τοῦτο ποιῆσαι, ἕξει μὲν καὶ ἀπὸ θεοῦ τὴν κατάκρισιν διὰ τὴν τοῦ τυπικοῦ παράβασιν, κωλυθήσεται δὲ καὶ παρὰ τῆς τῆς μονῆς ἀντιλαμβανομένης· ἀφορισθήσεταί γε μὴν μία σταταραία χάριν ταφῆς τῶν ὑπουργισσῶν τῶν τοιούτων μοναζουσῶν, ἑτέρα λόγῳ τῶν ἡγουμενευουσῶν, ἑτέρα δὲ λόγῳ τῶν μεγαλοσχήμων, ἑτέρα λόγῳ τῶν λοιπῶν μοναχῶν καὶ τῶν ὑπουργισσῶν, ὅσαι εἰσὶ μοναχαὶ καὶ ἐνάρετοι, ἑτέρα λόγῳ τῶν ἐν τῇ μονῇ τῶν Κελλαραίας μοναχῶν. αἱ δὲ ἀπελθοῦσαι μετὰ τῆς τελευτησάσης μοναχαὶ ἀδελφαὶ ὑποστρέψασαι εἰς τὸ μοναστήριον ἑαυτῶν μηκέτι ἀπερχέσθωσαν ἐκεῖ, ἀλλὰ τὰ τρίτα καὶ τὰ ἔννατα καὶ τὰ τεσσαρακοστὰ τῆς ἀποιχομένης μοναχῆς ψαλλέσθωσαν μὲν καὶ παρὰ τοῦ ἐκεῖσε τεταγμένου ἱερέως, τελείσθωσαν δὲ καὶ παρὰ τῶν μοναζουσῶν ἐν τῷ μοναστηρίῳ καὶ καθ' ἑκάστην ἐν ταῖς θείαις ἱερουργίαις αὗται μνημονευέσθωσαν καὶ τῷ ὄρθρῳ καὶ τῷ ἑσπερινῷ ἄχρι τῶν τεσσαρακοστῶν ἐν ταῖς ἐκτενέσι δεήσεσι, καὶ προσφορὰ δὲ ἰδικῶς ὑπὲρ αὐτῆς προσκομιζέσθω μέχρι τῆς τῶν τεσσαρακοστῶν αὐτῆς συμπληρώσεως. σημειωτέον δὲ καὶ τὰς μνήμας ἑκάστης τῶν θνησκουσῶν τὴν ἐκκλησιάρχισσαν καὶ τὰ ὀνόματα αὐτῶν τοῖς διπτύχοις ἐγγραπτέον, ἵνα μὴ ἀνεπίληστοι εἶεν αἱ τούτων μνῆμαι, καὶ τελῶνται ἀπαραλείπτως. τὰ μέντοι δίπτυχα προτρεπόμεθα τοῖς ἱερεῦσι κατὰ πᾶσαν ἐπιέναι λειτουργίαν εἰς ἀνάμνησιν τῶν ἐν αὐτοῖς ἀπογεγραμμένων, ἵνα μὴ αὐτοὶ τὸ κρῖμα βαστάζωσι τῆς ἐκείνων ἀμνηστίας καὶ ἐλλείψεως. ἵνα δὲ καὶ κοινὴ μνήμη πασῶν γίνηται τῶν μοναζουσῶν,

---

1) ἐξωάρθηκι M. 2) βασταζομένην M.

καθ' ἑκάστην παρασκευὴν μετὰ τὸ λυχνικόν, εἰ μή τις ἑορτὴ κωλύει, ψαλλέτωσαν κανόνα νεκρώσιμον αἱ μοναχαὶ ποιοῦσαι καὶ παραστάσιμον, καὶ ἐκτενὴς δέησις γινέσθω ὑπὲρ τῶν προαπελθουσῶν πασῶν. ἐν μέντοι τῷ σαββάτῳ τῆς ἀπόκρεω καὶ τῷ σαββάτῳ τῆς τυροφάγου καὶ τῷ σαββάτῳ τῆς πεντεκοστῆς γινέσθω καὶ ὑπὲρ τῶν μοναζουσῶν καθ' ἓν ὄνομα τῶν προαπελθουσῶν μία καὶ μνημονευέσθωσαν καὶ αὐταί. ὡσαύτως καὶ ἐν τοῖς μνημοσύνοις ἑκάστης γινέσθω ὑπὲρ αὐτῆς λειτουργία καὶ προσφορά, ὀφείλουσι δὲ λαμβάνειν αἱ μοναχαὶ ἔν τε τῷ σαββάτῳ τῆς ἀπόκρεω καὶ τῷ σαββάτῳ τῆς πεντεκοστῆς ἀνὰ προσφορὰν μίαν εἰς μνημόσυνον τῶν γονέων αὐτῶν καὶ συγγενῶν, μετὰ δὲ τὸ προσκομισθῆναι συνάγεσθαι πάλιν παρὰ τῆς πυλωροῦ καὶ δίδοσθαι ἐν τῷ πυλῶνι.

Κεφ. οα'. Περὶ διαφόρων μνημοσύνων ὀφειλόντων ἐτησίως τελεῖσθαι. Ἀρκούντως ἤδη περὶ τῶν τῆς μονῆς διαταξάμενοι, νῦν καὶ περὶ τῶν κεκοιμημένων γονέων ἡμῶν καὶ ἀδελφῶν κατὰ σάρκα καὶ παίδων καὶ τῶν κοιμηθησομένων διατυποῦμεν καὶ διατασσόμεθα· πάντων γὰρ τὰ μνημόσυνα τῶν κάτωθεν ῥητῶς ἀναταττομένων κατὰ τοὺς καιροὺς καὶ τὰς ἡμέρας τὰς ἐγγραφείσας τοιουτοτρόπως τελεσθήσονται. βουλόμεθα γίνεσθαι παννυχίδα νεκρώσιμον μετὰ καὶ παραστασίμου καὶ φωταψίαν ἐν τῇ ἐκκλησίᾳ τῆς συνήθους δαψιλεστέραν, προσάγεσθαί τε καὶ ἐν τῇ λειτουργίᾳ προσφορὰν ὑπὲρ τοῦ κοιμηθέντος καὶ κόλυβα γίνεσθαι καὶ μνημονεύεσθαι αὐτὸν ἐν ταῖς ἐκτενέσι δεήσεσι κατά τε τὴν παννυχίδα καὶ τὸ ὄρθρον καὶ τὴν λειτουργίαν καὶ τὸ ἑσπερινὸν καὶ ταῖς μοναχαῖς δὲ μὴ τὴν συνήθη παρατίθεσθαι τράπεζαν, ἀλλ' ὀψωνίζειν καὶ διαιτᾶσθαι, καθὰ καὶ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς προετυπώσαμεν γίνεσθαι, καθ' οἷον ἂν τύχῃ καιρὸν ἡ τοῦ τελευτήσαντος μνήμη. πλὴν εἰ μὲν ἐν τετράδι τῶν λοιπῶν ἡμερῶν ἢ παρασκευῇ συνδράμοι τὸ μνημόσυνον, ὀστρακοδέρμοις καὶ μόνοις ἑστιασθήσονται ἄνευ τῶν μνημοσύνων τοῦ κρατίστου καὶ ἁγίου μου βασιλέως· ἐν γὰρ τοῖς μνημοσύνοις τούτου, κἂν ἐν τετράδι συνδράμοιεν καὶ παρασκευῇ, καὶ ἰχθύες ὀψωνισθήσονται φιλοτίμως ταῖς μοναχαῖς εἰς ἑστίασιν· χρὴ γὰρ τὸν ἐξαίρετον ἐν ἀνθρώποις καὶ τὸ μνημόσυνον ἐξαίρετον ἀποφέρεσθαι. ἐν δὲ ταῖς λιταῖς ἁπάσαις ἡμέραις καὶ ἐπὶ τοῖς τῶν λοιπῶν συγγενῶν ἡμῶν μνημοσύνοις ἰχθυοφαγήσουσιν. εἰ δὲ ἔν τισιν τῶν τῆς μεγάλης τεσσαρακοστῆς ἡμερῶν μνημόσυνόν τινος ἀπαντήσειεν, ἐν μόνῃ τῇ ἑσπέρᾳ τῆς παρασκευῆς ἐκείνης τῆς ἑβδομάδος, καθ' ἣν φθάσοι τὸ μνημόσυνον, ἡ παννυχὶς ἐπιτελεσθήσεται, καὶ τῷ ἐπιόντι σαββάτῳ αἱ μοναχαὶ δι' ὀστρακοδέρμων παρακληθήσονται. εἰ δέ τις καὶ ἰχθύας ἥκοι κομίζων αὐταῖς, καὶ τούτων ἑστιασθήσονται, τῶν ἄλλων δύο τεσσαρακοστῶν ἄνετον πᾶσαν ἡμέραν ἐχουσῶν εἰς τὸ ποιεῖν τὰ μνημόσυνα. καὶ τὴν ἐν πυλῶνι δὲ διά-

δοσιν κατὰ τὴν ἡμέραν ἐκείνην βουλόμεθα γίνεσθαι, καθὰ ἐν τῇ ἑκάστης ὀνομασίᾳ δηλωθήσεται.

Τελείσθωσαν τὰ μνημόσυνα τοῦ κρατίστου μου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, καὶ γινέσθω ἡ φωταψία δαψιλής, καὶ εἰς τὰς μοναχὰς διάκρισις, διδόσθω δὲ καὶ ἐν τῷ πυλῶνι ψωμία δέκα μοδίων, οἴνου μέτρα ὀκτὼ καὶ νουμμία νομισμάτων τραχέων δώδεκα. καὶ τὰ ἐμὰ δὲ μνημόσυνα, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσω τοῦ σώματος, τοιαῦτα βούλομαι γενέσθαι, οἷα καὶ τοῦ κρατίστου μου βασιλέως ἀπαραλλάκτως. τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου υἱοῦ τῆς βασιλείας μου τοῦ πορφυρογεννήτου καὶ βασιλέως κυροῦ Ἰωάννου, καθ' ἣν ἡμέραν ἐκδημήσῃ, καὶ γινέσθω ἡ φωταψία δαψιλὴς καὶ διάκρισις εἰς τὰς μοναχάς, διδόσθω δὲ καὶ ἐν τῷ πυλῶνι ψωμία μοδίων πέντε καὶ νουμμία νομισμάτων τραχέων ἕξ. τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου νύμφης τῆς βασιλείας μου καὶ δεσποίνης κυρᾶς Εἰρήνης, τῆς συζύγου αὐτοῦ, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, καὶ γινέσθω φωταψία δαψιλὴς καὶ διάκρισις εἰς τὰς μοναχάς. διδόσθω δὲ καὶ ἐν τῷ πυλῶνι ψωμία μοδίων πέντε καὶ νουμμία νομισμάτων τραχέων ἕξ. τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου υἱοῦ τῆς βασιλείας μου τοῦ πορφυρογεννήτου καὶ σεβαστοκράτορος, κυροῦ Ἀνδρονίκου, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, κυροῦ Νικηφόρου τοῦ καίσαρος, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου υἱοῦ τῆς βασιλείας μου, κυροῦ Ἰσακίου τοῦ πορφυρογεννήτου καὶ καίσαρος, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, κυροῦ Νικηφόρου τοῦ πανυπερσεβάστου, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πανσεβάστου ὑπερτάτου κυροῦ Κωνσταντίνου, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, τὰ μὲν λοιπὰ ὁμοίως, τὸ δὲ ψωμίον μοδίων τριῶν καὶ νουμμία τραχέων νομισμάτων τριῶν. τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου ἐγγόνης τῆς βασιλείας μου, Εἰρήνης τῆς Δουκαίνης, τῆς θυγατρὸς τῆς πορφυρογεννήτου καὶ καισαρίσσης, κυρᾶς Ἄννης, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ. καὶ γινέσθω ἡ φωταψία δαψιλὴς καὶ διάκρισις εἰς τὰς μοναχάς, διδόσθω δὲ καὶ ἐν τῷ πυλῶνι ψωμία μοδίων τεσσάρων καὶ νουμμία νομισμάτων τραχέων τεσσάρων.[1]) τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου, τῆς πορφυρογεννήτου καὶ καισαρίσσης, κυρᾶς Ἄννης, καθ' ἣν ἂν ἡμέραν

---

[1]) Haec extra ordinem suum scripta sunt, ut crucibus in msc. depictis indicari videtur: quia in ordine omissa erant, descripta sunt hoc in loco, qui vacuus repertus est. M.

ἐκδημήσῃ, καὶ γινέσθω φωταψία δαψιλὴς καὶ διάκρισις εἰς τὰς μοναχάς, διδομένων ἐν τῷ πυλῶνι ψωμία μοδίων πέντε καὶ νουμμία νομισμάτων τραχέων ἕξ. τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου καὶ πορφυρογεννήτου, κυρᾶς Μαρίας, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου θυγατρὸς τῆς βασιλείας μου καὶ πορφυρογεννήτου, κυρᾶς Εὐδοκίας, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου νύμφης τῆς βασιλείας μου, τῆς σεβαστοκρατορίσσης, κυρᾶς Εἰρήνης, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως, ψωμία δὲ μοδίων τριῶν. τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου νύμφης τῆς βασιλείας μου, κυρᾶς Εἰρήνης τῆς καισαρίσσης, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου θυρατρὸς τῆς βασιλείας μου καὶ πορφυρογεννήτου, κυρᾶς Θεοδώρας, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, ὁμοίως. μηνὶ ὀκτωβρίῳ ιδ' τελείσθωσαν τὰ μνημόσυνα τοῦ μακαρίτου, ἁγίου αὐθέντου καὶ περιποθήτου πατρὸς τῆς βασιλείας μου, τοῦ πρωτοπροέδρου καὶ πρωτοβεστιαρίου καὶ μεγάλου δουκὸς τῶν σχολῶν τῆς Ἀνατολῆς, κυροῦ Ἀνδρονίκου τοῦ Δούκα, τοῦ μετονομασθέντος τῷ ἁγίῳ καὶ ἀγγελικῷ μεγάλῳ σχήματι κυροῦ Ἀντωνίου, καὶ διδόσθω ἐν τῷ πυλῶνι ψωμία μοδίων πέντε καὶ νουμμία νομισμάτων τραχέων ἕξ, γινέσθω καὶ φωταψία δαψιλὴς καὶ διάκρισις εἰς τὰς μοναχάς. μηνὶ νοεμβρίῳ κα' τελείσθωσαν τὰ μνημόσυνα τῆς ἡγιασμένης αὐθεντρίας καὶ μητρὸς τῆς βασιλείας μου, κυρᾶς Μαρίας, τῆς διὰ τοῦ ἁγίου καὶ ἀγγελικοῦ μεγάλου σχήματος μετονομασθείσης κυρᾶς Ξένης, ὁμοίως. μηνὶ ἰουλίῳ ιβ' τελείσθωσαν τὰ μνημόσυνα τοῦ μακαρίτου κυροῦ Ἰωάννου, τοῦ περιποθήτου πενθεροῦ τῆς βασιλείας μου, ὁμοίως. μηνὶ νοεμβρίῳ α' τελείσθωσαν τὰ μνημόσυνα τῆς ἡγιασμένης μου δεσποίνης καὶ πενθερᾶς τῆς βασιλείας μου, ὁμοίως. μηνὶ ἰαννουαρίῳ θ' τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου αὐταδέλφου τῆς βασιλείας μου καὶ πρωτοστράτορος, κυροῦ Μιχαὴλ τοῦ Δούκα, καὶ γινέσθω φωταψία δαψιλὴς καὶ διάκρισις εἰς τὰς μοναχάς. μηνὶ φεβρουαρίῳ κ' τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου αὐταδέλφης τῆς βασιλείας μου, τῆς πανεντίμου, ἐντίμου κυρᾶς Θεοδώρας, τῆς διὰ τοῦ ἁγίου καὶ ἀγγελικοῦ μεγάλου σχήματος μετονομασθείσης κυρᾶς Εἰρήνης, καὶ γινέσθω ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου αὐταδέλφου τῆς βασιλείας μου, τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Ἰωάννου τοῦ Δούκα, τοῦ διὰ τοῦ ἁγίου καὶ ἀγγελικ. οῦμεγάλου σχήματος μετονομασθέντος κυροῦ Ἀντωνίου, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ, καὶ γινέσθω ὁμοίως. τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου αὐταδέλφης τῆς βασιλείας μου, τῆς πανσεβάστου σεβαστῆς κυρᾶς Ἄννης τῆς Δουκαίνης, καθ' ἣν ἂν ἡμέραν ἐκδημήσῃ πρὸς κύριον, καὶ γινέσθω ὁμοίως. οἱ παῖδες ἡμῶν, ὅτε πρὸς κύριον ἐκδημήσουσιν, ἐγγραφήσονται ἐν τοῖς

τῶν προαπελθόντων διπτύχοις καὶ τὰ μνημόσυνα πάντων ἔσονται τελούμενα, καθὼς ἀνωτέρω προείρηται. εἰ δ' ἴσως τινὲς αὐτῶν καὶ ἀφιερώσουσι τῇ μονῇ ἢ κινητὰ ἀξιόλογα ἢ ἀκίνητα, ὀφείλουσι τελεῖσθαι καὶ τὰ τούτων μνημόσυνα κατὰ τὴν ἐκείνων διάταξιν.

Κεφ. οβ'. Περὶ τοῦ μέλλοντος γίνεσθαι νιπτῆρος τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ. Τῇ μέντοι ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ ὀφείλει γίνεσθαι παρὰ τῆς τιμιωτάτης καθηγουμένης ὁ νιπτὴρ ἐν τῷ τῆς ἐκκλησίας προνάῳ, ἔνθα εἰκόνισται καὶ ὁ τοῦ σωτῆρος νιπτὴρ κατὰ τὴν ἐμπεριεχομένην τῷ συναξαρίῳ ἀκολουθίαν καὶ τὸν ἐν αὐτῷ τύπον. καὶ τὸ θεῖον δὲ φώτισμα κατὰ τὴν παγκόσμιον τούτου ἑορτὴν ἐν τῷ αὐτῷ αὖθις νάρθηκι[1]) ἔσται τελούμενον, ἐν ᾧ καὶ ἡ φιάλη ἵσταται τῶν χαλκῶν πολυκανδήλων ἐν αὐτῇ κρεμαμένων καὶ τὴν ἄναψιν ὁλόφωτον δεχομένων, καθὰ δὴ καὶ τὰ τῆς ἐκκλησίας πολυκάνδηλα ἅπτεσθαι τηνικαῦτα ὀφείλουσι, μανουαλίων τε ἱσταμένων δύο ἔνθεν κἀκεῖθεν τῆς φιάλης μετὰ λαμπάδων.

Κεφ. ογ'. Περὶ τοῦ μὴ γίνεσθαι μετασχηματισμοὺς ἐν ταῖς οἰκοδομαῖς τῆς μονῆς. Ἐπεὶ δὲ ἡ περὶ ἐμὲ ἀνεξίκακος τοῦ θεοῦ φιλανθρωπία καὶ τοῦτο εὐδόκησε καὶ περιοῦσα εἰσέτι ἐν τῇ παρούσῃ ζωῇ τὰς πάσας τοῦ μοναστηρίου οἰκοδομὰς ἀπήρτισα, μετασκευάσασα καὶ αὐτὸν τὸν ἐν τούτῳ θεῖον ναόν, προσεπισκευάσασα δὲ καὶ νάρθηκα περικαλλῆ καὶ ἐξωνάρθηκα[2]) προσθεμένη διὰ χαρικοξύλου καὶ τὸ μοναστήριον ἅπαν εἰς τὸ ἐμοὶ δοκοῦν σχῆμα καὶ τὴν κατάστασιν περιεστησάμην τοῦτο, θέλω καὶ βούλομαι, ἵνα, ὡς παρ' ἐμοῦ κατεσκευάσθησαν τὰ ἐν αὐτῷ πάντα, οὕτω μένωσι καὶ ἀμεταποίητα διατηρῶνται καὶ ἀναλλοίωτα, κἂν ὑπὸ τοῦ χρόνου δὲ εἰς φθορὰν συνελαθῶσί τινα, εἴτε μικράν, εἴτε καὶ μείζονα, εἴτε καί τινι τῶν τυχηρῶν συμπτωμάτων μείωσιν πάθωσι, πάλιν εἰς τὸ αὐτὸ σὺν θεῷ ἐπανορθῶνται σχῆμα μελήσεως ἄνευ πάσης καὶ ἀναβολῆς, καὶ μηδέποτε κατά τινα τρόπον ἀλλοίωσιν δέξωνται, εἴτε κρείττονος καταστάσεως χάριν ἢ ἄλλης ὁποιασοῦν αἰτίας· οὐ γὰρ μετασκευασμόν τινα ἐν αὐτοῖς θέλω γενέσθαι, οὔτε μὴν τῆς νῦν καταστάσεως ἄλλην βελτίονα τούτων, ἀλλ' οὐδὲ πυλῶνα ἕτερον ἢ παραπόρτιον ἢ ἁπλῶς εἰσόδου χώραν τινὰ πρὸς τὴν μονὴν ἀφ' ἑτέρου τόπου καινισθῆναι παρὰ τὴν σήμερον προστάξει τῆς βασιλείας μου γεγονυῖαν. ἐπεὶ δὲ καὶ ὄπισθεν τοῦ κοιμητηρίου τῶν μοναζουσῶν ᾔτουν τοῦ κοινοῦ κοιτωνίσκου αὐτῶν τοῖχον ἐγχόρηγον ἡ βασιλεία μου ᾠκοδόμησε, τόπον ἀναπαύσεως καὶ παρηγορίας αὐταῖς ἀφορίζουσα διὰ τούτου, οὐδὲ ἐν τῷ τοιούτῳ τοίχῳ βούλομαι ὅλως ἀνοιγῆναι πόρταν

---

[1]) ἄρθηκι M. [2]) ἄρθηκα — ἐξωάρθηκα M.

ποτὲ ἢ παραπόρτιον, εἴτε θύραν τὴν οἱανοῦν ἢ θυρίδα, εἴτε τοξικήν, εἴτε μικρὰν ὀπὴν οἱανδήτινα, ἀλλὰ κἂν ποτε συμβῇ τῷ τοιούτῳ τοίχῳ μείωσις, εἴτε σύμπτωμα τὸ οἱονοῦν, πάλιν δι' ἐγχορήγου ἐπανορθοῦσθαι τὸ καταπεπτωκὸς καὶ τὸ φθαρὲν εἰς τὸ πρώην ταχέως ἐπανέρχεσθαι σχῆμα. δεῖ δὲ πᾶσαν ἐπιμέλειαν τὴν τιμιωτάτην καθηγουμένην ἔχειν εἴς τε τὴν τῆς ὅλης μονῆς περιποίησιν καὶ ἀνακαίνισιν καὶ τῶν ἐν αὐτῇ πάντων βελτίωσιν καὶ φιλοκαλίαν καὶ τὴν ἀνακεράμωσιν, πρὸ δὲ πάντων καὶ ὑπὲρ πάντα εἰς τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, καὶ μηδὲ τοῦ σμικροτάτου καταφρονεῖν, ἀλλὰ κἂν ἄχρι ἑνὸς ὑελίου ἡ μείωσις γένηται, παρευθὺς τὴν τοῦ λείψαντος τόπον ἀναπληροῦν δι' ἑτέρου, τὴν δέ γε ἀνακεράμωσιν τοῦ ὅλου μοναστηρίου μετὰ πάσης ἐπιμελείας γίνεσθαι διορίζομαι.

Κεφ. οδ'. Περὶ τοῦ ἀκατόπτευτον διαμένειν πάντη τὴν μονήν. Καὶ τοῦτο μέντοι τῶν προδιηγορευμένων τινὸς οὐκ ἔλαττον τῇ βασιλείᾳ μου ἔδοξεν, ἀλλὰ τῶν ἐς τὰ μάλιστα ἀναγκαίων καὶ οὐ τῆς τυχούσης ἐπισκέψεως καὶ φροντίδος ἄξιον· ἐπειδὴ γὰρ πάντη τε καὶ πανταχόθεν ἀκατόπτευτον τὸ τῶν μοναζουσῶν ἐνδιαίτημα ἅπαν τὸ τῇ ἀσκήσει αὐτῶν παρὰ τῆς βασιλείας μου ἀφωρισμένον διατηρεῖσθαι βούλομαι σὺν θεῷ εἰς τὸν ἅπαντα χρόνον· εἰ γὰρ καὶ ἀποδέδεικται τῷ βουλομένῳ νοεῖν ὀρθῶς ἀπὸ τῆς τῶν γραφέντων ἤδη περιλήψεως καὶ δυνάμεως, ὡς τὸ καινισθῆναι κατοπτείαν ἐν τούτῳ τινὰ τῶν ἀβουλήτων πάνυ καὶ ἀποτετραμμένων ἐστὶ τῷ σκοπῷ τῆς βασιλείας μου, ἀλλὰ καὶ ῥητῶς τε καὶ ἰδιαζόντως δεῖν ᾠήθην τῆς τοιαύτης ἐπ' αὐτῷ καινοτομίας ἀπαγόρευσιν θέσθαι. ἀποτρέπει τοιγαροῦν ἡ βασιλεία μου καὶ ἀποσοβεῖ εἰς τὸ παντελὲς διὰ ταύτης μου τῆς περὶ αὐτοῦ ἐπισκέψεως τὸ ὁποιανδήτινα ἄποψιν πρός τι τῶν ἐντὸς τῆς ἀπονενεμημένης τῇ τῶν μοναζουσῶν διαγωγῇ περιοχῆς γενέσθαι χρόνῳ ποτὲ ἢ πρὸς τὴν αὐλὴν αὐτῶν, εἴτε τὴν ἐντός, εἴτε τὴν ἔξωθεν, ἢ πρὸς τὸ περίβολον ὁθενδήποτε, εἴτε τῶν δεσποτικῶν οἰκημάτων, εἴτε τῶν ἄλλων, εἴτε τῆς ἐκτὸς αὐλῆς τούτων, εἴτε τῆς ἐνδοτέρας, εἴτε γνώμῃ τῶν τῆς μονῆς ἀντιλαμβανομένων τινός, εἴτε καὶ ἄλλως πως. καὶ οὐδέποτε ὅλως ἐξέσται τινὶ καθ' ἡντιναοῦν αἰτίαν, κἂν εὐλογοφανής πως αὕτη δοκῇ, ἄποψίν τινα πρὸς τὰ τοῦ μοναστηρίου καινίζειν ἢ διὰ ἡλιακοῦ τινος καὶ ὑψώματος, ἢ διὰ θύρας, εἴτε παραθυρίου, εἴτε θυρίδος, εἴτε μετρίας τινὸς ὀπῆς. ἀλλὰ κἂν τι τολμηθῇ τοιοῦτον παρά τινος, εἴτε καὶ ἐξ ἀπροόπτου γένηται, παρευθὺ πρὸς ἀνάγκης τῇ τηνικαῦτα τῆς μονῆς ἀντιλαμβανομένῃ ἔσται ἅμα τὸ τὴν ἐξ αὐτοῦ βλάβην διαγνωσθῆναι, εἰ καὶ ἐλαχίστη αὕτη ἐστί, χωρίς τινος διασκέψεως καὶ ὑποθέσεως τοῦτο περιαιρεῖν· ἀκατόπτευτον γὰρ παντάπασιν, ὡς δεδήλωται, προσώπῳ παντὶ τὴν ἐντὸς τοῦ οἰκείου σεμνείου διαγωγὴν τῶν τῇ Κεχαριτωμένῃ μου θεομήτορι ἀνατεθειμένων μοναζουσῶν διαμένειν ἡ βασιλεία μου προμηθευομένη, οὕτω

τὰ περὶ τούτου κατασφαλίζεται. ἀλλ' οὖν ἐπὶ τῷ διαιρέτῃ ἐγχορήγῳ τοίχῳ τῆς τε ἔξω αὐλῆς καὶ τοῦ τῆς μονῆς περιβολίου οἰκήματά τινα ἢ προσκολληθῆναι ἢ ἐποικοδομηθῆναι μετὰ τὴν τῆς βασιλείας μου ἐκ τοῦ παρόντος βίου μετάστασιν ἢ ἄλλο τι νεουργηθῆναι τὸ οἱονοῦν ἐκκεχωρημένον ἔσται, παντάπασι δὲ μᾶλλον κεκωλυμένον, ὡς καὶ τὸν τοιοῦτον τοῖχον ἐπὶ τοῦ σχήματος τοῦ αὐτοῦ διαμένειν τῆς βασιλείας μου βουλομένης καὶ ἐπὶ τῆς αὐτῆς καταστάσεως, ἣν ἂν εὑρεθείη τῇ ἡμέρᾳ τῆς πρὸς θεὸν αὐτῆς ἐκδημίας ἔχων, καὶ μηδ' ὁποιανοῦν ἀλλοίωσιν ὁτεδήποτε δέξασθαι ἢ κατὰ προσθήκην ἢ κατὰ ὕφεσιν.'

Κεφ. οε'. Περὶ τοῦ μηδὲ ψάλτας συγκαλεῖσθαι ἐν τῇ ἑορτῇ, ἀλλ' ἄβατον εἶναι καὶ τούτοις τὴν μονήν. Ἀνδράσι δὲ τὴν πρὸς τὸ σεμνεῖον τοῦτο εἰσέλευσιν, ὡς ἤδη δεδήλωται, παντοίως ἀπαγορεύουσα, οὐδὲ ψάλτας ἐν ἡμέρᾳ τυχὸν ἑορτῆς, εἴτε μνημοσύνων εἰσέρχεσθαι ὅλως βούλομαι ἐν τῇ κατ' αὐτὸ ἐκκλησίᾳ ποτέ, ἀλλ' αὐτὰς καὶ τότε τυγχάνειν τὰς μοναζούσας μόνας ὑμνῳδοὺς μετὰ καὶ τῶν τεταγμένων ἐν τῇ μονῇ εὐλαβῶν ἱερέων. καὶ τὸ ἑπταπάπαδον δὲ τὸ κατὰ τὸ σάββατον τῆς βαϊοφόρου ἅπαξ τοῦ ἐνιαυτοῦ εἰωθὸς τελεῖσθαι ἐν τῇ κατὰ τὸ κοιμητήριον ἐκκλησίᾳ, εἴτουν ἐν τῷ ταφείῳ διορίζομαι γίνεσθαι καὶ τούτου ἐκεῖσε τελεσιουργουμένου ἕνα τῶν ἑπτὰ ἱερέων εἰσιέναι ἐν τῇ μονῇ καὶ τὴν ἐπὶ τῇ τοῦ ἁγίου ἐλαίου χρίσει εὐχὴν ποιοῦντα ταῖς μοναζούσαις, κἂν τούτῳ ταύτας ἀλείφοντα παραχρῆμα ἐξιέναι· καὶ ταῖς λιταῖς δὲ ταῖς ἐν τῇ μονῇ κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ὀφειλούσαις γίνεσθαι παρὰ τῶν μοναζουσῶν οὐ μακρά τις ἔσται περίοδος, ἀλλ' ἀπὸ τοῦ ναοῦ διὰ τοῦ προνάου καὶ τῆς ἐκεῖθεν πρὸς τὸ ἑξῆς φερούσης ἄχρι τῆς κοιμήσεως τῆς ὑπεραμώμου ἡμῶν δεσποίνης καὶ θεομήτορος ἀπελεύσονται τῆς ἐκτὸς τοῦ κοινοῦ κοιτωνίσκου αὐτῶν μετὰ καὶ τῶν τῆς μονῆς ἱερέων, τὸ ἅγιον εὐαγγέλιον ἐπιφερομένων σὺν τῷ τιμίῳ σταυρῷ, κἀκεῖσε ταύταις λήξει ἡ πρόοδος τῆς πρὸς τὰ πρόσω φορᾶς, τοῦ τε ἱερέως ἐνταῦθα τὴν ἐκτενῆ ποιουμένου εὐχὴν ἐπαναστρέψουσιν αὖθις πρὸς τὸν ναόν. ἐν μέντοι τῇ τῆς μονῆς ἁγίᾳ ταύτῃ ἐκκλησίᾳ (προστεθῆναι γὰρ καὶ τοῦτο δεῖν μοι ἐφάνη, ὡς δέον ἀποτραπῆναι, εἰ καί που ἴσως τισὶν οὐ δοκεῖ ἀποτρόπαιον), ἐργοχείρου τινὸς ἐργασία μὴ προβαινέτω, εἴτε ἐν ὑμνῳδίας καιρῷ, εἴτε ἐν ἀναγνώσει, εἴτε μὴν ἄλλοτέ ποτε.

Κεφ. ος'. Περὶ τοῦ πῶς τε καὶ ποῦ δεῖ θάπτεσθαι τὰς ἀπὸ τῶν παίδων ἡμῶν καὶ τῶν ἐγγόνων ἐν τῇ μονῇ αἱρουμένας ταφῆναι καὶ πῶς τὰ τούτων γίνεσθαι μνημόσυνα. Εἴ ποτε δὲ ἄρα τις τῶν θυγατέρων ἡμῶν ἢ καὶ τῶν νυμφῶν, εἴτε καὶ τῶν ἐγγόνων, αἷς ἡ τῆς μονῆς ἐφορία ἀνατέθειται καὶ ἡ τῶν πολυτελεστέρων οἰκημάτων χρῆσις, ἐν ταύτῃ τῇ μονῇ αἱρετίσαι

τὸ ταφῆναι, (οὐκ ἀπεικὸς γὰρ οὐδὲ περὶ τούτου διαλαβεῖν), τὸ μοναδικὸν μεταμφιασαμένη σχῆμα ἐξέσται τοῦτο αὐτῇ, ἄλλως δὲ οὐδαμῶς, καὶ τόπον ἕξειν ἐν τῷ ἐξωνάρθηκι[1]) εἰς τὴν κατάθεσιν τοῦ ἰδίου λειψάνου, τὸν οἰκεῖον τάφον κατὰ τὸ δοκοῦν αὐτῇ ποιουμένη. τὰ μνημόσυνα δὲ τῶν οὕτως ἐν ταύτῃ ταφησομένων καὶ αἱ ἐν τοῖς τάφοις αὐτῶν φωταψίαι τῶν μὲν μηδ' ὁτιοῦν ἐν τῇ μονῇ αἱρετισαμένων ἀφιερῶσαι ἔσονται γινόμενα, καθὼς ἡ βασιλεία μου διετάξατο, ἐφαπτούσης ἑκάστῳ τάφῳ καὶ κανδήλας ἀκοιμήτου μιᾶς, τῶν δὲ καί τι οἴκοθεν προσενέγκαι καὶ ἀφιερῶσαι γνώμῃ καὶ προαιρέσει οἰκείᾳ ἀσπασαμένων, καθὼς ἂν αὗται ἀπὸ τῶν παρ' αὐτῶν διδομένων τυπώσαιεν, εἰς προσθήκην δηλονότι τῶν διωρισμένων παρ' ἡμῶν. οὐκ ἐξέσται δέ τινι τῶν ἁπάντων, κἂν ἄρχων εἴη, κἂν ἰδιώτης, κἂν ἡγουμένη, κἂν μοναχή, κἂν προσαγωγὴν μεγάλην καὶ δαψιλῆ καὶ ἐπωφελῆ ποιούμενος τῇ μονῇ κατά τινα πρόφασιν μετάθεσίν τινος τῶν ἐν αὐτῇ τεθεισομένων λειψάνων βουλεύσασθαι, πολλοῦ γε εἰπεῖν διαπράξασθαι, ἤγουν ταφῆναι καὶ συντεθῆναι τούτοις ὅλως διαλογίσασθαι· πάνυ γὰρ τοῦ τοιούτου βουλεύματός τε καὶ ἐνεργήματος πάντας ἀναχαιτίζει ἡ βασιλεία μου διὰ τῆς παρούσης αὐτῆς γραφῆς.

Κεφ οζ. Περὶ τοῦ ἀριθμοῦ τῶν γεγονότων βρεβίων καὶ τυπικῶν τῆς σεβασμίας μονῆς τῆς Κεχαριτωμένης καὶ ὅπου ἕκαστον ὀφείλει ἀποτεθῆναι. Ἐπεὶ δὲ καὶ τρία τυπικὰ γεγόνασι σωματῶα παρ' ἡμῶν ἀπὸ βλαττίων ἐνδεδυμένα καὶ τρία βρέβια σὺν τῷ παρόντι δηλονότι τυπικῷ καὶ τῷ βρεβίῳ τῶν τῇ μονῇ ἀφιερωθέντων, διοριζόμεθα τὰ μὲν δύο τούτων, ἤγουν τό τε τυπικὸν καὶ τὸ βρέβιον τῷ θείῳ καὶ ἀσύλῳ καὶ ἱερῷ σκευοφυλακίῳ τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἀποτεθῆναι, ὥσπερ καὶ ὅπου καὶ τὰ τῆς ἀνδρῴας μονῆς τοῦ Φιλανθρώπου, ἤγουν τό τε τυπικὸν καὶ τὸ βρέβιον, ὡς ἀνεξάλειπτα εἶναι εἰς τὸν αἰῶνα τὸν ἅπαντα τὰ παρ' ἡμῶν ἐν τούτῳ περὶ τῆς μονῆς τοῦ Φιλανθρώπου διορισθέντα καὶ τὰ ἀφορισθέντα αὐτῇ. ἕτερα δὲ δύο εἶναι παρὰ ταῖς κατὰ καιροὺς τῆς μονῆς ἀντιλαμβανομέναις, ὡς εἴδησιν ἔχειν ἀκριβῆ τῶν παρ' ἡμῶν ἐν τούτοις διωρισμένων, τὰ δ' ἄλλα δύο, τό τε τυπικὸν καὶ τὸ βρέβιον ἐναποκεῖσθαι ἐν τῷ σκευοφυλακίῳ τῆς μονῆς τῆς Κεχαριτωμένης. τὰ μέντοι ἕτερα δύο τεύχη, ὧν τὸ μὲν εἰς τυπικοῦ τάξιν γέγονε, τὸ δὲ ἕτερον εἰς βρεβίου, βαμβύκινα καὶ ἀμφότερα ὄντα, εἰς καθημερινὴν χρῆσιν ἔσονται καὶ αὐτὰ τῇ μονῇ.

Κεφ. οη'. Παρακλητικὴ παραίνεσις πρὸς τὰς μοναχάς. Ἔστω μὲν οὖν ταῦτα, ὅσα γε τῇ βασιλείᾳ μου βουλητά, εἴη δὲ εἰπεῖν καὶ τῷ θεῷ

---

1) ἐξωάρθηκι M.

εὐαπόδεκτα καὶ τῇ ὑπεραγίᾳ μου θεοτόκῳ τῇ Κεχαριτωμένῃ καὶ τῇ ὠφελείᾳ ὑμῶν οὐκ ὀλίγα λυσιτελοῦντα. ὑμῖν δὲ τὸ ἑξῆς μελήσει φυλάξαι ἀπαράθραυστά τε καὶ ἀπεριποίητα μέχρι παντός, λέγω δὴ τὸ ἀπαραλείπτως τὴν παραδοθεῖσαν ὑμῖν ἀκολουθίαν ἐκτελεῖν ἐν πάσαις ταῖς συνάξεσι, τὸ φυλάττειν πίστιν καὶ τιμὴν τὴν ἁρμόζουσαν ταῖς προεστώσαις ὑμῶν, τὸ ἀλλήλας ἀγαπᾶν καὶ σπουδάζειν ἑκάστην ἑκάστης προέχειν ἐν μετριοφροσύνῃ, συμπονεῖν δὲ πάσας ἀλλήλαις ἐν πᾶσιν, ὡς ἑνὸς μέλη σώματος, καὶ τὰ ἀλλήλων ἀναπληροῦν ὑστερήματα, μὴ πρὸς ἔρις ὁρμᾶν, μὴ πρὸς φιλίας ἀπρεπεῖς καὶ παρασυνάξεις καὶ σχίσματα, ἀπέχεσθαι πρωτοκαθεδρίας καὶ τῶν κοσμικῶν τροτιμήσεων, πρὸς ἓν δὲ μόνον ὁρᾶν, τὸ ἐναρέτως ζῆν δηλονότι καὶ πολιτεύεσθαι καὶ μηδὲν ἄλλο, εἰ δυνατόν, ἀναπνεῖν ἢ λόγον σωτήριον καὶ πᾶν τὸ εἰς οἰκοδομὴν τυγχάνον ψυχῆς καὶ ὠφέλειαν. πρὸς τούτοις ἐξορίζειν ἀφ' ὑμῶν πάντων. τῶν κακῶν τὴν πηγήν, τὴν φιλοχρηματίαν λέγω, καὶ τὸ παρακερδαίνειν ἀπὸ τῆς μονῆς ἢ ἑτέρου τοῦ οἱουδήτινος τρόπου καὶ ἀποτιθέναι καὶ θησαυρίζειν ἄχρι καὶ τοῦ τυχόντος, ἐν ᾧ μὴ εὐδόκησεν ἡ προεστῶσα, μήτε ὁ δοθεὶς ὑμῖν κανὼν συνεχώρησεν, οὐ μὴν ἀλλ' οὐδ' ἐξ ἀμελείας ἤ τινος ἑτέρας καταφρονήσεως ἐᾶν τι τῶν τῆς μονῆς παραπόλλυσθαι· ἴσον γὰρ καὶ τοῦτο τῷ προτέρῳ, κἂν τι διαφέρειν δοκῇ, καὶ τῆς ἴσης ἐνοχῆς παρὰ τῷ θεῷ πρόξενον, τὴν παρρησίαν, ὅση δύναμις, ἐκκοπτέον, καὶ ἵνα συνελὼν εἴπω, πᾶν ὃ μὴ εἴη πρὸς σωτηρίαν, ἐκδιωκτέον. μὴ οὖν, ὦ τιμιώταταί μου μητέρες, μηδαμῶς τὰ βλάπτοντα προτιμήσωμεν, τὰ δὲ σώζοντα παραδράμωμεν· οὐδὲ γάρ τι τῶν παραδοθέντων ὑμῖν ἀδύνατον ἢ δυσκαθόρθωτον. εἰ δὲ καί τι τούτων ἴσως τοιοῦτον νομίζοιτο, ἀλλ' ἀγωνισώμεθα, ἀλλ' ὑπομείνωμεν, ἀλλὰ καρτερήσωμεν, φέρωμεν γενναίως, βιαζώμεθα μικρὸν ἑαυτάς· οὐ γὰρ ἀνέσεως ἕνεκα καὶ τρυφῆς τὸν κόσμον κατελίπετε, ἀλλὰ σπουδῆς καὶ ἀγῶνος τὸ κατὰ δύναμιν πρὸς τὸ τυχεῖν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν. βιασώμεθα οὖν ἑαυτάς, βιασώμεθα· „βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.“ οὐδεὶς ἀμελῶν ἔστησε τρόπαιον, οὐδεὶς ὑπνώττων καὶ ὀνειρώττων τὸν ἑαυτοῦ πολέμιον ἐτροπώσατο. ἐκείνων εἰσὶν οἱ στέφανοι καὶ τὰ τρόπαια, τῶν κοπιώντων, τῶν ἀγωνιζομένων, τῶν ὑπομενόντων τὰ ἐκ τῶν ἀγώνων πονήματα. „διὰ πολλῶν θλίψεων, φησὶν ὁ κύριος, δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.“ τοίνυν παρακαλῶ πάσας ὑμᾶς „ἀξίως πορεύθητε τῆς κλήσεως ὑμῶν. παραστήσατε τὰ σώματα ὑμῶν ἅγια τῷ κυρίῳ· ἀγαπᾶτε ἀλλήλας, καλῶς τρέχετε τὸν προκείμενον ὑμῖν ἀγῶνα.“ ὅσα καλά, ὅσα θεοφιλῆ, ταῦτα λογίζεσθε, ἃ ἠκούσατε καὶ ἐμάθετε, ταῦτα ποιεῖν μὴ ἀπόσχησθε, μητέρες ἅγιαι, ὁ καιρὸς συνεσταλμένος ἐστί, μνημονεύετε τῶν ψυχῶν ὑμῶν. ἀλλὰ γὰρ ἐπιλαθέσθαι ἔοικα ἐμαυτῆς τοιαῦτα διανοηθεῖσα ὑμῖν, αὕτη

ἁπάσης τυγχάνουσα κακίας ἀνάπλεως καὶ πρὸς τὰς τοῦ θεοῦ ἐντολὰς καταφρονητικῶς παντάπασι διακειμένη. διά τοι τοῦτο περιπαθῶς τὴν ὑμῶν παρακαλῶ ἀδελφότητα, μηδέποτε τῶν ἡμετέρων ἐπιλαθέσθαι ψυχῶν, ἀλλὰ διηνεκῶς ἐν ταῖς ὑμῶν [1]) περιφέρειν εὐχαῖς τοὺς οὐρανοῦ τε καὶ γῆς ἀναξίους ἡμᾶς, ἐννοουμένας, εἰ μή τι ἄλλο, τήν τε πολλὴν καὶ ζέουσαν ἡμῶν προθυμίαν καὶ ἐπιτεταμένην σπουδὴν εἰς τὸ συστήσασθαί τε τὸ ἱερὸν ὑμῶν φροντιστήριον καὶ τὴν ὑμῶν συναγαγεῖν ἀδελφότητα καὶ τὰ εἰς σωματικὴν αὐτάρκειαν καὶ ψυχικὴν ὠφέλειαν αὐτῆς πραγματεύσασθαι, δι' οὐδὲν ἄλλο πάντως ἢ τὸ καὶ τῶν ἰδίων ἐπιμελεῖσθαι ψυχῶν καὶ τῆς ἡμῶν ἀθλιότητος διηνεκῶς ὑπερεύχεσθαι, οὗ μηδέποτε ἐπιλάθοισθε, ἀλλ' εἰ καὶ τῷ σώματι ἄπιμεν, τῷ πνεύματι παρεῖναι λογίζοισθε καὶ ἡμᾶς τοῖς ὑμῶν τε προσπίπτειν ποσὶ καὶ λίαν οἰκτρῶς καὶ μετὰ θερμῶν τῶν δακρύων τὴν ὑμῶν ὁμήγυριν δυσωπεῖν περὶ τοῦ καὶ ἡμῶν ὑπερεύχεσθαι τῶν ὑπὲρ πάντας ἀνθρώπους ἐπταικότων θεῷ καὶ παρὰ τοῦτο πλείονος τῆς παρ' αὐτοῦ διὰ τῆς ὑμῶν ἁγίας εὐχῆς δεομένων χρηστότητος. τῆς γοῦν ἡμῶν εὐτελείας προσευχόμεναι μὴ ἐπιλάθοισθε. ὁ θεὸς τῆς εἰρήνης ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν διὰ τὴν πολλὴν αὐτοῦ καὶ ἄφατον ἀγαθότητα καταρτίσαι ὑμᾶς καὶ στηρίξαι εἰς τὸ ἅγιον αὐτοῦ θέλημα διὰ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος ταῖς τῆς Κεχαριτωμένης ἡμῶν θεοτόκου πρεσβείαις. ἀμήν †.

† Εἰρήνη, ἐν Χριστῷ τῷ θεῷ πιστὴ βασίλισσα Ῥωμαίων, ἡ Δούκαινα [2]) †.

Κεφ. οθ'. Περὶ τῶν ἐν τῇ μονῇ νεουργηθέντων παρὰ τῆς βασιλείας μου πολυτελεστέρων οἰκημάτων. Ἀναγκαῖον δὲ καὶ περὶ τῶν ἐν τῇ μονῇ τῆς Κεχαριτωμένης θεομήτορος νεουργηθέντων παρὰ τῆς βασιλείας μου πολυτελεστέρων οἰκημάτων τὰ εἰκότα διαλαβεῖν· περὶ γὰρ τὴν σεβασμίαν ταύτην μονὴν καὶ οἰκήματα λαμπρότερα οἰκοδομήσασα ἡ βασιλεία μου ἐκτὸς τῶν τῇ μονῇ ἀναγκαίων καὶ τὴν χρείαν τῶν μοναζουσῶν ἐν ἅπασιν ἀποπληρούντων πρὸς καταγωγὴν ἰδίαν, ἠβούλετο μὲν ἔχειν ταῦτα τὴν μακαρίτιδα μου πορφυρογέννητον, μοναχὴν κυρὰν Εὐδοκίαν, καὶ χρᾶσθαι τούτοις εἰς οἰκείαν καταμονὴν καὶ ἀνάπαυσιν. ἀλλ' ἐπεὶ ἐκείνη προαναρπασθεῖσα τῶν ἐλπίδων μου πρὸς τὰς αἰωνίους μετέβη σκηνὰς καὶ ἦν ἀναγκαῖον τὸ διορίσασθαι τὴν βασιλείαν μου καὶ ἐπὶ τούτοις τὸ

[1]) αὐτῶν M. [2]) **Haec manu propria imperatricis descripta sunt rubris characteribus, quorum delineationem vide in tabula in Montfauconii Palaeographia graeca p. 301. Capita quae sequuntur, non modico elapso tempore diversa manu exarata sunt. M.**

δοκοῦν αὐτῇ, τοῦτο δὴ καὶ ποιῶ καὶ διορίζομαι, ἵνα μετὰ τὴν ἐμὴν τοῦ τῇδε βίου μετάστασιν κατέχῃ καὶ νέμηται ἡ ποθεινοτάτη μου πορφυρογέννητος καὶ καισάρισσα, κυρὰ Ἄννα, ἄχρις ἂν ζῇ, κατὰ τὸ ἀκώλυτον οὐ μόνον τὰ πάντα κελλία αὐτῆς, ἐν οἷς καὶ ζώσης ἐμοῦ τὴν καταμονὴν ἐποιεῖτο, ἀλλὰ δὴ καὶ πάντα τὰ ἐν τῇ Κεχαριτωμένῃ οἰκήματα, ὅσα δηλονότι εἰς χρῆσιν ὑπῆρχον τῆς βασιλείας μου καὶ τῶν παίδων καὶ τῶν ὑποχειρίων ἡμῶν ἀνδρῶν τε καὶ γυναικῶν, σὺν τῇ ἔξω αὐλῇ τῇ καθ' εὐθεῖαν κειμένῃ τῆς ἐντὸς αὐλῆς τῶν πολυτελεστέρων οἰκημάτων· περὶ γὰρ τῆς ἄλλης αὐλῆς, ἡ ἀμπελὼν ποτε χρηματίζουσα εἰς αὐλὴν μετημείφθη, κρατήσει ἡ περὶ αὐτῆς παρ' ἐμοῦ γενησομένη ὁτεδήποτε ἔγγραφος πρόσταξις. ἔτι γε μὴν καὶ τὴν ἐκκλησίαν τοῦ ἁγίου Δημητρίου σὺν τοῖς δυσὶ λουτροῖς καὶ τῇ τρίτῃ μερίδι τοῦ εἰσαγομένου ἐν τοῖς τῆς μονῆς βρυτοῦ ὕδατος, καθὼς δηλονότι παρ' ἐμοῦ κατέχονται, ὀφείλουσα πᾶσαν ἔχειν ἄδειαν καὶ ἐκ καινῆς ἕτερα οἰκήματα ἀνεγείρειν, οἷα βούλεται, καὶ τὰ ὄντα, τά τε δεσποτικὰ καὶ τὰ ἄλλα ἀλλοιοῦν, ὡς ἂν αἱρῆται, καὶ μεταποιεῖν, εἰς ὃ θέλει σχῆμα, τοῦτο μόνον παραφυλάττουσα, τὸ μήτε βάρος νέον οἱονδήποτε ἐπιθεῖναι τῷ διαιρέτῃ τοίχῳ ἀμφοτέρων τῶν μονῶν, τοῦ τε Φιλανθρώπου δηλαδὴ καὶ τῆς Κεχαριτωμένης, μήτε τὴν κατοπτείαν ἔχειν κατ' αὐτῶν. μετὰ δὲ παρέλευσιν αὐτῆς ἵνα ἔχῃ τὴν χρῆσιν καὶ κατοχὴν καὶ νομὴν τῶν ἀναγεγραμμένων πάντων ἀκινήτων καὶ λοιπῶν δικαίων ἡ ποθεινοτάτη μου ἐγγόνη, κυρὰ Εἰρήνη ἡ Δούκαινα, ἡ θυγάτηρ τῆς κυρᾶς Ἄννης, κατὰ τὸ ἀδιάστικτον καὶ ἀνυπεξαίρετον, μόνων καταλυθῆναι ὀφειλόντων μετὰ τὴν τοῦ τῇδε βίου μετάστασιν τῆς πορφυρογεννήτου, κυρᾶς Ἄννης, τῶν ἀπῃωρημένων οἰκημάτων ἔξωθεν τοῦ διαιρέτου τοίχου καὶ ἀποβλεπόντων πρὸς τὸν κῆπον τῆς τοῦ Φιλανθρώπου μονῆς, ἐν οἷς δηλονότι σήμερον καταμένει ἡ δηλωθεῖσα πορφυρογέννητος, ὀφείλοντος τοῦ τοιούτου τοίχου ὑψωθῆναι καὶ ἔτι πήχεις δύο. μετὰ δὲ τελευτὴν τῆς κυρᾶς Εἰρήνης, εἰ μὲν ἐπὶ διαθήκῃ τελευτᾷ ἡ μήτηρ αὐτῆς ἡ πορφυρογέννητος, ἵνα παραπέμπῃ ταῦτά τε τὰ δεσποτικὰ οἰκήματα καὶ λοιπά, εἰς οἷον ἂν αἵροιτο τῶν παίδων αὐτῆς ἢ ἐγγόνων ἢ προεγγόνων, εἴτε ἄρρενος, εἴτε θήλεος γένους ἐστίν. εἰ δὲ πρὸ τῆς κυρᾶς Εἰρήνης ἡ μήτηρ αὐτῆς τὸν τῇδε καταλύσει βίον ἢ καὶ ὕστερον μὲν ἐκείνης, μὴ διάθηται δὲ περὶ τούτου, (ἀδιάφορον γάρ), τότε τὸ δίκαιον τῆς κατοχῆς καὶ νομῆς τῶν ἀναγεγραμμένων οἰκημάτων καὶ λοιπῶν περιελεύσεται εἰς τὸν τῷ χρόνῳ προσήκοντα ἢ τὴν προσήκουσαν τῶν παίδων ἢ ἐγγόνων ἢ προεγγόνων τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης μετὰ διαστίξεως μέντοι τοιαύτης, ὥστε εἰ μὲν τὸ πρόσωπον, ᾧ τὸ τοιοῦτον ἁρμόσει δίκαιον, ἐπὶ διαθήκῃ τοῦ βίου τούτου μεθίσταται, ἔχειν ἄδειαν παραπέμπειν ταῦτα εἰς οἷον ἂν βούλοιτο τὸν ἐξ αὐτοῦ καταγομένων παίδων, ἐγγόνων [τε] καὶ ἐφεξῆς.

εἰ δὲ ἢ τοὺς καταγομένους ἐξ αὐτοῦ οὐκ ἔχοι ἢ μὴ περὶ τούτου διάθηται, τηνικαῦτα πάλιν δραμεῖν τὸ μνημονευθὲν δίκαιον πρὸς τὸν τῷ χρόνῳ προήκοντα ἢ τὴν προήκουσαν ἐκ τῶν ἀπὸ τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης καὶ τὴν τοιαύτην διάστιξιν οὕτω μέχρι παντὸς προβαίνειν, ἄχρις ἂν ἡ τῶν ἀπὸ τῆς σειρᾶς τῆς δηλωθείσης πορφυρογεννήτου διάρκεια περισώζηται. οὐκ εἰς μόνους δὲ τοὺς παῖδας ἢ ἐγγόνους ἢ προεγγόνους αὐτῆς παραπέμψει ἀπὸ διαθήκης τὸ τοιοῦτον δίκαιον ἡ πορφυρογέννητος, ὡς ἄνωθεν εἴρηται, ἀλλὰ καὶ εἰς μίαν τῶν ἐπί τινι τούτων νυμφῶν αὐτῆς, ἣν ἂν βούλοιτο, καὶ καθέξει καὶ αὕτη ταῦτα ὡσαύτως, εἴπερ μὴ πρὸς ἕτερον γάμον ἀπίδοι· εἰ γὰρ πρὸς τοῦτον ἀποκλίνοι, εὐθὺς ἐκπεσεῖται τοῦ τοιούτου δικαίου περιελευσομένου πάντως πρὸς τὴν ἐκ τῆς πορφυρογεννήτου σειράν, ὥσπερ ὀφείλει γίνεσθαι ἀπαραλλάκτως καὶ ἐπὶ τῶν ἄλλων πασῶν νυμφῶν, αἷς τὸ τοιοῦτον ἁρμόσοι δίκαιον ἀπὸ παραπομπῆς τινος τῶν τοῦτο κτησαμένων, ὡς ἄνωθεν εἴρηται· οὐ γὰρ μόνῃ τῇ πορφυρογεννήτῳ, ἀλλὰ καὶ τοῖς ἐξ αὐτῆς καταγομένοις ἐξέσται παραπέμπειν τοῦτο ἀπὸ διαθήκης, εἰ βούλοιντο, εἰς μίαν τῶν ἐπὶ τοῖς ἐξ αὐτῆς νυμφῶν αὐτῶν, ἐκείνου τῶν ὁμολογουμένων εἶναι ὀφείλοντος, ὡς εἰ καὶ ἰδικώτερον τοῦ ἄρρενος γένους μνημονεύομεν μόνου, ἀλλὰ καὶ τὸ θῆλυ συννοεῖσθαι τούτῳ ὀφείλει καὶ ὡς καὶ αὐτὸ ἐκφωνούμενον λογίζεσθαι, ὅσον ἐπὶ τῷ περὶ τῶν οἰκημάτων τούτων κεφαλαίῳ.

Εἰ δ', (ὅπερ ἀπεύχομαι), ἡ συγγένεια ἐπιλείψει, ὡς μηδεμίαν ἐκ τῆς τοῦ γένους τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης σειρᾶς περισώζεσθαι, τηνικαῦτα διορίζομαι, τὰ τοιαῦτα οἰκήματα εἰς τὴν ἐξουσίαν τῆς γυναικείας ταύτης μονῆς ἀποκαθίστασθαι καὶ τὰ μὲν τῆς ἔξω αὐλῆς οἰκήματα μετασχηματίζεσθαι εἰς ἐνοικικά, καὶ τὴν πρόσοδον τούτων καρποῦσθαι τὴν μονήν, τὰ δὲ τῆς ἔσω αὐλῆς περιελεῖν καὶ τῇ μὲν ὕλῃ χρήσασθαι, καθὼς αὐτῇ βουλητόν, τῷ δὲ ἐδάφει εἰς περιβόλιά τε καὶ παραδείσους ἐπικερδεῖς, ὧν τὰς προσόδους ἁπάσας ἡ μονὴ καρπώσεται μετὰ καὶ τῶν λουτρῶν.

Οἱ μέντοι τὴν νομήν τε καὶ οἴκησιν κατὰ καιροὺς ἔχειν ὀφείλοντες ἐν τοῖς δηλωθεῖσιν οἰκήμασιν εὐλαβῶς ἐν αὐτοῖς διάξουσι καὶ περικοπήν τινα τῇ μονῇ τῆς Κεχαριτωμένης τὸ σύνολον οὐκ ἐπάξουσιν· ἕξουσι δὲ ἐπ' ἀδείας κτίζειν, ἔνθα βούλονται ἐντὸς τῆς περιοχῆς τῶν ἐκχωρηθέντων αὐτοῖς οἰκημάτων, καὶ τοσοῦτον ὑψοῦν, ὥστε μὴ κατοπτεύειν τι τῶν ἐν τῇ ἀνδρῴᾳ μονῇ, εἴτε τῇ γυναικείᾳ, ἀλλ' οὐδὲ γυρόθεν τῶν ἀργῶν τοίχων τῆς μονῆς ἢ τῶν οἰκημάτων ἐπακουμβίσουσί τι οἴκημα, ἀλλ' ἐλεύθερα πάντη ἔσονται, καθὼς παρ' ἡμῶν γεγόνασι. ξένοις δὲ προσώποις ἢ δι' ἀπεμπολήσεως ἢ μισθώσεως ἢ ἀνταλλαγῆς ἢ δωρεᾶς ἢ ὑποθήκης ἢ ἐνεχύρου ἢ ἑτέρου οἱουδήποτε τρόπου παρ' οὐδενὸς τῶν προσώπων τῶν ὁρισθέντων ἔχειν τὴν τῶν μνημονευθέντων οἰκημάτων κατοχὴν καὶ νομὴν ἡ τούτων χρῆσις

ὁπωσδήποτε ἐκχωρηθήσεται, ἀλλ' οὐδὲ ἁπλῶς ἐνοικίσαι τινὰ ἕτερον ἐν αὐτοῖς συγχωρηθήσεται ὁ τὸ τοιοῦτον κτησάμενος δίκαιον, ἔχων ἴσως ἀλλαχοῦ τὴν οἰκείαν ἀνάπαυσιν· ταῦτα γὰρ παντελῶς ἀπείργομεν. εἰ δέ ποτε, (ὃ μὴ γένοιτο), τὸ πρόσωπον τὸ καθ' οἱονδήτινα καιρὸν τὴν χρῆσιν ἔχων τῶν οἰκημάτων τῆς μονῆς, (ἐπαναληπτέον γὰρ καὶ αὖθις τὸν περὶ αὐτῶν λόγον) ἐνοχῇ τινι καθυποβληθῇ δημοσιακῇ ἢ ἰδιωτικῇ ἐξ οἱουδήτινος τρόπου χρηματικῇ ἢ ἐγκληματικῇ ἢ καὶ καθοσιώσει ὑποκεσεῖται, οὐ βούλεται ἡ βασιλεία μου ἐνοχοποιεῖσθαι τὰ τοιαῦτα οἰκήματα ἢ τὴν αὐτῶν χρῆσιν, ἀλλὰ μένειν ἐλεύθερα πάσης ἐνοχῆς. καὶ εἰ μὴν χρηματική τίς ἐστιν ἡ ἐνοχή, κατέχειν ταῦτα καὶ νέμεσθαι αὖθις αὐτὸ ἐκεῖνο τὸ πρόσωπον τὸ τὴν χρῆσιν ἔχον τούτων, κἂν ἡ ἄλλη πᾶσα περιουσία τούτου τοῖς χρεώσταις ἴσως κατὰ νόμους ὑπόκειται· αὕτη γὰρ ἡ χρῆσις καὶ κατοχὴ τῶν τοιούτων οἰκημάτων καὶ τῶν ὑπ' αὐτὰ πάντων ὑπερτερεῖν ὀφείλουσι πάσης χρηματικῆς ἐνοχῆς, ὡς τοιουτοτρόπως παραπεμπούσης ταῦτα τῆς βασιλείας μου πρὸς τοὺς μέλλοντας ταῦτα κατέχειν. ἡ δὲ ἐγκληματική ἐστιν ἡ εὐθύνη ἢ καθοσίωσις καὶ ἐκπίπτειν μέλλοι τῆς τοιαύτης χρήσεως, ἵνα ἐπανέρχηται αὕτη εἰς τὸ καλούμενον μετ' αὐτὸ πρόσωπον κατὰ τὴν ἀνωτέρω διάστιξιν καὶ διαίρεσιν. ἐπιλειπόντων δὲ τῶν προσώπων ἴσως ἐπανελεύσονται πρὸς τὴν δεσπότιδα μονήν.

Κἂν ποτε ἴσως, (ὅπερ ἀπέστω), πυρίκαυστα τὰ τοιαῦτα οἰκήματα γένωνται ἐκ μέρους ἢ ἐξ ὁλοκλήρου, οὐ βούλεται ἡ βασιλεία μου σχολάζειν τὴν χρῆσιν, ὡς τῶν οἰκημάτων, ἐν οἷς θεωρεῖται ἡ κατοίκησις, εἰς τὸ μὴ εἶναι χωρησάντων, ἀλλὰ τὸν τηνικαῦτα τὸ δίκαιον τῆς τοιαύτης χρήσεως ἔχοντα κατὰ τὴν ἄνωθεν διατύπωσιν, ἔχειν καὶ πάλιν αὐτὴν καὶ κατέχειν τὰ τοιαῦτα δίκαια, ὡς ἄνωθεν εἴρηται, καὶ χρᾶσθαι τούτοις, ἔχοντα ἄδειαν ἀνοικοδομεῖν οἰκήματα ἐν τοῖς τόποις τῶν καυθέντων, ὁποῖα δύναται, τῶν διαστίξεων τῶν περὶ τοῦ παραπέμπεσθαι ταῦτα καὶ περιέρχεσθαι, καθὼς ἄνωθεν σαφέστερον εἴρηται, σώζεσθαι καὶ οὕτως ὀφειλουσῶν, καὶ τὸ ἰσχυρὸν ἔχειν καὶ ἐνεργόν. πλὴν οὐκ ἐξέσται τινὶ τούτων ἐκδιδόναι τὸν τόπον πρός τινα κηπεύσεως χάριν ἢ κτίσεως ἐνοικικῶν, ἀλλὰ πάλιν ἕτερα ἀντ' αὐταῖς οἰκοδομῆσαι, οἷα δύναται, ἐπὶ τῷ καταμένειν ἐν αὐτοῖς, τὸν δὲ τῷ τόπῳ χρησάμενον ἑτέρως παρὰ τὸν παρόντα ἡμῶν ὁρισμὸν ἐκπίπτειν τούτων διοριζόμεθα καὶ περιέρχεσθαι ταῦτα πρὸς τὸ μετὰ τὸν ἐκπεσόντα ἢ τὴν ἐκπεσοῦσαν καλούμενον πρόσωπον, καθὼς ἀνωτέρω διείληπται.

Πάσας μέντοι τὰς διαληφθείσας[1]) ταύτας διαταγάς τε καὶ διαστίξεις βούλομαι βεβαίας μένειν, μὴ ἔχοντος ἄδειαν τοῦ μέρους τῆς μονῆς καθ' οἱονδήτινα

---

[1]) διαλειφθ. C.

τρόπον ἀπεναντίας χωρεῖν τῶν παρὰ τῆς βασιλείας μου διορισθέντων ἐνταυθοῖ· τὴν γὰρ προσχύρωσιν τῶν τοιούτων ἀκινήτων δικαίων πρὸς τὸ τῆς μονῆς μέρος, οὕτω καὶ μετὰ τοιούτων διαστίξεων ἐποιήσατο καὶ ποιεῖται ἡ βασιλεία μου, καὶ κατὰ τοὺς εἰρημένους τρόπους διατάττεται τὴν δεσποτείαν αὐτῶν προσκεκυρωμένην εἶναι τῇ μονῇ, κἂν ἴσως τὸ μέρος αὐτῆς δίκαιά τινα κέκτηται ἀπό τινων ἐγγράφων ἢ ἀλλαχόθεν ἐπὶ τοῖς τοιούτοις οἰκήμασι καὶ λοιποῖς καὶ πάσῃ αὐτῶν τῇ περιοχῇ, οὐ βούλεται ἡ βασιλεία μου ἄλλο τι γενέσθαι ἐπ' αὐτοῖς παρὰ τὰ ἐνταυθοῖ διατεταγμένα· τὴν γὰρ ὅλην μονὴν καὶ τὰ ὑπ' αὐτὴν καὶ περὶ αὐτὴν συστησαμένη ἡ βασιλεία μου ἐξ οἰκείων πολλῶν ἀναλωμάτων καὶ δαπανῶν ἄδειαν ἔχει πάντως διορίσασθαι ἐπὶ τοῖς τοιούτοις ἀκινήτοις τὸ δοκοῦν αὐτῇ, καὶ βούλεται τὸν αὐτῆς διορισμὸν μένειν ἀναλλοίωτον, κἂν πειραθεῖεν ἴσως αἱ μονάζουσαι ἄλλο τι ἐπιχειρῆσαι, ἀπρόσδεκτοι ἔσονται παντὶ δικαστηρίῳ καὶ τῆς μονῆς ἐκδιωχθήσονται αἱ πρωταίτιοι ταῖς ἄλλαις τῆς τοιαύτης ἐπιχειρήσεως.

Κεφ. π'. Περὶ τῶν ὀφειλουσῶν ἔχειν τὴν ἐφορείαν τῆς μονῆς. Ἐπεὶ δὲ ἀπαραίτητον ἦν καί τινα παρ' ἐμοῦ καταστῆναι, ὥστε ἀντιλαμβάνεσθαι τῆς μονῆς καὶ σπουδάζειν ἐν ἅπασιν ἀπαράθραυστα τηρεῖσθαι τὰ ἐν τῷ τυπικῷ διηγορευμένα, καὶ μέντοι καὶ διωρίσατο ἡ βασιλεία μου ἐν τῷ περὶ τῶν ὀφειλόντων ἀντιλαμβάνεσθαι τῆς μονῆς κεφαλαίῳ τὴν περιπόθητόν μου θυγατέρα καὶ πορφυρογέννητον, κυρὰν Εὐδοκίαν, περιέπειν αὐτὴν καὶ διεκδικεῖν ἀπὸ τῶν πειρωμένων ἴσως αὐτῇ ἐπηρεάζειν καὶ σπεύδειν τηρεῖσθαι τῷ ἐν τῷ ἐκτεθέντι παρ' ἐμοῦ τυπικῷ διηγορευμένα ἀπαράθραυστα. ἡ δὲ διὰ τὰς ἁμαρτίας μου, ὡς εἴρηται, τοῦ τῇδε βίου ἐξεδήμησε, διορίζομαι, ἵνα μετὰ τὴν ἐμὴν τοῦ τῇδε βίου μετάστασιν ἔχῃ τὴν ἐφορείαν τῆς μονῆς ἡ ποθεινοτάτη μου πορφυρογέννητος καὶ καισάρισσα, κυρὰ Ἄννα, μετὰ δὲ τὴν παρέλευσιν αὐτῆς ἔχῃ τὴν ἐφορείαν τῆς τοιαύτης μονῆς ἡ περιπόθητός μου πορφυρογέννητος καὶ θυγάτηρ, κυρὰ Μαρία, ἅμα τῇ περιποθήτῳ μου ἐγγόνῃ, κυρᾷ Εἰρήνῃ τῇ Δουκαίνᾳ, τῇ θυγατρὶ τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης. τούτων δὲ μεθισταμένων τοῦ τῇδε βίου περιέρχεσθαι τὴν τοιαύτην ἐφορείαν εἰς τὴν ἑτέραν θυγατέρα τῆς πορφυρογεννήτου, κυρᾶς Ἄννης, ἢ ἐγγόνην ἢ προεγγόνην καὶ ἐφεξῆς, τὰς γὰρ ἐξ αὐτῆς θυγατέρας καὶ ἐγγόνας καὶ προεγγόνας καὶ ἐφεξῆς, ἄχρις ἂν ἡ τοῦ θήλεος γένους αὐτῆς σειρὰ περισώζηται, ἐφορᾶν τὴν μονὴν τῆς Κεχαριτωμένης μου θεοτόκου ἡ βασιλεία μου βούλεται τὴν τῷ χρόνῳ μέντοι πάντως τῶν ἄλλων προέχουσαν. τῆς σειρᾶς δὲ τοῦ θήλεος γένους τοῦ ἀπὸ τῆς πολλάκις ῥηθείσης πορφυρογεννήτου, κυρᾶς Ἄννης, καταγομένου ἐπιλειπούσης τότε ἡ τῆς μονῆς ταύτης ἀντίληψις περιελεύσεται ἀπὸ τοῦ παρόντος ἐγγράφου τῆς βασιλείας μου διορισμοῦ καὶ εἰς μίαν τῶν ἐπί τινι

τῶν ἐκ τῆς πορφυρογεννήτου καταγομένων νυμφῶν, ἤγουν τὴν τοῦ χρόνῳ προήκοντος. καὶ αὖθις ἔσται τοῦτο συντηρούμενον μέχρις ἂν καὶ αἱ ἐπὶ ἄρρεσι νύμφαι ἐκλείπωσι, τούτου φυλαττομένου, τοῦ μὴ τὴν μέλλουσαν τῆς μονῆς ἐφορᾶν μετὰ θάνατον τοῦ οἰκείου συζύγου περιελθεῖν εἰς δεύτερον γάμον. κἂν φθάσῃ ἴσως καταστῆναι εἰς ἐφορείαν, εἶτα πρὸς δεύτερον ἀποκλίνῃ[1]) γάμον, εὐθὺς ἐκπεσεῖται καὶ τῆς ἐφορείας καὶ μεταβήσεται αὕτη εἰς τὴν μετ' ἐκείνην καλουμένην, τῆς διαστίξεως ταύτης ἐπὶ πάσαις φυλάττεσθαι ὀφειλούσης. μετὰ μέντοι καὶ ταύτας ἐκλιπεῖν πάσας, πρὸς τὴν ἀπὸ τῶν ἐπιφανεστέρων τοῦ γένους ἡμῶν, πλὴν οὐχὶ καὶ αὐτὴν τὴν τῷ χρόνῳ τῶν ἄλλων προήκουσαν, ἀλλ' ἣν ἄρα κατὰ καιροὺς αἱρετίσονται αἱ τῇ τοιαύτῃ μονῇ ἐνασκούμεναι μονάζουσαι σὺν τῇ καθηγουμένῃ. καὶ τοῦτο οὕτως συντηρηθήσεται μέχρι παντός, ἄχρις ἂν ὁ παρὼν διαρκοίῃ αἰών.

Ἐν τῇ μονῇ δὲ ἡ τὸ τῆς ἐφορείας δίκαιον ἔχουσα οὐπώποτε ἄλλοτε εἰσελεύσεται, εἰ μὴ ὅτε ἡ ἀκολουθία τῆς ἐκκλησίας γίνεται. καὶ ταύτης συντελουμένης εὐθὺς καὶ αὐτὴ ἐξελεύσεται, εἰ μή που ὁμιλία τις πρόκειται ἀναγκαία καὶ εἰς σύστασιν τῆς μονῆς συντείνουσα, καὶ τότε μετὰ δύο ἢ καὶ τριῶν γυναικῶν. εἰ δὲ καί τινα τῶν ἀρχοντισσῶν συγγενῶν ἡμῶν ἢ καὶ ἑτέραν τύχοι εὑρεθῆναι μετ' αὐτῆς, συνεισελεύσεται καὶ αὐτὴ μόνη εἰς τὴν μονήν, ἀνὴρ δὲ οὐδὲ εἷς, ὅτι ἄβατον εἶναι τὸ μοναστήριον παντάπασιν ἀνδράσι, καὶ αὐτοῖς τοῖς εὐνούχοις διοριζόμεθα καὶ κεκλεισμένον διηνεκῶς. εἰ δέ τινες τῶν ἀρρένων παίδων ἡμῶν καὶ τῶν ἐπὶ θυγατράσι γαμβρῶν ἢ καὶ ἐγγόνων πόθῳ τῷ πρὸς ἡμᾶς ἢ ὑποθέσεως ἕνεκεν τῇ μονῇ ἀναγκαίας θελήσουσιν εἰς τὸ μοναστήριον εἰσελθεῖν, εἰσελεύσονται εἰς τὸ ἐξωνάρθηκον[2]), ἀπὸ τοῦ μέρους τῆς τῆς μονῆς ἀντιλαμβανομένης μετὰ καὶ αὐτῆς αὐτοὶ μόνοι, καὶ στάντες ἄχρι συμπληρώσεως τῆς ἀκολουθίας μετὰ [τὴν] συμπλήρωσιν[3]) ταύτης, ἀπελθουσῶν τῶν μοναζουσῶν εἰς τὸ κοιμητήριον αὐτῶν εἰσελεύσονται εἰς τὴν ἐκκλησίαν, καταλειφθείσης μόνης τῆς ἡγουμένης μετὰ δύο ἢ καὶ τριῶν γηραλεωτέρων μοναζουσῶν εὐλαβῶν, καὶ ὁμιλήσαντες αὐταῖς τὰ προσήκοντα καὶ τῇ Κεχαριτωμένῃ θεοτόκῳ προσκυνήσαντες ἐξελεύσονται. καὶ τοῦτο δράσουσιν ἅπαξ ἢ δὶς τοῦ ἐνιαυτοῦ καὶ κατὰ τὴν ἑορτὴν τῆς θεοτόκου. αἱ μέντοι περιπόθητοί μου θυγατέρες αἱ πορφυρογέννητοι, ἥ τε κυρὰ Ἄννα καὶ ἡ κυρὰ Μαρία, καὶ ἡ ποθεινοτάτη μου ἐγγόνη, κυρὰ Εἰρήνη ἡ Δούκαινα, ἕξουσιν ἄδειαν, ὁπότε καὶ βούλοιντο, ἐν πάσαις ταῖς θείαις συνάξεσιν καὶ ἐν τῷ καιρῷ τῆς ἑστιάσεως συνεκκλησιάζεσθαι καὶ συνεστιᾶσθαι ταῖς μοναζούσαις, πλὴν μετὰ δύο γυναικῶν αὐτῶν ἢ τριῶν. ἡ δὲ θύρα ἡ εἰσάγουσα εἰς [τὴν][4]) τοιαύτην μονὴν ἀπὸ τοῦ μέρους τῶν δεσποτικῶν οἰκη-

---

1) ἀποκλίνει M. 2) ἐξαρ. ut semper M. 3) μετὰ συμπληρώσεως M. 4) Supplev.

μάτων ἔσωθεν μὲν κλεισθήσεται παρὰ τῆς καθηγουμένης, ἔξωθεν δὲ παρὰ τῆς ἀντιλαμβανομένης τῆς μονῆς, πάντων τῶν ἄλλων τῶν διαλαμβανομένων ἐν τῷ τρίτῳ κεφαλαίῳ τῷ περὶ τῆς ἐφορείας ὀφειλόντων τηρεῖσθαι ἀναλλοιώτων ἐς ἀεί †.

Περὶ τοῦ περιορισμοῦ τῆς μονῆς.

Ὁ διαιρέτης τοῖχος τῆς γυναικείας μονῆς τῆς Κεχαριτωμένης ἄρχεται ἀπὸ τοῦ εἰσοδικοῦ πυλῶνος τῆς μονῆς τοῦ κατέμπροσθεν κειμένου τῆς δημοσίας ὁδοῦ τῆς ἐχομένης ἀπὸ τῆς ἁγίας Ἄννης τοῦ Δευτέρου, καὶ διέρχεται πρὸς ἀνατολὰς κρατῶν τὴν αὐτὴν δημοσίαν ὁδόν, καὶ ἀπέρχεται ἄχρι τοῦ παρακελλίου τοῦ νοσοκομείου [1]) τῆς μονῆς τοῦ κατέναντι τοῦ ἄκρου τοῦ ἡλιακοῦ τῶν οἰκημάτων τοῦ δρυὸς (?) τῆς μονῆς. ἔχει μῆκος πήχεις τεσσαράκοντα ὀκτώ, διαιρῶν ἀριστερὰ τὰ οἰκήματα τῆς μονῆς, δεξιὰ δὲ τὴν δημοσίαν ὁδόν, ἀπαγκαλίζει μικρόν, κρατῶν πάλιν τὴν αὐτὴν δημοσίαν ὁδόν, καὶ ἀπέρχεται ἄχρι τῆς ῥυμίδος τῆς ὄπισθεν τῶν κελλίων τῆς πατριαρχικῆς γυναικείας μονῆς τοῦ ἁγίου Νικολάου, ἔχει μῆκος πήχεις πεντήκοντα τρεῖς. διαιρῶν ἀριστερὰ τὰ οἰκήματα τῆς μονῆς, δεξιὰ δὲ τὴν δημοσίαν ὁδόν, κάμπτει πρὸς ἄρκτον κρατῶν τὴν ῥυμίδα, διαιρῶν δεξιὰ τὸν ναὸν τοῦ ἁγίου Νικολάου, ἀριστερὰ δὲ τὰ οἰκήματα τῆς μονῆς, ἔχει μῆκος πήχεις δεκαοκτὼ ἥμισυ, κλίνει πρὸς ἀνατολήν, ἔχει μῆκος πήχεις τρεῖς, νεύει μικρὸν πρὸς ἄρκτον, ἔχει μῆκος πῆχυν μίαν, διέρχεται πάλιν πρὸς ἀνατολὴν μῆκος πήχεις πέντε, πάλιν κάμπτει πρὸς ἀνατολήν, ἔχει μῆκος πήχεις τέσσαρας ἥμισυ, εἶτα πάλιν κλίνει πρὸς ἀνατολάς, ἔχει μῆκος πήχεις τέσσαρας ἥμισυ, πάλιν κάμπτει πρὸς ἄρκτον διαιρῶν δεξιὰ τὰ οἰκήματα τοῦ ἁγίου Νικολάου, ἀριστερὰ δὲ τὰ οἰκήματα τῆς μονῆς, καὶ ἀπέρχεται ἄχρι τοῦ τοίχου τοῦ ἀνωκάτω οἰκήματος τοῦ βεστιαρίου τῆς βασιλείας μου. ἔχει μῆκος πήχεις δώδεκα. κλίνει μικρὸν πρὸς δύσιν, ἔχει μῆκος πήχεις δύο, διέρχεται πάλιν πρὸς ἄρκτον διαιρῶν ἀριστερὰ τὴν ῥυμίδα τὴν ἔμπροσθεν τοῦ ἐργοδοσίου τῆς μονῆς, δεξιὰ δὲ τὰ οἰκήματα τῆς βασιλείας μου, εἰς ὃν τοῖχον ἐπίκειται ὁ ὀμφαῖτος τοῦ βεστιαρίου τῆς βασιλείας μου καὶ ὁ διὰ χαρικοξύλου ἡλιακὸς ὁ κατῖσον τοῦ ἀσκεποῦς ἡλιακοῦ, ἔχει μῆκος πήχεις εἴκοσι τρεῖς, κάμπτει πρὸς δύσιν διαιρῶν ἀριστερὰ τὴν ῥυμίδα καὶ τὸ ἐργοδόσιον τῆς μονῆς, δεξιὰ δὲ τὰ οἰκήματα τῆς βασιλείας μου, ἔχει μῆκος πήχεις δεκαπέντε, κλίνει πρὸς ἄρκτον, διαιρῶν ἀριστερὰ τὸν ἄνετον τόπον τὸν ὄπισθεν τοῦ βήματος τῆς ἐκκλησίας τῆς μονῆς, δεξιὰ δὲ τὰ οἰκήματα τῆς βασιλείας μου, ἔχει μῆκος πήχεις δεκαέξ. πάλιν κάμπτει πρὸς δύσιν διαιρῶν ἀριστερὰ

---

[1]) νοσοκόμου M.

τὸ παράπτερον[1]) τῆς ἐκκλησίας τῆς μονῆς, δεξιὰ δὲ τὸ τετρακαρικόξυλον τῆς βασιλείας μου, ἔχει μῆκος πήχεις ἐννέα, πάλιν κάμπτει πρὸς ἄρκτον διαιρῶν ἀριστερὰ τὸ εἰκονοστάσιον τῆς βασιλείας μου, δεξιὰ δὲ τὸ τετρακαρικόξυλον, ἔχει μῆκος πήχεις δώδεκα, ἐν ᾧ ἐστι καὶ μονό . . .

Finis deest.

† Τὰ ὑποτελῆ ἀμπέλια τῇ ἁγίᾳ μονῇ τῆς ὑπεραγίας θεοτόκου τῆς Κεχαριτωμένης περὶ τὸ ἐκτὸς μέρος διακείμενα τῆς Ζωοδόχου Πηγῆς[2]) †.

	Μοδίων	Νομίσματα	Κεράτια
† Βασιλείος ὁ Καλογερίτης	γ' παρὰ ϛ''	—	κγ'
† Χῆρα ἡ Τζιμνογουλίνου	γ'	α'	—
† Χῆρα ἡ Πλυπερίνου	β' ϛ''	—	κ'
† Δημήτριος Ὀχανώα	ε' ε''	α'	ιη'
† Ἱερεὺς Ὀχανώα ὁ ἀδελφὸς αὐτοῦ	γ' ϛ''	α'	γ'
† Ἀπόστολος[3]) ὁ Λιθογνόμων . . .	ϛ' ι''	α'	ιβ'
† Γούνιος ὁ Κένταρχος	ε'	α'	ιϛ'
† Ἰωάννης ὁ Τζιβίτζουλος	γ' γ'' λεπτὰ γ'	α'	β' ϛ''
† Κώνστας ὁ Γαλώτης	β' δ''	—	ιη'
† Μακάριος ὁ Κουρσάρης	β' η''	—	ιζ'
† Λαμπάδιος ὁ Πανόπλος	δ' ι''	α'	θ'
† Θεωδόρος ὁ Κηπρός	ϛ'	β'	—

Νομίσματα ἔχει ιε' κεράτια ι' ἥμισυ.

† Ἡ χρυσοτέλεια τῆς μονῆς ἡμῶν τῆς ὑπεραγίας θεοτόκου τῆς Κεχαριτωμένης τὰ εἰς τὴν αὐλὴν ἡμῶν.

	Νομίσματα	Κεράτια
† Ὀσπήτιον τοῦ Σοφιανοῦ μετὰ καὶ τῆς περιοχῆς αὐτοῦ[4])	β'	—
† Ὀσπήτιον τῆς Εὐφημίας πλησίον τοῦ Σοφιανοῦ .	—	ιε'
† Ὀσπήτιον τοῦ Βαρδαλῆ εἴτε τῆς Κουρααμένης .	—	ιε'
† Ὀσπήτιον τῆς Καπασοῦς	α'	—

[1]) πταράπτερον cod.: M. proposuit emendationem παραπτ. [2]) Sequentes tabellae codici insertae in charta papyracea vulgari descriptae, non eadem manu, qua reliquum opus, sed longe recentiore et imperitiore. M. [3]) ἀπὸ ϛο M. [4]) Corr. M. ex αὐτῆς.

	Νομίσματα	Κεράτια
† Ὀσπήτιον Ἀγγελίνης τῆς παπαδίας	—	ιβ'
† Ὀσπήτιον τῆς θυγατρὸς αὐτῆς	α'	—
† Ὀσπήτιον τῆς Σουρουμίνας	—	ιβ'
† Ὀσπήτιον τοῦ Γαρατζία	—	ιε'
† Ὀσπήτιον τοῦ Συρόπλου μετὰ τοῦ ἀμπέλου . . .	γ'	—
† Ὀσπήτιον τοῦ Πελσηάνου	α'	—
† Ὀσπήτιον τοῦ Βουτζᾶ	α'	—
† Ὀσπήτιον Θεοδώρας Καθαρῆς τῆς γηροκομιτήσας	—	ιβ'
† Ὀσπήτιον τοῦ Γερακάρη	—	ιβ'
† Ὀσπήτιον τῆς Ῥουδσόας	α'	γ'
† Ὀσπήτιον Θωμαΐδος τῆς ἀνατροφῆς τῆς Τζουκένας	—	ιβ'
† Ὀσπήτιον τοῦ Τζουκί	α'	—
† Ὀσπήτιον τῆς Χανπουρνέας	—	ιβ'
† Ὀσπήτιον τοῦ Καταχαλοῦ τὸ ἔχει ὁ Μαιτιζονίτης	—	ιη'
† Ὀσπήτιον ἕτερον πλησίον τούτου	—	κα'

Νομίσματα ἔχει ιζ' κεράτια ιγ'

† Ἡ χρυσοτέλεια τῆς μονῆς τῆς θεοτόκου τῆς Κεχαριτωμένης τὰ ἐκτὸς καὶ χρονικά

	Λόγος Νομίσματα	Κεράτια
† Τὸ μαγκήπιον — νήκυν	κ'	α'
† Ὀσπίτιον ἐχέ κολα (sic) τῆς ἀποθύκης — νήκυν	β'	ιβ'
† Ὀσπίτιον ποτὲ τοῦ Σοφιανοῦ — νήκυν	ε'	—
† Ὀσπίτιον τοῦ Τζηγούδη	—	ιε'
† Ὀσπίτιον Ψαθὰ τοῦ Σοφιανοῦ	α'	—
† Ὀσπίτιον τοῦ Λατούρου }	α'	—
† Ὀσπίτιον ἐργαστῦρην τοῦ αὐτοῦ }	—	—
† Ὀσπίτιον ἕτερον τοῦ Ταύρου αὐτοῦ	—	ιβ'
† Ὀσπίτιον πλησίον αὐτοῦ — νήκυν	β'	—
† Τῆς Ἀπηδοῦς ὀσπίτια δύο	α'	ιβ'
† Ὀσπίτιον τοῦ Μαυραγάνου	—	κα'
† Ὀσπίτιον τοῦ Μαυριάνου }		
† Ἕτερον τοῦ αὐτοῦ ὁμοῦ }	α'	ιβ'
† Ἡ ἀμπεληκεία }		

	Λόγος Νομίσματα	Κεράτια
† Ὀσπίτιον τοῦ παπᾶ Ζαγάρα	α'	θ'
† Ὀσπίτιον τῆς Θωμαΐς	—	κα'
† Ὀσπίτιον Μιχαὴλ τοῦ Χαραστία	α'	γ'
† Ὀσπίτιον τοῦ Τριανταφύλου	—	ιβ'
† Ὀσπίτιον τοῦ Μαύρου	α'	—
† Ὀσπίτιον τῆς Μυλονήσας	α'	—
† Ὀσπίτιον τοῦ Χαρατζία	—	ιε'
† Καὶ μοδοπουλίου ἀμπελῶν	α'	ιβ'
† Ἰωάννης ὁ Σέρβος μοδοπουλίου ἀμπελῶν	ς'	ιη'
	Νομίσματα ν' κεράτια θ'	

	Νομίσματα	Κεράτια
† Ὁ Παλαιολόγος ἐξ ἀγορασίας ἀπὸ τῆς Ἀπηδοῦς	α'	ιβ'
† Καὶ ἀπὸ τοῦ τέλους τῆς πυγεῖς	ι'	ιβ'
† Καὶ ἀπὸ τὸ ἐργαστῦρην	κ'	—
† Καὶ ἀπὸ τὸν Γαλατάν	γ'	—

Χρονικά.

† Ἔχη ὁ παπᾶς ῥῶγαν τὸν χρόνον	κ'	—
† Ἔχη καὶ ὁ ἀμπεληκὸς τὸν χρόνον	μβ'	—
† Ἔχη καὶ ἡ ἐκκλησία ἔξοδον κηρὸν καὶ ἔλαιον .	ιβ'	—[1]

E codice bibliothecae Parisienis (Cod. reg. Nr. 3019) cum versione latina et notis edidit B. Montfaucon in libro: Analecta graeca sive varia opuscula graeca hactenus non edita. Ex mscr. codicibus eruerunt, latine verterunt et notis illustrarunt Monachi Benedictini congregationis Sancti Mauri. Tomus primus (unicus). Lutetiae Parisiorum. 1688 p. 186. Confer ejusdem Palaeographiam graecam p. 299 et notas in fine voluminis.

---

[1]) Modicam tantum monasterii redituum partem hic recenseri facile intelliget, quisquis animadvertet, omnes pecunias hic computatas vix centum nomismata excedere, e quibus tamen 42 soli vinitori in mercedem quotannis solvebantur. M.

III. 6718—1210, mense augusto, [ind. XIII.].

Typicum monasterii Sanctae Mariae Machaeradis in insula Cypro, editum ab hieromonacho Nilo, episcopo Tamassi, conditore coenobii.

Τυπικὴ διάταξις Νείλου ἱερομονάχου καὶ καθηγουμένου καὶ κτήτορος τῆς σεβασμίας μονῆς τῆς ὑπεραγίας θεοτόκου τοῦ Μαχαιρᾶ.

Πάτερ, εὐλόγησον.

† Ὁ εὐτελὴς Νεῖλος ὁ καὶ[1]) Ταμασέων ἐπίσκοπος οἰκείᾳ χειρὶ προέταξα †.

† α΄. Τὸ τῆς παρούσης ζωῆς ἡμῶν ἐφήμερόν τε καὶ διαρρέον, διδάσκει μὲν ἡμᾶς ἡ θεία γραφή, ἄνθος χόρτου τὰς παροδικὰς ἡμῶν ἡμέρας καλοῦσα, ὡς ἐν τῷ βίῳ μὲν ἐξανθοῦντα, ταχὺ δὲ παρερχόμενα τῇ τοῦ θανάτου τομῇ, διδάσκει δὲ μᾶλλον καὶ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα, δι' ἧς τὸ γένος ἡμῶν καθ' ἑκάστην ὡς ἄσταχυν θεριζόμενον βλέπομεν καὶ πρὸς ἑτέραν λῆξιν μεταπεμπόμενον, οὕτω τῆς προνοίας οἰκονομούσης, ἵνα τοῦ κακοῦ διακοπτομένου ἐντεῦθεν πρὸς θειοτέραν ζωὴν μετασκευαζώμεθα καὶ θείαν ὄντως ἀλλοιωθῶμεν ἀλλοίωσιν, οὕτω τύχωμεν τοῦ καλοῦ καὶ ἄλλο τι θειότερόν τε καὶ ὑψηλότερον εἰς ἡμετέραν ὠφέλειαν. ποῖον δὴ τοῦτο; τὸν ἄδηλον δηλαδὴ καὶ ἀόριστον ὅρον τῆς ἑκάστου ζωῆς, ἵν' οὕτως ἀεὶ ἐμπαράσκευοι ὦμεν πρὸς τὴν ἐνθένδε μετάβασιν, καὶ τὰ καθ' ἑαυτοὺς καλῶς διαθώμεθα, ὥστε τὰς ἡμετέρας γνώμας καὶ μετὰ θάνατον πρὸς τὸ λυσιτελὲς ἐνεργεῖν καὶ στύλας αὐτὰς καθίστασθαι τοῖς μετέπειτα, ὧν ζῶντες ἐβουλευσάμεθα. τοῦτον οὖν τὸν σκοπὸν καθ' ἐμαυτὸν[2]) ἀνελίττων[3]) κἀγώ, καὶ τοῖς οἰκείοις λογισμοῖς πρὸς τὸ ἀπαραίτητον γεγονὼς ὄφλημα πρὸς τὴν παροῦσαν μου τυπικὴν κεχώρηκα διάταξιν, ζῶν καὶ τὰς αἰσθήσεις ἔχων ἐρρωμένας καὶ τὸν νοῦν ὑγιᾶ, χάριτι τοῦ παντοδυνάμου θεοῦ, διατίθημι δὲ οὐχὶ τὰ κατ' ἐμὲ πάντως· τί γὰρ ἐμοὶ ἴδιον, ὅσον ἀπὸ τοῦ νόμου, τῶν δὲ θείων κανόνων καὶ τῆς συνεπαμυνούσης ἐντολῆς, εἰ καὶ δι' ἡμῶν ἡ τοῦ θεοῦ ἄφατος φιλανθρωπία τὰ τῆς ἐπ' ἐμὲ μονῆς εἰς κρείττονα καὶ ὑψηλοτέραν μετεβίβασεν εὐπορίαν τε καὶ κατάστασιν, ὡς κατωτέρω τρανώτερον δηλωθήσεται. ἀλλά γε τὰ κατὰ τοὺς ἄλλους εὐλαβεστάτους μου ἀδελφοὺς διαζωγραφῶ καὶ ὡς ἐμψύχους εἰκόνας προτίθημι, ἅπερ οἶδα λυσιτελεῖν τοῖς ἐμοῖς λογικοῖς θρέμμασι, σωματικῶς τε ἅμα καὶ ψυχικῶς, ἐπειδὴ καὶ χρεία πολλὴ τῆς ἑκατέρωθεν θεραπείας τοῖς τοιούτοις προβάτοις ἐστίν. ὁ μὲν οὖν σκοπὸς τῆς

---

[1]) καὶ ὁ E. [2]) ἑαυτόν E. [3]) ἀναλ. E.

παρούσης διατάξεως τοιοῦτος. πρὸς δὲ καὶ ἑτέρα τις εὔλογος πάνυ αἰτία, ἵνα μὴ κατὰ τὴν ἐμὴν πρὸς κύριον ἐκδημίαν ἁρπαγῆς καὶ ἀναρχίας πάρεργον γένηται ἡ τοῦ προστησομένου προχείρισις[1]), ὅπερ εἴωθεν ἀποτίκτειν τὸ φίλαρχον καὶ ἡ ἐντεῦθεν ὑπανακύπτουσα φιλόνεικος ἔνστασις, ἣν ὁ πονηρός, ἀρχὴν λαβὼν ἀφορμῶν, καὶ ὑποδυόμενος ταύτην, τοῦ σεμνοῦ βίου καὶ τῆς καλλίστης διαγωγῆς θολερὰν ἀνατροπὴν ἐπάγει καὶ σύγχυσιν. ἔτι γε μὴν καὶ ἵνα ὁ ἀρχῆθεν παρακολουθήσας τύπος ἐν τῇ παρούσῃ μου διατάξει καταστρωθεὶς συντηρῆται ἕως τέλους ἀνόθευτος καὶ ἀνακρωτηρίαστος πάντῃ, καθὼς καὶ ἕως τῆς δεῦρο θεοῦ προνοίᾳ πεφύλακται. ἄλλοι μὲν τύποι τῆς καθ' ἡμᾶς ἁγίας μονῆς καὶ ἡ τοῦ μεθ' ἡμῶν ἡγουμενεύσοντος[2]) προχείρισις, αἵ τε αἰτίαι[3]) καὶ οἱ καιροί, καθ' οὓς εἴωθε τελεῖσθαι τὰ τυπικὰ τοῦ καθ' ἡμᾶς κοινοβίου γραφήσονται ἐν ἰδίοις κεφαλαίοις ἐν τῷ παρόντι ἐγχειρήματι, θεοῦ εὐδοκοῦντος καὶ τῆς ἀσπόρως αὐτὸν κυησάσης ἁγνῆς θεομήτορος.

β'. Ἀναγκαῖον δὲ ἐπιμνησθῆναι ἡμᾶς ἐν συνοπτικῇ κοινῇ διηγήσει καὶ παραστῆσαι προτέρω, ὁποῖος ὁ τόπος, ἐν οἷς ἡ καθ' ἡμᾶς εὐαγεστάτη μονὴ ἀρχῆθεν ὑπῆρχεν, καὶ ἣν[4]) ἀλλοίωσιν ἐπὶ τὸ κρεῖττον ἐδέξατο, θεοῦ τοῦ παναγάθου ταῦτα εὐδοκήσαντος. γέρων τις πνευματοφόρος, τοὔνομα Νεόφυτος, τὸν ἀσκητικὸν διάγων δίαυλον, ἐν ταῖς ἐρήμοις ταῖς πρὸς τὸν Ἰορδάνην ἀσκούμενος καὶ ἄκρος γεγονὼς ἀσκητὴς καὶ τὴν ἀρετὴν περιβόητος, καταλείψας τοὺς ἐκεῖσε τόπους ὁ γέρων διὰ [τὴν][5]) τῶν ἀθέων Ἀγαρηνῶν ἐπιδρομὴν καὶ τὴν νῆσον καταλαβὼν καὶ τὸ ὄρος εὑρὼν ἄβατον καὶ τραχὺ καὶ ἔξω πάσης ταραχῆς ἀνθρώπων καὶ πρὸς ἀσκητικοὺς ἀγῶνας ἐπιτήδειον καὶ ἡσύχιον, ᾑρετίσατο[6]) κατοικεῖν ἐν αὐτῷ συνεπόμενον ἔχων καὶ τὸν αὐτοῦ φοιτητήν, τὸν μοναχὸν δηλαδὴ κύριον Ἰγνάτιον, καὶ δὴ[7]) καλύβην πηξάμενος κατῴκουν ὡς πόλιν τὴν ἔρημον, ὑπό τινων δὲ φιλοχρίστων τὴν ἐφήμερον τροφὴν ἐπορίζοντο. καὶ οὕτως ἀγγελικῶς βιούντων μετέστη πρὸς κύριον ὁ τιμιώτατος γέρων, καταλείψας τὴν καλύβην καὶ τὴν μηλωτὴν τῷ νέῳ Ἐλισσαίῳ. οὗτος πονῶν καὶ πιεζόμενος[8]) τῇ ἐνδείᾳ, τὸ κατὰ δύναμιν τὸ τραχὺ τοῦ ἀνωμάλου τόπου ἤρξατο φιλοκαλεῖν καί τινα γηραιὸν ἀσκητὴν προσεδέξατο, τοὔνομα Προκόπιον ἔχων τοῦτον μικρὸν παραμύθιον ἀντὶ τοῦ μεταστάντος πατρός. καὶ ἡ μὲν προθυμία ἐνέαζεν πρὸς τὴν φιλοκαλίαν τοῦ τόπου, ἡ δὲ χεὶρ ἐνάρκει τῇ ἐνδείᾳ πιεζομένη. ἔπεισεν αὐτοὺς λογισμός, πρὸς τὴν Μεγαλόπολιν ἀπελθεῖν καὶ τῷ εὐσεβεῖ αὐτοκράτορι δεηθῆναι καὶ τὴν κατέχουσαν αὐτοὺς ἔνδειαν ἐπιδαψιλεῦσαι τῷ ἐνθέῳ κράτει αὐτοῦ. ὁ δὲ καὶ τῆς δεήσεως αὐτῶν ὑπακούσας, φιλόχριστος

---

1) προχείρησις hic et saepius E. 2) ἡγουμενεύσαντος E. 3) αἰτίαν E. 4) οἷ E.
5) Supplevimus. 6) ἡρετήσατο E. 7) δεῖ E. 8) πεζόμενος E.

τῷ ὄντι καὶ χριστομίμητος [ὢν][1]) ὁ αὐτοκράτωρ καὶ πορφυρογέννητος, κύριος Μανουὴλ ὁ Κομνηνός, ἐπεχορήγησεν αὐτοῖς διὰ θείου καὶ προσκυνητοῦ ὁρισμοῦ τὸ ἐτησίως λαμβάνειν νομίσματα τρικέφαλα πεντήκοντα, ἀλλὰ καὶ τὸ ὄρος καὶ τὰ[2]) πέριξ αὐτοῦ δωρεὰν ἐπεχαρίσατο, ἀλλὰ καὶ τὴν μέλλουσαν ἀνοικοδομῆσαι μονὴν παντὸς προσώπου ἐλευθέραν πεποίηκε, τόν τε κατὰ τὴν ἐνορίαν ἀρχιερέα διεκώλυσε δι' ἑτέρου προστάγματος τοῦ μή τινα ἐξουσίαν ἔχειν κατὰ τῆς μονῆς καὶ τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν, ἀλλὰ μόνην τὴν ἀναφορὰν ἔχειν [ἐκέλευσε][3]) καὶ τοῦ θεοῦ συναντιλαμβανομένου αὐτοῖς. ἀνῳκοδόμησαν [οὖν][4]) τὸ εὐκτήριον εἰς ὄνομα τῆς ὑπεραγίας θεοτόκου τιμώμενον καὶ κελλίων ὀλιγοστῶν γέγονε περιποίησις. ὁ δὲ δηλωθεὶς γηραιὸς[5]) καὶ αὐτὸς μετέστη πρὸς κύριον. ἀπολειφθεὶς τοίνυν ὁ μοναχὸς κῦρις Ἰγνάτιος μετά τινων ἀδελφῶν οὐ πλείους τῶν πέντε ἢ ἓξ ἦν τὰ τῷ θεῷ φίλα ἐργαζόμενος· καὶ γὰρ ὁ ἀληθὴς ἄνθρωπος τοῦ θεοῦ οὐ τὸ ἑαυτοῦ συμφέρον ἐζήτει, ἀλλὰ [τὸ][6]) τῶν ὑπ' ἐκείνου ποιμαινομένων ἀνδρῶν· ὅλος γὰρ ὢν πνευματικὸς ὁ ἀνὴρ τοὺς ὑπ' αὐτὸν πάντοτε ἐστήριζεν τοῦ γενναίως φέρειν τὰ ἐπίπονα τῆς ἀσκήσεως. οὕτως ἡ φήμη τοῦ ἀνδρὸς[7]) διέθεε καὶ ὡς πρὸς ὀσμὴν μύρου τῶν αὐτοῦ φημι ἀρετῶν πάντες ἔθεον πρὸς αὐτόν. τούτῳ τῷ τρόπῳ κινηθεὶς κἀγὼ ὁ ἐλάχιστος ὤφθην μετὰ τὸ ἑξάκις χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἔτος ἀπὸ τῆς τοῦ κόσμου κτίσεως· ἔρως γὰρ κατέλαβέ με πολὺς τοῦ τοὺς ἁγίους τόπους ἰδεῖν καὶ προσκυνῆσαι καὶ τοῖς ἐκεῖσε πατράσιν ἐν ὑποταγῇ καταβιῶσαι. καὶ δὴ[8]) θᾶττον τὸ βούλημα ἔργον ἐγεγόνει, καὶ διαπλεύσας τὸν πλοῦν καὶ τὴν νῆσον καταλαβὼν καὶ πρὸς φιλαρέτους ἄνδρας εἰς συντυχίαν ἐλθὼν τὸ ἀθόρυβον τῆς νήσου ἐγκωμιάζοντας καὶ τὸν ἐρημότερον τόπον πρὸς ἄσκησιν εἶναι ἐπιτηδείως τοῖς βουλομένοις, εἱλόμην τοῖς λόγοις τῶν θαυμασίων ἀνδρῶν [πείθεσθαι][9]), καὶ τούτοις δεηθεὶς καὶ ἐκλιπαρήσας τοῦ ἐπιδεῖξαί μοι τόπον ἐφήσυχον. καὶ εἴξαντες τῇ εὐτελεῖ μου αἰτήσει αὐτοὶ καὶ τὸν τόπον καὶ τὸν γέροντα ὑπέδειξαν. ἐγὼ δὲ τὴν συνήθως τοῖς μοναχοῖς βαλὼν μετάνοιαν καὶ τὰ τοῦ σκοποῦ κατάδηλα τούτῳ πάντα ποιήσας ἔμεινα σὺν αὐτῷ καταριθμηθεὶς τοῖς λογικοῖς προβάτοις αὐτοῦ. ἔσχον δ' αὐτὸν πατέρα πνευματικὸν καὶ τῶν πρακτέων καθηγητὴν καὶ τῶν καλῶν πάντων σωτήριον διδάσκαλον καὶ πρὸς τὴν ὁδὸν τῆς μοναδικῆς πολιτείας χειραγωγὸν ἀπλανῆ καὶ τοῖς θεαρέστοις αὐτοῦ ὑπείκων ἀεὶ θελήμασιν· ἀπαρνησάμενος γὰρ παντάπασι τὸ οἰκεῖον θέλημα εἰς πάντα γέγονα τὸ ἑαυτοῦ, χείρ, πούς, βακτηρία τοῦ γήρους, συναντιλαμβανόμενος καὶ συμπονῶν αὐτῷ πρὸς

1) Supplevimus. 2) τό E. 3) Supplevimus. 4) Supplevimus. 5) γηρεός E. 6) Supplevimus. 7) τὸν ἄνδρα E. 8) δεῖ E. et saepius. 9) Supplevimus.

τὴν τῆς μονῆς περιποίησίν τε καὶ σύστασιν. ἀλλὰ καὶ τῆς νήσου πιεζομένης τῷ λιμῷ καὶ αὐχμῷ ἐξαποσταλὴν παρ' αὐτοῦ εἰς τὰ τῆς Κιλικίας μέρη πρὸς διακονίαν καὶ ἐπισιτισμὸν τῶν σὺν ἐμοὶ ἀσκουμένων συναδελφῶν, ἀλλὰ καὶ πᾶσαν διακονίαν τῆς μονῆς διηκόνησα παρ' ὅλην τὴν ἐκείνου ζωήν· καὶ γὰρ κατὰ γνώμην αὐτοῦ καὶ θέλησιν πάντα ἔπραττον, ἐκεῖνος δὲ εὑρών με θεοῦ χάριτι πάντα πρὸς θεραπείαν αὐτοῦ καὶ φρονοῦντα καὶ πράττοντα, τί ποιεῖ; διάταξιν ἐκθέμενος ἔγγραφον εἰς προστασίαν με τῶν ἀδελφῶν ἐξελέξατο, τὸ τῆς προστασίας καὶ τῆς ἡγουμενίας τὸ λειτούργημα ἀναθέμενος. κἀγὼ τοίνυν, εἰ καὶ φορτικὸν ἴσως δόξειε τὸ μέλλον ῥηθήσεσθαι, οὐ φορτικὸν δὲ πάντως τοῖς εἰδόσιν τὰ κατ' ἐμέ. τὴν προστασίαν ἀνεβαλόμην ὅλος σύνδακρυς γεγονὼς καὶ τῇ γῇ προσερείσας[1]) τὸ πρόσωπον τῆς προστασίας τὸ βάρος ἐζήτουν ἀπορρίψασθαι. ὁ δὲ ἠπίαις τισὶν καὶ μελιρρύτοις διδαχαῖς ἀνεκτήσατο. οὐ δίκαιον, ἔφη, τέκνον, τοῖς τοῦ θεοῦ ἀνεφίκτοις κρίμασιν ἀντιτείνειν ἢ ἀντιλέγειν τὸ σύνολον· ἃ γὰρ ὁ θεὸς βεβούλευται, τίς ἱκανὸς διασκεδάσαι, ὡς γὰρ οἶδεν ἡ ἄφατος αὐτοῦ εὐσπλαγχνία, οὕτω τὰ κατὰ σὲ οἰκονομήσει, ὥστε τὸν τραχὺν καὶ αὐχμηρὸν τοῦτον τόπον ὑπὸ σοῦ λαμπρυνθῆναί τε καὶ φαιδρυνθῆναι καὶ πολλῶν ψυχῶν γενήσει πρόξενος σωτηρίας καὶ εἰς πλατυσμὸν ἀγάγης θεοῦ εὐδοκοῦντός σοι καὶ τῆς ἁγνῆς θεομήτορος τὸ ἀφανὲς καὶ μικρὸν τοῦτο ποίμνιον, καὶ ὅρους καὶ τύπους ἐκθήσεις αὐτοῖς εἰς μοναδικὸν βίον καὶ ἀσφάλειαν ἄγοντας[2]). ἔχεις ἀεὶ συνευδοκοῦντά σοι τὴν χάριν τοῦ ἁγίου πνεύματος καὶ τὰς εὐχὰς τῶν ἁγίων πατέρων ἡμῶν. ἐγὼ δὲ τὴν συνήθη βαλὼν μετάνοιαν ᾔτουν συγγνώμην καὶ τὸ πᾶν ἐπὶ θεῷ ἀνεθέμην, ὁ δὲ τοὺς ὀφθαλμοὺς πλήσας δακρύων καὶ πρὸς τὸν πάντα ἐφορῶντα ἀναβλέψας καὶ συγγνώμην ἔνειμεν καὶ ἐπηύξατο τοῦ δοθῆναι ἡμῖν δύναμιν ἐξ ὕψους. ἐγὼ δὲ τῆς ἐκείνου νουθεσίας καὶ γνώμης εἰχόμην καὶ οὔτε ἐκεῖνος τῶν ἐπ' ἐμὲ ἐλπίδων διήμαρτεν, οὔτε μὴν ἔγωγε ἀπέτυχον, ὥσπερ ἐπὶ θεῷ πέποιθα τῶν ἐκείνου ἁγίων εὐχῶν, δι' ὧν ἕως τοῦ νῦν συντηρούμεθα, εἰς ἐπίδοσιν μᾶλλον ἔσπευσα προελθεῖν, εὐδοκίᾳ θεοῦ, τὴν ὑπ' ἐμὲ σεβασμίαν μονήν.

γ'. Ἀλλ' ἀναγκαῖον δὴ ἐπισυνάψαι τῇ διηγήσει τὰ μετὰ τὴν τοῦ πατρὸς κοίμησιν καὶ ὅπως αὖθις ἐν στενῷ περιέστη τὰ τῆς μονῆς καὶ οἷον ἐν τοῖς ἀπόροις πόρον ὁ θεὸς ἡμῖν ἐδωρήσατο· αὐτοῦ γάρ ἐστιν ἡ ἀψευδὴς ἐκείνη φωνή, ἥ φησιν· „οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείψω". ἧς τῇ ἐλπίδι μετήλθομεν εἰς ἀναψυχὴν ἀπὸ τῆς πολλῆς ὀλιγωρίας καὶ καταιγίδος, ἣν ἡμῖν ἡ τῶν ἡμετέρων ἁμαρτημάτων πληθὺς προεξένησε διὰ τὸ ἀομβρίᾳ κατασχεθῆναι τὴν νῆσον

---

[1]) προσερρίσας E. [2]) ἄγοντα E.

ἐπὶ τρισὶ χρόνοις καὶ πάντας συντριβῆναι καὶ ἀφανισθῆναι. ἡμᾶς δὲ ἡ ἄφατος αὐτοῦ φιλανθρωπία ἀντελάβετο καὶ δαψιλῶς ἐπεχορήγησεν ἅπαντα τρόπῳ τοιῷδε· καὶ γὰρ τῶν φιλοχρίστων καὶ πιστῶν ἀνθρώπων τινὲς συνήργησαν εἰς ἐπικουρίαν ἡμῖν [1]), καὶ προσόδους ἐξ οἰκείων κτημάτων ἀφιέρωσαν τῇ μονῇ [ἀκινήτων] [2]) καὶ αὐτοκινήτων, ἃ καὶ δεσπόζονται παρ' ἡμῶν, τὴν ἐκκλησίαν τε ἀνηγείραμεν [3]) καὶ φαιδρῶς ταύτην κατεκοσμήσαμεν, ἣ καὶ ὁρᾶται τὴν σήμερον. ὡσαύτως καὶ ἡ νῦν ὁρωμένη τράπεζα, χάρακά τε κύκλῳ αὐτῆς πεποιήκαμεν καὶ κέλλας ἀνῳκοδομήσαμεν [4]) εἰς οἵαν νῦν ὁρᾶται κατάστασιν. ὁ δύσβατος οὖν ἐκεῖνος τόπος καὶ σκολιὸς μετημείφθη μετὰ πολλοῦ κόπου εἰς ὁμαλότητα καὶ κοινόβιον ἀποκαταστήσαμεν, Χριστοῦ χάριτι, συνεργούσης ἡμῖν ἐφ' ἅπασι τῆς ἁγνῆς θεομήτορος, ἐπιχορηγήσει δὲ καὶ εἰς τὸ ἑξῆς, καθὼς καὶ πεποίθαμεν καὶ ἐπεύχομαι. ἐπεὶ δὲ καὶ κανονικὴν ἀκολουθίαν εἰκὼς ἦν ἡμᾶς ἀναλαβέσθαι καὶ σταυροπήγιον ἐπὶ τῇ ἀνεγέρσει καὶ καθιερώσει τοῦ θείου ναοῦ, τοῦτο δὴ καὶ πεποιήκαμεν καὶ σταυροπήγιον ἐλαβόμην παρὰ τοῦ πανιερωτάτου ἐπισκόπου Ταμασίας, κυροῦ Νικήτα τοῦ Ἁγιοστεφανίτου, κατὰ τὸν θεῖον καὶ προσκυνητὸν ὁρισμὸν τοῦ εὐσεβοῦς βασιλέως, κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, τοῦ ἔχειν [τὸν ἐπίσκοπον] [5]) τὴν ἀναφορὰν καὶ μόνην. ἀλλὰ καὶ ὁ μακαρίτης ἐκεῖνος πατὴρ ἡμῶν, μοναχὸς κῦρις Ἰγνάτιος, οὕτως διετάξατο πρὸ τῆς αὐτοῦ πρὸς κύριον ἐκδημίας, τὸν [6]) κατὰ τὴν ἐνορίαν ἀρχιερέα ἔχειν τὴν ἀναφορὰν καὶ μόνην κατὰ τὸν θεῖον καὶ προσκυνητὸν ὁρισμὸν καὶ τὴν προχείρισιν τοῦ κατὰ τὴν ἡμέραν ἡγουμενεύοντος, ὅνπερ πρότερον οἱ ἀδελφοὶ ἐκλέξονται καὶ ψηφίσονται, ὡς δόκιμον ὄντα [7]) τῆς προστασίας, τοῦτον αὐτοῖς προχειρίσεται, μὴ κατά τινα ἀνακρίνας τὸν ψηφισθέντα, ὅπερ καὶ πεποίηκεν ὁ πανιερώτατος ἐκεῖνος, κῦρις Νικήτας ὁ Ἁγιοστεφανίτης. αὐτὸς ἡμῖν καὶ τὴν προχείρισιν δέδωκε καὶ τὴν διάταξιν τοῦ πατρὸς οἰκείαις χερσὶν ἐπιστώσατο καὶ τοὺς μετ' αὐτὸν [8]) ἐπιτιμίοις φρικωδεστάτοις κατέδησε· εἰ δ' ἴσως πειραθῇ τις ἀπὸ τῶν κατὰ καιρὸν τοὺς οἴακας τῆς ἁγιωτάτης ἐπισκοπῆς ἀναδεξαμένων ἐπιβαλεῖν χεῖρα προφάσει τοῦ σταυροπηγίου καὶ τῆς ἀναφορᾶς, μὴ εἰσακουέτω, ἀλλὰ τὸν κατὰ καιρὸν ἐνεργοῦντα ἐκ προσώπου τοῦ ἁγίου ἡμῶν βασιλέως οἱ ἀδελφοὶ δεηθήσονται καὶ τὸ παρὸν τυπικὸν αὐτῷ ὑποδείξουσι, καὶ τὴν ὁρμὴν ἀναστείλῃ τοῦ πειραζομένου κινεῖν τὰ ἀκίνητα. τοῖς δέ γε στέργουσι καὶ ἐμμένουσιν εἰς τὴν ἄνωθεν παρακολουθοῦσαν συνήθειαν διορίζομαι ἔχειν τὴν ἀναφορὰν ἐν πάσαις ταῖς ἑσπεριναῖς καὶ ὀρθριναῖς δοξολογίαις καὶ συνάξεσι ζῶντας καὶ μετὰ θάνατον. ἐντελλόμεθα

---

1) ἡμᾶς E. 2) Supplendum videtur. 3) ἀνεγ. E. 4) ἀνοικ. E. 5) Supplevimus. 6) ὅτι τὸν E. 7) εἶναι E. 8) αὐτοῦ E.

δὲ πᾶσιν ἀπὸ θεοῦ παντοκράτορος ἐλευθέραν τηρεῖσθαι καὶ ἀκαταδούλωτον τὴν παρ' ἡμῖν ἐκ βάθρων ἀνεγερθεῖσαν ἁγίαν ταύτην μονήν, αὐτοδέσποτον καὶ μηδέ τισιν ὑποκειμένην[1]) δικαίοις τυχὸν βασιλικοῖς ἢ ἐκκλησιαστικοῖς ἢ προσωπικοῖς, ἀλλ' ὑπὸ μόνῳ θεῷ καὶ τῇ ἀχράντῳ αὐτοῦ μητρὶ καὶ τοῦ κατὰ τὴν ἡμέραν ἡγουμενεύοντος ἐφορᾶσθαι[2]) καὶ κυβερνᾶσθαι καὶ διιθύνεσθαι. εἰ δὲ καί τις βουληθείη ποτὲ καθ' οἱονδήτινα τρόπον ἐν οἱῳδήποτε χρόνῳ καταδουλώσασθαι ταύτην ἢ ὑπαγαγέσθαι ἢ ὑπ' ἐξουσίαν τινὸς ποιήσασθαι, οἷος ἂν καί ἐστι τῶν πάντων ἀνθρώπων, ὁ τοῦτο τολμήσας ἔνοχος ἔστω τῷ θείῳ σώματι καὶ αἵματι τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὴν ἁγνὴν θεομήτορα ἀντίδικον καὶ πολέμιον ἕξει ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, αὕτη δὲ πάλιν ἐλευθέρα πάσης ἐξουσίας ἀνθρώπων διαμείνῃ.

δ'. Ἀναγκαῖον δὲ πρὸς τὸν εἱρμὸν καὶ τὴν ἀκολουθίαν τῆς διηγήσεως ἐπισυνάψαι τὰ ἐλλείποντα πρὸς τοῖς ἀνωτέρω ῥηθεῖσι· καὶ γὰρ ἐξαπεστάλησαν ἀφ' ἡμῶν ἀδελφοὶ πρὸς τὸν εὐσεβῆ αὐτοκράτορα κῦριν Ἰσαάκιον τὸν Ἄγγελον, καὶ τῇ αὐτοῦ βασιλείᾳ δεηθέντες ἐπεκυρώθησαν τὰ χρυσόβουλλα τοῦ ἀοιδίμου βασιλέως [κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ][3]) διὰ τῆς θείας αὐτοῦ χειρός, οὐ μὴν δέ, ἀλλὰ καὶ κῆπον ἀπεχαρίσατο τῇ ἡμετέρᾳ μονῇ ἀπὸ τῶν κατὰ τὴν Λευκοσίαν βασιλικῶν καὶ ἐκκοπὴν νομισμάτων ὑπερπύρων δώδεκα. ἀλλὰ δὴ καὶ ὁ φιλόχριστος τῷ ὄντι καὶ χριστομίμητος αὐτοκράτωρ, κῦρις Ἀλέξιος ὁ Ἄγγελος, ἐπόριζε τῇ ἡμῶν ἁγίᾳ μονῇ διὰ θείου καὶ προσκυνητοῦ χρυσοβουλλίου πάντων τῶν ὁθενδήποτε προελθόντων τῇ μονῇ ἀκινήτων πραγμάτων παντελῆ ἀτέλειαν καὶ ἐλευθερίαν ἐδωρήσατο εἰς τὸν αἰῶνα τὸν ἅπαντα σὺν παροίκοις εἴκοσι καὶ τέσσαρσιν, οὓς καὶ διορίζομαι ἔχειν τὸ μνημόσυνον οὐ κατὰ τὸ ἐξ ἔθους λεγόμενον τό· „ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων", ἀλλ' ἰδίως ἐν ταῖς ἁπάσαις λιταῖς τῆς ἀγρυπνίας μετὰ τὸ εἰπεῖν· „σῶσον, ὦ θεός, τὸν λαόν σου"· ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως „κύριε ἐλέησον κ'" καὶ μετὰ τὸ μεσονύκτιον, καθὼς κατωτέρω δηλωθήσεται. ἐπεὶ δὲ καὶ παρὰ πιστῶν καὶ φιλοχρίστων ἀνδρῶν ἕτερά τινα ἀκίνητα ἀφιερώθησαν τῇ μονῇ, περὶ αὐτῶν[4]) κατ' εἶδος ἡ ἰδιάζουσα πάντως παραστήσει γραφή.

ε'. Πρὸ πάντων φημὶ τῶν ἄλλων τὸ κάλλιστον καὶ ὑψηλότατον κεφάλαιον, λέγω δὴ [τὴν][5]) τῆς ἁγίας ἐκκλησίας, φωτολαμπῆ δᾳδουχίαν διορισόμεθα, κατώτερον δὲ τρανώτερον σαφηνίσομεν[6]) περὶ ψαλμῳδίας καὶ τῆς λοιπῆς καταστάσεως.

---

[1]) ὑποκειμένοις E. [2]) ἀφορᾶσθαι E. [3]) **Supplevimus ex antecedentibus.** [4]) ὧν τό, περὶ **deest** E. [5]) **Supplevimus.** [6]) διορισώμ. — σαφηνίσωμ. E.

ἐπὶ ταῖς καθ' ἑκάστην δοξολογίαις καὶ πάσαις συνάξεσιν τέσσαρσι[1]) λαμπάσιν, ὡς σύνηθες, αὐγασθήσονται, οὐ μὴν δέ, ἀλλ' ἰσαρίθμους καὶ ἀκοιμήτους νύκτωρ τε καὶ μεθ' ἡμέραν κανδήλας ἐφάψονται ἐν ἑκατέροις τοῖς ἁγίοις θυσιαστηρίοις καὶ τοῖς ἱεροῖς καὶ θείοις προσκυνήμασι σὺν ταῖς[2]) τοῦ χοροῦ δώδεκα καὶ ταῖς δυσὶ τοῦ νάρθηκος, αἳ ἕξουσι τὸ ἐπάρδον αὐταῖς ἔλαιον ἀνυστερήτως, ὡς σύνηθες. τὰς δὲ εὐσήμους καὶ λαμπρὰς ἑορτὰς λαμπρῶς ἑορταστέον, κατ' ἐξαίρετον δὲ τὴν τῶν Ἁγίων Εἰσοδίων· τῆς γὰρ πύλης ἀνοιγομένης πάντας τοὺς παραβαλόντας μετὰ χαρᾶς δεχθησόμεθα καὶ φιλοφρόνως αὐτοὺς ἀναπαύσομεν καὶ δαψιλῶς εὐφρανθήσονται· οὕτω γὰρ ποιοῦντες ἕξετε τὸ θεῖον δαψιλῶς ἐπιχορηγοῦν[3]) ἡμῖν τὴν εὐλογίαν ἑκατονταπλασίονα κατὰ τὴν ἀψευδῆ αὐτοῦ καὶ θείαν φωνήν. τὰς δὲ ἑτέρας καὶ θείας ἑορτὰς τῆς ἁγίας δεσποίνης ἡμῶν θεοτόκου, ἤτοι τὸ Γενέθλιον, τὴν Σύναξιν, τὴν Ὑπαπαντὴν καὶ τὴν τοῦ Εὐαγγελισμοῦ, καθὼς ἀνωτέρω δεδήλωται, οἱ ἀδελφοὶ μετὰ τοῦ προεστῶτος καὶ ἑορτάσουσι καὶ παρακληθήσονται οἴκοθεν· ἰχθύας γὰρ αὐτοῖς ὀψωνιστέον[4]), καὶ εὐλογία δοθήσεται οἴνου κατὰ τὸ σύνηθες καὶ δαψιλῶς εὐφρανθήσονται. ἀλλὰ καὶ τὴν παγκόσμιον ἑορτὴν τῆς Κοιμήσεως ἑορταστέον λαμπρῶς, πλὴν οὐχ ὡς τὰ Ἅγια τῶν Ἁγίων, ἀλλὰ δώδεκα μόνον ἱερεῖς προσκλητέον καὶ τὴν ἔξοδον τῆς κυρίας ἡμῶν ἑορταστέον καὶ τοῖς πένησι ἐπιμελητέον τὸ κατὰ δύναμιν. καὶ μὴ ἔνδειαν προβαλεῖτε καὶ τὴν τῶν εἰσοδιαζομένων σπάνιν· ἀφθονωτέρους γὰρ τὰς ἐπικτήσεις πρὸς τὰς ἀναλογούσας ἐξόδους τῇ μονῇ πεποιήκαμεν καὶ ἀφιερώματα διὰ πρεσβειῶν τῆς ὑπεράγνου θεοτόκου. ἐν αὐτῇ τῇ ἑορτῇ οὖν καταλύομεν σταφυλάς, καθὰ καὶ τὸ τῆς ἐκκλησίας διέξεισι τυπικόν.

δ'. Ἐπειδὴ δὲ τὴν ἁγίαν ταύτην μονήν, πῆξιν λαβοῦσαν αἰσίαν[5]), ἐχρῆν καὶ τύπον ἔχειν καὶ κανόνα ἠκριβωμένον τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ τῆς ἄλλης τοῦ κοινοβίου διαγωγῆς, τὰ μὲν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως ἰδιαζόντως ἀνεγραψάμεθα, ἀναγκαῖον δὲ καὶ ὅσα μὲν ἐκείνῳ παρελείφθη τῷ τόμῳ, ἐκ παραδόσεως δὲ καὶ εἰς ἡμᾶς μετηνέχθη παραδοῦναι γραφῇ, τοῦτο μέν, ἵν' εἶεν πᾶσιν εὐσύνοπτα, τοῦτο δέ, ἵνα μὴ ὑπονοθεύηταί τι παρά τινός· προσεκτέον τοιγαροῦν ἀκριβέστατα τοῖς ῥηθησομένοις, ὧν ἄρξασθαι βουλόμεθα, ὅθεν ἄμεινον, ἄμεινον δὲ ἀπὸ τῆς τὸ φῶς ἡμῖν ἐφαπλούσης ὥρας, ἥτις ἡ πρώτη τῆς ἡμέρας ἐστί· δεῖν δὲ οἶμαι πάντως τοὺς περίεργον φωτὸς τὴν ἐξήγησιν ποιουμένους ἀπὸ φωτὸς ἄρξασθαι. χρὴ τοίνυν μετὰ τὴν ὀρθρινὴν δοξολογίαν συνημμένως ψάλλεσθαι ἀφ' ἡμῶν τὴν πρώτην ὥραν, ὡς σύνηθες, καὶ μετὰ τὸ τέλος αὐτῆς τοῦ εἰωθότος

---

1) τέτρασι E. 2) τοῖς E. 3) ἐπιχορηγόν E. 4) ψωνιστέων E. 5) πῆξιν λαβοῦσαν τὴν ἁγίαν ταύτην μονὴν E.

τελουμένου ἐν τῷ νάρθηκι τρισαγίου λέγει ὁ ἱερεύς· „εὔξασθε ὑπὲρ τοῦ ἁγίου πατρὸς ἡμῶν καὶ ὑπὲρ τῶν ἁγίων πατέρων ἡμῶν καὶ κτητόρων", καὶ μετὰ τὴν συμπλήρωσιν ἐν τοῖς κελλίοις ἡμῶν ἀπιέναι, πάσης ἀφεμένους συνελεύσεώς τε καὶ ματαίας ἀπασχολίας, ἀργολογίας τε καὶ γέλωτος ἀτάκτου, ἀφ' ὧν τί συμβαίνει; τὸ καὶ εἰς αἰσχρολογίας δηλονότι παρεκπεσεῖν καὶ λοιδορίας καὶ κατακρίσεις, ὡς ἐντεῦθεν τὸν . . .[1]) πρὸς δὲ τὸν δωδεκαήμερον τῶν Χριστοῦ Γέννων καὶ τὴν πεντηκοστὴν ἅπασαν, ἔτι γε μὴν καὶ πάσας τὰς δεσποτικὰς ἑορτὰς καὶ τὰς[2]) τῶν δώδεκα ἁγίων ἀποστόλων καὶ πάντων τῶν μεγάλων ἁγίων μνήμας[3]), ἐν αἷς εἰώθαμεν ἀγρυπνίας ποιεῖν, ὡσαύτως καὶ τὸ ψάλλειν τὰ μεσώρια ἐν τοῖς κελλίοις, ἀλλὰ καθ' ὅλην τὴν ἁγίαν πεντηκοστὴν αὐτὰ φυλαξώμεθα κατὰ τὴν πρώτην ἑβδομάδα ταύτης καὶ τὴν ἐσχάτην, τῆς διακαινησίμου τέ φημι καὶ τὴν τοῦ ἁγίου πνεύματος. κρουομένου τοίνυν τοῦ συμβόλου κατὰ καιρὸν τὸν προσήκοντα συνάγεσθαι δεῖ πάντας ἐν τῷ νάρθηκι κἀκεῖσε ψάλλειν ὁμοῦ τὴν τρίτην ὥραν καὶ τὴν ἕκτην μετὰ τῶν μεσωρίων. κατὰ μέντοι τὴν ἔναρξιν τῆς ἕκτης ὥρας δεῖ ποιεῖν γονυκλισίαν τῷ προεστῶτι τόν τε ἱερέα καὶ τὸν διάκονον τοὺς τὴν ἐφημερίαν ἔχοντας καὶ τὸν κανδηλάπτην σὺν αὐτοῖς καὶ τοὺς μὲν συνέρχεσθαι εἰς τὸ ἅγιον βῆμα ποιήσοντας τὴν θείαν προσκομιδήν, τὸν δὲ ἀπέρχεσθαι κρούσοντα τὸν μέγαν σημαντῆρα. ἀλλὰ τῆς μὲν τρίτης καὶ ἕκτης ὥρας ἐν ταῖς ἀπολελυμέναις ὥραις τοῦ ἐνιαυτοῦ ὧδέ πως ἐχέτω. ῥητέον δὲ ἄρα καὶ περὶ τῆς θείας μυσταγωγίας, ἥτις χρεωστικῶς καθ' ἑκάστην ὀφείλει τελεῖσθαι, πλὴν ἀλλ' ἐν ταύτῃ προσεκτέον, ἀδελφοί, ἀσφαλῶς ἑαυτοῖς, ὅτι τε θεῖα τὰ ἐν αὐτῇ τελούμενα καὶ φρικώδη καὶ ὅτι μᾶλλον τῶν ἄλλων ταύτῃ τὸ φρικτόν τε καὶ ὑπέρμεγα τῆς ὀρθοδόξου καὶ θείας ἡμῶν πίστεως τελεσιουργεῖται μυστήριον, ἡ θειοτάτη φημὶ καὶ ὑπέρτιμος ἱερούργησις τοῦ παναχράντου σώματος καὶ αἵματος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐν αὐτῇ οὖν, ὡς εἴρηται, προσεκτέον ἐν ἑαυτοῖς, ἀδελφοί, ἀκριβῶς ὅτι καὶ μάλιστα καὶ πάντα λογισμὸν ζιζανιώδη τε καὶ ἀκάθαρτον καὶ τῆς φρικτῆς ἐκείνης ἱερουργίας ἀνάξιον ἀφ' ὑμῶν ἐκδιωκτέον καὶ παντὶ τρόπῳ ἑαυτοὺς καθαρτέον καὶ οὕτω τε τῶν θείων ἁγιασμάτων μεταληπτέον τοῖς ὅσοις ἄρα καὶ παρὰ τοῦ προεστῶτος συγκεχώρηται· οὐδὲ γὰρ ἐξέσται ὑμῶν τινι ἀδεῶς οὕτω καὶ ἀκρίτως, οὐδὲ κατὰ πᾶσαν ἡμέραν μεταλαμβάνειν· βουλόμεθα[4]) μὲν γὰρ τοῦτο αὐτό, συνεχῶς μετέχειν τῶν θείων ἁγιασμάτων ὡς συνεχῶς ἔτι μετέχειν καὶ τῆς ζωῆς, καθά φησι καὶ αὐτὸς ὁ Χριστὸς „ὁ τρώγων μου τὴν σάρκα καὶ

---

[1]) Deest hic in codice folium. [2]) αὐτάς E. [3]) καὶ πάντων ἁγίων μνήμας μεγάλων E. [4]) ἐβουλόμεθα E.

πίνων μου τὸ αἷμα, ἐν ἐμοί μένει κἀγὼ ἐν αὐτῷ“· καὶ πάλιν· „ἐὰν μὴ φάγητέ μου τὴν σάρκα καὶ πίητε μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς“. καὶ ὁ θεῖος ἀπόστολος· „ὁ κολλώμενος τῷ θεῷ ἓν σῶμά ἐστιν“, ὥσπερ καὶ τοὐναντίον „οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται“, Δαβὶδ δὲ ὁ θεῖός φησιν· βουλόμεθα μὲν οὖν, ὡς εἴρηται, τοῦτο, ἀλλὰ διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν καὶ τὸ τοῦ πράγματος δυσχερὲς οὐκ ἐπιτρέπομεν· „ὁ γὰρ ἀναξίως ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου ἔνοχος ἔσται τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος“, φησὶν ὁ θεῖος πνευματορήτωρ καὶ πρῶτος τῶν ἀποστόλων Παῦλος. φοβερόν, ἀδελφοί μου, τὸ ῥῆμα καὶ τρέμειν τὴν μετάληψιν οὐ τοὺς κατ᾽ ἐμὲ ἁμαρτωλούς, ἀλλὰ καὶ τοὺς λίαν ἑαυτοῖς θαρροῦντας πείθει· ἐκείνους τοιγαροῦν ἅπαξ τῆς ἑβδομάδος μεταληπτέον, ὅσοιπερ ἑαυτοὺς ἴσασι καθαρεύοντας τῶν αἰσχρῶν λογισμῶν καὶ τῆς τούτων συγκαταθέσεως, ὀργῆς τε μὴν καὶ γογγυσμοῦ, λύπης τε καὶ καταλαλιᾶς, ψεύδους καὶ γέλωτος ἀτάκτου, ἔτι τε μνησικακίας μᾶλλον καὶ θυμοῦ, αἰσχρολογίας τε καὶ τῶν ὁμοίων. τοὺς δέ γε τοῖς εἰρημένοις περιπίπτοντας πάθεσι δι᾽ ἐξαγορεύσεως καὶ μετανοίας πρὸς τὴν τούτων σπεύδοντας ἀποχὴν δὶς τοῦ μηνὸς μεταληπτέον ἢ οὐδ᾽ ὅλως, κατὰ τὴν τοῦ προεστῶτος δηλονότι διάκρισιν· ἐκείνῳ γὰρ φροντιστέον περὶ τῶν τοιούτων. ἀκοινώνητον δέ τινα αὐτὸν[1]) ἡγεῖσθαι ἄνευ τῆς ἐκείνου εἰδήσεως οὐκ ἐπαινετέον· ὁ γὰρ οὕτω ποιῶν ὡς ἴδιον πληρῶν θέλημα δικαίως κατακριθήσεται. τοὺς μέντοι μεταλαμβάνειν ὀφείλοντας ἐνδεχόμενον ἐστὶ τὰς τετυπωμένας ἐπὶ τῇ μεταλήψει προσεκτικώτερον ἀναγινώσκειν εὐχάς, κοινήν τε κοινῶς γονυκλισίαν ἀλλήλοις ποιοῦντας διδόναι συγχώρησιν καὶ οὕτω τῶν ζωοποιῶν εὐχαρίστως μεταλαμβάνειν ἁγιασμάτων. ἔστω[2]) δὴ οὖν καὶ ταῦτα τοῦτον ἔχοντα τὸν τρόπον.

ζ'. Ἀλλ᾽ ἐνταῦθά με τοῦ λόγου γενόμενον χρεὼν εἰπεῖν καὶ περὶ τῶν εἰς θυσίαν ζῶσαν, ἁγίαν, καθαρὰν καὶ ἀναίμακτον προσφερομένων τῷ ἁγίῳ θυσιαστηρίῳ προσφορῶν καὶ τοῦ νάματος, ἵνα μὴ ἀμελείας τινὸς ἴσως ἢ καταφρονήσεως περὶ τὰ τοιαῦτα παρεμπιπτούσης λάθωμεν περὶ αὐτὸ ἑκὼν σφαλλόμενοι τὸ μεῖζον καὶ ὑψηλότερον· εἰ γὰρ Κάϊν δι᾽ αὐτὸ τοῦτο καταδεδίκασται, τὸ μὴ τὰ κρείττω προσαγαγεῖν τῷ θεῷ, ἀλλ᾽ ἑαυτῷ τηρῆσαι ταῦτα καὶ ταμιεύσασθαι, δέδοικα, μὴ καὶ ἡμεῖς τῇ τοιαύτῃ καταδίκῃ εὑρεθείημεν ὄντες ὑπεύθυνοι, εἴ γε δὴ μὴ τὰ κρείττω τῷ πάντων δοτῆρι καὶ χορηγῷ προσενέγκωμεν. τοῦτό τοι καὶ ἐντελλόμεθα μὴ ἐκ τῆς κοινῆς ζύμης, ἀφ᾽ ἧς καὶ οἱ τῆς τραπέζης ἄρτοι, τὰς προσφορὰς γίνεσθαι, ἀλλ᾽ ἄλευρον διακαθαίρεσθαι καὶ φύρεσθαι κἀκ τούτου προσφορὰς ἀπαρτίζεσθαι καθαρωτάτας παν-

[1]) αὐτόν E. [2]) ἤτω E.

τάπασι. καὶ νάμα δὲ δίδοσθαι ἀπὸ τοῦ κρείττονος οἴνου τῶν γεωργουμένων ἐν τῇ μονῇ, ἀφ' ὧν εἴ γε διαιροῖτο ὁ προεστὼς ἐσθίειν καὶ πίνειν ἐν τῇ τραπέζῃ ἢ καὶ οὓς αὐτὸς οἶδε μὴ ὑγιῶς τοῦ σώματος ἔχοντας, οὐδέν τι καταχριθήσονται.

η'. Τὴν μέντοι ἐννάτην ὥραν καὶ τὸ ταύτης μεσώριον οὕτω ψαλτέον· μετὰ τὸ διαναστῆναι ὑμᾶς ἀπὸ τῆς ἐν τῇ κοινῇ τραπέζῃ ἑστιάσεως τοῦ· „ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτὸν" τρὶς παρὰ τῆς ἀδελφότητος ψαλλομένου καὶ τοῦ συνήθως σὺν αὐτῷ τρισαγίου τοῦ ἱερέως τε τὴν εὐχὴν ἐπιλέγοντος ταύτην· „εὐλογητὸς ὁ θεὸς ὁ τρέφων ἡμᾶς ἐκ νεότητος ἡμῶν τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε [καὶ][1]) νῦν", εὐθὺς ἀρχόμεθα τοῦ ρκα' ψαλμοῦ· „ηὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον κυρίου πορευσόμεθα". καὶ τοῦτο ψάλλοντες ἐξερχόμεθα τὸ ἀριστήριον μετὰ τῆς προσηκούσης εὐκοσμίας καὶ καταστάσεως καὶ ἀπερχόμεθα εἰς τὸν νάρθηκα τοῦ ναοῦ, κἀκεῖσε τὸν τοιοῦτον ἐκπληροῦντες ψαλμὸν ἀρχόμεθα τοῦ τρισαγίου καὶ ψάλλομεν τὴν ἐννάτην. μετὰ δὲ τὴν ταύτης ἐκπλήρωσιν τοῦ ἱερέως συνήθως ἐπευχομένου γίνεται πάλιν ἡ προγραφεῖσα κοινὴ συγχώρησις παρὰ τοῦ προεστῶτος καὶ τῆς ἀδελφότητος, καὶ ἀπολυόμεθα ἐν τοῖς κελλίοις ἡμῶν.

θ'. Τὴν μέντοι τοῦ ἑσπερινοῦ ὕμνου ἀκολουθίαν οὕτως ὀφείλει τελεῖσθαι, [ὡς][2]) ἡ τοῦ τῆς ἐκκλησίας τυπικοῦ διάταξις ἀριδήλως παρίστησιν, οὗ κατὰ τὸ τέλος μετὰ τοῦ ἐν τῷ νάρθηκι συνήθως τρισαγίου προσήκει πάλιν γίνεσθαι τὴν προγραφεῖσαν κοινὴν μετάνοιαν καὶ συγχώρησιν. καὶ τὰ ἀπόδειπνα δὲ μετὰ τὸν δεῖπνον ὀφείλομεν ψάλλειν, ἐν οἷς καὶ γονυκλιτέον, ὅτε μὴ ἑορταστέον· ἑορτὴν δὲ λέγομεν, ἐν ᾗ κατὰ τὸ ὄρθρον τὸ „θεὸς κύριος" ψάλλομεν. καὶ τοῦ ἀποδείπνου δὲ ψαλέντος καὶ τοῦ προεστῶτος τὴν συνήθη ἐπειπόντος εὐχὴν ὀρθρίους ἑστῶτας πάντας τοὺς ἀδελφοὺς καλὸν ὑποκλίνειν αὐτῷ τὸ οὖς γονυκλινοῦντι[3]) καὶ λέγοντι· „συγχωρήσατέ μοι, πατέρες καὶ ἀδελφοί· ἥμαρτον γὰρ καὶ ἐν ἔργῳ καὶ λόγῳ καὶ κατὰ διάνοιαν". καὶ διδόντας αὐτοὺς τὴν συγχώρησιν λέγειν· „ὁ θεὸς συγχωρήσαι σοι, τίμιε πάτερ", εἶθ' οὕτως πίπτειν ἕκαστον ἡμῶν ἐπὶ γῆς κατὰ πρόσωπον καὶ κοινὴν ἐκ πάσης τῆς ἀδελφότητος ἐξαιτεῖν τὴν συγχώρησιν λέγοντα οὕτως· „συγχωρήσατέ μοι, πατέρες καὶ ἀδελφοί· ἥμαρτον ἐν ἔργῳ, ἐν λόγῳ καὶ κατὰ διάνοιαν", καὶ πάντας ἐπευχομένους τῷ κειμένῳ λέγειν· „ὁ θεὸς σώσαι καὶ συγχωρήσαι σοι", καὶ μετὰ τὸ πάντας τὴν τοιαύτην συγχώρησιν ἐξαιτήσασθαι καὶ λαβεῖν, λέγειν τὸν ἐκκλησιάρχην εἰκός· „εὔξασθε, πατέρες, ὑπὲρ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, ὑπὲρ τοῦ ἁγίου πατρὸς ἡμῶν, ὑπὲρ τῶν ἐντειλαμένων

---

[1]) Supplevimus. [2]) Supplevimus. [3]) γονυκλιτοῦντι E.

ἡμῖν εὔχεσθαι ὑπὲρ αὐτῶν, ὑπὲρ τῶν ἀπολειπομένων πατέρων καὶ ἀδελφῶν ἡμῶν[1]), ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων, ὑπὲρ τῶν ἐν ἀσθενείᾳ κατακειμένων, εὔξασθε, μακαρίσατε τοὺς κτήτορας, μακαρίσατε τοὺς πατέρας καὶ ἀδελφοὺς ἡμῶν, μακαρίσατε τοὺς γονεῖς ἡμῶν", καὶ πάντας ὁμοῦ ἀποκρινομένους φάσκειν· „ὁ θεὸς συγχωρήσαι καὶ σώσαι αὐτούς", μετὰ δὲ ταῦτα γόνυ κλίναντας ἅπαντας ὁμοῦ λέγειν τῷ προεστῶτι· „εὐλόγησον, εὖξαι καὶ συγχώρησον ἡμῖν, πάτερ ἅγιε", τοῦ δὲ τὴν συνήθη ταύτην εὐχὴν εὐχομένου· „ἡμῖν ὁ θεὸς συγχωρήσαι καὶ σώσαι[2]) πάντας ἡμᾶς" καὶ τὸν στίχον εὐθὺς τοῦ λέγοντος τὸ „ἀμὴν" ἐπειπόντος πάντας ἀνίστασθαι συνεπομένους τῷ πατρὶ ἕως τοῦ ἡγουμενίου παραίνεσιν λαβόντας ἐν τοῖς κελλίοις ἀπιέναι τὴν νυκτερινὴν ἀκολουθίαν κατὰ τὸ δοθὲν τύπωμα ἐκτελέσοντας καὶ οὕτως ὅλους εὐχαρίστους γινομένους μετ' εὐφροσύνης πνευματικῆς ἐφ' ὕπνον τρέπεσθαι. ἄχρις ἂν ὅ τε κανδηλάπτης καὶ ὁ ἐπιστημονάρχης τὴν προσήκουσαν ὥραν ἐκ τοῦ ἐκκλησιάρχου μαθόντες τῷ προεστῶτι προσέλθοιεν, καὶ τὴν συνήθη λαβόντες ἐξ ἐκείνου εὐχήν, ὁ μὲν ἀπέλθῃ κρούσων τὰς βαρέας, ὁ δὲ τὸ „εὐλόγησον, πάτερ ἅγιε" τὸ μεσονυκτικὸν προσηνεῖ καὶ ἠπίᾳ φωνῇ ἐξειπὼν παροδεύσει τὰ κελλία τῶν ἀδελφῶν καὶ ἐφ' ἑκάστῳ τὸ „εὐλόγησον, πάτερ, τὸ μεσονυκτικὸν" ὡσαύτως λέγων ἐξεγερεῖ πρὸς λειτουργίαν ἡμᾶς τῆς μεσονυκτίου ἀκολουθίας, ἣν δὴ καὶ αὐτὸς ψαλεῖται πάντως καὶ ὁ κανδηλάπτης. ἐν τούτῳ τὰς βαρέας κρούει κατὰ τὸ σύνηθες, καὶ οὕτω τοῦ σιδήρου διασημαινομένου συμβόλου ἀθροίζονται πάντες ἐν τῷ ναῷ, καὶ εὐλογήσαντος τοῦ ἱερέως ψάλλεται τὸ μεσονυκτικόν, καὶ μετὰ τὴν συμπλήρωσιν τούτου ἐπιφωνεῖ ὁ προεστώς· „εὔξασθε καὶ μακαρίσατε τοὺς ἁγίους πατέρας ἡμῶν, εὔξασθε δὲ καὶ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἵνα ῥυσθῶ ἐκ τῶν παθῶν καὶ σκανδάλων τοῦ πονηροῦ", καὶ ἡμῶν ἐπὶ γόνυ κλινομένων ἀποκρινόμεθα· „ὁ θεὸς μακαρίσαι[3]) μὲν τοὺς ἁγίας πατέρας ἡμῶν, συγχωρήσαι δὲ καὶ σέ. εὖξαι δὲ καὶ αὐτὸς ὑπὲρ ἡμῶν, τίμιε πάτερ, ἵνα ῥυσθῶμεν ἐκ τῶν παθῶν καὶ σκανδάλων τοῦ πονηροῦ", καὶ ἀποκρίνεται ὁ προεστώς· „ὁ θεὸς συγχωρήσαι[4]) πάντας ὑμᾶς δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν", ἡμῶν δὲ ἀποκρινομένων τό· „ἀμήν", ἀναστὰς ὁ κανδηλάπτης καὶ βαλὼν μετάνοιαν απέρχεται καὶ σημαίνει τὸ μέγα σημαντήριον. καὶ οὕτως ἀρχόμεθα τοῦ τρισαγίου τοῦ κραταιοῦ ἡμῶν βασιλέως μετὰ τροπαρίων καὶ ἐκτενῆς παρὰ τοῦ ἱερέως, „ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτῶν καὶ τοῦ κύριον τὸν θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας

---

[1]) ὑμῶν E. [2]) συγχωρήσει καὶ σώσει E. [3]) μακαρίσει E. [4]) συγχωρήσει E.

αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον· κύριε, ἐλέησον", ιβ' καὶ οὕτω τῆς ἑωθινῆς δοξολογίας ἀρχόμεθα, ἣν οὕτω δέον ποιεῖν· μετὰ τὴν τοῦ μεγάλου σημαντῆρος διάκρουσιν εὐλογεῖσθαι τὸν θεὸν παρὰ τοῦ τὴν ἐφημερίαν ἔχοντος ἱερέως αὐτίκα τὸν τύπον τοῦ τιμίου σταυροῦ ἔμπροσθεν τῆς ἁγίας τραπέζης οὕτως ἐκφωνοῦντος· „δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, ἀδιαιρέτῳ, ζωοποιῷ καὶ ἀσυγχύτῳ τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων". μετὰ τοῦ θυμιατηρίου ἐπισφραγίζοντος, ἀφ' οὗ τὸ „ἀμὴν" ἐκδεχόμενον τόν τε προεστῶτα ἢ καὶ τὸν ἐκκλησιάρχην τοῦ· „δόξα ἐν ὑψίστοις θεῷ", καὶ ἀκολούθως τοῦ ἑξαψάλμου εὐθὺς ἀπάρχεσθαι σχολαίως[1]) τε καὶ ἡσύχως, μικρὸν ἄγαν ὑποφωνοῦντας τὰ ῥητὰ τῶν ψαλμῶν, ἵν' ἐντεῦθεν ἔχοιεν ἅπαντες ἀπροσκόπτως καὶ ἀπλανῶς αὐτὰ διεξέρχεσθαι καὶ οὕτω μετὰ τὴν τοῦ ἑξαψάλμου συμπλήρωσιν καθεξῆς τὴν πᾶσαν ἐκτελεῖσθαι τοῦ ὄρθρου ἀκολουθίαν, καθὼς τὸ τῆς ἐκκλησίας διέξεισι τυπικόν. τοῦτο δὲ ποιεῖν, ὅτε τό· „θεὸς κύριος" ψάλλομεν· τὸ γὰρ ἀλληλούια τῆς ἡμέρας ἐχούσης ἀπὸ τοῦ τρισαγίου ἀρχόμεθα. οὕτως οὖν ἔσται ἀπαραλλάκτως ἐν παντὶ καιρῷ καὶ χρόνῳ ἡ περὶ τῆς ἡμερονύκτου ἀκολουθίας ἡμῶν ὑποτύπωσις.

ι'. Ἀλλὰ πρὸ πάντων παρακαλῶ ὑμᾶς τοὺς πνευματικούς μου πατέρας καὶ ἀδελφούς, ὥστε μή τινα τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἀπολιμπάνεσθαι ἢ ἐν ταῖς νυκτεριναῖς καὶ ἡμεριναῖς δοξολογίαις ἢ ἐν ταῖς συνήθως τελουμέναις ἀγρυπνίαις, ὡς εἴπερ τις κατὰ ῥαθυμίαν καὶ ἀμέλειαν ἀπολειφθείη καὶ μὴ δι' ἀσθένειαν ἢ καὶ συγγνώμην οἶδεν ἐφέλκεσθαι, ἔστω ὁ τοιοῦτος, ὡς εἴ γε μετὰ πρώτην καὶ δευτέραν καὶ τρίτην παραίνεσιν ἐπιμείνῃ[2]) τῇ ῥαθυμίᾳ αὐτοῦ, ἔνδικον ἐντεῦθεν ἕξει τὸ ἐπιτίμιον, τὴν ξηροφαγίαν αὐτὴν καὶ τὸ ὑδροποτεῖν, καθ' ἣν ἡμέραν ὑπ' αὐτοῦ τοῦτο πλημμεληθείη, εἴ γε δηλαδὴ οἱ ἕτεροι ἀδελφοὶ ἐσθίουσιν ἔλαιον καὶ πίνουσιν οἶνον. εἰ δέ γέ που οὗτοι τῷ τῆς διαίτης σκληρῷ κατ' ἐκείνην τὴν ἡμέραν πρόσκεινται, νῆστις ὁ τοιοῦτος διαμενεῖ, ἄχρις ἂν ὁ ἑσπερινὸς ὕμνος δέξηται πέρας, τηνικαῦτα γὰρ συγχωροῦμεν φιλαγάθως τούτῳ τὸ ξηροφαγεῖν. οἱ μέντοι διακονίαις ἴσως τισὶν ἀσχολούμενοι ἢ σωματικαῖς ἀρρωστίαις, ὡς εἴρηται, προσπαλαιόντες ἢ καὶ ὑπὸ κόπου καὶ ὁδοιπορίας τινὸς ὀκλάσαντες τῷ τοιούτῳ δεσμῷ οὐχ ὑποβληθήσονται· ταῖς γὰρ ἀσθενείαις τῶν ἀνθρώπων καὶ τοῖς κόποις συγκαταβαίνειν χρεών.

ια'. Λεκτέον δὲ ὑμῖν ἄρα καὶ περὶ τῆς σωσιψύχου ἐξαγορεύσεως· δέον τοίνυν τὸν προεστῶτα ἐν ἑκάστῃ ἀγρυπνίᾳ καὶ καθ' ὃν ἂν αὐτὸς αἱρεῖται ταύτης καιρὸν εἰσέρχεσθαι εἰς τὸ διακονικὸν καὶ παντὸς οὑτινοσοῦν ἔργου ἀφεμένον καὶ

---

1) σχολέως E. 2) ἐπιμεῖναι E.

πάσης οἰκονομικῆς ὀχλήσεώς τε καὶ διατάξεως φροντίδα ποιεῖσθαι ἐπιμελεστάτην τοῦ ἀκροᾶσθαι τῶν βουλομένων ἐξομολογεῖσθαι καὶ ἑκάστῳ ἁρμοδίαν ἐπιτιθέναι τὴν θεραπείαν. ἐφείσθω δὲ τούτῳ μὴ ἀδειάζοντι ἴσως, ἐπεὶ καὶ ἡ ἀδελφότης πεπλήθυνται, προτρέπειν καὶ οἷς ἂν βούλοιτο τῶν ἱερέων ἢ καί τισι τῶν εὐλαβεστέρων μεγαλοσχήμων ἀδελφῶν τῶν πλειόνων καὶ ἀγροικοτέρων τοὺς λογισμοὺς δέχεσθαι. λογισμοὺς δὲ τοὺς ὁσημέραι καὶ ὧραι ἐνοχλοῦντας ἡμᾶς, οὓς δεῖ πάντως τῶν εὐδιαλύτων ὄντας καὶ μὴ τὴν ὄχλησιν στερροτέραν πεποιημένους καὶ ἀφιέναι τούτοις καὶ συγχωρεῖν, τοὺς δέ γε ἰατρείας τινὸς δεομένους καὶ ἐπιμελείας πρὸς τὸν προεστῶτα τοὺς δεχομένους ἀναφέρειν, κἀκεῖνος κατάλληλον τὴν θεραπείαν ποιήσεται. οἱ τοίνυν ἐξομολογούμενοι οὐδὲν ἀποκρύψουσιν, ἐνδοιάζοντες τούτοις, εἰ τοὺς σφῶν λογισμοὺς ἐπιμελείας δεομένους εἰδεῖεν[1]), ἀλλὰ πάντας καθαρῶς πρὸς τὸν λαχόντα ἐκκαλύψουσι. πλὴν ἀλλὰ καὶ πρὸς αὐτοὺς ἡμᾶς τὰ εἰκότα εἰπεῖν καλόν. τοιγαροῦν καὶ ὑμεῖς, ἀδελφοί, τὸν προεστῶτα βλέποντες πρὸς τὸ καλὸν τοῦτο καὶ λίαν ψυχωφελὲς διακόνημα σπεύδοντα τρέχοιτε καὶ αὐτοί, τρέχοιτε καὶ τὸν γαληνότατον τοῦτον καὶ ψυχοσώστην λιμένα σπουδαίως καταλαμβάνοιτε καὶ πᾶν τοῦ νοὸς ὑμῶν κίνημα καὶ ψυχοβλαβὲς ἐνθύμιον καθαρῶς καὶ ἀπερικαλύπτως ἀποκαλύπτοιτε, ὡς εἰς ἐνώπιον θεοῦ καὶ οὐκ ἀνθρώπου ποιούμενοι τὴν ἐξομολόγησιν. θεῷ δὲ πάντως ὁ σπουδάζων ψεύσασθαι δίκην ἀπαιτηθήσεται· „ἀπολεῖς γάρ“, φησὶν ὁ ψαλμῳδός, „πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος“. ἀδόλως τοίνυν ἐξομολογούμενοι καὶ πάσης γνωσιμαχίας, πάσης ἀκαθαρσίας, πάσης ταραχῆς καὶ ὀχλήσεως τὰς ἑαυτῶν διανοίας ἀπαλλάττοντες, χαίροντες εἴπέ μοι καὶ ἀγαλλόμενοι, ὡς τὸ εὔελπι κομιζόμενοι τοῦ μὴ ἀστοχῆσαι τῆς σωτηρίας. ἐξομολογήσασθε δέ, μὴ ἀλλήλους αἰτιώμενοι παροξυσμοῦ τυχὸν παρεμπίπτοντος ἢ τινος ἑτέρας ἀμφιβολίας, ἑαυτοὺς δὲ ἀναιτίους τιθέμενοι καὶ κρίσεις μᾶλλον ζητοῦντες, οὐκ ἐξαγορεύοντες. μηδὲ περὶ τῶν συμπιπτουσῶν ὑμῖν χρειῶν λέγοιτε τῶν σωματικῶν· τούτων γὰρ ἅπας καιρός, νυνὶ δὲ πταισμάτων ἐξαγορεύσεως καὶ ἰατρείας τῶν ψυχικῶν ἡμῶν παθῶν. καὶ εἰ μὲν περί τινος παροξυσμοῦ λέγειν ὀφείλετε, πᾶσαν τὴν μέμψιν καὶ τὴν αἰτίαν τοῦ σφάλματος, ὁποῖον ἂν καὶ εἴη, ἑαυτοῖς ἐπιγράφειν σπουδάζετε καὶ ἐπιρρίπτειν. εἰ δὲ περί τινων ἄλλων παθῶν, καὶ ταῦτα καθαρῶς ἐκπομπεύοιτε, ἵν' ἔχοιτε καρποῦσθαι καὶ τὴν ἐντεῦθεν διττὴν ὠφέλειαν, τό τε πρὸς καθαρὰν τῆς ψυχῆς ἰέναι ὑγείαν καὶ τὸ τὴν ὑψοποιὸν ταπείνωσιν περιβάλλεσθαι, ἣν ἔχοντες ὅμοιοι πάντως ἐσόμεθα τῷ θεῷ τῷ· „μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός καὶ ταπεινὸς τῇ καρδίᾳ“ λέγοντι. τί δ' ἂν ἄλλο εἴη τεχ-

[1]) ἐπιμέλειαν . . . ἰδεῖεν E.

μήριον ἐναργέστερον τοῦ πράου καὶ ταπεινοῦ τῇ καρδίᾳ; ἢ δῆλον ἐπὶ τῷ φέρειν πᾶσαν θλίψιν γενναίως καὶ ἑαυτῷ ἐν παντὶ ἐπιμέμφεσθαι. τοσούτων ἄρα καλῶν αἰτία ἡ ἀληθὴς καθέστηκεν ἐξαγόρευσις, ἧς ἄνευ οὐκ οἶμαί τινα σωτηρίας τυχεῖν. τὸν τοίνυν οὐκ ἐξαγορεύοντα ἀκοινώνητον εἶναι ἀπὸ κυρίου θεοῦ παντοκράτορος ἐντελλόμεθα, ἕως ἂν ἑαυτοῦ γενόμενος καὶ τοῦ κρείττονος πάντα τὰ σφαλερά τε καὶ βλαβερὰ ἐξομολογήσοιτο μελετήματα. ἔδει μὲν οὖν τοῦτον καὶ τῆς μονῆς ἐξωθεῖν καὶ οἷόν τι σεσηπὸς ἀποκόπτειν μέλος καὶ ὥσπερ τι τραῦμα δυσίατον ἢ καὶ παντελῶς ἀνίατον ἐξαίρειν τε καὶ ἀπορρίπτειν. ἀλλ' ἡ τοῦ μέλλοντος ἀδηλία καὶ τοῦ ἴσως ποτὲ ἐπιγνῶναι αὐτὸν προσδοκία τοῦ τοιούτου βουλήματος ἡμᾶς ἀνεχαίτισεν[1]), ὑποκεῖσθαι μέντοι αὐτὸν τῇ τῶν ἀκοινωνήτων ἐπιτιμίᾳ καὶ λίαν ἐπωφελὲς καὶ[2]) ἀνυσιμώτατον· ποῖον γὰρ αὐτῷ κέρδος τῆς ἐνταῦθα διατριβῆς; τί δὲ τὸ ὄφελος ἐκ τοῦ μὴ ἐξαγορεύειν; οὐχὶ μᾶλλον βλάβη καὶ ὄλεθρος καὶ διηνεκὴς τοῦ κακοῦ μελέτη; καὶ πᾶν ὁτιοῦν φέρον[3]) ἀπώλειαν τῇ ψυχῇ ἐπιγίνεται· ὡς τοίνυν ἀρρωστοῦντά τινα ἢ τραῦμα ἔχοντα, κρύπτοντά τε ταῦτα τὸν ἰατρὸν ἀδύνατον ἐπανελθεῖν πρὸς ὑγείαν, οὕτω δὴ μᾶλλον καὶ πολλῷ χαλεπώτερον τὴν τῆς ψυχῆς ὑγείαν λήψεσθαί ποτε τὸν μὴ ἐξαγορεύοντα. καὶ τούτου μάρτυς ὁ θεῖος Βασίλειος οὕτω πως λέγων· „χρὴ τὸν ὑποταττόμενον, εἴ γε μέλλοι ἁρμόζουσαν προκοπὴν ἐπιδείξασθαι καὶ εἰς ἕξιν γενέσθαι τῆς κατὰ πρόσταγμα τῆς τοῦ κυρίου ζωῆς, μηδὲν φυλάττειν ἀπόκρυφον κίνυμα τῆς ψυχῆς, ἀλλὰ γυμνὰ πάντα παριστᾶν τὰ τῆς καρδίας τῷ προεστῶτι αὐτοῦ". οὕτω γοῦν ποιοῦντες, ἀδελφοί, οὐ μόνον τῶν οἰκείων σφαλμάτων ἀπολυτρούμεθα, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς ἀσφαλέστερον διατεθησόμεθα. φησὶ γὰρ ὁ τῆς Κλίμακος· „μώλωπες θριαμβευόμενοι οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον". καὶ αὖθις· „ψυχὴ ἐξαγόρευσιν ἐννοουμένη, ὡς ὑπὸ χαλινοῦ[4]) ὑπ' αὐτῆς κατέχεται μὴ ἐξαμαρτάνειν". οὕτως ἄγαν ὠφέλιμος ἡ τῶν ἰδίων σφαλμάτων φανέρωσις. λοιπὸν πρόθυμοι προθύμως ἐπὶ ταύτην πάντες τρέχωμεν. τὴν μὲν οὖν τοιαύτην ἐξαγόρευσιν οὕτω διαταττόμεθα γίνεσθαι, αὐτῷ τε δηλονότι τῷ προεστῶτι καὶ τοῖς ὅσοις αὐτῷ ἐπιτήδειον πρὸς τὸ δέχεσθαι λογισμοὺς δόξοιεν. τὴν δέ γε πρώτην καὶ μεγάλην ἐξομολόγησιν, ἣν ἄρα τὴν κοσμικὴν ἀποβαλλόμενοι τρίχα ἐξαγορεύειν ὀφείλομεν, τῷ προεστῶτι μόνῳ καὶ μή τινι ἄλλῳ ἀναθετέον, ἵν' ἔχῃ[5]) πάντας αὐτὸς εἰδέναι καὶ ἁρμοδίως ἑκάστῳ κεραννύειν τὰ φάρμακα. εἰ δέ γε βούλοιτο ὁ προεστὼς[6]) καί τισι τῶν εὐλαβεστέρων ἱερέων οἱ τὴν κοσμικὴν ἀποτιθέμενοι τρίχα τοὺς λογισμοὺς αὐτῶν[7]) φανερούσθωσαν.

---

1) ἀνεχέτησεν E. 2) ὡς E. 3) φέρων E. 4) χαληνοῦ E. 5) ἔχω E. 6) προεστὸς E. 7) αὐτοῖς E.

ὀφείλουσιν τοίνυν πάντες οἱ τῆς ἡμετέρας ἀδελφότητος τῷ προεστῶτι τοὺς οἰκείους ἐξαγγέλλειν, ὡς εἴρηται, λογισμοὺς καὶ ἐν αὐτῷ τῷ τῆς ἀποταγῆς καιρῷ καὶ τῷ μετὰ τὴν ἀποταγὴν ἀγῶνι καὶ σκάμματι καὶ μή τινας ἑτέρους ἢ ἡσυχάζοντας ἴσως ἢ ἐν ἀλλοτρίοις ὄντας μοναστηρίοις τῶν οἰκείων ἀναδόχους κεκτῆσθαι λογισμῶν, ἀλλὰ πρὸς μόνον τὸν προεστῶτα πάντα τὰ ἑαυτῶν ἀπογυμνοῦν σφάλματα, παρ' οὗ καὶ τὰ φάρμακα προσήκοντα δέξονται καὶ κατάλληλα, καὶ πρὸς ἐκείνους δέ, οἷς ἂν αὐτὸς ὁ προεστὼς τὸ πρᾶγμα ἐπιτρέψειεν, ὡς δεδήλωται, πρὸς ἕτερον δὲ οὐ βαδιοῦνται χάριν ἐξαγορεύσεως, οὐδ' ἐπιφημήσουσιν ἑαυτοῖς πατέρα πνευματικὸν πάρεξ τοῦ προεστῶτος αὐτῶν· τοῦτο γὰρ παντάπασιν ὡς λύμης αἴτιον ἀποτρέπομεν. εἰ δέ τις ἴσως ὢν [1]) ἀκαμπής τε καὶ ἀπειθὴς καὶ τῷ ἑαυτοῦ ἀνοήτως στοιχῶν θελήματι μὴ βούλοιτο τὴν πρὸς τὸν προεστῶτα ποιεῖσθαι ἐξομολόγησιν, ἀλλ' ἄλλον ἑαυτοῦ καὶ οὐ τοῦτον ἐπιγράφοιτο πατέρα πνευματικόν, κἀκείνῳ τοὺς οἰκείους λογισμοὺς προανατιθέναι διατείνοιτο, ἔξω που καὶ μακρὰν τῆς ἡμετέρας ποίμνης γενέσθω, παρευθὺς διωκόμενος καὶ μηδὲ φειδῶ λαμβάνειν, μηδὲ ἔλεον, ἀλλ' ὡς ἑαυτὸν ἀλλοτριῶν, οἷς ἄρα κακῶς, ὢ θεοῦ βλέποντος ὀφθαλμοί, κακῶς καὶ λίαν ἐπικινδύνως βεβούλευτο, ἀποσκορακιζέσθω τῆς μονῆς καὶ ξένος τῆς ἡμετέρας ἔστω [2]) μερίδος καὶ συναυλίας, διαίτης καὶ ὁμιλίας, ὡς διασπασμοῦ καὶ διαστάσεως καὶ πάσης ἄλλης ἀκαταστασίας καὶ ταραχῆς καὶ βλάβης αἴτιος οὐ τῆς τυχούσης. ἐχέτω μὲν οὕτω καὶ ταῦτα.

ιβ'. Ῥητέον δὲ λοιπὸν καὶ περὶ προσερχομένων τῇ μονῇ ἐπὶ τῷ ἀποκαρῆναι πλατύτερον, οἵ γε, εἴ τινες εἶεν περιφανεῖς ἢ τῶν ἀνέκαθεν γνωρίμων ὑμῖν καὶ σχεδὸν εἰδότων τὴν τῆς μονῆς διαγωγὴν καὶ κατάστασιν, ἀποκειρέσθωσαν καὶ ἔσωθεν τοῦ ἑξαμηνιαίου καιροῦ, ἀξιοῦντες καὶ αὐτοὶ τοῦτο ἴσως καὶ ἀποδεχόμενοι. εἰ δὲ τῶν τυχόντων εἰσὶν ἢ ἄγνωστοι, μετὰ παρέλευσιν ἑπτὰ ἡμερῶν τῆς ἐνταῦθα τούτων ἀφίξεως ἐνδυέσθωσαν τὰ ῥάκη [3]) καὶ τὰς μοναχικὰς περικεφαλαίας περιβεβλήσθωσαν, ἐπιταττέσθωσαν δὲ τὰς κατὰ δύναμιν καὶ προσηκούσας διακονίας καὶ ἐπιτηρείσθωσαν, εἰ μεθ' ὑπομονῆς ἐκτελεῖεν ταύτας καὶ ταπεινώσεως, ἂν μέντοι οὕτως ἔχοντες διακαρτεροῖεν ἄχρι τῆς συμπληρώσεως τριῶν ἐνιαυτῶν, καὶ τοῖς ἀδελφοῖς συνταττέσθωσαν ἀποκειρόμενοι καὶ τὸν ἀρραβῶνα τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος ἤτοι τὸν μανδύαν λαμβανέτωσαν. εἰ δ' ὀκλάσαντες τύχον φανεῖεν, γογγύζοντές τε καὶ καταραθυμοῦντες, ἀποδυσάσθωσαν τὰ μέλανα καὶ τὰ κοσμικὰ ἐνδυσάσθωσαν καὶ πρὸς τὸν κόσμον, ὃν ἠγάπησιν, ἐπιστρέψωσιν. οἱ γὰρ κατὰ θεὸν ἀποτασσόμενοι παντάπασι γίνονται ξένοι τῶν κοσμικῶν καὶ τῶν ἰδίων ἐπιθυ-

---

[1]) ὧν E. [2]) ἤτω E. [3]) ἐκδυέσθωσαν τὰ ῥάκι E.

μιῶν. τοὺς τοίνυν ἀναδεχθῆναι κριθέντας οὐκ ἀναγκαστέον περί τινος ἀποταγῆς τε καὶ προσενέξεως νόμου τὴν τοῦ θεοῦ χάριν καπηλεύειν ἢ χρήμασι πιπράσκειν, μή πού τις ἐντεῦθεν αἰσχύνη ἢ ὄνειδος προστριβῇ τοῖς προῖκα παρ' ἡμῶν ἀποκαρεῖσι καὶ τὸ κακὸν καὶ ἐπάρατον τοῦτο ῥῆμα παρεισαχθῇ, τὸ ἐμὸν δηλονότι καὶ τὸ σόν, καὶ τὸ μεῖζον ἢ ἧττον καὶ τὸ κρείττονα εἶναι τὸν προσενέγκαντα τοῦ μὴ προσενεγκόντος. μὴ γένοιτο τοῦτο ὑμῖν εἰς τὸν αἰῶνα, μὴ γένοιτο· ἡ γὰρ λεγομένη αὕτη ἀποταγὴ ἀναιρεῖ τὴν μακαρίαν ὑποταγήν. εἰ δὲ ἴσως αὐτός τι ἑκὼν ὁ ἀποκαρησόμενος τῷ θεῷ προσενεγκεῖν αἱρείτω, δεκτέον τρόπον τοιόνδε· κινητοῦ μὲν ὄντος τοῦ προσφερομένου καὶ ἀφιερωμένου, αὐτὸς ὁ μέλλων ἀποκαρῆναι ἀσκεπὴς [1]) εἰς τὸ ἅγιον θυσιαστήριον εἰσερχόμενος ἐπάνω τῆς ἁγίας καὶ ἱερᾶς τραπέζης οἰκείαις χερσὶ τὴν κατάθεσιν τούτου ποιήσεται. ἀκινήτου δὲ τυγχάνοντος ἢ αὐτοκινήτου χάρτην ἐκθήσει δωρεᾶς καὶ ἀφιερώσεως τῷ θεῷ διὰ πρεσβειῶν τῆς ὑπεραγίας ἡμῶν θεοτόκου καὶ εἰς τὸ ἅγιον θυσιαστήριον, ὡς εἴρηται, εἰσελθών, ἀποθήσει τοῦτον ἐν τῇ φρικτῇ καὶ θείᾳ τραπέζῃ· τοῦτο γὰρ προαιρετικὸν καὶ ἀβίαστον καὶ γνώμης ἔργον θεοφιλοῦς καὶ ἐλεημοσύνης τάξιν ἐπέχον καὶ εὐποιίας καὶ ὑπὲρ τῆς θεόθεν ἀντιμισθίας γενόμενον εἰς ἐξίλασμα τῶν πεπλημμελημένων αὐτῷ, μᾶλλον δέ, ἵνα τἀληθὲς εἴπωμεν, ἀνάθημα προσφέρεται τῷ θεῷ καὶ τῇ θεογεννητρίᾳ· ἄλλο μὲν γὰρ ἡ λεγομένη ἀποταγὴ καὶ προσένεξις καὶ ἕτερον δῶρον ἢ ἐλεημοσύνης ἐπίδοσις ἢ ἀνάθημα· ἐκεῖνο μὲν γὰρ ἐντεῦθεν ἔχει τὴν τῆς ἐλπίδος ἀντάμειψιν καὶ ὥσπερ δι' [2]) ὠνητῶν τοῦ σώματος προκαταβάλλεται χρειωδῶν ἐπί τισιν ἴσως ῥηταῖς συμφωνίαις καὶ ἀνταλλάξεσι, τὸ δὲ ἐκεῖ μόνον ταῖς οὐρανίαις ἐλπίσι καὶ ἀνταμείψεσιν ἀποκείμενον. καὶ διὰ τοῦτο μηδὲ πρόκρισίν τινα ἔχειν τῶν λοιπῶν [3]) ἀδελφῶν ὁ διδοὺς ὑπολαμβανέτω, ἀλλὰ ἐπίσης εἶναι τοῖς πᾶσι κατὰ τὸν κρατήσαντα τύπον [4]) τῆς μονῆς. ἂν δέ γέ ποτε πειραθεὶς ἐκ δαιμόνων ὁ δούς, οἷα πολλὰ τὰ τῆς ἀβουλίας [5]), ἐκστῆναι μὲν τῆς μονῆς βουληθῇ, θελήσῃ δὲ καὶ τὸ δεδωρημένον καὶ θεῷ προσενηνεγμένον ἀποκομίσασθαι, ἀλλὰ μὴ δοτέον αὐτῷ τοῦτο κατὰ τὸν τυπικὸν κανόνα· τὸ γὰρ ἅπαξ θεῷ ἀφιερωθὲν ἀναφαίρετον καὶ ὁ ἀφαιρούμενος ἱερόσυλος, ὁποῖον δὲ τὸν ἱερόσυλον ἔχει τὸ ἐπιτίμιον, πάντες ἴσασι, κἂν ἡμεῖς μὴ λέγειν ἐθέλωμεν.

ιγ'. Ἀλλὰ ταῦτα μὲν περὶ τῶν ἀποκειρομένων ἐν τῇ μονῇ. φροντιστέον δὲ καὶ τῶν ἀπὸ ξένης ἐρχομένων ἐπὶ τὸ βαλεῖν ἀρχὴν ἐν αὐτῇ. ὁ τοίνυν εἰσδεχθῆναι τῇ μονῇ κριθεὶς μοναστὴς μετὰ παρέλευσιν μηνῶν ἕξ, ἐν ταύτῃ διατα-

---

1) καὶ ἀσκ. E. 2) τις E. 3) ἀποκ. τῷ τοι οὕτω διὰ μηδὲ πρόκρισίν τινα ἔχειν τῶν τοῦτο τῶν λ. E. 4) τόπον E. 5) ὁδοὺς . . . τὰ τῆς οὐ δουλείας E.

γήτω[1]) πρὸς θέαν τῆς καταστάσεως αὐτῆς, εἶθ' οὕτως ἀναγινωσκέσθω ἐνώπιον [αὐτοῦ][2]) ἡ παροῦσα διάταξις, καὶ εἴ γε δὴ ἀρεσθείη πᾶσι τοῖς ἐν αὐτῇ γεγραμμένοις, γινέσθω[3]) μὲν παρὰ τοῦ ἱερέως ἔξω ὁ εὐλογητός, ὡς ἔφημεν, μετὰ τρισαγίου, ἐν τῇ ἐκκλησίᾳ δὲ ὑποκλιναμένου αὐτοῦ ἐπιδιδότω τὴν ἰδίαν κεφαλὴν τῷ προεστῶτι ἀπερικάλυπτον, αὐτὸς δὲ τῷ τιμίῳ ταύτην σφραγίζων σταυρῷ οὕτω πως εὐλαβῶς λέγει· „ἡ χάρις τοῦ παναγίου πνεύματος, ἀδελφέ, δι' εὐχῶν τῶν πατέρων ἡμῶν δῴη σοι δύναμιν καὶ ἰσχὺν καλῶς τετελεκέναι καὶ θεαρέστως ἣν ἔλαβες ἀρχήν, εἰς οἰκοδομὴν καὶ σωτηρίαν τῆς σῆς ψυχῆς καὶ ὠφέλειαν". ἔπειτα τὸν ἐν κυρίῳ δότω αὐτῷ ἀσπασμὸν καὶ καθεξῆς ὁμοίως οἱ ἀδελφοὶ πάντες, οὗτος δὲ ποιείτω μετάνοιαν τῇ ἀδελφότητι λέγων· „εὔξασθέ μοι, πατέρες καὶ ἀδελφοί, ἵνα μοι δῴη ὁ θεὸς ὑπομονήν· ἰδοὺ γὰρ ἔβαλον ἀρχὴν ἐν τῇ ἁγίᾳ ταύτῃ μονῇ". καὶ τῶν ἀδελφῶν ἀποκρινομένων· „δῴη σοι ὁ θεὸς ὑπομονὴν ἐν παντὶ ἔργῳ ἀγαθῷ". καὶ οὕτω συγκαταλεγέσθω τῇ ἀδελφότητι. εἶτα δόξαν μὲν τῷ θεῷ ἀναφερέσθω καὶ ἀπόλυσις γινέσθω τῆς συνήθους λεγομένης εὐχῆς· ἄλλως γὰρ οὐ συναριθμηθήσεταί τις τοῖς τῆς καθ' ἡμᾶς ἀδελφοῖς, εἰ μὴ σὺν τῇ ἐξαγορίᾳ, καὶ ἡ παροῦσα ἀκολουθία ἀπαραλλάκτως προβῇ.

ιδ'. Καιρὸς δ' ἂν εἴη λοιπὸν καὶ τραπέζης ἐπιμνησθῆναι καὶ βρώσεως καὶ τῶν λοιπῶν, ὅσαπερ τὴν σύστασιν τῷ σώματι συντηρεῖν πέφυκεν· ὥσπερ γὰρ ἡμεῖς ἐκ δύο συγκείμεθα, ψυχῆς τε λέγω καὶ σώματος, οὕτω δὴ καὶ τὰ τῆς μονῆς. καὶ ψυχὴ μὲν εἰκότως ἂν αὐτῆς νομίζοιτο ἡ ἐν ψαλμῳδίαις πάσαις θεοπρεπὴς ἀκολουθία, σῶμα δὲ αὐτή τε ἡ μονὴ καὶ ὅσα τοῖς ἡμῶν λυσιτελεῖ σώμασιν. ἐπεὶ τοίνυν ἀρκούντως ἤδη σὺν θεῷ περὶ τῆς ψυχῆς εἴπωμεν, πρέπον ἐστὶ καὶ περὶ τῶν τῷ σώματι ταύτης διαφερόντως εἰπεῖν, τήν τε τῶν τροφῶν δίαιταν διατυπώσασθαι καὶ τὰ ἄλλα, ὅσα τὴν τῆς μονῆς σύστασιν διαρκεστέραν ἐπιμνηστεύονται, ἀκριβέστερον ἐκθέσθαι ὑμῖν, ὧν οὐκ ἔλαττον φροντίζειν χρεὼν τὸν αὐξάνεσθαι θέλοντα τὴν[4]) τοῦ κοινοβίου κατάστασιν. λεγέσθω τοίνυν καὶ τοῖς ἐμοῖς πατράσι καὶ ἀδελφοῖς εἰκότως παραδεδόσθω μετὰ τὴν τῆς ἱερᾶς καὶ θείας μυσταγωγίας ἀπόλυσιν, πάντων τοῦ ναοῦ ἐξερχομένων καὶ τῷ νάρθηκι συγκαθημένων, κρούεται μὲν τὸ τραπεζικόν, ὡς σύνηθες, σύμβολον. ὁ δέ γε ἱερουργήσας ἱερεὺς ἑστὼς τῶν . . .[5]) συντετμημμένοις τοῖς ῥήμασιν, εἰ δέ τις εἴη ταράττων ἢ ταραττόμενος, θορυβῶν τε καὶ θορυβούμενος τὴν ἀνάγνωσίν τε συγχέων ἐκ τῆς ἀκαίρου καὶ ἀπρεποῦς ὁμιλίας, κατασιγαζέσθω παρὰ τοῦ τραπεζαρίου. εἰ δ',

---

1) διαταγέτω E. 2) Supplevimus. 3) ἀναγινέσθω E. 4) τὸ αὐξάνεσθε θελ. καὶ τοῦ κοιν. E. 5) Deest hic in cod. folium.

(ὅπερ ἀπείη), μηδ' αὐτοῦ τοῦ σιγάζοντος λόγον ποιεῖται ὁ θορυβούμενος, τῆς τραπέζης καὶ ἄκων ἐξεγειρέσθω καὶ τῷ τῆς ἀβρωσίας ἐπιτιμίῳ ὑποβεβλήσθω ἢ ἑτέρως σωφρονιζέσθω, καθὼς ἂν ὁ προεστὼς βούλοιτο. καθεσθήσονται μὲν οὖν πάντες ἐν τῇ τραπέζῃ κατὰ τὴν τάξιν τὴν παρὰ τοῦ προεστῶτος διωρισμένην. καθέδραν δὲ ὑψηλοτέραν ἢ τὴν ἐπὶ ταύτῃ προτίμησιν οἴκοθεν ἐπιζητῆσαί τινα οὐδὲ ἀκοῦσαι τὸ σύνολον ἀνεχόμεθα· ποῦ γὰρ ἂν καὶ εἴη τοῦτο δεκτόν, ἄνδρας κατὰ θεὸν ζῶντας ὅλως ἐρίζειν περὶ καθέδρας ἐπίσης τοῖς κατὰ κόσμον, οἳ ἐντεῦθεν ἑαυτοὺς τῶν λοιπῶν ὑπερέχοντας ἀποδεικνύναι σπουδάζουσιν, οἷα περὶ τὴν ματαίαν δόξαν καὶ τῷ θεῷ μεμισημένην ἐπτοημένοι; „βδέλυγμα γὰρ παρὰ κυρίῳ πᾶς ὑψηλοκάρδιος", φησὶν ἡ θεία γραφή, „καὶ κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν". οὐκ ἔσται οὖν ἐν ἡμῖν τοῦτο, οὐκ ἔσται· οὐ γὰρ ἄν [τίς][1]) ποτε σῶας ἔχων τὰς φρένας προκρίνῃ τοῦτο, βδέλυγμα ἔσεσθαι κυρίῳ τοῦ λαβεῖν χάριν παρ' αὐτοῦ καὶ ἐγγὺς ἡμῶν ἔχειν αὐτόν, ὡς τῇ καρδίᾳ συντετριμμένους ἤ, τἀληθὲς εἰπεῖν, οἴκους αὐτοῦ εἶναι καὶ ἐπεράστους. εἰ δὲ καί τις ὑμῶν εὑρεθείη τούτου χάριν διαπληκτιζόμενος χρόνους τυχὸν ἢ ἐνέργειαν προβαλλόμενος καὶ μὴ ἐμμένειε τῇ προστάξει τοῦ προεστῶτος καὶ τὸν ἀποκληρωθέντα τόπον αὐτῷ [μὴ][2]) στέργοι, ἐντέλλομαι ἐν κυρίῳ τὸν ἔσχατον αὐτῷ τόπον ἀποκληροῦν καὶ διδάσκεσθαι τῷ κόσμῳ τὰ τοῦ κόσμου καταλιμπάνειν. εἰ δ', (ὅπερ ἀπευκταῖον, πάντῃ καὶ ἄσεμνον), ἔτι τε διανίσταται καὶ ἀμφιβάλλοι καὶ μετὰ δευτέραν καὶ τρίτην παραίνεσιν ἀδιόρθωτος μένοι, οὐ καθεδεῖται τὸ σύνολον, ἀλλ' ἀνιστάμενος διακονίαν ἐκπληρούτω τινά. ἀλλὰ προκαθεδοῦνται μὲν τῶν πάντων οἱ τὰς δύο ταύτας μεγάλας ἐγκεχειρισμένοι διακονίας, ὅ τε οἰκονόμος καὶ ὁ ἐκκλησιάρχης, μετὰ δὲ τούτων οἱ ἱερεῖς κατὰ τὴν τούτων προβαθμιότητα, μετὰ δὲ τούτους πάλιν οἱ διάκονοι, εἴπερ μή τινας χρόνῳ ἢ γήρᾳ προβεβηκότας, ἀξίους αἰδοῦς καὶ τιμῆς, προκαθῆσθαι τούτων, τῶν διακόνων δηλαδή, αἱρεῖτο ὁ καθηγούμενος. μετὰ δὲ τὴν τούτων καθέδραν οὐκ ἔσται τῶν ἄλλων ἐν ταύτῃ προτίμησις, ἀλλ' ὡς ἂν τῷ προεστῶτι δοκεῖ, ἑκάστῳ προσηκόντως ἡ καθέδρα λοιπὸν ἀποκληρωθήσεται· ἀλλὰ καὶ κατὰ τὸν τοῦ δείπνου καιρόν, εἴ τις βουλόμενος δειπνῆσαι ὑστερήσει τῆς εὐχαριστίας, τῷ ὁμοίῳ ὑποπεσεῖται ἐπιτιμίῳ[3]). καὶ αὖθις βρωτέον ὑμᾶς ἐδέσματα[4]) . . . δύο σισαμελαίου μετέχοντα, οἶνόν τε ποτέον μετὰ τοῦ συνήθους ἐξαγίου διδόμενον διὰ τὴν ἑορτὴν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, ἣν ὁ προεστὼς ὀφείλει τελεῖν καὶ παρακαλεῖν ἡμᾶς, ἡ μὲν δὴ πρώτη ἑβδομὰς τῆς ἁγίας καὶ

---

[1]) **Supplevimus.** [2]) **Supplevimus.** [3]) **Lacuna.** [4]) **Iterum deest folium.**

μεγάλης τεσσαρακοστῆς οὕτως ὑμῖν ἀνυέσθω. τοῖς δὲ σαββάτοις πᾶσι καὶ κυριακαῖς τῆς αὐτῆς ἁγίας νηστείας τρία παρατιθέσθωσαν ὑμῖν ἐδέσματα μαγειρευτὰ μετέχοντα σισαμελαίου, διδόσθω[1]) δὲ καὶ εἰς πόσιν οἴνου τὸ σύνηθες κρασοβόλιον, καὶ δειπνητέον ἐν ταύταις, ὡς ἔθος ἐστὶ τῇ μονῇ. καὶ τῇ τετράδι καὶ πέμπτῃ τοῦ μεγάλου κανόνος δείπνου χωρίς, τῇ δὲ παρασκευῇ παρακλητέον τοὺς ψάλτας διὰ τὴν Ἀκάθιστον, ταῖς δὲ τρίταις καὶ πέμπταις τῆς ἁγίας τεσσαρακοστῆς ἔστωσαν οὕτως· φάβα τὰ ἑφθὰ καὶ ἁλμαίαν καὶ ὀπώρας καὶ ποτὸν ἕψημα. καὶ ταῦτα μὲν τοῖς ἐρρωμένοις τὰ σώματα, τοῖς δέ γε ἀσθενεστέροις γενέσθω ἑψητὸν μετὰ σισαμελαίου καὶ ἐλαίου, οἴνου τέ φημι ἔτι μετὰ τοῦ συνήθους κρασοβολίου. τεθείτωσαν δὲ ἐν τῇ μιᾷ τραπέζῃ, τὰς δὲ δευτέρας καὶ τετράδας καὶ παρασκευὰς οὔκουν ὑμᾶς μαγειρευτοῦ τινος, οὔτε οἴνου μεταληπτέον, ἀλλ' ἢ μόνον κυάμων καί τινων μικρῶν ὀπωρῶν, εἴπερ εἰσί, καὶ λαχάνων ὠμῶν καὶ τοῦ κυμινατοῦ θερμοῦ ὕδατος· ἂν δὲ τούτων μία τύχῃ τῇ μνήμῃ[2]) συνδραμεῖν τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου ἢ τῶν ἁγίων Τεσσαράκοντα, καταλυτέον καὶ τρισὶν ἐδέσμασιν ἐλαίου μετόχοις ἑστιατέον καὶ οἴνου μεταληπτέον τῷ συνήθει μετρουμένου κρασοβολίῳ, ἰχθύων δὲ οὔ· ἐν μιᾷ δὲ τῶν τῆς πρώτης ἑβδομάδος ἡμερῶν μίαν τούτων φθάσασαν τελεσθῆναι ἑορτῶν, τιμητέον καὶ παρακλητέον ὑμᾶς, οὐ κατὰ τὰς προλεχθείσας ἡμέρας, ἀλλ' ἢ μόνῳ οἴνῳ τῷ διὰ τοῦ συνήθους ἐξαγίου καὶ γρούτῃ. τὰς ἄλλας τοίνυν πάσας ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς οὐκ ἔξεστιν ὑμῖν ἰχθυοφαγῆσαι τὸ σύνολον, εἰ μή που παράκλησις ἴσως πεμφθῇ παρά τινος· τότε γὰρ καὶ τοῦτο καταλυτέον διὰ τὴν διάκρισιν, ἵνα μήτε φανῶμεν τοῖς ἀνθρώποις νηστεύοντες, μή που ἴσως καὶ αὐτὸν τὸν παρακαλοῦντα λυπήσωμεν ἐν ταύτῃ τῇ βαϊοφόρῳ ἡμέρᾳ τυχόν.

ιε'. Τῆς λαμπρᾶς δὲ καὶ ἁγίας ἑορτῆς ἐνστάσης ἢ τῆς ἁγίας καὶ σωτηρίου ἑορτῆς τοῦ Εὐαγγελισμοῦ λαμπρῶς ἑορταστέον ἐν ἑκατέραις εἰς δύναμιν καὶ ἰχθύων μεταληπτέον οἴκοθεν ὀψωνισμένων καὶ οἴνου ποτέον διὰ τοῦ συνήθους κρασοβολίου. ἰχθυοφαγήσωμεν δὲ ἐν τῇ ἁγίᾳ ταύτῃ ἑορτῇ [τοῦ][3]) Εὐαγγελισμοῦ, ὡς εἴρηται, ἂν μὴ τῇ ἁγίᾳ καὶ μεγάλῃ ἑβδομάδι συνδράμῃ· τότε γὰρ λαχάνοις καὶ ὀσπρίοις μαγειρευτοῖς καὶ μετόχοις ἐλαίου μόνου[4]) χρησόμεθα διὰ τὴν ἑορτήν, ἐπεὶ τὰς τρεῖς ἡμέρας ταύτης τῆς ἑβδομάδος, ἤγουν δευτέραν καὶ τρίτην καὶ τετράδα ἐπίσης ταῖς τῶν λοιπῶν ἑβδομαδῶν τετραδοπαρασκευαῖς διακονητέον, ὀσπρίοις τε καὶ λαχάνοις ὠμοῖς καὶ ὀπώραις ταῖς παρατυχούσαις ἀρκουμένους καὶ τῷ διὰ μέλιτος καὶ κυμινάτου θερμοῦ ὕδατος. εἰ δὲ ἡ προδηλωθεῖσα ἁγία αὕτη ἑορτὴ τοῦ Εὐαγ-

---

1) δίδοσθαι. 2) τὴν μνήμην E. 3) Supplevimus. 4) μετόχους ἐλαίῳ μόνῳ E.

γελισμοῦ ταύταις συνδράμῃ, κἂν μὲν[1]) τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ, κἂν τῇ μεγάλῃ παρασκευῇ, κἂν αὐτῷ[2]) μόνῳ τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ, οὐκ ἰχθύων, ἀλλ' ὀσπρίων καὶ λαχάνων μαγειρευτῶν ἐλαίου μετόχων μεταληψόμεθα καὶ οἴνου πιώμεθα μετὰ τοῦ συνήθους κρασοβολίου, καὶ τὰ εἰκότα τῇ ἑορτῇ πάντα ποιήσωμεν. τῇ τοίνυν ἁγίᾳ πέμπτῃ κατὰ τὰς ἀπολελυμένας ἡμέρας τῆς τεσσαρακοστῆς ἡ ἑστίασις ἔσται ὑμῖν ἔν τε τοῖς ἐδέσμασι καὶ τῷ οἴνῳ. τῇ μέντοι ἁγίᾳ παρασκευῇ οὔτε μαγειρευτέον, οὔτε τραπέζης φροντιστέον, οὔτε βρωτέον τὸ σύνολον, ἀλλὰ νήστεις διάγειν πάντας εἰκός. ἐν δὲ τῷ ἁγίῳ σαββάτῳ μόνος διακλασμὸς γινέσθω μετὰ τὴν τῆς θείας ἱερουργίας ἀπόλυσιν ἐν τῷ νάρθηκι περὶ τρίτην ἢ τετάρτην φυλακὴν τῆς νυκτὸς ὀφειλούσης τελεῖσθαι. ἡ δὲ τῆς μεγάλης καὶ λαμπροφόρου ἁγίας κυριακῆς ἀκολουθία πᾶσα κατὰ τὴν τοῦ τυπικοῦ διάταξιν τελεσθήσεται. τοῦτον μὲν δὴ τὸν τρόπον ἡ ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ δίαιτα τῶν τροφῶν ἐχέτω, τῆς περὶ τῶν ἀσθενούντων φροντίδος τῇ διακρίσει τοῦ προεστῶτος ἀνακειμένης. κατὰ δέ γε τὴν τῆς διακαινησίμου ἑβδομάδα τυρὸν καὶ ὠὰ καὶ γάλα βρωτέον καθ' ἑκάστην ἀπαραιτήτως καὶ οἴνου μεταληπτέον. ἀπὸ μέντοι τῆς δευτέρας τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν μὲν ταῖς τετράσι καὶ παρασκευαῖς καὶ τρίταις φημὶ τυροῦ καὶ ὠῶν καὶ γάλακτος ἐπίσης ἀπέχεσθαι χρή, ἔλαιον δὲ ἐσθίειν καὶ οἶνον πίνειν εἰκός, ἀλλὰ μὴ καὶ ἰχθυοφαγεῖν, καθ' ὃν δὲ Παλαιστινόθεν παρελάβομεν τύπον μετὰ τὴν ἐσχάτην ἑβδομάδα πᾶσαν τῆς πεντηκοστῆς ἤτοι τοῦ ἁγίου πνεύματος καὶ ἐν αὐτῇ [τῇ][3]) τῆς διακαινησίμου τυροῦ καὶ γάλακτος καὶ οἴνου μεταλαμβάνειν ὀφείλομεν.

ιϛ'. Ῥητέον οὖν καὶ περὶ τῆς τῶν ἁγίων ἀποστόλων νηστείας καὶ ἐν πάσαις ταῖς δευτέραις καὶ τετράσι καὶ παρασκευαῖς, ὅτι τὸ „θεὸς κύριος“ οὐ ψάλλομεν, δι' ὃ καὶ μετὰ τὸ τελεσθῆναι τὴν πᾶσαν τῆς ἡμέρας ἀκολουθίαν, τήν τε τῶν ὡρῶν καὶ τοῦ ἑσπερινοῦ, καθὼς καὶ τὸ τῆς ἐκκλησίας διέξεισι τυπικόν, καλείτω ὑμᾶς ἡ τράπεζα κατὰ τὸν ἀνωτέρω διαταγέντα τύπον, ἑβδόμης ὥρας τῆς ἡμέρας ἐνισταμένης· ἐν ταύταις γὰρ οὔτε μαγειρευτῶν τινος, οὔτε ἐλαίου, οὔτε οἴνου μεταληπτέον, ἀλλ' ὀσπρίων ἑφθῶν καὶ λαχάνων ὠμῶν καὶ τῶν κατὰ τὴν ἡμέραν ἴσως ὀπωρῶν καὶ ὕδατος. ἐν δέ γε ταῖς τρίταις καὶ πέμπταις δύο ἐδέσματα σὺν ἐλαίῳ ἑψητῷ ὑμῖν ἐσθιέσθωσαν καὶ οἴνου πινέτω ἕκαστος διὰ τοῦ συνήθους κρασοβολίου, ἀλλὰ καὶ δεῖπνος ὁ συνήθης παρατιθέσθω, ἄρτου τὶ τρύφος καὶ ὀλιγοσταὶ ἐλαῖαι ἢ ὀπῶραι τῷ καιρῷ πρόσφοροι[4]) καὶ οἶνος πινέσθω μετὰ τοῦ ἐλάττονος κρασοβολίου. ὡσαύτως κἂν τοῖς σαββάτοις καὶ ταῖς κυριακαῖς, ἐν αἷς δὴ καὶ τρισὶν ἐδέσμασιν μαγει-

[1]) ἐν E. [2]) ἐν αὐτῷ E. [3]) Supplevimus. [4]) πρόσφοραι E.

ρευτοῖς κατὰ τὸ ἄριστον ἑστιασόμεθα. καὶ ἡ τῶν ἁγίων δὲ Χριστοῦ Γεννῶν τεσσαρακοστὴ ὁμοία ἔσται τῇ τῶν ἁγίων ἀποστόλων νηστείᾳ ἐν ταῖς βρώσεσι καὶ πόσεσι.

ιζ'. Καὶ ταῦτα μὲν περὶ τῶν ἐν ταῖς τρισὶ λαμπραῖς καὶ ἁγίαις τεσσαρακοσταῖς νηστειῶν. περὶ δὲ τῶν ἐν ταῖς ἄλλαις ἑβδομάδεσι νηστειῶν τῶν ἀνὰ πᾶσαν τετράδα καὶ παρασκευὴν ἐντεταλμένων ὑπὸ τῶν θείων κανόνων, οὕτως τὴν νηστείαν οἱ κατὰ Παλαιστίνην πατέρες δέον ποιεῖσθαι διακεκρίκασι τῇ παντελῇ τοῦ οἴνου καὶ τοῦ ἐλαίου ἀποχῇ προσθέντες ἴσην γίνεσθαι καὶ τὴν κατὰ τὴν δευτέραν νηστείαν. τὸ αὐτὸ καὶ ἡμεῖς στοιχῶμεν ἑπόμενοι τοῖς ἁγίοις πατράσι ἡμῶν, διατιθέμεθα δέ, δεσποτικῆς ἐνισταμένης ἑορτῆς ἢ τῶν ιβ' ἀποστόλων ἢ τῶν μεγάλων διδασκάλων ἢ καὶ τῶν μεγάλων πατέρων τινός, ἐν αἷς ἀγρυπνίαι[1]) γίνονται ἢ ὁ πολυέλεος ψάλλεται, πᾶσαν νηστείαν λύεσθαι δίκαιον, καθ' ἣν ἂν ἡμέραν τῶν εἰρημένων τριῶν τῆς ἑβδομάδος ἡμερῶν συμβαίη γίνεσθαί τινος τῶν εἰρημένων τελετήν. ἐφείσθω δὲ ὑμῖν καὶ παρ' ὅλον τὸν τοῦ δωδεκαημέρου καιρὸν τυρὸν ἐσθίειν καὶ γάλα καὶ ᾠὰ καὶ οἴνου[2]) καθ' ἑκάστην μεταλαμβάνειν. ἀλλ' ὅπερ ἡμᾶς μικροῦ δεῖν παρέδραμεν, ἀναγκαῖον ὄν, καὶ τῆς μυσαρᾶς παραδόσεως τῶν Ἀρτζιβουρτζίων ἀποδιαιροῦν, καὶ τοῦτο γραφῇ δοτέον· ἐν γὰρ τῇ πρὸ τῆς ἀποκρέου ἑβδομάδος τῶν τοιούτων Ἀρτζίων μὴ ἄλλο τι ἐσθιόντων παρὲξ ἄρτου καὶ ὕδατος, ἡμεῖς ἵνα τῆς τούτων αἱρέσεως ἀποδιῃρημένοι τυγχάνωμεν, καὶ τυρὸν καὶ ᾠὰ δι' ὅλης ταύτης τῆς ἑβδομάδος ἀνενδοιάστως ἐσθίομεν, ὡσαύτως καὶ κατὰ τὴν ἑβδομάδα πᾶσαν τῆς τυρινῆς δι' ἑτέραν αἵρεσιν καὶ τοῦτο παρατηρούμενοι· χρὴ δὲ συνέρχεσθαι τῇ τραπέζῃ καὶ καθ' ἑκάστην ἀνυπερθέτως κατὰ τὴν ἀνωτέρω ἑτοιμαζομένην διάταξιν καὶ τοὺς τῶν κήπων καὶ ἀμπελώνων ἐπιμελουμένους ἀδελφοὺς ὑμῶν, ὡσαύτως καὶ τοὺς λοιποὺς ἅπαντας διακονητὰς καὶ κοινῶς ἐπαπολαύειν τῶν τοῦ θεοῦ δωρεῶν καὶ εὐχαριστεῖν τῇ ἀγαθότητι, ἵν' οὕτως μὴ ἐν ὀνόματι μόνῳ προσηγορία τῆς ἀδελφότητος λέγηται, ἀλλ' ἔργοις αὐτοῖς τὸ ἐνεργὸν ἀποφέρηται.

ιη'. Προσήκει τοιγαροῦν καὶ οἰκονόμον προσθεῖναι τῇ μονῇ εἰς τὸ ἔχειν τοῦτον ὁ προεστὼς συλλήπτορα ἐν ἅπασι καὶ συναγωνιστὴν δοκιμώτατον εἰς τὸν τῶν ἀδελφῶν ἐπιστηριγμὸν καὶ τῆς μονῆς ἐπιμέλειαν. προχειρίσασθε δὲ τοῦτον τρόπῳ τοιῷδε· συνδιασκεψάμενος ὁ προεστὼς μετὰ τῶν ἀδελφῶν, ὁποῖος[3]) ἔσται τῶν ἄλλων ὁ κρείττων, ἔν τε βίῳ καὶ τρόπῳ καὶ ἤθει καὶ λόγῳ καὶ τάξει τοῦ εἶναι πιστὸν καὶ φρόνιμον, ὥς που φησὶ τὸ ἱερὸν εὐαγγέλιον, τῶν ἄλλων, ὡς ἔφημεν ὑπερέχοντα, προχειρίσασθε τοῦτον· ἡ δὲ προχείρισις τούτου τούτῳ τῷ τρόπῳ προβήσεται. μετὰ τὴν τοῦ ὄρθρου ἀπόλυσιν καὶ τὴν συνήθη τοῦ ἱερέως

---

[1]) ἀγρυπνίαις E. [2]) οἶνον E. [3]) ὁποῖον E.

εὐχὴν τρισαγίου παρὰ πάντων λεγομένου ποιείτω τρεῖς βαθείας γονυκλισίας ἔμπροσθεν καὶ πλησίον τοῦ ἁγίου βήματος ὁ ἐκλελεγμένος καὶ προκριθείς. εἶτα καὶ αὐτὰ τὰ ἱερὰ καὶ θεῖα εἰκονίσματα καὶ σεβάσμια τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου εὐλαβῶς ἀσπαζέσθω καὶ μετὰ ταῦτα τὴν προσήκουσαν ἀπονεμέτω προσκύνησιν τῷ προεστῶτι, εἶθ' οὕτως ὑποκλινεῖ τὴν ἑαυτοῦ κεφαλὴν ἀπερικάλυπτον, τῷ δὲ τιμίῳ σφραγίζων ἐκεῖνος [αὐτὸν][1] σταυρῷ οὕτω πως εὐλαβῶς λέγει· „ἡ χάρις τοῦ παναγίου πνεύματος, ἀδελφέ, διὰ τῶν θερμῶν πρεσβειῶν τῆς πανάγνου δεσποίνης ἡμῶν θεοτόκου καὶ δι' εὐχῶν τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν προχειρίζεταί σε οἰκονόμον τῆς σεβασμίας μονῆς ἡμῶν". ἔπειτα τὸν ἐν κυρίῳ δοὺς αὐτῷ ἀσπασμὸν ἔμπροσθεν τῶν ἁγίων κιγκλίδων ἵστησι καὶ οὕτω προσερχέσθωσαν αὐτῷ πᾶσα ἡ ἀδελφότης καὶ καθεξῆς αὐτὸν ἀσπαζέσθωσαν ἅπαντες. μετὰ δὲ τὸν ἀσπασμὸν δόξα τῷ θεῷ ἀναφερέσθω καὶ ἀπόλυσις ἐπέσθω μετὰ[2] τὴν συνήθως τοῦ ἱερέως εὐχήν. εἰ δὲ καὶ χειροτονίαν ἱερέως ἔχει ὁ προχειριζόμενος, εἰς τὸ οἰκονομεῖον, μᾶλλον ἂν εἴη εὐάρεστος[3]· πάντων οὖν τῶν ἄλλων ἀναγκαίων ἀφεμένος ὁ προεστὼς εἰς ἐπίσκεψιν διαναστήτω μετὰ τοῦ προχειρισθέντος οἰκονόμου ἐπὶ τῶν τῆς μονῆς ἁπάντων μετοχίων[4]), ὡς καὶ ἀκριβέστερον ταῦτα ἐξερευνήσασθαι καὶ καταμαθεῖν καὶ προσγραφῇ σημειώσασθαι, ὁ δέ γε προρρηθεὶς οἰκονόμος ἐπιτηρεῖν χρεὼν πάντας τοὺς διακονητὰς καὶ μισθίους καὶ διδόναι ἑκάστῳ τὸ ἀναλογοῦν σιτηρέσιον. δέον ἐν τῷ καιρῷ τοῦ θέρους καὶ τῆς τρύγης σταλῆναι πρὸς τὰ μετόχια καὶ ἑτέρους τῶν ἀδελφῶν τοῦ ἔχειν τούτους ὁ οἰκονόμος συνεργοὺς καὶ συναντιλαμβανομένους αὐτὸν καὶ εἰς τὸν ἀγῶνα καὶ τὴν σπουδὴν τῶν εἰσοδίων συμπονοῦντας, ἀλλὰ καὶ ἀψευδεῖς μάρτυρας τούτους ἔχειν εἰς τὴν τῶν εἰσοδιασθέντων ἀσφάλειαν, προσγραφῆναι τὴν ἑκάστου εἴδους δέον ποσότητα καὶ τῷ προεστῶτι προσκομισθῆναι. καὶ αὐτὸς δὲ ἀσφαλεῖ γραφῇ σημειούσθω καὶ [ἐν][5] καιρῷ τῷ προσήκοντι ἐξετάσει τὴν τῶν εἰσοδιασθέντων κατάχρησιν· οὐ γὰρ ἕξει ἐπ' ἀδείας ὁ οἰκονόμος [ἄνευ][6] τῆς τοῦ προεστῶτος εἰδήσεως, γνώμης τε καὶ θελήσεως ποιεῖν τι, ἀλλὰ πᾶσιν ἐξακολουθεῖν αὐτοῦ τοῖς ἴχνεσι καὶ τοῖς θελήμασι, καθά που φησὶν ὁ Σολομών, ὅτι μετὰ βουλῆς πάντα ποιεῖν, ἀλλὰ καὶ αὐτὸ φησὶ τὸ ἱερὸν εὐαγγέλιον ὅτι „καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός μου πατρός·" οὐ γὰρ ἐμοὶ βουλητὸν τοὺς μετοχιαρίους ἔχειν ἐπ' ἐξουσίας τὰ τῶν προαστείων εἰσόδια, ἀλλὰ τὰ γεηπονικὰ

---

[1]) **Supplevimus.** [2]) μὲ C. [3]) εὐάρεστον E. [4]) μετοχείων E. [5]) **Supplevimus.** [6]) **Supplevimus.**

ἐργαλεῖα καὶ τὰ ὑλικά φημι ἅπαντα, τὸ δίκαιον δ' αὐτῶν [1]) σιτηρέσιον καὶ τῶν γεηπονούντων ἀδελφῶν δοθήσεται τούτοις [2]) παρὰ τοῦ οἰκονόμου, ἀλλὰ δεῖ καὶ εἰς ἑτέρας δικαίας καὶ εὐλόγους ἐξόδους ἐπιδώσειν αὐτοῖς [3]) τὰ χρειαζόμενα, ὃς [4]) καὶ γραφῇ σημειώσεται ταῦτα καὶ ἐν καιρῷ τῷ προσήκοντι ἐπιδώσει καθαρὰν τὴν τούτων καταβολήν· οὐ γὰρ βούλεται τοὺς διακονητὰς ἐξετάζεσθαι καὶ ἐρευνᾶσθαι ἐπὶ τῇ καταβολῇ τοῦ τυχόντος πράγματος, εἰ μὴ ἐνώπιον τοῦ προεστῶτος, ἀλλ' οὐδὲ οἱ ποιμένες ἐξετασθήσονται παρὰ μόνου τοῦ οἰκονόμου καὶ τοῦ ἀγελάρχου, ἀλλὰ καὶ αὐτοὶ ἔσονται, καθὼς ἀνωτέρω δεδήλωται.

ιθ'. Δέον ἔτι καὶ ἐν τῇ μονῇ ἕτερον εἶναι οἰκονόμον κατὰ πάντα τὸν τρόπον ἐφάμιλλον τῇ ἀρετῇ τῷ πρώτῳ οἰκονόμῳ εἰς ἐπίσκεψιν καὶ ἀκριβῆ διέγερσιν πάντων τῶν διακονητῶν, ἀλλὰ δεῖ καὶ τὴν ἐπιμέλειαν ἔχειν πάντων τῶν παραβαλλόντων ξένων καὶ ἀδελφῶν καὶ τῶν ἀσθενῶν ἐπιμελεῖσθαι, ὡς ἀνωτέρω δεδήλωται, καὶ τὰ ὁθενδήποτε εἰσοδιαζόμενα τῇ αὐτοῦ εἰδήσει ἀνακρίνεσθαι καὶ ἐξετάζεσθαι καὶ παραδιδόναι ἑνὶ ἑκάστῳ τῶν διακονητῶν τὰ πρὸς τὴν χρείαν τῆς ἀδελφότητος, ὥς που φησὶν ὁ συγγραφεὺς τῶν πράξεων, ὅτι „διεδίδοτο ἑκάστῳ καὶ καθ' ὅτι ἄν τις χρείαν εἶχεν", ἀλλὰ καὶ τοῦ προεστῶτος ἀπόντος ἢ καὶ [ἐν] [5]) τῇ κέλλῃ ἡσυχάζοντος, αὐτὸς [6]) καταρτίσει πᾶσαν τὴν ἀδελφότητα, τοὺς νωθροὺς ἐν ταῖς τῶν ψαλμῳδιῶν εἰς τὸν ναὸν εἰσελεύσεσι, τοὺς ἀργολογοῦντας ἢ ἀργοῦντας ἤθ' ἕτερόν τι ποιοῦντας ἀπρεπὲς καὶ ἀνόνητον ἀδελφικῶς καὶ ἐν ἀγάπῃ παραινέσει καὶ διορθώσεται πείθων αὐτούς, ἐν ταῖς αὐτῶν εἰσιέναι κέλλαις καὶ τῇ εὐχῇ προσανέχειν καὶ τῷ ἐργοχείρῳ, πρὸς τούτοις μηδὲ πρὸς ὕβρεις ἀλλήλων χωρεῖν ἢ διαπληκτισμούς· ὁ γὰρ ποιῶν τοῦτο ἀφορισμῷ ὑποπεσεῖται, μὴ μετανοῶν δὲ καὶ τὴν συγχώρησιν ἐξαιτούμενος ἐν συντετριμμένῃ καρδίᾳ αὐστηροτέρως ἐπιτιμηθήσεται εἰς τὸ μεταμαθεῖν τό· „εὐλόγησον καὶ συγχώρησον, ἀδελφέ". καὶ οἱ ἐπικτήσεις δέ τινας κτώμενοι λάθρᾳ τοῦ προεστῶτος παρὰ τὸν κανόνα τοῦ μοναστηρίου ἄχρις ὀβολοῦ ἢ ὀπώρας τῷ ἐπιτιμίῳ ὑποπεσοῦνται. ὁ δὲ νοσφιζόμενος ἀπὸ τῆς μονῆς ἐξομολογούμενος καὶ διορθούμενος ἐξ ἅπαντος [7]) ἐκδιωχθήσεται. οἰκέτας τοὺς ἐκδουλεύοντας οὐκ ἔξεστιν ἡμῖν ἔχειν, ἀλλ' ἕκαστος ἑαυτῷ δουλεύσει, ὁ νέος τῷ προβεβηκότι καὶ τῷ ἀσθενεστέρῳ ὁ ἰσχυρότερος, ὡς ἂν ὁ προεστὼς ἐπιτρέψῃ· [8]) οὕτω γὰρ ἡ δεσποτικὴ ἐντολὴ πληρωθήσεται καὶ ὁ τῆς ἀγάπης θεσμὸς ἀπαρατρώτως τηρηθήσεται. καὶ ταῦτα μὲν πάντα ποιήσεται ὁ προρρηθεὶς οἰκονόμος κατὰ τὸν ὁρισμὸν τοῦ προεστῶτος καὶ οὐ κατὰ ἔριν τινά, ἀλλ' ὅλως δι' ὅλου, ὥς ἐστι γνώμη καὶ βουλὴ τῷ προεστῶτι.

---

[1]) αὐτοῦ E. [2]) τούτῳ E. [3]) αὐτῷ E. [4]) ἃ E. [5]) **Supplevimus.** [6]) καὶ αὐτός E. [7]) ἐξάπαντως E. [8]) ἐπιτρέψει E.

κ'. Τὰ δ' ἑξῆς οὐκ ἐβουλόμην παραδοῦναι γραφῇ· οὐ γὰρ ἔδει τὸν ἅπαξ εἰς τοῦτο προκεχαρμένον τῆς αὐτοῦ τάξεώς τε καὶ καταστάσεως μεθιστᾶν, εἴπερ καὶ αὐτοὶ ἄτρεπτοί τε καὶ τὸ παντελὲς ἀναλλοίωτοι πρὸς τὰ καλὰ διαμένωσιν. ἐπεὶ δὲ τοῦτο οὐκ ἔστι· (τρεπόμεθα γὰρ πολλάκις καὶ ἀλλοιούμεθα, οἷα τὰ ἀνθρώπινα, καὶ τιμῆς ἀξιούμενοι πρὸς τὴν τῶν καλῶν ἐργασίαν μᾶλλον χαυνούμεθα, εἴτε ῥᾳθυμίᾳ εἴκοντες τὰ πολλά, ὡς φιλούσης τῆς ἀρχῆς τοὺς αὐτὴν[1]) ἐπαγγελμένους ὑποχαυνοῦν, ὅτε πλείω τὸν ἀγῶνα καὶ τὴν προσοχὴν μᾶλλον ἀσκεῖν ἔδει, εἴτε καὶ τὴν ἀρετὴν ἐν πρώτοις μὲν ὑποκρινόμενοι διὰ τὴν ὄρεξιν τῆς ἀρχῆς καὶ τὴν τῆς ἐπιτυχίας ἐλπίδα, τυχόντες δὲ ταύτης εὐθὺς εὑρισκόμεθα ἐκεῖνοι ὄντες, οἵπερ[2]) ἀληθῶς καὶ πρὸ τοῦ ἦμεν), διὰ ταῦτα καὶ γραφῇ δοτέον τὸ πρᾶγμα καὶ χολαστέον εἰς δύναμιν. εἰ μὲν οὖν ἄτρεπτοι οἱ οἰκονόμοι μένουσι καὶ ἀναλλοίωτοι τῆς ἀρετῆς ἐπιεικῶς καὶ τῆς ἀγάπης τῶν ἀδελφῶν ἀντεχόμενοι, δι' ἣν καὶ ταύτης ἠξιώθησαν [τῆς][3]) τάξεως, ἀμετακίνητοι ἔστωσαν τῆς τοιαύτης διακονίας καὶ ἀδιάπτωτοι. εἰ δὲ ἀδόκιμόν τι καὶ ἀσύμφορον [ποιοῦντας][4]) ὁ χρόνος αὐτοὺς ἀπεξελέγξει, ὡς εἴτε τῆς διακονίας ἀμελῶς καὶ καταφρονητικῶς ἐχόμενοι, εἴτε τοῖς ἑαυτῶν φίλοις καὶ συγγενέσι χαριζόμενοι, εἴτε τι τῆς μονῆς νοσφιζόμενοι, εἴτε ταραχώδη τινὰ καὶ ὀχλοποιὰ ἀποδεικνύμενοι καὶ πρὸς τὰς τοῦ καθηγουμένου διατάξεις ἀπεχθιαζόμενοι ἢ τὰ τῆς μονῆς ὑποτιθέντες τινὶ καὶ προδιδόντες, εἴτε τι ἴσως τῶν τοῦ τυπικοῦ καὶ τῆς διατάξεως διαταγμάτων παραθραύοντες καὶ τοῖς ἑαυτῶν στοιχοῦντες θελήμασιν ἢ σωματικοῖς τισι πάθεσι προφανῶς συμφυρόμενοι ἢ καὶ ἀλόγῳ προσπαθείᾳ τινος, παρὰ τὴν λοιπὴν συνδούμενοι ἀδελφότητα καὶ διὰ ταῦτα καὶ πρὸς κυβέρνησιν ψυχῶν ἀνεπιτήδειοι ἐλεγχόμενοι, ἐκβάλλονται τῆς ἀρχῆς καὶ ἄλλοι οἱ πᾶσι κομῶντες τοῖς καλοῖς καὶ τὴν ἀρετὴν ἐκείνων κρείττονες καὶ ἀδιάβλητοι αὐτοὶ ἐκείνων πάντως προτιμηθήσονται καὶ εἰς τὴν ἑαυτῶν διακονίαν προβήσονται. εἰ δ' ἄμεμπτοι εἴησαν τὴν αὐτῶν διακονίαν τελοῦντες καὶ θεῷ καὶ πατρὶ καὶ τῇ ἀδελφότητι δόκιμοι ἀναφαίνονται, ἀκούσονται, „εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω". καὶ ταῦτα μὲν περὶ τῶν οἰκονόμων ἀρκούντως ἐκθέμεθα.

κα'. Αἱ προχειρίσεις τῶν διακονητῶν ἁπάντων, ἤγουν τοῦ ἐκκλησιάρχου, τοῦ κελλαρίτου, τῶν δοχιαρείων, τοῦ ὡρειαρίου[5]) καὶ τῶν λοιπῶν κατὰ τόνδε[6]) τὸν τρόπον προβήτωσαν· μετὰ τὴν τοῦ ὄρθρου ἀπόλυσιν καὶ τὴν συνήθη τοῦ ἱερέως εὐχήν, τρισαγίου παρὰ πάντων γενομένου ποιείτω τρεῖς βαθείας γονυκλισίας ἐμ-

---

[1]) ἑαυτήν E. [2]) ὅπερ E. [3]) Supplevimus. [4]) Supplevimus. [5]) ὁριαρίου E. [6]) τότε E.

προσθεν καὶ πλησίον τοῦ βήματος[1]) ὁ εἰς οἱανδήτινα διακονίαν ἐκλελεγμένος. εἶτα καὶ αὐτὰ τὰ θεῖα καὶ ἱερὰ εἰκονίσματα καὶ σεβάσμια τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς θεομήτορος εὐλαβῶς ἀσπαζέσθω καὶ αὖ πάλιν μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων κιγκλίδων ποιείτω καὶ εἰς τὸν καθ' ἕνα χορὸν ὡσαύτως, εἶθ' οὕτως λαμβανέτω αὐτοχείρως τὰς κλεῖς ἐκ τῆς ὑπεραγίας θεοτόκου καὶ τῷ προεστῶτι τὸν ἴδιον αὐχένα ὑποκλινάτω, εὐλογείσθω παρ' αὐτοῦ καὶ τῷ τιμίῳ σφραγιζέσθω σταυρῷ, τὴν εὐχὴν ἐπιλέγοντος ταύτην· „ἡ χάρις τοῦ παναγίου πνεύματος, ἀδελφέ, δι' εὐχῶν τῶν πατέρων ἡμῶν ἐνισχύσει σε καλῶς καὶ ὡς αὐτῷ φίλον τὴν ἀνατεθεῖσάν σοι ἐκπληρώσεις διακονίαν". μετὰ ταῦτα ἔμπροσθεν τοῦ βήματος στὰς κοινὴν τοῖς ἀδελφοῖς βαλέτω μετάνοιαν οὕτως ἠπίως ἐπιβοώμενος· „εὔξασθέ μοι, πατέρες καὶ ἀδελφοί, καλῶς ἀνύσαι καὶ θεοφιλῶς τὴν ἐν ᾗ προεχειρίσθην διακονίαν, καὶ τῶν ἀδελφῶν πάντων λεγόντων· „ὁ θεὸς ἐνδυναμώσει σε, ἀδελφέ", γινέσθω ἀπόλυσις".

κβ'. Ταῖς μέντοι μὴ ἐχούσαις κλειδία διακονίαις ὁ τῶν θείων εἰκόνων ἀσπασμὸς καὶ ἡ τοῦ ἡγουμένου σφραγὶς μετὰ τρισαγίου ἀρκέσουσιν εἰς προχείρισιν. ἀμέλει τοὺς ἐφ' ἑκάστην τῶν διακονιῶν προκεχειρισμένους προσεκτικῶς μὲν καὶ θεοφόβως αὐτὰς μετιόντας ἐᾶν ἀμετακινήτους δίκαιον ἄχρις οὗ τούτους προσήκειν ὁ προεστὼς διακρίναι, ἀμελοῦντας δὲ καὶ καταφρονοῦντας, ἴσως δὲ καὶ δολιευομένους ἐν αὐταῖς μεθιστᾶν καὶ ἑτέρους ἀποκαθιστᾶν. εἴ τις δὲ τούτων νοσφιζόμενος ἄχρι τοῦ τυχόντος φανῇ, ὑπόδικος ἔστω τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ καὶ τῇ αὐτοῦ ἀχράντῳ μητρί, ἀφ' ὧν ἄρα καὶ τὴν διακονίαν παρέλαβεν, ὑποσχόμενος ἀδόλως καὶ εὐθύμως διακονῆσαι.

κγ'. Μετὰ τὴν προχείρισιν τοῦ ἐκκλησιάρχου ἅπαντα τὰ τῆς ἐκκλησίας παραδοθήσονται αὐτῷ ἐγγράφως. ἐπειδὴ δὲ καὶ ἱερῶν σκευῶν, ἀναθημάτων τε θείων καὶ βιβλίων ἐδέησε τῇ μονῇ εἰς θεοῦ δόξαν καὶ φωτισμὸν τῶν ἐν αὐτῇ ἀσκουμένων ἀφιερώθησαν ταῦτα, ὅσα χρειώδη, χάριτι Χριστοῦ. καὶ διὰ πρεσβειῶν τῆς ὑπεραγίας θεοτόκου, ὅσα ἐν ἀργυρίοις σκεύεσι καὶ σεπταῖς εἰκόσι καὶ ἐπίπλοις καὶ βίβλοι πολλαί, καὶ ὅσα τε ἐν χαλκῷ ἐθεωρήθησαν καὶ τούτων βρέβιον γέγονε παρ' ἡμῶν ὑπογραφὲν οἰκείᾳ μου χειρί[2]), περὶ ὧν διορίζομαι εἶναι εἰς τὸ παντελὲς ἀνεκποίητα καὶ ἀναφαίρετα καὶ ὁ τολμήσων ἐξ αὐτῶν ἀφελεῖσθαι τὸ οἱονοῦν, ὡς ἱερόσυλος λογισθήσεται καὶ σὺν τῷ Ἰούδᾳ ἐν κολάσεσιν αἰωνίαις καταταγήσεται, πρὸ ἐκείνων δὲ καὶ τῆς ἐκείνου ἀγχόνης κληρονόμος γένοιτο. ἀλλὰ μηδὲ εἰς νοῦν μελετηθείη, Χριστέ μου, ποτέ τινι, μὴ δυνάστῃ, μὴ ἄρχοντι,

---

[1]) μνήματος E. [2]) **Non exstat.**

μὴ τῶν ἐν τῇ μονῇ ἢ προεστῶτι ἢ ὑποτασσομένῳ ἀφελέσθαι ἢ ἐκποιήσασθαί τι τῶν ἀναθημάτων ἢ τῶν ἐν αὐτῇ βιβλίων ἢ μέγα ἢ μικρὸν ἢ ὁποιονδηποτεοῦν ἕτερον, εἰ μὴ καὶ μᾶλλον διὰ σπουδῆς γενέσθω προστιθέναι καὶ προσαφιεροῦν [τι][1]) εἰς δόξαν θεοῦ καὶ αὐτῶν ὠφέλειαν οὐ τὴν τυχοῦσαν. ὁμοίως χρὴ τὸν καθηγούμενον κατὰ τὴν ἑβδομάδα τῆς διακαινησίμου, εἰς ἣν δ' ἂν ἐθέλῃ ἡμέραν ἐπιτηρεῖν ἅπαντα [τὰ][2]) τῆς ἐκκλησίας, ἔχων[3]) ἐπὶ χεῖρας τὸ βρέβιον, καὶ καθὼς ἐπαρεδόθη ἅπαντα πρὸς τὸν ἐκκλησιάρχην, μήπως ὡς ἀσθενεστέρους ὑμᾶς[4]) δελεάζῃ καὶ ἡττηθῇ . . .[5]) τοῦ πονηροῦ τῇ κακοβουλίᾳ δράμετε ταχὺ πρὸς τὴν ἐξομολόγησιν· ἡ γὰρ καθαρὰ ἐξαγόρευσις ἀναπληρώσει ὑμῖν τὴν συγχώρησιν δικαίως ἐπιβραβεύουσα παρὰ τοῦ προεστῶτος καὶ μὴ προσπαθῶς, μηδὲ κατά τινα ἔκτισιν θλίψεως ἀποστερεῖτε τὸ δίκαιον τοῖς τυχοῦσιν ἀδελφοῖς, ἀλλὰ πάντα δικαίως κατὰ τὸν τοῦ προεστῶτος ὁρισμόν. πᾶσαν οὖν σπουδὴν εἰσηνέγκατε τὸ μηδὲν μηδὲ ἄχρι τοῦ σμικροτάτου ἄνευ εἰδήσεως καὶ γνώμης τοῦ προεστῶτος ποιεῖν· εἰ γάρ τις ὑμῶν τοιοῦτόν τι διαπράξηται καὶ διὰ παραινέσεως καὶ νουθεσίας τοῦ τοιούτου ἐγχειρήματος μὴ ἀναστέλληται, τῷ προσήκοντι ἐπιτιμίῳ ὑποβληθήσεται. ἀλλ' οὐδ' ἐπ' ἀδείας ἕξει ὁ κελλαρίτης τοῖς ἑαυτοῦ φίλοις ἢ συγγενέσι [παρέχειν τι][6]) τὰ τῆς μονῆς, κατακενῶν ἢ νοσφιζόμενος ἐκ τῶν βληθέντων αὐτῶν ἄχρις καὶ ἑνὸς ὀβολοῦ· ἀμέτοχος γὰρ ἔσται [ὁ τοῦτο ποιῶν][7]) τοῦ θείου σώματος καὶ αἵματος, ἀλλὰ καὶ τῆς διακονίας ἐκστήσεται καὶ ἀντ' αὐτοῦ ἄλλος τὴν ἀρετὴν αὐτὴν κρείττων προβήσεται. καὶ ταύτην τὴν ἀκριβῆ ἐξέτασιν ἔχειν ὀφείλει ὁ καθηγούμενος καὶ ὁ οἰκονόμος ἔν τε τῇ βρώσει καὶ τῇ πόσει τῶν ἀδελφῶν, τοῦ διακρίνειν ἑκάστῳ κατὰ τὴν ἀναλογοῦσαν ἀσθένειαν.

κδ'. Δέον οὖν δύο δοχειαρίους παρὰ τοῦ προεστῶτος προχειρίζεσθαι, ὧν ὁ μὲν εἰς τὴν εἴσοδον πᾶσαν διακαθέξει τῆς μονῆς καὶ ἀπογράψεται ἐν λεπτῷ τὰ εἰσοδιαζόμενά τε καὶ ἐξοδιαζόμενα, οὐχ ἁπλῶς οὕτως, ἀλλὰ κατὰ τὴν ῥηθησομένην ὑποτύπωσιν. ἔσται γλωσσόκομον[8]) τῷ δοχείῳ μονῆς ἐναποκείμενον, ἐν ᾧ εἰσαχθήσονται πάντα τὰ ὁθενδήποτε τῇ μονῇ ἐπερχόμενα, κλεισὶ κατησφαλισμένον καὶ σφραγίσει. ἔσται δὲ καὶ χαρτίον τάξιν μὲν ἐπέχον παραθέσεως, ἐντὸς δὲ [τοῦ][9]) τοιούτου γλωσσοκόμου καὶ αὐτὸ ἀποκείμενον. τούτῳ προσγραφήσονται πάντα τὰ εἰρημένα κατὰ λεπτόν, ἀφ' ὧν λήψεται καθ' ἕκαστον μῆνα ὁ δοχειάριος λόγῳ τῶν τῆς μονῆς ἐξόδων τὰ χρειώδη καὶ κατακενώσει κατὰ τὸν τοῦ προεστῶτος διορισμόν. μετὰ μέντοι τὴν τοῦ μηνὸς συμπλήρωσιν συγ-

[1]) Supplevimus. [2]) Supplevimus. [3]) ἔχειν E. [4]) ἡμᾶς E. [5]) Iterum deest in codice folium. [6]) Supplevimus. [7]) Supplevimus. [8]) γλωσσόκωμον E., hic et infra. [9]) Supplevimus.

καθεσθήσονται ἅμα ἐν τόπῳ ἀφορισμένῳ ὅ τε προεστὼς καὶ οἱ πρόκριτοι ἀδελφοὶ καὶ προτεθήσεται μὲν τὸ γλωσσόκομον ἐπὶ μέσον, ἀνοιγήσεται δὲ παρὰ τοῦ τὴν κλεῖδα τούτου διακατέχοντος, εἶθ' οὕτως ἐκβληθήσεται μὲν ἡ παράθεσις πρότερον καὶ ἀναγνωσθεῖσα γνώριμα θήσει τὰ προθέντα τῷ δοχειαρίῳ εἰς ἔξοδον. εἶτα παραστήσει τὴν τούτων ἔξοδον οὕτω καθαρὰν καὶ σαφῆ, ἀλλὰ καὶ τὰ ἀπὸ οἱωνδήτινων ὑποθέσεων τῶν αὐτῶν μηνῶν εἰσοδιασθέντα παρ' αὐτοῦ δῆλα πάντως πάντα ποιήσει ὁ δοχειάριος, ἀπογραφήν τε τούτων προκομίσει δηλοῦσαν, τί καὶ ὅθεν παρά τινος καὶ κατὰ ποῖον εἰσοδιάσθη καιρόν, καὶ οὕτως τά τε εἰσοδιασθέντα καὶ ἐξοδιασθέντα κατὰ τῶν αὐτῶν μηνῶν σαφῶς διαγινωσκόμενα προσγραφήσονται τῇ παραθέσει ἀριδηλότερον· μετὰ δέ γε τὴν προσγραφὴν αὖθις ὁ μὲν χάρτης τῆς παραθέσεως τῷ γλωσσοκόμῳ ἐναποτεθήσεται, ὡσαύτως καὶ τὰ εἴτε ἀπ' εὐλογιῶν, εἴθ' ἑτέρωθεν ἐλθόντα πρὸς τὴν μονήν. ὁ δέ γε δοχειάριος ῥητὰ πάλιν ἀπὸ τοῦ γλωσσοκόμου νομίσματα ἕτερα λήψεται λόγῳ τῶν ἐξόδων τοῦ εἰσελθόντος μηνός· εἶτα αὖθις κλεισθήσεται τὸ γλωσσόκομον καὶ παρὰ τῶν εἰρημένων ἀδελφῶν σφραγισθὲν τῷ συνήθει τόπῳ ἀποτεθήσεται, καὶ οὕτω σαφοῦς καὶ καθαρωτάτης πάσης εἰσόδου τε καὶ ἐξόδου γενομένης καὶ καταφανοῦς οὐχ ὑπολειφθήσεταί τι τὸ σύνολον σκάνδαλον ἢ κατὰ τοῦ τὴν τοιαύτην ἐμπιστευμένου διακονίαν, εἴθ' ἑτέρου τινός. ἐκτὸς τοιγαροῦν τοῦ τοιούτου γλωσσοκόμου ἐν ἁγίῳ πνεύματι ἐντελλόμεθα μήτε τὸν μεθ' ἡμᾶς τὴν ἡγουμενίαν διαδεξόμενον, μήτε αὐτὸν τὸν τὰ δευτερεῖα ταύτης ἔχοντα, τὸν οἰκονόμον φημί, μήθ' ὀντιναοῦν ἕτερον ἓν καὶ μόνον νόμισμα ἢ πλείονα ἢ ἐλάττονα παρ' ἑαυτῷ κατασχεῖν διὰ τὸ μέλλειν πάντα, ὡς εἴρηται, φανερῶς εἰσοδιάζεσθαι καὶ ἐξοδιάζεσθαι· τὰ δέ γε ἀμφία πάντα τῆς ἀδελφότητος, ἱμάτια τυχὸν καὶ μανδύας, ἀποστολικὰ καὶ λοιπὰ παρὰ τοῦ δοχειαρίου καλῶς τηρηθήσονται καὶ τοῖς χρῄζουσι τῶν ἀδελφῶν, καθ' οὓς ἂν ὁ προεστὼς αἱρῆται καιρούς, δεόντως διαδοθήσεται. ἡ μέντοι τούτων ἐξώνησις παρ' αὐτοῦ τούτου ἔσται προβαίνουσα ἢ ἑτέρου τῶν ἀδελφῶν, τοῦ δοκιμασθέντος δηλονότι πεῖραν κεκτῆσθαι περὶ τα τοιαῦτα ἱκανήν. ὠνεῖσθαι δὲ τὰ τοιαῦτα κατὰ τοὺς προσήκοντας καιρούς[1]) ἐπιτρέπομεν, περιποιεῖσθαι δὲ καὶ τὰ παλαιὰ κατὰ δύναμιν καὶ χρᾶσθαι τούτοις βουλόμεθα· μόνην γὰρ τὴν ἀναγκαίαν ζητητέον χρείαν, τὸ δὲ περιττὸν ἐκ[2]) τοῦ ἐναντίου μισητέον. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν μανδύων καὶ ἐπὶ τῶν ἐπιστηθίων καὶ τῶν ὑποδημάτων καὶ πάντων ἁπλῶς τῶν χρειωδῶν λέγομεν. ὅταν οὖν χρεία εἴη ἀναγκαία[3]) καινότερόν τι τούτων ἀπολαβεῖν τινα, τὸ παλαιὸν κομιστέον ἄρα ἐν τῷ δοχείῳ. δοτέον δὲ αὐτῷ τοῦτο καὶ ἕτερον ἀποληπτέον εἰδήσει τοῦ προ-

---

[1]) τ. καιροὺς προσηκ. E. [2]) ὡς E. [3]) ἀναγκαίως E.

εστῶτος· ἄλλως γάρ, εἰ μὴ τὰ παλαιὰ κομίζοιντο, καινὰ διδόναι οὐκ ἐπιτρέπομεν. καὶ ταῦτα μὲν διαπραξέτω ὁ δοχειάριος· ὁ δέ γε ἄλλος ἴδιον καὶ αὐτὸς ἐχέτω καὶ ἀφορισμένον οἴκημα, δοχεῖον καὶ τοῦτο ὀνομαζόμενον, κἀν τούτῳ τὴν παχυτέραν ὕλην ἅπασαν τῆς μονῆς ἐναποκειμένην τυγχάνειν, γεηπονικὰ τυχὸν ἐργαλεῖα, χαλκώματά τε καὶ ἄλλα τῇ μονῇ χρειώδη καὶ ἀναγκαῖα, ἃ διακαθέξει ἐπιμελέστερόν τε καὶ ἀσφαλέστερον μετὰ προσγραφῆς ταῦτα παραλαμβάνων, καὶ αὖθις ἀποδιδοὺς τοῖς χρείαν ἔχουσι τούτων διακονηταῖς, εἴς τε τὰς γεηπονικὰς καὶ λοιπὰς δουλείας τῆς μονῆς, ὡς ἂν εἴδησιν ἔχῃ ὁ τοιοῦτος, ποῖα καὶ πόσα τῶν προσφόρων ἐργαλείων ἑκάστῳ πρόσεισι τῶν διακονητῶν. τοῦ αὐτοῦ δὲ δοχειαρίου ἔργον ἔσται καὶ τὸ τὸν χαλκευτὴν ἐπιτηρεῖν τῆς μονῆς.

κε'. Ἀναγκαῖόν μοι καὶ τῶν ἄλλων ἐπιμνησθῆναι διακονιῶν, οἷον τὸν ὡρειάριον[1]) φημὶ καὶ τὸν ἀποθηκάτορα, ἀλλὰ δὴ καὶ τοὺς στρατοκόπους. τοῦ ἔχειν πρῶτον μὲν τὸν φόβον τοῦ θεοῦ καὶ κατὰ τὸν [τοῦ][2]) προεστῶτος ὁρισμὸν ἅπαντα ποιεῖν ἔν τε τῇ εἰσόδῳ καὶ ἐξόδῳ, πάντα μέτρῳ δίδοσθαι καὶ μέτρῳ λαμβάνειν, ὥς που φησὶ τὸ ἱερὸν εὐαγγέλιον, ὅτι „ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν". καὶ κατὰ τὴν συνήθειαν, ἣν παρελάβετε παρ' ἐμοί, τὴν ἄνωθεν παρακολουθοῦσαν, οὕτω ποιεῖτε, καὶ εὖ ἔστω ὑμῖν. εἰ δ' ἴσως τις ἐξ ὑμῶν παρὰ γνώμην τοῦ προεστῶτος ποιοίη καὶ νοσφισμός τις γίνεται ἀπὸ τῶν ἀνατιθέντων αὐτῷ, ὑπόδικος ἔσται τῇ ἁγνῇ θεομήτορι, ἀφ' ἧς ἄρα καὶ τὴν διακονίαν παρέλαβεν, ὑποσχόμενος προθύμως καὶ ἀδόλως διακονῆσαι. ἀλλὰ καὶ ὁ προεστὼς τοῦτον μὲν ἐκβαλεῖ τῆς διακονίας, καὶ ἄλλον ἀντ' ἐκείνου πάντως προβλήσεται[3]). τῷ δὲ ὑπούλως διακονοῦντι δοθήσεται ἐπιτίμιον ἐν ἄρτῳ καὶ ὕδατι κατὰ τὴν τοῦ σφάλματος ἀναλόγως ποσότητα.

κϛ'. Ἐπὶ[4]) δὲ τούτοις καὶ τοῦτο ὑμῖν διακελεύομαι τοῖς ἐμοῖς πατράσι καὶ ἀδελφοῖς, ὡς ἂν εἴη πᾶσιν ἡ αὐτὴ τροφή τε καὶ πόσις· μόνους γὰρ ἐκείνους θεραπευτέον ἐν ἅπασι καὶ χειραγωγητέον εἰς δύναμιν, ὅσοι δὴ προφανεῖς ἀρρωστείας περίκεινται, καὶ δέονται τυχὸν διὰ τοῦτο βρώσεώς τε καὶ πόσεως κρείττονος πρὸς σύστασιν τοῦ ἀσθενοῦς αὐτῶν καὶ ταλαιπώρου σώματος· τοῦτο γὰρ καὶ διακρίσεως οἶμαι καὶ τὴν συνείδησιν τῶν λοιπῶν διατηροῦν ἀσκανδαλίστως. οἱ ἀδελφοὶ δὲ ἡμῶν οἱ ἄρρωστοι μὴ τοῦτο τεθαρρηκότες ἐκλύουσιν ἑαυτοὺς ζητοῦντες περιττά τινα, καὶ ἅπερ ἴσως οὐδ' εἰς ἀκοήν ποτε ἐδέξαντο, μὴ ὅτι γε εἶδον ἢ ἔφαγον, ἀλλὰ συνεχέτωσαν ἑαυτοὺς καὶ συστελλέτωσαν ἀρκούμενοι ἐκείνοις καὶ μόνοις, οἷς ἄρα ἡ τοῦ καιροῦ καὶ τῆς εὐπορίας τῆς μονῆς περιφορὰ τούτους[5]) δεξιοῦται·

---

[1]) ὁριάρην E. [2]) Supplevimus. [3]) προσβλήσεται E. [4]) ἐπεὶ E. [5]) τούτης E.

εἰ γὰρ καὶ ἐπιμελεῖσθαι αὐτῶν διὰ τὴν ἐντολὴν ἐντελλόμεθα, ἀλλ' οὐχὶ καὶ τρυφᾶν αὐτοὺς παραχωροῦμεν, συνεσταλμένως δὲ μᾶλλον ζῆν καὶ ὡς δεῖ τοὺς μοναχούς, ἵνα καὶ αὐτοὶ τὸν τῆς ὑπομονῆς μισθόν, ὃν ἡ στέρησις τῶν ὀρέξεων καὶ ἡ τῆς ἀρρωστείας δυσχέρεια προξενεῖν αὐτοῖς μέλλει, ἐκ θεοῦ ἀπολαύσωσιν.

κζ'. Ἐπεὶ δὲ τῇ τοῦ θεοῦ προνοίᾳ ἀρρήτῳ καὶ τῆς ἀσπόρως αὐτὸν τεκούσης ἁγνῆς θεομήτορος καὶ κτήσεις τινὲς ἀκίνητοι ἐπεκτήθησαν [1]) τῇ μονῇ, ὥσπερ ἄνωθεν εἴρηται, καὶ δεῖ τούτων [2]) φροντίζειν τὸν προεστῶτα καὶ παρατηρητέον αὐτῷ τὰ εἰς δύναμιν, ὁποίους [3]) εἶναι δεῖ τοὺς εἰς τὴν τούτων πρόνοιαν πεμπομένους ἀδελφούς, εὐλαβεῖς δηλονότι καὶ σώφρονας καὶ γηραιοὺς εἰς ἅπαν, εἰ δυνατόν, καὶ πρὸς τὰ πάθη νεκροὺς διὰ τὰς τοῦ Βελίαρ ἐπιβουλάς. κοσμικὸν δὲ διακονίαν τοιαύτην τινὰ τῆς μονῆς ἐγχειρίζεσθαι οὐκ ἐπιτρέπω ἄνευ τῶν γηπόνων καὶ τῶν ποιμαινόντων [4]) τὰ θρέμματα. εἰ δ' ἴσως εἴη ἐπίκτησις μὴ πλησιάζουσα τῇ μονῇ, ἀλλὰ καὶ ψυχικὴν ἔχουσα βλάβην, τὴν τοιαύτην ἐπιτρέπω δοθῆναι ἐπὶ συμφώνῳ ἢ ἀνταλλάγματι, πλησιέστερον ἔχουσα ἡ μονὴ τὴν ἀνήκουσαν ποσότητα τῆς εἰσόδου, τὰς δὲ τοιαύτας ἐπικτήσεις καὶ πλησιεστέρας ἀνεκποιήτους εἶναι βουλόμεθα παντάπασι καὶ ἀναφαιρέτους, παρὰ μηδενὸς ἀφαιρουμένας ἢ ἐκποιουμένας ποτὲ τὸ σύνολον χωρὶς ταῖς ἐχούσαις ψυχῶν βλάβην, ἐπεὶ [5]) καὶ ταύτας οἱ φιλόχριστοι καὶ ἡμεῖς ἐξωνησάμεθα καὶ ἐπεκτησάμεθα [6]) μετὰ πολλῶν κόπων καὶ ἐξόδων καὶ διὰ τροφὴν καὶ περιποίησιν τῶν ἀσκουμένων συναδελφῶν ἡμῶν. καὶ ὁ τούτων τι ἀποκτησάμενος ἢ ἀφορισόμενος διὰ πρόφασιν οἱανδήτινα, τῷ τῆς ἱεροσυλίας ὑποπεσεῖται πάντως ἐγκλήματι καὶ ταῖς ἐπὶ τούτων νομίμαις εὐθύναις χωρὶς [ταῖς ἐχούσαις] [7]) ψυχῶν βλάβην.

κη'. Λοιπὸν καὶ πρὸς τὰ ἄλλα τὸν λόγον ἰτέον καὶ λεκτέον καὶ περὶ ἐκείνων ἐνδεχομένως, περί τε τῶν συναδελφῶν ἡμῶν τῶν ἐν τῷ ἀρτοκοπίῳ κοπιώντων [8]), τὴν ἅπασαν ἀκολουθίαν καὶ αὐτοὺς ἐκπληρωτέον καὶ μὴ ματαίαις προσασχολοῦντας ταῖς ὁμιλίαις· εἴωθε γὰρ τοῦτο ἐν ταῖς συνελεύσεσι γίνεσθαι. δοθῆναι δὲ διακελεύομαι πρὸς τοὺς κοπιῶντας ἀδελφοὺς οἶνον εὐλογίαν τὸ κατὰ σύνηθες διδόμενον ἐξάγιον. ἀλλὰ δεῖ ἐπιφωνεῖν καὶ τοὺς ἐν ἐργοχείρῳ ὄντας, τόν τε σκυτοτόμον, τοὺς τέκτονας καὶ χαλκέας τοῦ μὴ συνέρχεσθαί τινας τῶν ἀφελεστέρων ἀδελφῶν χωρὶς τῆς τοῦ προεστῶτος εἰδήσεως, καὶ προσασχολοῖντο εἰς ἀργολογίας καὶ εἰς αἰσχρολογίας ἐκτρέποιντο· ἐκ πολυλογίας γάρ φησιν οὐκ ἐκφεύξει ἁμαρτίαν. νουθετεῖσθαι δὲ παρὰ τοῦ κρείττονος μὴ παραιτείσθωσαν.

---

[1]) ἐπεκτίσθησαν E. [2]) τοῦτο E. [3]) ὁποίοις E. [4]) ποιμενόντων E. [5]) εἰ E. [6]) ἐπικτ. E. [7]) **Addidimus ex antecedentibus.** [8]) κοπιούντων E.

ἐντελλόμεθα γὰρ αὐτῷ τοῦτο ποιεῖν ἐξ ἀγάπης καὶ πόθου τῶν ψυχοβλαβῶν ἀφεμένων ἀπὸ τῶν θείων γραφῶν διαλέγεσθαι.

κθ'. Προσήκει τοιγαροῦν καὶ ἐπιστημονάρχην προσεῖναι τῇ μονῇ ἐπισυνάγοντα τοὺς ἀδελφοὺς ἐν ταῖς τῶν ψαλμῳδιῶν εἰς τὸν ναοῦ εἰσελεύσεσιν. ἀρξαμένου ἤδη τοῦ κανδηλάπτου κρούειν τὰς βαρέας διαναστὰς ἀπελεύσεται πρὸς τὴν κέλλαν τοῦ καθηγουμένου καὶ ἑνὸς ἑκάστου τῶν ἀδελφῶν καὶ ἐπιβοώμενος γεγωνότερον τό· „εὐλόγησον, πάτερ", διεγείρει πάντας πρὸς τὴν τῆς μεσονυκτινῆς ἀκολουθίας ἐκπλήρωσιν. τοῦ δὲ ὄρθρου ψαλλομένου δίς, τοῦ ναοῦ ἐξελεύσεται μετὰ τὸν ἑξάψαλμον καὶ τὴν ἕκτην ᾠδὴν καὶ παραβαλεῖ τῆς κελλίοις τῶν ἀδελφῶν, καὶ οὓς ἂν εὑρήσει ἐκ ῥαθυμίας ἴσως ὑπνώττοντας ἢ ἐκ τῆς ἐπιγινομένης ταλαιπωρίας τῶν διακονιῶν, ἀφυπνώσει καὶ πρὸς τὸν θεῖον εἰσάξει ναόν. τοῦτο δὲ ἅπαξ καὶ [ἐν] [1]) τῇ θείᾳ τελέσει μυσταγωγίᾳ καὶ ἐν αὐτῷ τῷ ἑσπερινῷ καὶ τοῖς ἀποδείπνοις, ἀλλὰ κἀν τῷ ἀριστερῷ χορῷ αὐτὸς ὀφείλει τάσσειν τοὺς μέλλοντας ἐνάρξεις ποιεῖν κατὰ πᾶσαν σύναξιν. ἐπιτηρήσει δὲ συχνότερον καὶ τοὺς ἀδελφοὺς ἐν πάσῃ ὥρᾳ, εἰ δυνατόν, καὶ ἀνευλόγως ἴσως συγκαθημένους ἢ ἀργολογοῦντας ἢ ἀργοῦντας ἤθ' ἑτερόν τι ποιοῦντας ἀπρεπὲς καὶ ἀνόνητον, ἀδελφικῶς καὶ ἐν ἀγάπῃ παραινέσει καὶ διορθώσεται, πείσει τε ἐν ταῖς αὐτῶν εἰσιέναι κέλλαις καὶ τῇ εὐχῇ προσανέχειν καὶ τῷ ἐργοχείρῳ ἀπρίξ. καὶ ταῦτα μὲν ἐφ' ὅλῳ διαπράξεται τῷ ἐνιαυτῷ. ἐν δὲ ταῖς κατὰ τὴν ἁγίαν καὶ μεγάλην τεσσαρακοστὴν γινομέναις ἀναγνώσεσιν ἐν τῷ ὄρθρῳ καὶ ταῖς ὥραις τῆς οἰκείας ἕδρας ἀνιστάμενος τρεῖς ποιεῖν ὀφείλει γονυκλισίας τοῦ ἁγίου βήματος ἔμπροσθεν ἀσκεπής, διέρχεσθαί τε καθ' ἕνα τοὺς ἀδελφούς, καὶ ὃν ἂν ἐφεύροι τυχὸν ὑπνώττοντα καὶ μὴ γρηγοροῦντα πρὸς τὴν τῆς ἀναγνώσεως ἀκρόασιν, ἀφυπνίζειν, ἀναπείθειν τε τὸν διυπνισθέντα ἀνίστασθαι καὶ ποιεῖν ἐν τῷ μέσῳ τοῦ θείου ναοῦ μετανοίας τρεῖς καὶ τοῖς δυσὶ χοροῖς ἀνὰ μίαν καὶ οὕτω καθεσθέντα προσέχειν τῇ ἀναγνώσει ἐπιμελέστερον.

λ'. Γυναιξὶ δὲ ἄβατος ἔσται παντάπασιν ἡ μονὴ καὶ οὐδὲ προσκυνήσεως χάριν εἰσιτητέα ὅλως αὐταῖς εἰς τὸν αἰῶνα τὸν ἅπαντα. ἀλλ' οὐδὲ κρέας ταύτης ἐντὸς βρωθήσεται πώποτε, ἀλλ' οὐδὲ παῖδας λαϊκοὺς εἰς μάθησιν τῶν ἱερῶν γραμμάτων [χρὴ δέχεσθαι] [2]), ἀλλὰ πάντας γενειάτας, ἢ [3]) καὶ τοὺς τὸν οὖλον ἴσως ἐπανθοῦντας κεκτημένους ταῖς παρειαῖς. τοὺς δὲ μονάσαι θέλοντας παῖδας διὰ τὸ τῆς ἐκκλησίας καταλαβεῖν τὴν ἀκολουθίαν δεχέσθωσαν [οἱ πατέρες] [4]) ἐν ἰδιάζοντι κελλίῳ τῆς μονῆς καὶ τὸ ἱερὸν ψαλτήριον διδασκέτωσαν καὶ τὴν ἄλλην

---

[1]) Supplevimus. [2]) Supplevimus. [3]) εἰ E. [4]) τοὺς δὲ μ. θέλοντας παῖδας δοθήτωσαν E. οἱ πατέρες addendum videtur in loco suspecto.

ἅπασαν ἀκολουθίαν καὶ οὕτως εἰσιτητέον αὐτοὺς καὶ δεκτέον, χάριν δὲ ὑδροφορίας ἢ ἑτέρας διακονίας οὔτε εἰσαχθήσονται, οὔτε δουλεύσουσιν.

λα'. Ἐπειδὴ πύλην ἀρετῆς βασιλικωτάτην τὴν φιλοξενίαν γινώσκομεν, ἥτις ἐξ ἀγάπης εἴωθεν ἀποτίκτεσθαι, τῆς πρώτης τῶν ἀρετῶν, βουλόμεθα, καθὼς καὶ ἕως τοῦ νῦν ἐτελεῖτο, καὶ πάλιν γίνεσθαι ἐπὶ τοῖς τραπεζομένοις μοναχοῖς ἐν τῇ ἁγίᾳ μονῇ, ὁπόθεν ἂν καὶ εἶεν, δέχεσθαι μὲν πάντας καὶ ἀπονέμειν αὐτοῖς τὴν ἀναλογοῦσαν τροφὴν τῆς ἡμέρας, ἐξ ὧν ἐσθίουσιν οἱ ἀδελφοί. εἰ δέ τις ἐξ αὐτῶν τῶν ἀξιολόγων εἴη καὶ τοῦ ζωοδόχου τάφου προσκυνήσεως χάριν ἡ ἐνδημία, ἐνστερνίζεσθαι τοῦτον καὶ δέχεσθαι ἐπὶ τῇ κοινῇ τραπέζῃ καὶ ἐπίσης τοῖς ἀδελφοῖς διατρέφεσθαι ἐφ' ὅλαις τρισὶν ἡμέραις ἐπιξενούμενον. ἀλλὰ καὶ τῶν ἀπὸ τῆς χώρας ἀρχόντων παραβαλλόντων, τῶν ἀδελφῶν τηνικαῦτα ξηροφαγούντων τὸν μὲν τοῦ κοινοβίου τύπον[1]) φυλάττεσθαι χρή, τὸν δὲ παραβαλόντα ὑποδέχεσθαι ἄλλως. καὶ συγκαθεσθήτω τῷ προεστῶτι καὶ ἀκατακρίτως συνεσθιέτω[2]), καὶ τῆς ἀναλογούσης τιμῆς ἀξιωθήτω. οἱ δὲ προσερχόμενοι τῷ πυλῶνι συχνοτέρως πένητες καὶ συναδελφοὶ ἡμῶν, ἐπεὶ πάντας ἔνδον εἰσάγεσθαι τοῦ μοναστηρίου ἀδύνατον, ἀλλ' ἐν τῷ ξενοδοχείῳ τῷ ἔξωθεν τῆς μονῆς [δεχθήσονται][3]), καὶ ὁ ξενοδόχος ἐπιχορηγήσει ἑκάστῳ ἄρτον καὶ τὰ ἀπὸ τῆς τραπέζης παραμυθήσεται[4])· οὐδὲ γὰρ ὑποστρέφειν τινὰ τοῦ πυλῶνος αἱρούμεθα νῆστιν, ἀλλὰ πρὸς τὴν διατυπωθεῖσαν ἄνωθεν συνήθειαν καὶ πάντας ἀνακτᾶσθαι τροφῆς καὶ εὐποιίας τὸ κατὰ δύναμιν, εἰ μή τις εἴη γυνή· ταύταις γὰρ οὐ μεταδοτέον, οὐ μισοῦντες τὸ συγγενές, ἄπαγε, ἀλλὰ τὴν ἐκεῖθεν βλάβην ἀφορώμενοι, ὡς μὴ συνηθείας κρατούσης πυκνότερον τῷ πυλῶνι παραβάλλειν αὐτὰς καὶ κακῶν αἰτίας μᾶλλον ἢ ἀγαθῶν τοῖς ἀδελφοῖς εὑρίσκεσθαι. καὶ τοῦτον φυλάττειν τὸν ὅρον ὁ προεστὼς καὶ ὁ οἰκονόμος καὶ ὁ ξενοδόχος ἄχρι παντὸς ἐντελλόμεθα ἐν ἁγίῳ πνεύματι. καὶ τὰ μὲν τῆς φιλοξενίας καὶ ἐλεημοσύνης οὕτως ἀεὶ τηρηθήσεται. ἐπὶ δὲ τὰ συμφέροντα τοῖς ἀδελφοῖς αὖθις τρεπτέον.

λβ'. Ἐφείσθω τοίνυν τῷ προεστῶτι, καθ' οὓς ἂν αὐτὸς αἱροῖτο[5]) καιρούς, εἰς τὰ τῶν ἀδελφῶν κελλία εἰσέρχεσθαι καὶ ἀναψηλαφᾶν, μή πού τις ἐργόχειρον κατασκευάζει τῆς αὐτοῦ βουλῆς καὶ γνώμης ἐκτός, εἴτε τὰ λεγόμενα κατὰ κοινολεξίαν μαργούνια, εἴτε τινὰ κτῆσιν ἑτέραν, καὶ τῶν εὐτελεστέρων ἀναθεωρούμενα[6]). καὶ εἰ εὑρίσκοι, [δέον] ἀφαιρεῖσθαι[7]) ταῦτα καὶ ἢ πυρὶ καίειν ἢ τοῖς πτωχοῖς διανέμειν, αὐτὸν δὲ τὸν κτησάμενον τὰ δέοντα παραινεῖν καὶ τοῦ τοιούτου ἀνα-

---

1) τόπον E. 2) συνιοθιάτω E. 3) Supplevimus. 4) παραμυθείσεται E. 5) αἱρείτω E. 6) Locus suspectus. 7) ἀφαιρείσθω E. Supplevimus δέον.

στέλλειν ἔκτοτε ἐγχειρήματος, ὡς ἐναντία διαπραττόμενον τῷ τῆς μονῆς κανόνι, ὅπερ ὁ μέγας ἔφη Βασίλειος, περιέχων ῥητῶς οὑτωσί· „εἴ τις κέκτηται ἐν τῷ μοναστηρίῳ τι, εἴτε ἐκτὸς τοῦ μοναστηρίου, ἔστω ἀκοινώνητος". ἀλλ' ἀναγκαῖόν μοι καὶ ἄλλων ἐπιμνησθῆναι κανόνων τῶν [1]) τοῦ μεγάλου πατρὸς ἡμῶν Βασιλείου ἐπὶ τοῖς τὸν μοναδικὸν ἐπανῃρημένοις βίον ἐκτεθημένων. „ὁ συνεγνωκὼς ἀδελφὸν τὴν ἐκ τοῦ μοναστηρίου ἔξοδον καὶ ἢ συνομιλήσας ἢ συνευδοκήσας καὶ μὴ προσαγγείλας, ἀφοριζέσθω ἔξω τῆς ἐκκλησίας ἑβδομάδα μίαν ἄρτου καὶ ὕδατος. εἴ τις ἐξέλθῃ τῆς μονῆς χωρὶς παραθέσεως τοῦ προεστῶτος, ποιείσθω μετανοίας ἑκατὸν καὶ ξηροφαγίαν ἡμέρας τρεῖς. εἴ τις ἐν τῇ τραπέζῃ ἐσθίων φλυαρεῖ ἢ ἐξ ἀπροσεξίας ποιήσει τι μὴ ἀρέσκον, ἐγειρέσθω καὶ ψαλλέτω κατὰ τὸ σύνηθες· „ἐλέησόν με ὁ θεός", καὶ αἰτείτω συγχώρησιν. εἴ τις μὴ λαβὼν εὐλογίαν ἐσθίει, ποιείτω μετανοίας πεντήκοντα.[2]) εἴ τις ἀπολιμπάνεται τῆς πρώτης τραπέζης, μὴ εἰρηκὼς τὴν αἰτίαν, μενέτω ἄσιτος ἕως ἑσπέρας. εἴ τις οὐ φθάσει τὴν εὐχὴν τῶν ἀποδείπνων, βάλλων τὴν συνήθως μετάνοιαν ψαλλέτω τὴν ἅπασαν ἀκολουθίαν καὶ ποιείτω μετανοίας ν'. εἴ τις τῶν ἀδελφῶν ἀκαίρως εἰσέρχεται εἰς τὸ ἑψητήριον φλυαρῶν καὶ διαταττόμενος χωρὶς τῶν διακονητῶν καὶ τοῦ οἰκονόμου, ποιείτω μετανοίας λ'. εἴ τις μετὰ τὴν μετάνοιαν εὑρεθῇ ὁμιλῶν ἢ ἰδιάζων μετά τινος, ποιείτω μετανοίας ν'. εἴ τις χωρὶς ἐπιτροπῆς ἢ χρείας ἀναγκαίας εἰσέλθῃ εἰς κελλίον ἄλλου, ἢ κοιμηθῇ ἢ πιάσει ἐργόχειρον, ἀφοριζέσθω ἡμέρας τρεῖς ἔξω τῆς ἐκκλησίας καὶ τῆς τραπέζης, καὶ ξηροφαγείτω [3]). εἴ τις εὑρεθῇ γράφων τινὶ ἢ δεχόμενος γράμμα χωρὶς τοῦ ἀββᾶ, ξηροφαγείτω ἡμέρας τρεῖς, ὡσαύτως καὶ ὁ λαμβάνων καὶ ὁ διδῶν χωρὶς τοῦ οἰκονόμου,· ἀφοριζέσθω. εἴ τις τῶν γεηπόνων ἢ τῶν κηπουρῶν ἢ ἀμπελικῶν ἢ ποιμένων χωρὶς τοῦ εὐλογισθῆναι τὰς ὁποιασοῦν ὀπώρας καὶ καταλύσει, ποιείτω μετανοίας πεντήκοντα [4]), καὶ ξηροφαγείτω ἡμέρας ε'. εἴ τις χωρὶς ἐπιτροπῆς καὶ εὐχῆς τοῦ ἀββᾶ τεμεῖ φλέβα ἢ γηροκομεῖ [5]), ἢ ἱμάτιον ἢ ὑπόδημα φορέσει, ποιείτω μετανοίας ν'. εἴ τις ἄρῃ καρπὸν ἀπὸ δένδρου, χωρὶς τοῦ φυλάττοντος ἢ τοῦ κηπουροῦ, ποιείτω μετανοίας κε'. ὀφείλουσι δὲ καὶ οἱ διακονηταὶ καὶ φροντισταὶ τῶν λοιπῶν ἁπασῶν χρειῶν ἐπιμελῶς περὶ πάντων φροντίζειν, ἵνα μὴ τῷ κρίματι τῆς ἀμελείας ὑποπέσωσι. δέον τοὺς παραγενομένους συγγενεῖς τῶν κατὰ τὴν μονὴν ἀδελφῶν διὰ τοῦ ἐπὶ τῆς πύλης ἐπιστατοῦντος τῷ ἡγουμένῳ καταμηνύσαι καὶ πρῶτον μὲν τῆς τούτου καταξιοῦσθαι θέας, εἶθ' οὕτω δι' ἐπιτροπῆς αὐτοῦ καὶ τῷ κατὰ συγγένειαν ὀπτάνεσθαι, ὡς ἂν καὶ ἡ τοῦ καθη-

---

[1]) αὐτῶν E. [2]) πενήντα E. [3]) εἰσέλθει. ξηροφαγῶν F. [4]) πενήντα, ut supra E. [5]) κηροκομεῖ E.

γουμένου βουλὴ παρασκευάσει, καὶ ἡ τοῦ παραβαλόντος ἐξέτασις ἐμφανίσει, ὁ δὲ τῷ ὅρῳ τούτῳ μὴ ἐμμένων καὶ αὐτὸς χωρὶς εἰδήσεως [τοῦ προεστῶτος][1]) προσελθὼν[2]) τῷ ἀγχιστεῖ ἀφοριζέσθω ἄρτου καὶ ὕδατος ἡμέρας τρεῖς, ὅπως μὴ φρονῇ, ἅπερ οὐ δεῖ φρονεῖν. ταῦτα τοίνυν εὑρόντες ἡμεῖς καὶ συντείνειν ἐγνωκότες εἰς ὠφέλειαν τῆς ἀδελφότητος, ἐκ τῶν κανόνων τοῦ μεγάλου Βασιλείου συλλέξαντες, ὡς προείρηται, ἀνάγραπτα σὺν τοῖς ἄλλοις ἐποιησάμεθα.

λγ΄. Οἱ μὲν οὖν παραδοθέντες ὑμῖν τύποι τε καὶ κανόνες παρὰ τῶν πατέρων ἡμῶν ἐν τούτοις συμπεπεράτωνται, καὶ εἰ τὸ ἐμὸν λογικὸν ποίμνιον τούτους φυλάξοι, πρώιμον πάντως τούτων ῥαγήσεται τὸ φῶς καὶ τὰ ἰάματα[3]) αὐτῶν ἐξ ὕψους ἀνατελεῖ. εἰ δ' ἴσως τοῦ τυπικοῦ[4]) ἐκτραπείη, καὶ [τὰς] πατρικὰς ἀθετήσει ἐντολάς, ἀθετηθήσεται πάντα[5]) αὐτῷ, καὶ τῆς παρακοῆς κομίσεται τἀπίχειρα. ἀλλὰ μή, κύριε ὁ θεός μου, μὴ οὕτως γένηται ἐπὶ τοῖς ἐμοῖς ἀδελφοῖς, μηδὲ ὁ δεινὸς θὴρ τούτους διασπαράξειεν, ἀλλ' ὥσπερ ἕως τοῦ νῦν τετήρηκας ἐν τῷ σῷ ἁγίῳ ὀνόματι, οὕτω καὶ ἕως τέλους συντήρησον, ἵνα τὸ σὸν ποιῶσι θέλημα, θέλημα δὲ πάντως σὸν τὸ κατ' ἴχνος βαίνειν τούτους τῶν ἁγίων σου ἐντολῶν· αἴτια δὲ τοῦ ταῦτα πάντα ποιῆσαι ἡμᾶς ἀνάγραπτα ἐν τῇ παρούσῃ τυπικῇ διατάξει καὶ ἄλλα μὲν οὐκ ὀλίγα, ἅτινα μηδὲ ἀγνοεῖν τοὺς ἐμοὺς ἐν Χριστῷ πατέρας καὶ ἀδελφοὺς οἴομαι, ἔτι γε μὴν καὶ αὐτὸς ὁ ἀπὸ τῆς σιωπῆς ἐπηρτισμένος μοι κίνδυνος, καθὼς αἱ θεῖαί με γραφαὶ διδάσκουσιν. „οὐαὶ γάρ", φησιν, „ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν".[6]) καὶ εἰ σκοπὸς παρὰ τῷ Ἰεσεκιὴλ καὶ τῇ ἀληθείᾳ ὁ προεστὼς τῶν ψυχῶν καὶ ἔστι καὶ ὀνομάζεται, πῶς ἂν τὴν ἠπειλημένην δι' ἐκείνου ῥομφαίαν ἐξέφυγον καὶ τὴν ἔκτισιν τοῦ αἵματος τοῦ ποιμνίου, εἴ γε μὴ πάντα προεθέμην εἰς μέσον· „υἱὲ γάρ" φησιν „ἀνθρώπου, σκοπὸν τέθεικά σε τῷ λαῷ μου. εἰ μὲν ἴδῃς τὴν ῥομφαίαν ἐρχομένην καὶ διαμαρτύρει αὐτοῖς, ἀθῷος εἶ· εἰ δ' οὖν, τὸ αἷμα αὐτῶν ἐκ τῶν χειρῶν σου ἐκζητηθήσεται." ταῦτα δὲ πάντα τὴν τυπικὴν τῆς διατάξεως ἔκθεσιν ἀναγκαίαν μοι πεποιήκασιν, ἵνα ὥσπερ ἐν πρωτοτύπῳ κανόνι καθ' ἑκάστην ταύτῃ ἐνατενίζοντες οἱ ἐμοὶ πατέρες καὶ ἀδελφοὶ ἐκ ταύτης τυπῶσι τὸν βίον αὐτῶν, καὶ καθ' ἑαυτοὺς ἀναζωγραφῶσι τὰ θέσμια τῆς παρούσης ἡμῶν ἐντολῆς καὶ οὕτω διαφυλάττοιεν ἀπαράτρωτα καὶ τὸ συνειδὸς καθαρὸν παραστήσαιεν ἐπὶ τοῦ ἀδεκάστου κριτοῦ, διὰ τῶν θερμῶν πρεσβειῶν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ δι' εὐχῶν τῶν μακαρίων γερόντων καὶ πατέρων ἡμῶν. ὑμεῖς δὲ σώζοισθε καὶ μεγαλύνοισθε καὶ εἰρηνεύοιτε καὶ ζηλωταὶ

---

1) **Supplevimus.** 2) προέλθῃ **E.** 3) ἱμάτια **E. confer proph. Esaiam 58, 8.**
4) τοῦ ναυτίου **E.** 5) πάντως **E.** 6) ὦ . . . ἀνατροπῇ θολερᾷ. **Ambac. 2, 15.**

παρὰ πᾶσιν ἐπὶ τῇ ἀγαθῇ ὑμῶν καὶ σεμνῇ πολιτείᾳ γένοισθε πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν.

λδʹ. Ἰδοὺ γὰρ δὴ καὶ ἡγούμενον προνοίᾳ θεοῦ ὑμῖν, τῷ ἐμῷ ποιμνίῳ, καταλιμπάνω τὸν ἱερομόναχον καὶ ἐμὸν μαθητήν, κῦριν Ἰωακείμ, ὀφείλοντα μετὰ τὴν ἐμὴν ἀποβίωσιν τὴν προστασίαν πᾶσαν τῆς μονῆς ἀναδέξασθαι, ἄνδρα ἐπ' ἀρετῇ καὶ εὐλαβείᾳ μεμαρτηρυμένον, συνέσει τε καὶ λογιότητι καὶ πνευματικῇ καταστάσει κοσμούμενον καὶ τοῖς λοιποῖς ἀγαθοῖς προτερήμασι καὶ πολλά μοι, ὡς καὶ ὑμεῖς ἴστε, συγκωπιάσαντα ἐπὶ τῇ τῆς μονῆς καταστάσει καὶ πάντων τῶν ὑπ' αὐτῇ. ἀλλ' οὗτος μὲν τὴν τῆς ἡγουμενίας σφραγῖδα παρὰ τοῦ κατὰ τὴν ἡμέραν ἁγιωτάτου ἐπισκόπου Ταμασίας καὶ πρωτοθρόνου δεξάμενος διακυβερνήσειε τὴν μονὴν καὶ διαναπαύσειε τὸ ποίμνιον ἐν τόπῳ χλόης καὶ ἀναψύξεως. ὑμῖν δὲ πᾶσιν ἁπλῶς ὑποτίθημι, ἀδελφοί, μετὰ τὴν ἐμὴν τῶν ὧδε μετάστασιν σπεύδειν τὰ τῶν ψυχῶν ὑμῶν αὐτῷ ἀνατιθέναι κινήματα πάντα καὶ τοὺς λογισμοὺς τοὺς ψυχοβλαβεῖς ἐξομολογεῖσθαι, ἵν' ἐντεῦθεν αὐτίκα ἡ πρὸς αὐτὸν σχέσις τε ὑμῶν καὶ διάθεσις, ὁποία εἴη, χαρακτηρίζοιτο. λογισμοὺς δὲ οὐ τοὺς προεξαγορευθέντας ὑμῖν φαμεν, εἰ μή πού τις τοῦτο ἴσως ἐκὼν αἱρετίσοιτο [1]), ἀλλὰ τοὺς ὁσημέραι καὶ ὧραι ἐνοχλοῦντας ὑμῖν· οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀνθρώπους ὄντας μὴ καὶ λογίζεσθαί τί ποτε πονηρόν. καὶ μὴ ἀναβολῇ τὸ καλὸν ἦτε διδόντες, ὅπερ οὐ δεῖ, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ σπουδῇ πρὸς τοῦτο τρέχετε, ὡς ἂν ἓν ἦτε πάντες τὸ αὐτὸ φρονοῦντες, τὸ αὐτὸ λογιζόμενοι, ὑφ' ἑνὶ καὶ τῷ αὐτῷ ποιμένι ποιμενόμενοί τε, καθαπερεί τις χρυσῇ σειρὰ ἀλλήλοις συνδούμενοι ἀλλήλων τε περιέχεσθε καὶ εἰς ἓν συναρμολογεῖσθε σῶμα ὑπὸ μιᾷ κεφαλῇ, κατὰ τὸν θεῖον ἀπόστολον, τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος· καὶ εἴητέ μοι, τέκνα, πᾶσαν τιμήν, πᾶσαν εὔνοιαν, πᾶσαν εὐλάβειαν, πᾶσαν ὑποταγὴν ἀδιάκριτον, πᾶσαν εὐπείθειαν τῷ ἡγουμένῳ ὑμῶν ἀποσώζοντες, καθάπερ τινὶ τῶν πατέρων εἴρηται· „εἰ γάρ, φησι [2]), ὑπὲρ ἡμῶν οἱ ἡμῶν ἐπιμελούμενοι λόγον ἀποδοῦναι μέλλουσι, πῶς οὐχὶ κατὰ πάντα τούτοις ὑποταγησόμεθα καὶ ὡς κεφαλῇ [3]) τὰ λοιπὰ μέρη τοῦ σώματος ὑπακούσωμέν τε καὶ ἐξυπηρετήσομεν“; καὶ ὁ θεῖος καὶ μέγας ἀπόστολος Παῦλος οὕτως ἐν τῇ πρὸς Ῥωμαίους [4]) αὐτῇ ἐπιστολῇ φάσκει· „πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες“. ἀλλὰ καὶ πρὸς ἀλλήλους ἀγάπην, εἰρήνην, ὁμόνοιαν φυλάττοντες εἴητέ μοι, ἀλλήλων ὑπερκαιόμενοι ἐκ φιλοστόργου γνώμης, ἀλλήλους στηρίζοντες, ὑπο-

---

[1]) αἱρητήσοιτο E. [2]) φησὶ εἰ γάρ E. [3]) κεφαλή E. [4]) Lege ad Hebr. (XIII, 17).

στηρίζοντες, νουθετοῦντες, παρακαλοῦντες, ἀνεχόμενοι, κατανοοῦντες ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. καὶ ἁπλῶς εἰπεῖν, εἴ τι χρηστόν, εἴ τι σωτήριον, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, σπεύδοντες κατορθοῦν εἰς δύναμιν· φησὶ γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· „ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς". καὶ ἀλλαχοῦ· „ἐν τούτῳ γὰρ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἀλλήλοις". ὁρᾶτε, τίνος ἐσόμεθα μαθηταί ταῦτα φυλάττοντες; ὁρᾶτε, οἵας δόξης καὶ μακαριότητος καὶ ἀγαλλιάσεως τυχεῖν μέλλομεν τῷ φιλανθρώπῳ θεῷ μαθητευόμενοι· τοιγαροῦν πάσῃ σπουδῇ, πάσῃ δυνάμει, πάσῃ προθυμίᾳ τῶν ἐντολῶν αὐτοῦ περιερχώμεθα.

λε΄. Καὶ σὺ δέ, ὦ πάτερ πνευματικὲ τῆς ἱερᾶς ταύτης ποίμνης καὶ ὁδηγέ, μέτριος ἔσο τοῖς ἀδελφοῖς, ἐπιεικής, κηδεμονικὸς καὶ τὸ ὅλον πατρικὴν αὐτοῖς ἀποσώζων τὴν εὔνοιαν. ναί, παρακαλῶ, πάντων κήδου, πάντων φρόντιζε, ἀνέχου πάντων, ἀντέχου νουθετῶν, παραινῶν, διδάσκων, παρακαλῶν· νοσοῦντας ὑγιάζων, ἀσθενοῦντας ὑποστηρίζων, ὀλιγοψυχοῦντας παραμυθούμενος, ἁμαρτάνοντας ἐπιστρέφων, ἑβδομηκοντάκις ἑπτὰ συγχωρῶν κατὰ τὴν τοῦ κυρίου φωνήν· συμφέρει γὰρ ὑμῖν αὐτὸν μιμουμένους τὸν κύριον, ὡς συγκαταβατικοὺς κριθῆναι καί τι τῶν δεόντων παραλιμπάνοντας ἢ τὴν ἄκραν φυλάττοντας δικαιοσύνην, ὡς ἀσυμπαθεῖς καὶ μισαδέλφους κατακριθῆναι. „καὶ ἵνα τἆλλα παρῶ", φησὶν ὁ μέγας Βασίλειος, „καὶ αὐτὸς δὲ ὁ καθηγούμενος ὡς πατὴρ παίδων γνησίων ἐπιμελούμενος ἐπισκέψεται τὴν καθ' ἑνὸς ἑκάστου χρείαν καὶ τὴν ἁρμόζουσαν κατὰ τὸ δυνατὸν εἰσάξει θεραπείαν καὶ ἐπιμέλειαν καὶ τὸ κατὰ ἀλήθειαν ἀσθενοῦν μέλος εἴτε ψυχικῶς, εἴτε σωματικῶς μετὰ ἀγάπης τῆς πατρικῆς εὐνοίας διαβαστάσει". οὕτως οὖν ἔχοντα τὸν καθηγούμενον ὑμῶν, ἀδελφοί, καὶ πατρικῶς περὶ ὑμᾶς διακείμενον καὶ φιλοθέως καὶ εὐσεβῶς ποιμαίνοντα τὸ τοῦ Χριστοῦ ποίμνιον ὑμᾶς, οὐκ ἀντείπητε αὐτῷ ἢ παρακούσητε ἢ χωρὶς τῆς αὐτοῦ γνώμης ποιήσητέ τι· ὁ γὰρ τοῦτο ποιῶν ἔνοχος ἔστω τῇ ἁγνῇ θεομήτορι καὶ ὑφέξει λόγον πρὸς αὐτήν, εἰ μὴ μετανοήσει. ἀλλ' οὐδὲ αὐτὸς ὁ καθηγούμενος τοῖς συγγενέσι καὶ φίλοις αὐτοῦ χαριζόμενος τὰ τῆς μονῆς ἀναλώσειεν· ἔσεται γάρ, οὕτω ποιῶν, τῶν θείων μυστηρίων ἀμέτοχος ἐν ἁγίῳ πνεύματι, διὸ καὶ προσεκτέον αὐτῷ μὴ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος· κἂν γὰρ ἡμεῖς οὐχ ἱκανῶμεν, ὡς ἰσόρροποι, αὐτῷ ἐπιτιθέναι τὸ ἐπιτίμιον τῆς ἀνευλόγου καὶ μὴ δεούσης ἐξόδου καὶ καινοτομίας τῶν τῆς μονῆς πραγμάτων τε καὶ χρημάτων, ἀλλὰ τὴν τοῦ θεοῦ φρικτὴν οὐκ ἐκφεύξεται κρίσιν, ἣν ἐπιψηφιζόμενοι τούτῳ ταῦτα γράφομεν. εἰ δὲ τοσοῦτον ἀπηνὴς ὀφθείη καὶ ἀναιδέστατος, ὡς μηδὲ τὸ τοῦ θεοῦ δεδιέναι κρῖμα, ἀλλ' ἀπρεπῶς πάντα τῇ

μονῇ ἀναλύσει[1]), τότε λοιπὸν ὑπὸ τῶν προκρειττόνων τῆς ἀδελφότητος ἀνακρινέσθω, καὶ εἰ μὲν διορθωθῇ, ἔστω συμπαθημένος. εἰ δὲ πάλιν τοῖς αὐτοῖς ἐπιμένει, ἀναφερέσθω τῷ ἐφόρῳ καὶ [οὗτος][2]) δικαίως τὸ δίκαιον ποιήσει καὶ τὸ ἄδικον διορθώσει· πρὸς γὰρ σύστασιν τῆς μονῆς καὶ ὑποτύπωσιν τῶν ἀδελφῶν καὶ ὀφθαλμὸν αὐτὸν εἶναι πᾶσι καὶ ὑπόδειγμα, οὐχὶ δὲ ὕπουλον καὶ ἱερόσυλον (ὅπερ μὴ γένοιτο, Χριστὲ βασιλεῦ, τοιοῦτόν ποτε παραχωρῆσαι τοῦ ποιμάναι τὸ σὸν ποίμνιον), ἀλλὰ μᾶλλον ἐκπληρωτὴν τῶν σῶν θείων ἐντολῶν καὶ ἀκριβῆ φύλακα τῆς τυπικῆς διατάξεως, καθὼς ἄνωθεν παρέλαβεν ἡ κρατοῦσα συνήθεια, τοῦ στοιχεῖν καὶ αὐτοὺς τῆς πατρικῆς ὑποτυπώσεως, ἵνα ὅπως πάντες ἓν [σῶμά][3]) ἐσμεν ἐν κυρίῳ.

λϛ'. Ἀφ' ἑτέρου μέντοι μοναστηρίου τῆς νήσου καθ' ἡντιναοῦν αἰτίαν ἡγούμενος οὐ προχειρισθήσεται, ἀλλὰ τὸν καὶ θρέμμα καὶ παίδευμα καὶ κουρὰν ταύτης τυγχάνοντα καὶ τοὺς τύπους αὐτῆς εἰδότα καὶ τὰ ἤθη τῶν ἀδελφῶν ἀκριβέστατα· πάντας γὰρ τοὺς ἀποκειρομένους τῇ καθ' ἡμᾶς ἁγίᾳ μονῇ εἴτε ἀποστολικούς, εἴτε μεγαλοσχήμους ἀξίους ὄντας τῆς ἡγουμενίας βουλόμεθα προχειρίζεσθαι· μόνους γὰρ ἐκείνους τῆς προστασίας ἀπείργομεν, τοὺς μήτε ἀρχὴν ἢ μετάνοιαν ποιήσαντας τῆς ἀδελφότητος, εἰ[4]) καὶ πολλοῖς ἔτεσιν [ἐν]διατρίψαντες[5]) εἶεν τῇ μονῇ. εἰ δ' ἴσως οὐχ εὑρεθήσεται ἄξιος τῆς ἡγουμενίας ὁ ἔχων προχείρισιν καὶ ἀξίαν ἱερέως, (ὅπερ ἀπεύχομαι), τότε ἡγουμενεύσωσιν οἱ ἄνωθεν δηλωθέντες· οὐδὲ γὰρ βούλομαι ἱερέα μὲν ὄντα, οὐκ ἄξιον δὲ τῆς ποιμαντικῆς προστασίας καὶ ἀνωφελῆ πρὸς τὸ ποιμάναι ψυχὰς [ἡγουμενεύειν][6]), ἀλλ' οὐδὲ γὰρ ἐπιπηδήσει τις προπετῶς καὶ οἰκειογνώμως χρόνους τυχὸν προβαλλόμενος ἢ γνῶσιν ἢ ἐνέργειαν ἢ εὐγένειαν ἢ ἀξίωμα ἢ προσαγωγὴν χρημάτων ἢ κτημάτων, ἀλλ' ἐκεῖνος ἔσται προτιμητέος, ὃν ὁ καθηγούμενος εἶδε[7]) ἔχοντα τὰς πρακτικὰς ἀρετὰς καὶ οἱ κατὰ θεὸν ἀδελφοί, αὐτὸς ἕξει καὶ τὴν ἀξίαν τῆς προχειρίσεως.

λζ'. Ἐπειδὴ ἔγγιστα τῆς μονῆς πρὸς ἀνίσχοντα ἥλιον οἶκον ἱερὸν ἀνεγείραμεν εἰς ὄνομα τιμώμενον τοῦ [τιμίου Προδρόμου καὶ][8]) Βαπτιστοῦ Ἰωάννου μετὰ τῶν ἐκεῖσε κελλίων, ὀλιγοστῶν δένδρων σὺν τῷ βραχεῖ ὕδατι, ὅπερ ὁ πολὺς ἔρως τῆς ἔνδον με καταφλεγούσης ἡσυχίας . . . οὐκ ἐᾷ με . . . καὶ τῆς τῶν ἐμῶν συναδελφῶν ἡ ἄσχετος ἀγάπη ἐπαπολαῦσαι τοῦ ἐφετοῦ, . . .[9]) ἀλλὰ καὶ θείαν μυσταγωγίαν ἐκτελεῖσθαι τετύπωκα, ἀφ' ἧς ἡμέρας ἐκαινίσθη καὶ καθιερώθη, καὶ τὰς δύο ἑορτὰς δὲ λαμπρῶς σὺν ὑμῖν ἑορτάσουσι[10]), τὸ γενέσιόν φημι καὶ τὴν ἀποτομήν, ἀλλὰ καὶ τὴν σύναξιν κατὰ τὸ σύνηθες. καὶ ταῦτα μὲν τελεσθήσονται εἰς τὸν αἰῶνα τὸν ἅπαντα.

---

[1]) ἀναλίσει E. [2]) Supplevimus. [3]) Supplevimus. [4]) ἡ E. [5]) διατρ. E. [6]) Supplevimus. [7]) ἴδει E. [8]) Supplevimus. [9]) Locus suspectus et, ut videtur, mutilus. [10]) ἑορτάζουσι E.

λθ'. Ἐπεὶ δὲ καὶ ἁγίας εἰκόνας καὶ ἱερὰς βίβλους ἀφιέρωσα εἰς δόξαν θεοῦ καὶ τοῦ ἁγίου [πνεύματος][1]), ἃ κατ' εἶδος ἐν ἰδιάζοντι ἐγγράφῳ[2]) προσγραφήσονται καὶ διωρισθήσονται, ἀλλὰ καὶ τοῦ ἔχειν τῶν δηλωθέντων τὴν ἐπιμέλειαν καὶ ψάλλειν καὶ ἡμῶν ὑπερεύχεσθαι τυπῶ . . . λαμβάνειν ἀνυστερήτως[3]), ἃ ἐν τῷ ἐγγράφῳ τετύπωκα, ὅπερ καὶ αὐτὸ ἔχει τὴν ἐμὴν σημείωσιν ὀκειόχειρον.

μ'. Ἕτερον δὲ κελλίον κτισθῆναι ἀπὸ τοῦ νῦν ἔγγιστα τῆς μονῆς πάρεξ τοῦ δηλωθέντος ἀπείργομαι παντελῶς. οἱ δέ γε ἡσυχάζειν προαιρούμενοι τῇ εἰδήσει τοῦ προεστῶτος οἰκοδομήσουσι κέλλας ἐν ἡσυχαστοτέροις τόποις ἔχοντες τοῦτον τὸν κανόνα. μετὰ πολλῆς δηλονότι δοκιμῆς κατὰ κυριακὴν ὀψὲ λαμβανέτωσαν τὸν ἐπισιτισμόν, τῶν πέντε δηλονότι ἡμερῶν, ἄρτους καὶ ὀπώρας ἢ ὄσπρια βραχέντα ἐν ὕδατι καὶ πλοκὴν εἰς ἀκηδίας ἀντίκτησιν. καὶ τῷ σαββάτῳ τὴν κέλλαν καταλιμπάνοντες εἰς τὴν μονὴν εἰσιέτωσαν καὶ τὰ παρατιθέντα ἐσθιέτωσαν ἐπίσης τῆς ἀδελφότητος, τὸ ἐργόχειρον δὲ κομιζέσθωσαν τῷ οἰκονόμῳ τῆς μονῆς καὶ τὸν ἐπισιτισμὸν λαμβανέτωσαν, ὡς ἐξ ἔθους, καὶ πρὸς τὴν κέλλαν εὐθυδρομήτωσαν· οὗτος γὰρ ὁ βίος τοῦ ἀληθινοῦ ἡσυχαστοῦ, καθὼς καὶ ἐκ τῶν πατέρων ἡμῶν παρελάβομεν· ἄλλως γὰρ παντάπασιν ἡσυχαστὴν οὐ προσδέχομαι.

μα'. Ἐν ἁγίῳ πνεύματι ἐντελλόμεθα, πάντας τοὺς μεθ' ἡμῶν τοῦ φυλάξασθαι τοὺς ὅρους τούτους, ἀλλὰ μηδενὶ ἑτέρῳ πιπράσκειν σιτηρέσιον, κἂν κοσμικὸς τυγχάνῃ, κἂν μοναχός, κἂν πολλὴν καὶ μεγάλην ὠφέλειαν ὑπισχνῆται[4]) τῇ μονῇ, κἂν χρήματα πάμπολλα δίδωσιν εἰς προσένεξιν, κἂν ἐν τῇ μονῇ ἐκοπίασε συχνά, εἶτα πρὸς ἑτέραν μονὴν ἀπιών, ἀπ' αὐτῆς δὲ [τῆς][5]) μονῆς ἡμῶν λαμβάνειν ἐξαιτεῖ σιτηρέσιον· τοῦτο γὰρ ἀπαγορεύομεν παντελῶς καὶ ἀφορίζομεν.

μβ'. Περὶ δὲ τῶν κεκοιμημένων[6]) πατέρων καὶ ἀδελφῶν ἡμῶν βραχέα διαληψόμεθα. δέον τοίνυν τὴν δεκάτην τρίτην τοῦ δεκεμβρίου μηνὸς ἑορτάζειν ἡμᾶς τὰς μνήμας τῶν ἁγίων πατέρων ἡμῶν Νεοφύτου, Ἰγνατίου καὶ Προκοπίου τῶν μοναχῶν καὶ ὁσιωτάτων, ναὶ μήν, ἀλλὰ καὶ ἑκάστῳ μηνὶ εἰς τὴν δεκάτην τρίτην τελεῖσθαι τῶν αὐτῶν ἁγίων πατέρων ἡμῶν παννυχὶς καὶ θεία φημὶ ἱερουργία καὶ τοῖς ἀδελφοῖς ἐν τῇ τραπέζῃ οἶνον εὐλογίαν συνήθως διδόμενον. ἀλλὰ καὶ ὅσοι τι μνήμης ἄξιον τῇ μονῇ περιεποιήσαντο, ἐτησίως τὰ μνημόσυνα τούτων γίνεσθαι, ὁμοίως καὶ τῶν ἀδελφῶν δὲ πάντων τῆς μονῆς, ὧν τὰ ὀνόματα ἐν τοῖς διπτύχοις ἐνεγράφησαν καὶ γραφήσονται, ἀλλὰ καὶ τοῦ νεωστὶ τελευτήσαντος ἀδελφοῦ καθ' ἑκάστην ἀνὰ πᾶσαν σύναξιν, ὄρθρου τέ φημι καὶ λειτουργίας καὶ ἑσπερινοῦ ἐν ταῖς ἐκτενέσι δεήσεσιν ἄχρι τῶν τεσσαρακοστῶν αὐτοῦ μία προσφορὰ ὑπὲρ αὐτοῦ

---

1) **Supplevimus.** 2) **Non exstat.** 3) τύπῳ. **Locus corruptus et mutilus.**
4) ὑπισχνῦται **E.** 5) **Addidimus.** 6) κεκοιμένων **E.**

προσκομισθήσεται. διορίζομαι πρὸς τούτοις δὲ καὶ τὰ ὀνόματα ἑκάστου τῶν θνησκόντων σημειωτέον τὸν ἐκκλησιάρχην ἐν τῷ εἰρημένῳ μηνολογίῳ, ἐντελλόμεθα δὲ καὶ τοῖς τῆς μονῆς ἱερεῦσι κατὰ πᾶσαν θείαν ἱερουργίαν ἐπιέναι τὰ δίπτυχα, ἵνα μὴ καὶ αὐτοὶ τὸ κρῖμα βαστάσωσι τῆς ἐκείνων ἀμνηστίας καὶ ὑστερήσεως.

μγ'. Ἃ μὲν οὖν τὴν σύστασιν τῆς παρούσης ἡμῶν διατάξεως ἀναγκαίαν [1]) ἐξειργάσατο, τὰ προαναπεφωνημένα παρέστησεν ἀριδήλως· τύπος γὰρ καὶ κατάστασις ἀληθὴς ἀληθὲς [2]) κοινόβιον. καὶ εἴη ἡ τριὰς ἀχρὶ τῆς τοῦ παρόντος αἰῶνος συντελείας ἀπαρεγχείρητα πάντα τὰ τυπωθέντα φυλάττουσα, ἵν' οὕτω καὶ φῶ εὐαγγελικῶς, τὸ τοῦ Χριστοῦ ὀνομάζεται ποίμνιον καὶ πρὸς οἰκοδομὴν μᾶλλον δι' αὐτοῦ ἐνεχθεῖεν καὶ ἕτεροι. καὶ εἴη ποίμνιον τοῦ Χριστοῦ ἀληθῶς ἐκλεκτὸν καὶ πολλὰς ἀνθρώπων ψυχὰς τοῖς παρ' ἑαυτοῦ ὑποδείγμασι καταρτίζειν δυνάμενον, ὥσπερ εἰς ἀρχέτυπον θαυμαστὸν τὴν ἀκριβῆ τούτου πολιτείαν βλέποντας. ἐπεὶ δὲ τῷ κοινῷ νομίμῳ ἀκόλουθον ἦν καὶ ἐπιτρόπους τῆς παρούσης ἡμῶν διατάξεως ἀποφέρεσθαι, ἤδη καὶ τούτους ἐνίστημι, τὰ δύο ταῦτα μέγιστά τε καὶ ψυχωφελέστατα [3]), θεὸν πρῶτον καὶ τὴν ἄχραντον αὐτοῦ μητέρα . . . [4]) ἐξ οὗ καὶ δι' οὗ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγεν, ἐνίστημι δὲ ἐπίτροπον τὸν ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ ἀληθῶς βασιλεύοντα μέγιστον ἡμῶν βασιλέα καὶ αὐτοκράτορα, σὺν αὐτῷ δὲ καὶ τοὺς μετ' αὐτὸν ἐκ θεοῦ δικαιωθησομένους τὰ ῥωμαϊκὰ σκῆπτρα, ὅπως τῶν ἐμῶν ἀντιλαμβάνωσι πατέρων καὶ ἀδελφῶν καὶ περιέπωσι [5]) τὴν μονὴν διὰ ψυχικὸν αὐτῶν ἔλεος καὶ μισθόν. ἀλλὰ καὶ τοὺς κατὰ τὴν ἡμέραν ταῖς τῆς νήσου ταύτης ἀρχαῖς διαλάμποντας ἐνορκῶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τὴν ἄχραντον αὐτοῦ μητέρα, ἵνα, εἴπερ οἱ μοναχοὶ προσέλθοιεν [6]) τούτοις καὶ τὴν παροῦσαν τυπικὴν διάταξιν ἐμφανίζειεν καὶ λέγοιεν [7]) ἀδικεῖσθαι παρά τινων, ἵνα ἐπεξέρχωνται τῷ ἀδικοῦντι καὶ ἀναστέλλωσι [8]) τὴν τούτων ὁρμὴν καὶ ἐκ χειρὸς στερεωτέρας [9]) τὸ τοῦ Χριστοῦ ῥύωνται ποίμνιον καὶ μὴ παραβλέπωνται τοῦτο, ἀλλ' ἀντέχωνται καὶ ὑπερασπίζωσιν [10]) αὐτοῦ κατὰ τὸν ἔννομον λόγον καὶ δίκαιον, ἵν' οὕτω μισθὸν ἑαυτοῖς προξενήσωσι. καὶ τὴν θείαν εὐμένειαν ἕξουσιν, ἀνθ' ὧν εὐμενῶς τοὺς μοναχοὺς τῆς ὑπεραγίας θεοτόκου τοῦ ὄρους τοῦ Μαχαιρᾶ ὑπεδέξαντο καὶ χειραγωγίας τῆς προσηκούσης ἠξίωσαν· τούτου γὰρ ἕνεκα καὶ μνημονεύεσθαι τούτους τετύπωται [11]). ὁ δέ γε πρὸς ἀθέτησιν τῆς παρούσης τυπικῆς ἡμῶν διατάξεως χωρῆσαι πειραθησόμενος πρὸς τὸ μὴ εἰσακούεσθαι ἀλλότριος ἔσται τῆς

---

1) ἀναγ. ἡμῶν E. 2) ἀληθῆ E. 3) ψυχώτατα E. 4) Quaedam deesse videntur. 5) ἀντιλαμβανόντων — περιέπουσι E. 6) προέλθ. E. 7) λέγειν E. 8) ἀναστέλλουσι E. 9) στερεωτέρου E. 10) ῥύονται — παραβλέπονται, ἀντέχονται — ὑπερασπίζουσιν E. 11) τετύπωτε E.

τῶν Χριστιανῶν ἐλπίδος, τοῦ ἀχράντου φημὶ σώματος καὶ αἵματος, ἀνθ' ὧν τὴν ἀπράγμονα ταύτην καὶ καλοθελῆ διάταξιν καὶ εἰς ὠφέλειαν τῶν ἐμῶν πατέρων [καὶ][1]) ἀδελφῶν καθεστηκυῖαν καταστρέψαι καὶ διασεῖσαι βεβούλευται.

μδ'. Ὅσα μὲν οὖν καὶ ἡμῖν βουλητὰ καὶ τῷ θεῷ εὐαπόδεκτα καὶ τῇ θερμῇ ἀντιλήπτορι καὶ προστάτιδι, τῇ ἁγνῇ θεομήτορι εἰς ὠφέλειαν[2]) οὐκ ὀλίγην συντείνοντα εἴρηται ἱκανῶς. ὑμῖν δὲ τὸ ἑξῆς μελήσει φυλάξαι ταῦτα ἀπαράθραυστα καὶ ἀπαραποίητα ἄχρι παντός, λέγω δὴ τὸ ἀπαραλείπτως τὴν παραδοθεῖσαν ὑμῖν διακονίαν ἐκτελεῖν ἐν πάσαις ταῖς συνάξεσι, τὸ φυλάττειν πίστιν καὶ τιμὴν πρὸς τοὺς προεστῶτας ὑμῶν, τὸ ἀγαπᾶν ἀλλήλους καὶ σπουδάζειν ἕκαστον ἑκάστου προσέχειν ἐν μετριοφροσύνῃ, συμπονεῖν τε ἀλλήλοις ἐν πᾶσιν, ὡς ἑνὸς σώματος [μέλη][3]) καὶ τὰ ἀλλήλων ἀναπληροῦν ὑστερήματα καὶ μὴ πρὸς ἔρεις ὁρμᾶν,[4]) μὴ πρὸς φιλίας ἀπρεπεῖς ἢ παρασυνάξεις καὶ σχίσματα, ἀπέχεσθαι πρωτοκαθεδρίας καὶ τῶν κοσμικῶν προτιμήσεων, πρὸς ἓν δὲ μόνον ὁρᾶν, τῷ ἐν ἀρετῇ ζῆν δηλονότι καὶ πολιτεύεσθαι καὶ μηδὲν ἄλλο, εἰ δυνατόν, ἀναπνεῖν ἢ λόγον σωτήριον καὶ πᾶν τὸ εἰς οἰκοδομὴν ψυχῆς τυγχάνον καὶ ὠφέλειαν. μηδαμῶς οὖν, τέκνα καὶ ἀδελφοί, τὰ βλάπτοντα προτιμήσωμεν, τὰ σώζοντα παραδράμωμεν. οὐ γὰρ ἀνέσεως ἕνεκα καὶ τρυφῆς τὸν κόσμον καταλείπομεν, ἀλλὰ σπουδῆς καὶ ἀγῶνος τὸ κατὰ δύναμιν πρὸς τὸ τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν· οἱ γὰρ βιασταὶ ἁρπάζουσιν αὐτήν.

με'. Πρὸς σέ μου πάλιν ὁ λόγος, πάτερ πνευματικὲ καὶ ἀδελφέ. τὸ πρῶτον, στοιχεῖν σε τοῖς γεγραμμένοις καὶ ἀπαρεμποδίστως φυλάττειν τὰ δικαίως καὶ ἐννόμως κανονηθέντα καὶ τὸν ἀριθμὸν τὸν τυπωθέντα μὴ προσθετέον, ἕως οὗ ὁ κύριος καλέσει ἀφ' ἡμῶν τῶν ἀδελφῶν [τινα][5]) εἰς ἐκείνην τὴν μακαρίαν ζωήν, καὶ οὕτως προσθετέον κατὰ τὸν κλῆρον τοῦ ἀπελθόντος ἢ ἐκκλησιαστικὸν ἢ ἄλλον. ἐκκλησιαστικοὺς τετύπωκά, φημι, ἀλλ' σὺν ἐξ αὐτῶν ἐπιστήσῃς εἰς τὰς τῶν πρώτων διακονιῶν χρήσεις, εἴπερ εἰσὶ πρὸς τὴν τοιαύτην διακονίαν χρήσιμοι, μή πως ἐξ ἀμελείας ἢ τινος ἑτέρας παροράσεως ἐάσωσί[6]) τι τῆς μονῆς παραπωλέσθαι. καὶ τῆς δίκης [ἔνοχος][7]) εἴη τῆς ἱεροσυλίας πᾶς τις ὁ μὴ στοιχῶν[8]) τούτῳ τῷ ὅρῳ καὶ κανόνι τῷ πρὸς σωτηρίαν ὁδηγοῦντι [καὶ][9]) ἐκδιωκτέος, μή πως ἡ μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἀλλὰ καὶ τοῖς μετά σε τὴν προστασίαν διαδεδεγμένοις[10]) ταῦτα ἐντέλλομαι.

μς'. Τοίνυν παρακαλῶ πάντας ὑμᾶς ἐγὼ ὁ ἁμαρτωλὸς Νεῖλος, ἀξίως πορεύθητε τῆς κλήσεως ὑμῶν, παραστήσετε τὰ σώματα ὑμῶν ἅγια τῷ κυρίῳ.

---

[1]) Addidimus. [2]) τὴν ὠφ. E. [3]) Supplevimus. [4]) ὁρᾶν E. [5]) Supplevimus. [6]) ἐάν E. [7]) τῆς ἴσης ἐνοχῆς E. [8]) στοιχεῖν E. [9]) Supplevimus. [10]) τοὺς . . . διαδεδεγμένους E.

ἀγαπᾶτε ἀλλήλους, καλῶς τρέχετε τὸν προκείμενον ὑμῖν ἀγῶνα, ὅσα καλά, ὅσα θεοφιλῆ, ταῦτα λογίζεσθε, ἃ ἠκούσατε καὶ ἐμάθετε παρ' ἐμοῦ τοῦ ἀναξίου. ταῦτα ποιεῖν μὴ ἀπόσχοισθε, ἀδελφοί μου καὶ τέκνα ἠγαπημένα, μνημονεύετε τῶν ψυχῶν ὑμῶν καὶ τῆς ἐμοῦ εὐτελείας μὴ ἐπιλανθάνεσθε ἐν ταῖς προσευχαῖς ὑμῶν, μὴ λήθη καλύψῃ[1]) τὴν ἐμοῦ μνήμην [καὶ τοὺς πόνους][2]), οὓς ἐν πνεύματι ὤδυνα· ἐν ᾧ γὰρ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. τὸ γοῦν παρὸν τυπικὸν ἐντέλλομαι ὑμῖν ἀναγινώσκειν τρεῖς τοῦ ἐνιαυτοῦ κατὰ τοὺς καιροὺς τῆς ἑστιάσεως ὑμῶν εἴς τε ἀνάμνησιν τῶν ἐντεταλμένων ὑμῖν καὶ ὠφέλειαν τῶν ψυχῶν ὑμῶν· οὕτω γὰρ ἔσεσθε ὑμεῖς μὲν ἐπὶ τῇ σωτηρίᾳ ὑμῶν πεπληροφορημένοι, ὡς καλῶς φυλάξαντες, ἃ παρελάβετε παρὰ τῶν πατέρων ὑμῶν, καὶ ἐμοὶ δὲ τὰ τροφεῖα τῆς πνευματικῆς ἀγωγῆς ταύτης καὶ παιδεύσεως ἐν κυρίῳ ἀποτιννῦντες· ὁ δὲ θεὸς τῆς εἰρήνης ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν διὰ τὴν πολλὴν αὐτοῦ καὶ ἄφατον ἀγαθότητα καταρτίσαι ὑμᾶς καὶ στηρίξαι εἰς τὸ ἅγιον αὐτοῦ θέλημα διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, τοῦ κυρίου, θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

μζʹ. Ἐπεὶ δὲ θεοῦ εὐδοκίᾳ καὶ τῆς ἀσπόρως αὐτὸν τεκούσης μητρὸς τῆς ἐφ' ἅπασι συνεργούσης ἡμῖν εἰς τὰ κρείττονα καὶ σωτήρια ἀνεγείραμεν ἐξ αὐτῶν τῶν κρηπίδων [καὶ][3]) ἱερὸν φροντιστήριον γυναικεῖον ἐν Ταμασίᾳ καὶ ἀπαρτίσθη ἐφ' ἅπασιν ἔν τε ἁγίαις καὶ προσκυνηταῖς εἰκόσι καὶ ἱεραῖς καὶ ψυχωφελέσι βίβλοις καὶ ἑτέροις θείοις ἀναθήμασι, κανόνα τε ἠκριβωμένον [ταῖς] μοναχαῖς[4]) πρὸς ἄσκησιν ἐγγράφως ἐκθέμεθα καὶ τὸν τιμιώτατον καθηγούμενον τὸν μετ' ἐμὲ ἐνεστησάμην ἐπίτροπον σὺν τῷ εὐλαβεστάτῳ ἱερομονάχῳ κυρίῳ Νεοφύτῳ ἐπιτηρεῖν καὶ διιθύνειν καὶ συνευδοκεῖν ἐφ' ἅπασι τὸ τοῦ θεοῦ ποίμνιον, καθὼς ἐγγράφως ἐδιορισάμην. τυπῶ δὲ ἐτησίως λαμβάνειν τὴν τοιαύτην ἁγίαν μονὴν καὶ τὰς ἐν αὐτῇ ἀσκουμένας ἀδελφὰς ἀπὸ τῶν ἐλευθέρων ἡμῶν εἰσόδων, τῶν ὅλων δηλονότι τοῦ ἑκατοστοῦ τὸ ὄγδοον, τὰ δὲ ἕτερα δύο εἰσὶ χάριν τῶν τὴν ἱερὰν νόσον ἀθλούντων καὶ τῶν λοιπῶν πενήτων. ἐξ αὐτοῦ δὲ τοῦ ὀγδόου ὀφείλουσι[5]) λαμβάνειν ἐτησίως οἱ ἱερεῖς τῆς Βλαχερνίτησσας νομίσματα εἴκοσι καὶ τέσσαρα, ἔχειν δὲ καὶ αὐτοὶ ἐπιφώνησιν ἀπὸ τοῦ προεστῶτος, καὶ τὰ μὲν ζῶα τὰ ἀρρενικὰ ὀφείλουσι ἀποδεκατοῦσθαι, τὰ δὲ θηλυκὰ οὔ, διὰ τὸ ἔρειον καὶ τὸν τυρόν. καὶ ταύτην μὲν τὴν

---

1) ἡμῶν καλύψει E. 2) Supplevimus. 3) Supplevimus. 4) μοναχοῖς E. 5) ὀφείλωσι E., hic et inferius.

μικρὰν εὐλογίαν ὀφείλει ὁ κατὰ τὴν ἡμέραν προεστὼς ἀπροφασίστως [καὶ][1] ἀγογγύστως ἐπιδαψιλεύειν, καθὼς ἐδιορίσαμεν, μηδοπωσοῦν προβαλλόμενος ἔνδειαν· ἱκανὰς[2]) γὰρ προσόδους καὶ ἐπικτήσεις ἀφιερώσαμεν τῇ μονῇ πρὸς τὰς ἀναλογούσας ἐξόδους καὶ τροφὴν τῶν πάντων· καὶ οὕτω μὲν ποιοῦντες ἔσεσθε ἐπ' ἐλπίδι θαρροῦντες, ὅτι τῷ Χριστῷ ταῦτα δανείζετε, ἀφ' οὗ καὶ τὴν ἀνταμοιβὴν ἕξετε ἑκατονταπλασίονα. εἰ δέ τις πειραθῇ καθ' οἱονδήτινα[3]) τρόπον ἀφαιρεῖν [τι][4]) ἐκ τοῦ ἀναθήματος, ἕξει τὸ θεῖον ἀντιμαχόμενον ὡς ἱερόσυλος, καὶ τῶν θείων ἔσται μυστηρίων ἀμέτοχος †.

† Ἐν ἔτει ,ϛψιη', ἐν αὐγούστῳ †.

† Ὁ ταπεινὸς Νεῖλος καὶ κτήτωρ τῆς μονῆς Μαχαιράδος, ἐπίσκοπος Ταμασέων, προτάξας ὑπέταξα †.

E cod. monasterii editum est in libro: Τυπικὴ διάταξις ὡς εὕρηται τῆς κατὰ τὴν νῆσον Κύπρον σεβασμίας καὶ βασιλικῆς μονῆς τῆς ὑπεραγίας Θεοτόκου Μαχαιράδος ἐπιλεγομένης, νῦν πρῶτον τύποις ἐκδοθεῖσα πρὸς ὠφέλειαν τῶν ἐντυγχανόντων, δαπάνῃ μὲν καὶ ἐξόδῳ τοῦ τῆς ἱερᾶς αὐτῆς μονῆς οἰκονόμου κὺρ Παρθενίου, ἐπιμελείᾳ δὲ τοῦ ἐν ἱεροδιδασκάλοις κυρίου Ἐφραίμ, ἐπιστασίᾳ δὲ κυρίου Σεραφεὶμ Πισσιδείου, τοῦ πρωτοσυγκέλλου τῆς ἱερᾶς καὶ βασιλικῆς μονῆς τοῦ Κύκκου. *Venetiis 1756.*

IV. [6833—1324] . . ., ind. VIII.[5])

Fragmentum typici monasterii S. Ioannis Baptistae in monte Menoiceo apud Serras editi a Joachim, metropolita Zichnarum.

[Τυπικὴ διάταξις, συντεθεῖσα παρὰ τοῦ ταπεινοῦ μητροπολίτου Ζιχνῶν Ἰωακεὶμ καὶ κτήτορος τῆς ἐν τῷ ὄρει τοῦ Μενοικέως διακειμένης σεβασμίας μονῆς τοῦ θείου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἐκ κοινῆς γνώμης τῆς ὑφ' αὐτοῦ ἐν κυρίῳ ἀδελφότητος.]

Κεφάλαια τοῦ παρόντος τυπικοῦ. α'. Προοίμιον τῆς τυπικῆς διατάξεως. β'. Περὶ τοῦ δι' ἃς αἰτίας ἡ παροῦσα τυπικὴ διάταξις ἐκτίθεται. γ'. Περὶ τοῦ ἀδέσποτον καὶ ἐλευθέραν εἶναι τὴν μονήν. δ'. Περὶ ἐκκλησιάρχου. ε'. Περὶ σκευοφύλακος. ϛ'. Περὶ δοχειαρίου. ζ'. Περὶ πυλωροῦ. η'. Περὶ τῆς ὀφειλομένης ἐν τῇ τραπέζῃ τροφῆς τῶν μοναχῶν ἔν τε ταῖς ἀπολελυμέναις[6]) ἡμέραις καὶ ἐν

---

1) Addidimus. 2) ἱκανούς E. 3) οἷον δή E. 4) Supplevimus. 5) Quoad annum confer documentum VI, p. 97 huius voluminis. 6) ἀπολυμέναις S.

κῖς ἁγίαις τεσσαρακοσταῖς. θ'. Περὶ τοῦ ἀναγινώσκεσθαι τὸ παρὸν τυπικὸν εἰς ἐπήκοον πάντων. ι'. Παραίνεσις τοῦ ὁλοσχερῶς ἀντέχεσθαι τοὺς διακονητὰς τῶν διακονιῶν αὐτῶν. ια'. Περὶ τοῦ [μὴ][1]) εἶναι ἐν τῇ μονῇ κελλιώτας ἢ καταπεμπτούς. ιβ'. Περὶ τῆς εὐλογίας τῶν ἀδελφῶν. ιγ'. Περὶ ἐξαγορεύσεως. ιδ'. Περὶ τοῦ μὴ εἰσέρχεσθαι γυναῖκα ἐν τῇ μονῇ. ιε'. Περὶ λουτροῦ. ις'. Περὶ [τοῦ][2]) τυπικοῦ. ιζ'. Περὶ τοῦ μὴ ἀργολογεῖν[3]) τοὺς συνερχομένους ἐν τοῖς ἐργοχείροις αὐτῶν. ιη'. Παραίνεσις πρὸς τοὺς ἀδελφοὺς περὶ ἐκλογῆς ἡγουμένου. ιθ'. Παραίνεσις πρὸς τὸν προεστῶτα, πῶς διακεῖσθαι ὀφείλει πρὸς τὴν ἀδελφότητα. κ'. Παραίνεσις ἑτέρα πρὸς τοὺς ἀδελφούς. κα'. Διάταξις περὶ ἡγουμένου καὶ τῶν μετ' αὐτοῦ τεσσάρων ἀδελφῶν, πῶς ὀφείλουσιν εἶναι εἰς διεξαγωγὴν τῆς μονῆς. κβ'. Περὶ τοῦ ἐφόρου καὶ κτήτορος.

α'. Προοίμιον τῆς παρούσης τυπικῆς διατάξεως.

Ἦν ἄρα καὶ τοῦτο τῆς περὶ ἡμᾶς τοῦ θεοῦ φιλανθρωπίας ἐχέγγυον καὶ τῆς ἐκείνου κηδεμονίας κράτιστον δεῖγμα τὸ λόγῳ μὲν τῶν ἄλλων ἁπάντων εἰς ἡμᾶς εὐεργετημάτων τὸν ἄνθρωπον τιμηθῆναι, ἵν' οὕτω λόγῳ μὲν ζῶντι παρὰ τῶν εὖ εἰδότων τὸν βίον ἰθύνοιτο τῆς εὐθείας παρεκτρεπόμενον· „ἐπιστρεψάντων γάρ με“, φησίν, „οἱ φοβούμενοί σε“, λόγῳ δὲ γεγραμμένῳ καὶ λόγον καὶ πρᾶξιν καὶ ἠθῶν εὐκοσμίαν[4]) παιδεύοιτο. „ταῦτα γάρ“, φησιν, „πάντα πρὸς νουθεσίαν ἡμῶν γέγραπται“. οὐ μόνον δέ, ἀλλὰ καὶ οἷς ὁ μακρὸς χρόνος ῥέων ἀεὶ παντελῆ ἐπήγαγε τὴν ἀφάνειαν, ταῦτα τῷ γράμματι ὡς ἐν χρώματι αὖθις ἀνακαινίζομεν, καὶ αὐτὰ ἐκεῖνα καινά τινα κατ' ὄψιν κατοπτριζόμεθα λόγῳ ζωγραφοῦντι τὰ παλαιὰ καὶ[5]) παρελθόντα καὶ ῥεύσαντα παριστῶντες[6]) ὡς μένοντα. ἀρκτέον δὲ μοι ἐντεῦθεν, ὅπως καὶ ὅθεν καὶ ὡς οἰκονομίας ἀρρήτοις τρόποις ἡ καθ' ἡμᾶς ἥδε σεβασμία συνέστη μονή· ὁ πρὸς πατρὸς ἐμοὶ θεῖος καὶ πατήρ, τὴν κλῆσιν Ἰωαννίκιος[7]), ἔτι ἄγων νέαν τὴν ἡλικίαν μετανάστης τῆς ἑαυτοῦ πατρίδος γενόμενος διὰ τὸν πρὸς θεὸν αὐτοῦ θερμὸν ἔρωτα καὶ τῷ ἁγίῳ προσβαλὼν ὄρει τῷ Ἄθῳ καὶ ἐν αὐτῷ τὰς τρίχας ἀποκαρεὶς ἐκεῖσε τὸν ἑαυτοῦ δρόμον ἀόκνως διὰ τῆς ἐκκοπῆς τοῦ οἰκείου θελήματος τρέχων ἦν, ἄπλαστον καὶ τὸ

---

1) Supplendum videtur. 2) Supplevimus. 3) ἀργυρολογεῖν S. 4) εὐκοσμίων S. 5) κἀγὼ S. 6) παριστῶν τε S. 7) Ejus mentio fit etiam in doc. metropolitae Serrarum Jacob anni 1359 dato in favorem monasterii Esphigmeni in monte Atho, cui donatur μονύδριον τοῦ ἁγίου Γεωργίου, ἐπονομαζόμενον ὁ Παρίακος . . . πρὸ χρόνων οὐκ ὀλίγων δι' ἐκδοτηρίου γράμματος τοῦ ἐπισκόπου Ἐζιβῶν, κῦρ Ἰωαννικίου. Vide infra. Confer Florinskij, Athonskie Akty. Petropoli. 1880. p. 87.

ἦθος καὶ τὸν τρόπον κτησάμενος καὶ ὑπὸ μετριοφροσύνης διὰ πάντων κοσμούμενος. ἐπεὶ δὲ χρόνους ἐν αὐτῷ διῆγεν οὐκ ὀλίγους, ἡ ἕτερα δι' ἑτέρων πλέκουσα καὶ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦσα θεοῦ πρόνοια πάλιν αὐτὸν τοῖς ἐνταῦθα ἐπιδημῆσαι πεποίηκεν. φίλος δὲ ἡσυχίας ὢν ὁ ἀνὴρ οὐκ ἠγάπα οὐ μὲν οὖν, οὐδ' ἠβούλετο τοῖς τοῦ κόσμου ἐνασχολεῖσθαι καὶ τοῖς αὐτοῦ θορύβοις τὸ ἡγεμονικὸν ἐπιθολοῦν τῆς ψυχῆς καὶ τὸ ἀδούλωτον αὐτῆς ἀξίωμα τοῖς ματαίοις καταδουλοῦν. ἐζήτησε τοιγαροῦν βραχύ τι κελλίον εὑρεῖν, ὥστε μοναχικῶς ἐν αὐτῷ προσκαθῆσαι[1]) καὶ καθαρῶς διὰ τῆς μονώσεως προσομιλεῖν τῷ θεῷ. διελθὼν δὲ τοὺς κατὰ τὸ ὄρος τοῦ Μενοικέως τραχεῖς καὶ ἐρημικωτέρους τόπους ἐντυγχάνει μικρόν τι κελλύδριον ἠμελημένον πάντη καὶ ἀκαλλώπιστον, μόνον εὐκτήριον τὴν κλῆσιν ἔχον τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. ἐν αὐτῷ τοίνυν προσκαθήσας τῷ μονυδρίῳ καὶ ἔργου ἁψάμενος ἦν σπουδάζων διὰ παντὸς καὶ πᾶσαν μὲν λειτουργίαν τοῦ μοναχικοῦ ἐπαγγέλματος ἀποδιδοὺς τῷ θεῷ, πονῶν δὲ καὶ περὶ τὴν τῶν κελλίων ἐπιμέλειαν καὶ ἀνάκτισιν[2]) καὶ οὐκ ἐπαύσατο σπουδάζειν καὶ ἐνεργεῖν, μέχρις ἄν, εὐδοκοῦντος θεοῦ, ἀνδρῶν ἀσκητῶν καταγώγιον αὐτὸ ἀπετέλεσεν, ἔπειτα γέροντί τινι κατὰ θεὸν ζῶντι καὶ πολιτείαν ἄκραν μετερχομένῳ τὸ τοιοῦτον παραδοὺς κελλίον αὐτὸς ἐπὶ τὰ ἕτερα μέρη τοῦ ὄρους ἐχώρει, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν συνήθη[3]) καλὸν μαθητήν. ἐπεὶ δὲ καὶ τοῖς τραχυτέροις τοῦ ὄρους καὶ δυσβάτοις προσέβαλλε μέρεσι, σπήλαιον ἐντυγχάνει σκληρὸν πάνυ καὶ δυσδιέξοδον. ἐν αὐτῷ οὖν τὴν οἴκησιν πήξας καὶ χρόνον προσμείνας τινά, ἐπεὶ ἐκ τῆς ὑποκειμένης τοῦ σπηλαίου νοτίδος οὐ μικρὰν ἐδέχετο βλάβην, ἐξελθὼν αὖθις ἐκεῖθεν καὶ περὶ τοὺς πρόποδας τοῦ ὄρους γενόμενος, (ἀλλὰ καὶ τοῦτο, ὡς ἔγωγε οἶμαι, κατὰ θείαν οἰκονομίαν ἦν), κἀκεῖσε τὸν τόπον ἐπιμελῶς ἀνιχνεύσας, ἐν ᾧ[4]) ἡ καθ' ἡμᾶς ἁγία μονὴ σήμερον ὁρᾶται κειμένη, ἐπεὶ ὁ περὶ αὐτὴν ἅπας χῶρος στενὸς μὲν ἦν καὶ βραχὺς καὶ πρὸς εἰσελεύσεις τε καὶ ἐξελεύσεις κρημνώδης καὶ σκληρός, σχεδὸν δὲ εἰπεῖν καὶ ὅλως ἄβατος, ὅλως κεκαλυμμένος ἀπὸ παντοίων ἀγρίων φυτῶν τε καὶ ἀκανθῶν, εἶχε δὲ μονὴν τὴν ἐκκλησίαν πεπαλαιωμένην οὖσαν καὶ ἄσκεπον, θηρίοις μόνοις καὶ ἑρπετοῖς οἰκητήριον, ἡσθεὶς τῇ τοῦ τόπου καθαρότητι καὶ ἡσυχίᾳ καὶ τὸ ἐκτὸς εἶναι συγχύσεως καὶ θορύβου καὶ κοσμικῆς ὁμιλίας, ἐν αὐτῷ ἔκρινε κατοικεῖν. ἔργον οὖν αὐτῷ σπουδαιότατον ἐγεγόνει καθᾶραι μὲν τῆς παρακειμένης ὕλης τὸ χωρίον ἅπαν, ὄροφον δὲ κατασκευάσαι τῇ ἐκκλησίᾳ καὶ παντοίως αὐτῆς ἐπιμεληθῆναι καὶ πρὸς τὸ εὐπρεπέστερον ἀποκαταστῆσαι, ἵνα προθύμως οἱ ἐν αὐτῇ προσμένοντες τὰς εὐχὰς ἀναφέρωσι τῷ

---

[1]) προσκαθήσῃ S. [2]) ἀνάκτησιν S. [3]) ὃν συνήθως S. [4]) ὃν S.

θεῷ, καὶ[1]) καθ' ἑκάστην πολλὴν σπουδὴν προτιθεὶς καὶ πόνοις πόνους οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς, οὐδὲ ἀνάπαυσιν τοῖς κροτάφοις, ἕως οὗ θεοῦ συνεργοῦντος διὰ τῶν πρεσβειῶν τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ καὶ κέλλας ᾠκοδόμησε μοναχῶν, καὶ μοναχοὶ μετ' αὐτοῦ ᾑρετίσαντο κατοικεῖν, καὶ ἀνδρῶν αὐτὴν ἀρετὴν μετιόντων ἀνέδειξεν οἰκητήριον. ἦν οὖν αὐτὸς ἐκεῖνος τῶν μοναχῶν προϊστάμενος καὶ δι' ὅλου τῆς αὐτῶν[2]) σωτηρίας φροντίδα ποιούμενος, τρέφων, ἐνδύων, ζωογονῶν, λιμὴν ἀναψύξεως καὶ σωτηρίας καὶ τὰ πάντα γενόμενος. ἀλλὰ τοιαύτην ἐκεῖνος μετερχόμενος πολιτείαν καὶ οὕτως ἐν Χριστῷ ζῶν καὶ κρύπτεσθαι θέλων οὐκ ἠνέσχετο κύριος εἰς τέλος τοῦτον διαλαθεῖν, καθὼς τὸ θεῖόν φησι λόγιον· „μὴ δύνασθαι πόλιν ἐπάνω ὄρους κειμένην κρυβῆναι". ἔνθεν τοι καὶ ὑπὸ τοῦ τότε τοὺς τῆς ἐκκλησίας οἴακας διιθύνοντος τὸ τῆς πνευματικῆς διακονίας ἐνεχειρίσθη λειτούργημα, ὥστε τοὺς τῶν ἀνθρώπων λογισμοὺς πνευματικῶς ἀναδέχεσθαι καὶ τούτοις ἁρμοδίως καὶ κατὰ τὸν τῆς ἰατρείας λόγον ἐπιμελῶς διδόναι τὰ φάρμακα. ἀλλὰ ταῦτα μὲν ὕστερον. γονέων δ' ἔγωγε προαχθεὶς εὐσεβῶν καὶ ὀρφανίαν ἄωρον ὑποστάς, ὁ προμνημονευθεὶς ἐκεῖνος θεῖός μου[3]) καὶ πατὴρ οὔπω διετῆ χρόνον φθάσας μεθ' ἑαυτοῦ συμπαραλαβὼν πᾶσαν προσῆγε θεραπείαν σωματικὴν καὶ μετ' ἐπιμελείας ἀνέτρεφεν, εἶτα καὶ τὸ μοναχικὸν ἀμφιέσας σχῆμα συνῆκε τοῦτο διηνεκῶς καὶ τὴν μοναχικὴν παιδείαν παιδοτριβεῖσθαι προσέταξε, κἂν αὐτὸς οὐδέν τι τῆς ἰσαγγέλου πολιτείας ἐκείνου τε καὶ διαγωγῆς ἠδυνήθην μεταλαβεῖν. συνδιῆγον τοιγαροῦν αὐτῷ καὶ τῷ αὐτοῦ ὄχλῳ παρήδρευον παιδευόμενος παρ' αὐτοῦ καὶ ἀγόμενος ἔν τε τῇ τῶν ἱερῶν γραμμάτων μυήσει καὶ τῇ τῶν ἠθῶν εὐκοσμίᾳ καὶ τῇ ἄλλῃ καταστάσει τῶν μοναχῶν. ἐπεὶ δὲ καὶ εἰς ἱερωσύνης προήχθην βαθμόν, ὡς οὐκ ἔδει, διὰ τὸ ὑψηλὸν μὲν εἶναι τὸ τῆς διακονίας ταύτης λειτούργημα καὶ μόλις πρέπον ἁγίοις, ὁ δὲ ἡμέτερος βίος ἠμελημένος καὶ οὐκ ἄξιος, εἶτα καὶ εἰς ἐπισκοπικὸν ἠξίωσεν ὁ θεὸς ψηφισθῆναι θρόνον. ὁ προμνημονευθεὶς ἐκεῖνος θεῖός μου καὶ πατὴρ οὐκ ἠνείχετο οὐδ' ἠβούλετο τοῦτο, ἀλλ' ἐνστατικὸς[4]) ἦν λίαν καὶ οὐκ ἐνδόσιμος, δεδοικώς, μήπως ἡ περὶ τὴν ἐπισκοπὴν δι' ὅλου φροντὶς ἀργὴν καὶ ἄπρακτον τὴν ἐμὴν ποιήσῃ προαίρεσιν εἰς τὸ πᾶσαν πρόνοιαν ἔχειν καὶ ἐπιμέλειαν περὶ τὴν μονήν. ὅτι δὴ τοῦτο ἠβούλετο ἡ τοῦ γέροντος ἔνστασις, δῆλον ἐντεῦθεν· οὐ γὰρ πρότερον ἂν εἶχε[5]) τῆς ἐνστάσεως καὶ τῇ τῶν ἑλκόντων ἡμᾶς ἔξω θελήσει, μέχρις ἂν ὑπόσχεσιν ἔγγραφον λαβεῖν παρ' ἡμῶν τοῦ καὶ ζῶντος ἐκείνου καὶ τὸ χρεὼν λειτουργήσαντος μὴ παριδεῖν τῆς μονῆς, ἀλλὰ παντοίως προνοεῖσθαι καὶ προσηκόντως. οὕτω τοιγαροῦν τῆς γρα-

---

1) ἵνα S. 2) ἑαυτῶν S. 3) μοι etiam infra S. 4) ἐντατικός S. 5) ἔδωκε S.

φικῆς ὑποσχέσεως εἰς πέρας ἐλθούσης κἀκεῖνον εὐθέως συγκατανεῦσαι καὶ παραχωρῆσαι τοῖς ἕλκουσιν. ἀλλ' ἐγὼ μὲν κρίμασιν οἷς οἶδεν, οὗ τὰ κρίματα ἄβυσσος, [τοῦ][1]) τῆς Ζιχνῶν ἐκκλησίας ἐμπεπίστευμαι θρόνου, ἐκεῖνος δὲ τῆς τῶν Ἐζιβῶν[2]) ἀρχιερεὺς ἀναδείκνυται. ἀλλὰ καὶ οὕτω τῆς αὐτῆς ἐκείνης εἴχετο μετριοφροσύνης ὁ γέρων καὶ τῆς περὶ τὰ καλὰ ἐπιδόσεως, καὶ ὅλως ἦν αὖθις τῆς ἐπὶ τῇ μονῇ βοηθείας, ἔχων κἀμὲ μᾶλλον συμπονοῦντα καὶ συμπράττοντα τοῖς ἀναγκαιοτέροις τῆς μονῆς ἔργοις καὶ ταῖς χρείαις τῶν μοναχῶν.

Ἐπεὶ δὲ ἄνθρωπον ὄντα κἀκεῖνον καὶ ἀνθρωπίναις ὑποκείμενον ἀσθενείαις ἔδει πάντως καὶ τὸν χοῦν ἀποθέσθαι καὶ πρὸς τὴν ἐκεῖθεν μεταβῆναι ζωήν, αὐτὸς μὲν ἐπὶ κλίνης ὡρᾶτο κείμενος γήρᾳ καὶ νόσῳ δεινῇ συγκατακλιθεὶς[3]) ὁ τὴν ψυχὴν ἐρρωμένος καὶ τῶν σωματικῶν ἀνώτερος παθημάτων, ἤδη δὲ τὰ τελευταῖα ἐμπνέων καὶ τὴν ψυχὴν μέλλων τῷ θεῷ παραθέσθαι, ἐμοὶ πάλιν τῷ πάντα ῥαθύμῳ καὶ ἀμελεῖ τὴν τῆς μονῆς ἐνεχείριζεν ἐπιμέλειαν καὶ ἀνάκτισιν καὶ τὸν ταύτης ἐπετίθη ζυγόν, τί μὲν οὐ λέγων, τί δὲ οὐ πράττων τῶν ὅσα πρὸς τοῦτο βιάσασθαι ἱκανά; τοιγαροῦν καὶ ὑπῆλθον καὶ ὑπελθὼν ὁπόσαις μὲν καὶ οἵαις ἐκ τῶν πραγμάτων καὶ τῆς τοῦ καιροῦ δυσκολίας ἐνέτυχον περιστάσεσιν, οἶδε μόνος ὁ πάντα εἰδὼς θεὸς καὶ ὁ ταῦτα παθὼν μόνος ἐγώ. ἀλλ' ὁ θεὸς τοῦ πατρός μου διὰ τῶν πρεσβειῶν τοῦ τιμίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ βοηθὸς ἐμοὶ προφανὴς ἐν στύλῳ πυρὸς [διὰ][4]) πρεσβειῶν αὐτοῦ φωτίζων καὶ διεξάγων πρὸς ἡμέραν ὁδηγῶν ἀναψύξεως προσδ[οκῶντι][5]), ὅτι καὶ τῆς ἐκεῖθεν ἐλπιζομένης μοι ἐκ τῶν ἔργων ἀξίας κολάσεως ῥυήσεται. καὶ πρῶτον μὲν τὸν θεῖον ναὸν τουτονὶ ἐξ αὐτῶν ἀνήγειρα τῶν κρηπίδων, οὕτω καλλωπίσας αὐτὸν κατὰ τὸ ἐγχωροῦν ἐμοὶ τῆς ἰσχύος, ἀλλὰ καὶ εἰκόνων λαμπρότητας ἐν αὐτῷ καὶ ἱερῶν περιουσίαν σκευῶν καὶ λοιπῶν διαφόρων ἀναθημάτων πρόσθεσιν ἐποιησάμην, ἵνα ἐν αὐτῷ τὸν ἄρτον οἱ ἀδελφοὶ συναγόμενοι εἰς δόξαν ἐσθίωσι τοῦ θεοῦ, ἀλλὰ καὶ προσόδους τινὰς ἐλέει τῶν μεγαλοδώρων αὐθεντῶν καὶ βασιλέων τῇ μονῇ ἀπεκλήρωσα, ὅσας καὶ οἵας ἐλογισάμην τοῖς τὸν μονήρη καὶ ἀπέριττον βίον ἐπανῃρημένοις τοῖς ἀναγκαίοις ἀρκεῖν. ὅσας οὖν τὰς εὐεργεσίας καὶ τὰς ἀντιλήψεις ἔσχον ἐκ τοῦ θεοφρουρήτου καὶ θεοστεφοῦς αὐτῶν κράτους τίς ἐξισχύσει ἀπαριθμήσασθαι, τὰς διὰ λόγων, τὰς δι' ἔργων, τὰς διὰ δόσεων καὶ συνεισφορῶν; ἀλλὰ καὶ ὅσων εὐεργεσιῶν τε καὶ δωρεῶν τῇ ἡμετέρᾳ γεγόνασι μονῇ παροχεῖς οἱ φιλάνθρωποι καὶ ἅγιοί μου αὐθένται καὶ βασιλεῖς, ἀριδήλως παριστῶσι τὰ παρὰ τῆς ἁγίας αὐτῶν βασιλείας τῇ τοιαύτῃ

---

1) Supplevit S. 2) Vid. supra pag. 433. 3) συγκαταχληθεὶς S. 4) Supplevit S. 5) Supplevit S.

μονῇ θεῖα καὶ σεπτὰ γεγονότα χρυσόβουλλα, οὕσπερ καὶ εὐλογῆσαι κύριος ὁ θεὸς ἐν πάσῃ εὐλογίᾳ ἐπεύχομαι, ὁ βασιλεὺς τῶν αἰώνων καὶ δοτὴρ πάντων τῶν ἀγαθῶν, καὶ φυλάξαι ὑπὸ τὴν σκέπην τῆς αὐτοῦ ἀγαθότητος ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ, ἐνισχύων αὐτῶν τὸν βραχίονα καὶ ὑποτάττων ὑπὸ τοὺς πόδας αὐτῶν πάντα τὰ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα, δωρούμενος αὐτοῖς μακρότητα ἡμερῶν καὶ καταξιῶν αὐτοὺς μετὰ τῶν ἐγκοσμίων καὶ τῶν ἀπορρήτων αὐτοῦ[1]) ἀγαθῶν καὶ βασιλείας τῆς ἐπουρανίου. ἀλλὰ καὶ ἐντὸς τῆς πόλεως Σερρῶν ἑτέραν ἀνήγειρα μονήν, ναόν τε ἐκ θεμελίων αὐτῶν εἰς ὄνομα καὶ αὐτὴν τοῦ Θείου Προδρόμου καὶ Βαπτιστοῦ, ὁμοίως ἐν αὐτῇ καὶ τράπεζαν καὶ ὅσα ἄλλα χρειώδη καὶ ἀναγκαῖα τῇ μονῇ ἐποικοδομήσας καὶ πρὸ πάντων τειχίῳ ταύτην περικυκλώσας καὶ παντοίως περιποιησάμενος καταγώγιον ἀνδρῶν ἁγίων, εὐδοκοῦντος θεοῦ καὶ ταῖς τοῦ θείου Προδρόμου πρεσβείαις, ἠδυνήθημεν ἀποκαταστῆσαι θεῷ καθιερωμένων καὶ τὴν κοινοβιακὴν διαγωγὴν κατασπαζομένων, ἣν καὶ ὑποκεῖσθαι καὶ προσηνῶσθαι διηνεκῶς τῇ κυρίᾳ καὶ πρωτοτύπῳ ταύτῃ μονῇ βούλομαι καὶ ἓν σῶμα ἑαυτοὺς νομίζειν τοῦ μοναδικοῦ τούτου τῶν δύο μονῶν πληρώματος, μιᾷ κεφαλῇ, τῷ καθηγουμένῳ ταύτης τῆς κυρίας δηλονότι μονῆς, ὑποκειμένους καὶ παρ' αὐτοῦ τοὺς κανόνας τῆς μοναδικῆς πολιτείας δεχομένους καὶ ἰθυνομένους ἐπὶ τὰ κρείττονα καὶ τῷ αὐτῷ[2]) κανόνι καὶ τύπῳ στοιχεῖν ὀφείλοντας. ἀλλὰ τίς εἰμι ἐγώ, κύριε, κύριέ μου, ἢ ὁ οἶκος τοῦ πατρός μου, ὅτι οὕτως ἐπ' ἐμὲ τὰ σὰ ἐλέη ἐξέχεας τὸν ἀνάξιον, ὡς δι' ἐμοῦ τοῦ ἀχρείου, δι' ἐμοῦ τοῦ οἰκτροῦ, τοῦ μηδὲν ὄντος τὰ τοιαῦτα τῶν δύο μονῶν οἰκονομηθῆναι; σὸν ἄρα, δέσποτα, τοῦτο, καὶ τῆς σῆς ἀφθόνου καὶ πλουτοδότιδος δεξιᾶς ἀνοιγομένης μὲν φιλανθρώπως, πᾶν δὲ ζῶον τῆς παρά σου εὐδοκίας κατεμπιμπλώσης καὶ ἀδιαλώβητα καὶ τῶν ὁπωσδήποτε τούτοις ἐπεμβαίνειν ἐπειχειρούντων καὶ χεῖρα ἐπάγειν ὀλέθριον διατηροίης ἀνώτερα, ἵνα μὴ ταῦτα οὕτως ἴσως ἐπισυμβαίνῃ καὶ ἵνα μὴ τὰ ἐπικτηθέντα τῷ χρόνῳ ἐξίτηλα καταστάντα λήθης ἀμαυρωθείη βυθοῖς, βρεβείῳ τὰ πάντα καταγράψαι δεῖν ἔγνων· τὰς τοιαύτας τοίνυν [δύο] μονὰς συστησάμενος καὶ ἑνώσας[3]) σοὶ τῷ δοτῆρι τῶν καλῶν καὶ πλάστῃ θεῷ προσάγω εἰς δόξαν τοῦ σοῦ ὀνόματος καὶ τοῦ τῆς ἀληθείας κήρυκος Προδρόμου καὶ Βαπτιστοῦ, καὶ εἰς ἐξίλασμα τῶν ἡμετέρων πλημμελημάτων. δέχοιο τοίνυν, θεοῦ πατρὸς λόγε, τὸ μικρὸν ἀφιέρωμα τοῦτο ἐξ ἐμοῦ, τοῦ σοῦ ἱκέτου, σοὶ προσφερόμενον, ἐπιδαψιλευόμενος ἐπὶ τῷ βασιλεῖ μου τῶν οἰκτιρμῶν σου τὴν ἄβυσσον, ἐμοί τε καὶ ὅλῳ τῷ κόσμῳ σωτηρίαν δωρούμενος καὶ τὴν τῶν ἡμαρτημένων συγχώρησιν, πρεσβείαις τῆς ὑπὲρ

[1]) αὐτῶν S. [2]) αὐτοῦ S. [3]) τοίνυν συστ. καὶ ἑνώσας μονάς. S.

λόγον διὰ λόγου κατὰ σάρκα τεκούσης σε παναχράντου δεσποίνης ἡμῶν θεοτόκου, αὐτοῦ δὴ τοῦ θείου Προδρόμου καὶ Βαπτιστοῦ καὶ πάντων σου τῶν ἁγίων, ἀμήν.

Περὶ ἐφόρου καὶ κτήτορος.

Οὕτως οὖν ἔχων καὶ περὶ τούτου φροντίζων καὶ τοῦ θεοῦ δεόμενος εὗρον τὸν περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τὸν κύριόν μου τὸν μέγαν δομέστικον [κῦρ Ἰωάννην τὸν Κανταχουζηνόν][1], οὐ μόνον ὄντα χριστιανικώτατον καὶ πάσης ἀγαθωσύνης πεπληρωμένον, ἀλλ' ἔτι καὶ ἐκ προγόνων καὶ γονέων εὐσεβῶν καὶ πιστῶν προῆλθεν, ὥσπερ τις εὐγενὴς κλάδος ἐξ εὐγενοῦς ῥίζης καὶ ἀγαθῆς. ὥσπερ οὖν ὁ μακαρίτης ἐκεῖνος, ὁ ἐμὸς πατήρ, τὴν τοιαύτην σεβασμίαν μονὴν ἐμοὶ προσανέθετο καὶ οὐδεὶς ἄλλος κύριος ἦν ἐν αὐτῇ, οὕτως ἐγὼ καὶ ὑμᾶς[2] καὶ τὰ τῆς μονῆς ἅπαντα πράγματα τῷ κυρίῳ μου τῷ μεγάλῳ δομεστίκῳ παραδίδω καὶ ἀνατίθημι καὶ κύριον αὐτὸν ποιῶ διὰ τοῦ παρόντος μου διατάγματος καὶ ὡς κτήτορα αὐτὸν ὑμῖν παραδίδωμι, ὥσπερ ἂν εἰ οὗτος καὶ τὰς δύο μονὰς ἀνήγειρέ τε καὶ συνεστήσατο. καὶ οὐ μόνον διὰ τὸ φιλευσεβὲς αὐτοῦ καὶ φιλόχριστον καὶ τὴν ἄλλην ἅπασαν αὐτοῦ καλογνωμοσύνην τοῦτο ποιῶ, ἀλλὰ καὶ δι' ἣν εἶχον ἐκ πολλοῦ τοῦ χρόνου πρὸς τοὺς ἁγίους αὐτοῦ προγόνους τε καὶ πατέρας πνευματικὴν διάθεσιν καὶ ἀγάπην, οἵτινες καὶ διὰ τὴν προσοῦσαν αὐτοῖς εὐσέβειάν τε καὶ ἀρετὴν τῆς μερίδος, ὡς ἐγὼ οἶμαι, τῶν σωζομένων κατηξιώθησαν. ἔχων οὖν ἐγὼ περὶ τοῦ κυρίου μου τοῦ μεγάλου δομεστίκου χρηστὰς τὰς ἐλπίδας καὶ ὅτι πᾶσα ἀνάγκη, καὶ ὁ εὐγενὴς κλάδος ἐξομοιωθῆναι τῇ ῥίζῃ, ὥς φησιν ὁ κύριος, „ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεσθαι", οὐκ ἔτι περὶ τούτου ἐνδοιάζω, ἀλλ' ἄφροντίς εἰμι καὶ ἀμέριμνος, θαρρῶν εἰς τὸ μέγα ἔλεος τοῦ θεοῦ καὶ εἰς τὴν αὐτοῦ χριστιανικὴν κατάστασιν, ὅτι καὶ πλείονα τῆς ἐμῆς ἐπιμελείας αὐτὸς τὴν ἐπιμέλειαν ποιήσει καὶ φροντίσει περὶ ὑμῶν, οὐ μόνον ὅσον ἀποβλέπει εἰς ἀρετὴν καὶ εὐλάβειαν καὶ εἰς πᾶσαν ἄλλην κατάστασιν τῆς μοναχικῆς εὐταξίας, ἀλλὰ καὶ εἰς τὰ σωματικὰ καὶ χρειώδη, ἅτινα εἰς κυβέρνησιν καὶ ζωοτροφίαν ὑμῶν ἀφορῶσιν. ἀλλὰ τί χρὴ πολλὰ λέγειν; οὕτω δὲ πρὸς αὐτὸν καὶ ὑμᾶς καὶ τὰ τοῦ μοναστηρίου πράγματα παραδίδωμι, ὡς αὐτὸν ὄντα ἐμέ, καὶ οὕτω καὶ ὑμεῖς αὐτῷ ὀφείλετε ὑπακούειν, ὡς κυρίῳ καὶ κτήτορι ὑμῶν, καὶ ἐν εὐταξίᾳ καὶ πνευματικῇ καταστάσει βιοῦν καὶ θερμοτέρως εὔχεσθαι ὑπὲρ αὐτοῦ, ἵνα ἐν ἡμέρᾳ κρίσεως ἀπηρτισμένον καὶ ὁλόκληρον ἀπολάβητε

[1] Supplevimus ex doc. XI. p. 101 et X. p. 102 voluminis v. Sathas p. 202.
[2] ἡμᾶς S.

τὸν ἴδιον μισθὸν παρὰ τοῦ ἐφορῶντος τὰ πάντα θεοῦ· εἰ γὰρ οὕτως ἔσεσθε ποιοῦντες, ὡς ὑμῖν διατάσσομαι, καὶ ὑμῖν τοῦτο εἰς μεγάλην ὠφέλειαν ἔσται καὶ σώματος καὶ ψυχῆς καὶ τῷ κυρίῳ μου, τῷ μεγάλῳ δομεστίκῳ καὶ κτήτορι ὑμῶν, ἐπισκεπτομένῳ ὑμᾶς καὶ προνοουμένῳ κατὰ τὸ ἐγχωροῦν αὐτῷ τῆς ἰσχύος, πρόξενοι ἔσεσθαι αὐτῷ τῆς αἰωνίου μακαριότητος, ἧς καὶ ἀξιωθείη ἄν ποτε διὰ τῆς χάριτος τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν καὶ διὰ τῶν πρεσβειῶν τοῦ μεγάλου τῆς ἀληθείας κήρυκος Προδρόμου καὶ Βαπτιστοῦ.

E cod. metochii Sancti Sepulchri in urbe Constantinopoli ed. C. Sathas, Μεσαιωνικὴ Βιβλιοθήκη, *I., p. 202.*

XIV.

Appendix.

Observationes emendationes et additamenta.

I. Ad diplomata monasterii S. Mariae Neamone in insula Chio.

J. Sakkelion (sic scribendum est nomen editoris et corrigendum p. 3, not. 1 et in aliis et p. 13, l. 30) debet exemplar documentorum Gregorio Photeino, nunc episcopo Myriophyti, uti testatur in praefatione, quam praemisit editioni suae his verbis: Ὁ ἀκάματος διερευνητὴς τῶν τῇ οἰκείᾳ διαφερόντων μονῇ Γρ. Φωτεινός, εἰς Πάτμον παρὰ τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας ἐξαρχικῶς ἀποστελλόμενος τὸν προελθόντα αὔγουστον (1866) καὶ διαβὰς ἐκ Σάμου πρὸς ἐπίσκεψιν τοῦ ἐν τῇ τοποθεσίᾳ Μεγάλῃ Λάκκᾳ μεταξὺ Καρλοβασίων καὶ Μαραθοκάμπου κειμένου μονυδρίου τοῦ προφήτου Ἠλιοὺ μετοχίου τῆς Νέας Μονῆς τυγχάνοντος ἀνεκάλυψεν . . . τὰ ἀντίγραφα τῶν παρόντων ἑπτὰ χρυσοβούλλων. Πανδώρα, *vol. XVII, p. 541. Historia monasterii exstat in libro, cui titulus:* Ἡ θεία καὶ ἱερὰ ἀκολουθία τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Νικήτα, Ἰωάννου καὶ Ἰωσὴφ τῶν κτιτόρων τῆς ἐν Χίῳ σεβασμίας, ἱερᾶς, βασιλικῆς τε καὶ σταυροπηγιακῆς μονῆς τῆς ἐπιλεγομένης Νέας, τῆς ἐπ' ὀνόματι τιμωμένης τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἥ τε ἱστορία τῆς μονῆς καὶ θαύματά τινα παράδοξα παρὰ τῆς θεομήτορος τελεσθέντα. τὰ πάντα σχεδιασθέντα καὶ συντεθέντα παρὰ τοῦ ἐλαχίστου ἐν ἱεροδιακόνοις Νικηφόρου Χίου, τοῦ ἐκ τῆς αὐτῆς Νέας Μονῆς καὶ νῦν πρῶτον τύποις ἐκδοθέντα ἀναλώμασι τοῦ ἐκ τῆς αὐτῆς μονῆς πανοσιωτάτου καὶ τὰ μάλιστα φιλοκάλου ἐν ἱερομονάχοις κ. κ. Παϊσίου τοῦ 'πίκλην Μπαρμπαριᾶ, ἵνα διανέμωνται δωρεὰν ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας, Ἐνετίῃσιν ͵αωδ' (1804). *Cujus usum nobis humanissime concessit Carolus Castellani, bibliothecae S. Marci Venetiarum praefectus.*[1]) *E libro hiero-*

---

[1]) **Secundam editionem libri, quam publici juris fecit idem Gr. Photeinos, Chii, 1865, sub titulo** Τὰ Νεαμονήσια, **nondum nacti sumus.**

diaconi Nicephori hausimus, quae dicta sunt de historia monasterii in praefatione et his addimus descriptionem loci et fragmenta quaedam chrysobullorum, quae libro suo inseruit; et primo quidem testimonia de conditoribus monasterii ponimus.

